Ήχος α'
Κυριακή Δευτέρα Τρίτη Τετάρτη Πέμτη Παρασκευή Σάββατο
Ήχος β'
Κυριακή Δευτέρα Τρίτη Τετάρτη Πέμτη Παρασκευή Σάββατο
Ήχος γ'
Κυριακή Δευτέρα Τρίτη Τετάρτη Πέμτη Παρασκευή Σάββατο
Ήχος δ'
Κυριακή Δευτέρα Τρίτη Τετάρτη Πέμτη Παρασκευή Σάββατο
Ήχος πλ. α'
Κυριακή Δευτέρα Τρίτη Τετάρτη Πέμτη Παρασκευή Σάββατο
Ήχος πλ. β'
Κυριακή Δευτέρα Τρίτη Τετάρτη Πέμτη Παρασκευή Σάββατο
Ήχος βαρύς
Κυριακή Δευτέρα Τρίτη Τετάρτη Πέμτη Παρασκευή Σάββατο
Ήχος πλ. δ'
Κυριακή Δευτέρα Τρίτη Τετάρτη Πέμτη Παρασκευή Σάββατο

ΥΜΝΟΙ ΤΡΙΑΔΙΚΟΙ - ΦΩΤΑΓΩΓΙΚΑ
ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΑ ΤΗΣ ΟΛΗΣ ΕΒΔΟΜΑΔΟΣ - ΘΕΟΤΟΚΙΑ
Εωθινά

top
1-1

## ΤΩ ΣΑΒΒΑΤΩ ΕΣΠΕΡΑΣ

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

### Στιχηρά Αναστάσιμα τής Οκτωήχου

Ηχος α'

Τάς εσπερινάς ημών ευχάς, πρόσδεξαι Άγιε Κύριε, καί παράσχου ημίν άφεσιν αμαρτιών, ότι μόνος εί ο δείξας εν κόσμω τήν Ανάστασιν. (Δίς)

Κυκλώσατε λαοί Σιών, καί περιλάβετε αυτήν, καί δότε δόξαν εν αυτή, τώ Αναστάντι εκ νεκρών, ότι αυτός εστιν ο Θεός ημών, ο λυτρωσάμενος ημάς εκ τών ανομιών ημών.

Δεύτε λαοί υμνήσωμεν, καί προσκυνήσωμεν Χριστόν, δοξάζοντες αυτού τήν εκ νεκρών ανάστασιν. Ότι αυτός εστιν ο Θεός ημών, ο εκ τής πλάνης τού εχθρού τόν κόσμον λυτρωσάμενος.

Δόξα... Καί νύν...

Παρθενική πανήγυρις σήμερον, αδελφοί, σκιρτάτω η κτίσις, χορευέτω η ανθρωπότης, συνεκάλεσε γάρ ημάς η Αγία Θεοτόκος, τό αμόλυντον κειμήλιον τής Παρθενίας, ο λογικός τού δευτέρου Αδάμ Παράδεισος, τό εργαστήριον τής ενώσεως τών δύο φύσεων, η πανήγυρις τού σωτηρίου συναλλάγματος, η παστάς, εν ή ο Λόγος ενυμφεύσατο τήν σάρκα, η όντως κούφη νεφέλη, η τόν επί τών Χερουβείμ μετά σώματος βαστάσασα. Ταίς αυτής ικεσίαις, Χριστέ ο Θεός, σώσον τάς ψυχάς ημών.

Είτα οι χοροί ψάλλουσιν εναλλάξ τά οικεία Απόστιχα, ενταύθα τά τού Σαββάτου εσπέρας.

Τό α' Απόστιχον τού Μεγ. Εσπερινού.

Ήχος α'

Τώ πάθει σου, Χριστέ, παθών ηλευθερώθημεν, καί τή Αναστάσει σου εκ φθοράς ελυτρώθημεν, Κύριε, δόξα σοι.

Καί τά παρόντα προσόμοια τής Θεοτόκου:

Τών ουρανίων Ταγμάτων

Στίχ. Μνησθήσομαι τού ονόματός σου εν πάση γενεά καί γενεά.

Δεδοξασμένη υπάρχεις εν γενεαίς γενεών, Παρθενομήτορ Κόρη, Θεοτόκε Μαρία, τού κόσμου προστασία, τεκούσα σαρκί, τόν Υἱόν τού Ανάρχου Πατρός, καί συναϊδιον Πνεύματι αληθώς, όν ικέτευε σωθήναι ημάς.

Στιχ. Άκουσον, θύγατερ, καί ίδε, καί κλίνον τό ούς σου, καί επιλάθου τού λαού σου καί τού οίκου τού Πατρός σου.

Οι συνεχόμενοι θλίψεσιν αδοκήτοις, Αγνή, σέ προστασίαν μόνην, κεκτημένοι Παρθένε, βοώμεν ευχαρίστως, σώσον ημάς, Παναγία Θεόνυμφε, σύ γάρ υπάρχεις τού κόσμου καταφυγή, καί αντίληψις τού γένους ημών.

Στιχ. Τό πρόσωπόν σου λιτανεύσουσιν οι πλούσιοι τού λαού.

Ανεκαινίσθη ο κόσμος εν τή κυήσει σου, Θεοκυήτορ Κόρη, τών πιστών σωτηρία, καί άγρυπνος προστάτις τών ευσεβώς αιτουμένων σε άχραντε, μή διαλείπης πρεσβεύουσα εκτενώς, υπέρ πάντων τών υμνούντων σε.

Δόξα... Καί νύν... Δογματικόν

Νεφέλην σε φωτός αϊδίου, Παρθένε, ο Προφήτης ωνόμασεν, εν σοί γάρ ως υετός επί πόκον, καταβάς ο Λόγος τού Πατρός, καί εκ σού ανατείλας, τόν κόσμον εφώτισε, τήν πλάνην κατήργησε, Χριστός ο Θεός ημών, αυτόν ικετεύουσα εκτενώς, Παναγία δεόμεθα, μή παύση υπέρ ημών, τών αληθή Θεοτόκον ομολογούντων σε.

Απολυτίκιον Ήχος α'

Τού λίθου σφραγισθέντος υπό τών Ιουδαίων, καί στρατιωτών φυλασσόντων τό άχραντόν σου σώμα, ανέστης τριήμερος Σωτήρ, δωρούμενος τώ κόσμω τήν ζωήν. Διά τούτο αι Δυνάμεις τών ουρανών, εβόων σοι Ζωοδότα. Δόξα τή Αναστάσει σου, Χριστέ, δόξα τή βασιλεία σου, δόξα τή οικονομία σου, μόνε Φιλάνθρωπε.

Θεοτοκίον

Τού Γαβριήλ φθεγξαμένου σοι Παρθένε τό Χαίρε, σύν τή φωνή εσαρκούτο ο τών όλων Δεσπότης, εν σοί τή αγία κιβωτώ, ως έφη ο δίκαιος Δαυϊδ, εδείχθης πλατυτέρα τών ουρανών, βαστάσασα τόν Κτίστην σου. Δόξα τώ ενοικήσαντι εν σοί, δόξα τώ προελθόντι εκ σού, δόξα τώ ελευθερώσαντι ημάς διά τού τόκου σου.

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Ήχος α'

Τάς εσπερινάς ημών ευχάς, πρόσδεξαι Άγιε Κύριε, καί παράσχου ημίν άφεσιν αμαρτιών, ότι μόνος εί ο δείξας εν κόσμω τήν ανάστασιν.

- εμέ υπομενούσι δίκαιοι, έως ου ανταποδώς μοι.

Κυκλώσατε Λαοί Σιών, καί περιλάβετε αυτήν, καί δότε δόξαν εν αυτή τώ αναστάντι εκ νεκρών, ότι αυτός εστιν ο Θεός ημών, ο λυτρωσάμενος ημάς εκ τών ανομιών ημών.

- εκ βαθέων εκέκραξά σοι, Κύριε, Κύριε εισάκουσον τής φωνής μου.

Δεύτε Λαοί υμνήσωμεν, καί προσκυνήσωμεν Χριστόν, δοξάζοντες αυτού τήν εκ νεκρών Ανάστασιν, ότι αυτός εστιν ο Θεός ημών, ο εκ τής πλάνης τού εχθρού τόν κόσμον λυτρωσάμενος.

- γενηθήτω τά ώτά σου προσέχοντα εις τήν φωνήν τής δεήσεώς μου.

Ευφράνθητε ουρανοί, σαλπίσατε τά θεμέλια τής γής, βοήσατε τά όρη ευφροσύνην, ιδού γάρ ο Εμμανουήλ τάς αμαρτίας ημών, τώ σταυρώ προσήλωσε, καί ζωήν ο διδούς, θάνατον ενέκρωσε, τόν Αδάμ αναστήσας, ως φιλάνθρωπος.

- εάν ανομίας παρατηρήσης, Κύριε, Κύριε τίς υποστήσεται; ότι παρά σοί ο ιλασμός εστιν.

Τόν σαρκί εκουσίως σταυρωθέντα δι' ημάς, παθόντα καί ταφέντα, καί αναστάντα εκ νεκρών, υμνήσωμεν λέγοντες, Στήριξον ορθοδοξία τήν Εκκλησίαν σου Χριστέ, καί ειρήνευσον τήν ζωήν ημών, ως αγαθός καί φιλάνθρωπος.

- ένεκεν τού ονόματός σου υπέμεινά σε, Κύριε, υπέμεινεν η ψυχή μου εις τόν λόγον σου, ήλπισεν η ψυχή μου επί τόν Κύριον.

Τώ ζωοδόχω σου τάφω, παρεστώτες οι ανάξιοι, δοξολογίαν προσφέρομεν τή αφάτω σου ευσπλαγχνία, Χριστέ ο Θεός ημών, ότι σταυρόν κατεδέξω, καί θάνατον αναμάρτητε, ίνα τώ κόσμω δωρήση τήν Ανάστασιν, ως φιλάνθρωπος.

- από φυλακής πρωίας μέχρι νυκτός, από φυλακής πρωίας, ελπισάτω Ισραηλ επί τόν Κύριον.

Τόν τώ Πατρί συνάναρχον, καί συναΐδιον Λόγον, τόν εκ παρθενικής νηδύος προελθόντα αφράστως καί Σταυρόν καί θάνατον δι' ημάς εκουσίως καταδεξάμενον, καί αναστάντα εν δόξη, υμνήσωμεν λέγοντες, ζωοδότα Κύριε δόξα σοι, ο Σωτήρ τών ψυχών ημών.

- ότι παρά τώ Κυρίω τό έλεος καί πολλή παρ' αυτώ λύτρωσις' καί αυτός λυτρώσεται τόν Ισραηλ εκ πασών τών ανομιών αυτού.
- αινείτε τόν κύριον πάντα τά έθνη επαινέσατε αυτόν πάντες οι λαοί.
- ότι εκραταιώθη τό έλεος αυτού εφ' ημάς, καί η αλήθεια τού κυρίου μένει εις τόν αιώνα.

Θεοτοκίον

Τήν παγκόσμιον δόξαν τήν εξ ανθρώπων σπαρείσαν, καί τόν Δεσπότην τεκούσαν, τήν επουράνιον πύλην, υμνήσωμεν Μαρίαν τήν Παρθένον, τών Ασωμάτων τό άσμα, καί τών πιστών τό εγκαλλώπισμα, αύτη γάρ ανεδείχθη ουρανός, καί ναός τής θεότητος, αύτη τό μεσότοιχον τής έχθρας καθελούσα, ειρήνην αντεισήξε, καί τό βασίλειον ηνέωξε, Ταύτην ούν κατέχοντες, τής πίστεως τήν άγκυραν, υπέρμαχον έχομεν, τόν εξ αυτής τεχθέντα Κύριον. Θαρσείτω τοίνυν, θαρσείτω Λαός τού Θεού, καί γάρ αυτός πολεμήσει τούς εχθρούς ως παντοδύναμος.

Ήχος α'

Τώ πάθει σου Χριστέ, παθών ηλευθερώθημεν, καί τή Αναστάσει σου εκ φθοράς ελυτρώθημεν. Κύριε δόξα σοι.

- ο Κύριος εβασίλευσεν, ευπρέπειαν ενεδύσατο, ενεδύσατο Κύριος δύναμιν καί περιεζώσατο.

Αγαλλιάσθω η κτίσις, ουρανοί ευφραινέσθωσαν, χείρας κροτείτω τά έθνη μετ' ευφροσύνης, Χριστός γάρ ο Σωτήρ ημών, τώ Σταυρώ προσήλωσε τάς αμαρτίας ημών, καί τόν θάνατον νεκρώσας, ζωήν ημίν εδωρήσατο, πεπτωκότα τόν Αδάμ παγγενή αναστήσας, ως Φιλάνθρωπος.

- καί γάρ εστερέωσεν τήν οικουμένην, ήτις ου σαλευθήσεται.

Βασιλεύς υπάρχων ουρανού καί γής, Ακατάληπτε, εκών εσταύρωσαι διά φιλανθρωπίαν, όν ο Άδης συναντήσας κάτωθεν επικράνθη, καί Δικαίων ψυχαί δεξάμεναι, ηγαλλιάσαντο, Αδάμ δέ ιδών σε τόν Κτίστην εν τοίς καταχθονίοις ανέστη.  Ώ τού θαύματος! πώς θανάτου εγεύσατο η τών απάντων ζωή; άλλ' ή ως ηβουλήθη, κόσμον φωτίσαι κραυγάζοντα καί λέγοντα, ο αναστάς εκ τών νεκρών, Κύριε δόξα σοι.

- τώ οίκω σου πρέπει αγίασμα, Κύριε εις μακρότητα ημερών.

Γυναίκες μυροφόροι μύρα φέρουσαι, μετά σπουδής καί οδυρμού τόν τάφον σου κατέλαβον, καί μή ευρούσαι τό άχραντον Σώμά σου, παρά δέ τού Αγγέλου μαθούσαι τό καινόν, καί παράδοξον θαύμα, τοίς Αποστόλοις έλεγον, Ανέστη ο Κύριος, παρέχων τώ κόσμω τό μέγα έλεος.

Θεοτοκίον

Ιδού πεπλήρωται η τού Ησαΐου πρόρρησις, Παρθένος γάρ εγέννησας, καί μετά τόκον, ως πρό τόκου διέμεινας. Θεός γάρ ήν ο τεχθείς, διό καί φύσις εκαινοτόμησεν. Αλλ' ώ Θεομήτορ, ικεσίας σών δούλων, σώ τεμένει προσφερομένας σοι, μή παρίδης, αλλ' ως τόν Εύσπλαγχνον σαίς αγκάλαις φέρουσα, σοίς οικέταις σπλαγχνίσθητι, καί πρέσβευε σωθήναι τάς ψυχάς ημών.

Απολυτίκιον  Ήχος α'

Τού λίθου σφραγισθέντος υπό τών Ιουδαίων, καί στρατιωτών φυλασσόντων τό άχραντόν σου Σώμα, ανέστης τριήμερος Σωτήρ, δωρούμενος τώ κόσμω τήν ζωήν, διά τούτο αι Δυνάμεις των ουρανών εβόων σοι ζωοδότα. Δόξα τή Αναστάσει σου Χριστέ, δόξα τή βασιλεία σου, δόξα τή οικονομία σου, μόνε φιλάνθρωπε.

Θεοτοκίον

Τού Γαβριήλ φθεγξαμένου σοι Παρθένε τό Χαίρε, σύν τή φωνή εσαρκούτο ο τών όλων Δεσπότης, εν σοί τή αγία κιβωτώ, ως έφη ο δίκαιος Δαυϊδ, εδείχθης πλατυτέρα τών ουρανών, βαστάσασα τόν Κτίστην σου. Δόξα τώ ενοικήσαντι εν σοί, δόξα τώ προελθόντι εκ σού, δόξα τώ ελευθερώσαντι ημάς διά τού τόκου σου.

## ΕΝ ΤΩ ΜΕΣΟΝΥΚΤΙΚΩ

## Ήχος α'

### Ωδή α'  Σού η τροπαιούχος

Μίαν τρισυπόστατον αρχήν, τά Σεραφίμ ασιγήτως δοξάζουσιν, άναρχον, αΐδιον, ποιητικήν απάντων, ακατάληπτον, ήν καί πάσα γλώσσα, πιστώς γεραίρει τοίς άσμασιν.

Ίνα τοίς ανθρώποις ενικήν, τήν τριλαμπή σου δηλώσης θεότητα, πλάσας πρίν τόν άνθρωπον, κατά τήν σήν εικόνα διεμόρφωσας, νούν αυτώ, καί λόγον καί πνεύμα δούς, ως φιλάνθρωπος.

Άνωθεν δεικνύς μοναδικόν, θεαρχικαίς εν τρισίν υποστάσεσι, κράτος, Πάτερ έφησας, τώ ισουργώ Υιώ σου, καί τώ Πνεύματι, Δεύτε καταβάντες, αυτών τάς γλώσσας συγχέωμεν.

Θεοτοκίον

Νούς μεν ο αγέννητος Πατήρ, εικονικώς τοίς σοφοίς προηγόρευται, Λόγος δέ συνάναρχος, ο συμφυής Υιός, καί Πνεύμα άγιον, τό εν τή Παρθένω, τού Λόγου κτίσαν τήν σάρκωσιν.

### Ωδή γ'  Ο μόνος ειδώς

Σύ πάλαι σαφώς τώ Αβραάμ, ως ώφθης τρισυπόστατος, μοναδικόστε φύσει θεότητος, θεολογίας τό ακραιφνέστατον, τυπικώς ενέφηνας, Καί πιστώς υμνούμέν σε, τόν μονάρχην Θεόν, καί τρισήλιον.

Εκ σού γεννηθείς θεοπρεπώς, αρρεύστως Πάτερ έλαμψε, φώς εκ φωτός, Υιός απαράλλακτος, καί Πνεύμα θείον, φώς εκπεπόρευται, καί μιάς θεότητος, αίγλην τρισυπόστατον, προσκυνούμεν πιστώς καί δοξάζομεν.

Μονάς η Τριάς υπερφυώς, αρρήτως υπέρ έννοιαν, ταίς νοεραίς ουσίαις δοξάζεται, ταίς τρισαγίαις φωναίς, ασίγητον, εκβοώσαις αίνεσιν, αίς συμφώνως υμνείται, καί ημίν τρισυπόστατος Κύριος.

Θεοτοκίον

Εκ σού χρονικώς άνευ σποράς, προήλθεν ο υπέρχρονος, ομοιωθείς ημίν ο ανείδεος, καί μίαν φύσιν καί κυριότητα, τού Πατρός εδίδαξε, καί Υιού, καί Πνεύματος, Θεοτόκε, διό σε δοξάζομεν.

### Καθίσματα  Ήχος α'

Τόν τάφον σου Σωτήρ

Πατέρα καί Υιόν, προσκυνήσωμεν πάντες, καί Πνεύμα τό ευθές, καί ισότιμον δόξη, Τριάδα τήν άκτιστον, καί υπέρθεον δύναμιν, ήν δοξάζουσι, τών ασωμάτων αι τάξεις, ταύτην σήμερον, καί γηγενείς μετά φόβου, πιστώς ευφημήσωμεν.

Δόξα... Καί νύν... Θεοτοκίον

Οδήγησον ημάς, εν οδώ μετανοίας, εκκλίνοντας αεί, πρός κακών ανοδίας, καί τόν υπεράγαθον, παροργίζοντας Κύριον απειρόγαμε, ευλογημένη Μαρία, καταφύγιον, απεγνωσμένων ανθρώπων Θεού ενδιαίτημα.

### Ωδή δ'  Όρος σε τή χάριτι

Λάμψον μοι θεαρχία τρισήλιε λάμψεσι, σών θεουργών μαρμαρυγών, τοίς τής καρδίας οφθαλμοίς, τό κάλλος φαντάζεσθαι, τής υπέρ νούν θεαρχικής σου λαμπρότητος, καί φωτουργού, καί γλυκείας μεθέξεως.

Πρότερον ουρανούς εστερέωσας Κύριε, καί πάσαν δύναμιν αυτών, τώ Λόγω σου τώ παντουργώ, καί Πνεύματι στόματος τώ συμφυεί, μεθ' ών δεσπόζεις τού σύμπαντος, εν τριλαμπεί μοναρχία θεότητος.

Ως έπλασας κατ' εικόνα με σήν καί Ομοίωσιν, θεαρχική παντουργική, Τριάς ασύγχυτε μονάς, συνέτισον, φώτισον, πρός τό ποιείν τό θέλημά σου τό άγιον, τό αγαθόν εν ισχύϊ καί τέλειον.

Θεοτοκίον

Τέτοκας τής Τριάδος τόν ένα Πανάχραντε, θεαρχικώτατον Υιόν, σωματωθέντα δι' ημάς, εκ σού, καί αυγάζοντα τούς γηγενείς, τής τρισηλίου θεότητος, τώ ανεσπέρω φωτί, καί ταίς λάμψεσιν.

### Ωδή ε'  Ο φωτίσας τή ελλάμψει

Η τόν πρώτον τών Αγγέλων αμέσως διάκοσμον, απροσίτοις τού σού κάλλους ακτίσιν

ελλάμπουσα, ταίς σαίς αίγλαις φώτισον, Τριάς η μοναρχικωτάτη, τούς ορθοδόξως σε μέλποντας.

Νύν η φύσις, ενική θεαρχία τρισήλιε, ανυμνεί σε, ήν ουσίωσας δι' αγαθότητα, τών πταισμάτων λύτρωσιν, καί πειρασμών εξαιτουμένη; καί τών δεινών καί τών θλίψεων.

Τόν Πατέρα καί Υιόν, καί τό Πνεύμα τό άγιον, μίαν φύσιν καί θεότητα, πίστει δοξάζομεν, μεριστήν αμέριστον, ενα Θεόν τής αοράτου, καί Ορωμένης τε κτίσεως.

Θεοτοκίον

Ρήσεις πάσαι Προφητών, προδιέγραψαν Άχραντε τόν σόν τόκον, τόν απόρρητον καί ανερμήνευτον, όν ημείς εγνώκαμεν, μυσταγωγόν τής ενιαίας καί τρισηλίου θεότητος.

Ωδή ς' Εκύκλωσεν ημάς

Ισόρροπον τήν δύναμιν ως έχουσα, Τριάς ή υπερούσιος, εν ταυτότητι βουλήσεως μονάς πέφυκας, απλή καί αδιαίρετος, Σύ ούν ημάς, εν τή δυνάμει σου περιφρούρησον. (Δίς)

Σύ πάντας τούς αιώνας τή βουλήσει σου ως αγαθή υπέστησας, εξ ουκ όντων, ακατάληπτε Τριάς, είτα καί τόν άνθρωπον διέπλασας, Αλλά καί νύν, εκ πάσης ρύσαί με περιστάσεως.

Θεοτοκίον

Ηλίου τού αδύτου οίκος γέγονας, τού κτίσαντος καί τάξαντος, τούς φωστήρας τούς μεγάλους πανσθενώς, άρχαντε Παρθένε Θεονύμφευτε, Αλλά καί νύν τής τών παθών με ρύσαι ζοφώσεως.

Καθίσματα Ήχος α'

Τόν τάφον σου Σωτήρ

Τριάδα τήν σεπτήν, καί αμέριστον φύσιν, Προσώποις εν τρισί, τεμνομένην ατμήτως, καί μένουσαν αμέριστον, κατ' ουσίαν θεότητος, προσκυνήσωμεν, οι γηγενείς μετά φόβου, καί δοξάσωμεν, ως ποιητήν καί Δεσπότην, Θεόν υπεράγαθον.

Δόξα... Καί νύν... Θεοτοκίον

Κυβέρνησον Αγνή, τήν αθλίαν ψυχήν μου, καί οίκτειρον αυτήν, υπό πλήθους πταισμάτων, βυθώ ολισθαίνουσαν, απωλείας πανάμωμε, καί εν ώρα με, τή φοβερά τού θανάτου, σύ εξάρπασον, κατηγορούντων Δαιμόνων, καί πάσης κολάσεως.

Ωδή ζ' Σέ νοητήν Θεοτόκε

Λόγε Θεού, συμφυές απαύγασμα, τού παντοκράτορος Θεού, ως υπέσχου τήν παρά σού θεουργόν ενοίκησιν, ποίησον ως εύσπλαγχνος, σύν τώ Πατρί σου καί τώ Πνεύματι, καί φοβερόν, τοίς Δαίμοσί με δείξον καί πάθεσιν. (Δίς)

Ίνα τής σής, ευσπλαγχνίας Δέσποτα, δείξης τό πέλαγος ημίν, τόν Υιόν σου πρός τήν ημών, πέμψας ταπεινότητα αύθις ανεμόρφωσας πρός τήν αρχαίαν λαμπρότητα, Αλλά καί νύν, τώ θείω με συνέτισον Πνεύματι.

Θεοτοκίον

Ο Χερουβίμ θρόνω εποχούμενος καί τών απάντων Βασιλεύς, εν γαστρί σου παρθενική, ώκησε Πανάχραντε πάντας εκλυτρούμενος εκ τής φθοράς, ως φιλάνθρωπος, Αλλά καί νύν ταίς σαίς πρεσβείαις με περιφρούρησον.

Ωδή η' Θαύματος υπερφυούς

Νεύματι θεουργικώ Κύριε πάντων, τρισυπόστατε καί παντοκράτορ, ουρανούς εξέτει νας ωσεί δέρριν είτα καί γής, απηώρησας τό βάθος, πανσθενεί σου δρακί, Διό καί τούς δούλους σου κραταίωσον, τή αγάπη καί πίστει τή σή φιλάνθρωπε, ίνα σε δοξάζωμεν πόθω εις αιώνας. (Δίς)

Φώτισον θεαρχικόν φώς τούς υμνούντας, τό τρισήλιον φώς τοίς προσώποις, ενιαίον αύθις δέ τή ουσία και πρός τάς σάς, φωτοδότιδας ακτίνας επιβλέπειν αεί, δι' ών χορτασθήσομαι τήν δόξαν σου τήν γλυκείαν, καί φωτουργόν καί πανόλβιον, καί υπερυψώ σε πιστώς εις τούς αιώνας.

Θεοτοκίον

Ύψωσεν εις ουρανούς τήν τών ανθρώπων, προσλαβόμενος φύσιν ατρέπτως, ο Υιός σου πάναγνε Θεοτόκε, υπερβολή αγαθότητος, ρυσάμενος τής πάλαι φθοράς, ώ καί ευχαρίστως αναμέλπωμεν, Ευλογείτω η κτίσις πάσα τόν Κύριον, καί υπερυψούτω εις πάντας τούς αιώνας.

### Ωδή θ'  Τύπον τής αγνής

Σώσον ο Σωτήρ τής κτίσεως, τής αισθητής καί νοουμένης τούς δούλους σου, τής τών δυσμενών επιβουλής καί κακώσεως, παναγία Τριάς ομοούσιε, καί φρούρει τήν σήν ποίμνην, διά παντός ανεπιβούλευτον. (Δίς)

Ίνα τόν βυθόν τόν άπειρον, τής ουσιώδους δείξης σου αγαθότητος δέδωκας ημίν επαγγελίας τρισήλιε, καί μονάρχα Θεέ παντοδύναμε, σωστικάς τοίς σοίς δούλοις, άς εκπληρώσαι καταξίωσον.

Θεοτοκίον

Νεύσον ταίς ημών δεήσεσιν ο εν τρισί θεαρχικαίς υποστάσεσι μόνος εις Θεός αληθινός πιστευόμενος, καί παράσχου σοίς δούλοις παράκλησιν πρεσβείαις τής αχράντου, καί πανυμνήτου Θεομήτορος.

### Η Υπακοή  Ήχος α'

Η τού Ληστού μετάνοια, τόν παράδεισον εσύλησεν, ο δέ θρήνος τών Μυροφόρων τήν χαράν εμήνυσεν, ότι ανέστης Χριστέ ο Θεός, παρέχων τώ κόσμω τό μέγα έλεος.

## ΕΝ ΤΩ ΟΡΘΡΩ

### Απολυτίκιον  Ήχος α'

Τού λίθου σφραγισθέντος υπό τών Ιουδαίων, καί στρατιωτών φυλασσόντων τό άχραντόν σου Σώμα, ανέστης τριήμερος Σωτήρ, δωρούμενος τώ κόσμω τήν ζωήν, διά τούτο αι Δυνάμεις των ουρανών εβόων σοι ζωοδότα. Δόξα τή Αναστάσει σου Χριστέ, δόξα τή βασιλεία σου, δόξα τή οικονομία σου, μόνε φιλάνθρωπε.

Θεοτοκίον

Τού Γαβριήλ φθεγξαμένου σοι Παρθένε τό Χαίρε, σύν τή φωνή εσαρκούτο ο τών όλων Δεσπότης, εν σοί τή αγία κιβωτώ, ως έφη ο δίκαιος Δαυϊδ, εδείχθης πλατυτέρα τών ουρανών, βαστάσασα τόν Κτίστην σου. Δόξα τώ ενοικήσαντι εν σοί, δόξα τώ προελθόντι εκ σού, δόξα τώ ελευθερώσαντι ημάς διά τού τόκου σου.

### Καθίσματα  Ήχος α'

Τόν τάφον σου Σωτήρ, στρατιώται τηρούντες, νεκροί τή αστραπή, τού οφθέντος Αγγέλου, εγένοντο κηρύττοντος, Γυναιξί τήν Ανάστασιν, σέ δοξάζομεν, τόν τής φθοράς καθαιρέτην, σοί προσπίπτομεν, τώ αναστάντι εκ τάφου, καί μόνω Θεώ ημών.

Δόξα...

Σταυρώ προσηλωθείς, εκουσίως Οικτίρμον, εν μνήματι τεθείς, ως θνητός Ζωοδότα, τό κράτος συνέτριψας, Δυνατέ τώ θανάτω σου, σέ γάρ έφριξαν, οι πυλωροί οι τού Άδου, σύ συνήγειρας, τούς απ' αιώνος θανέντας, ως μόνος φιλάνθρωπος.

Καί νύν... Θεοτοκίον

Μητέρα σε Θεού, επιστάμεθα πάντες, Παρθένον αληθώς, καί μετά τόκον φανείσαν, οι πόθω καταφεύγοντες, πρός τήν σήν αγαθότητα σέ γάρ έχομεν, αμαρτωλοί προστασίαν, σέ κεκτήμεθα, εν πειρασμοίς σωτηρίαν τήν μόνην Πανάμωμον.

### Τού λίθου σφραγισθέντος

Γυναίκες πρός τό μνήμα παρεγένοντο όρθριαι, καί αγγελικήν οπτασίαν θεασάμεναι έτρεμον, ο τάφος εξήστραπτε ζωήν, τό θαύμα κατέπληττεν αυτάς, διά τούτο απελθούσαι, τοίς μαθηταίς εκήρυττον τήν Έγερσιν. Τόν Άδην εσκύλευσε Χριστός, ως μόνος κραταιός καί δυνατός, καί φθαρέντας συνήγειρε πάντας, τόν τής κατακρίσεως φόβον, λύσας δυνάμει Σταυρού.

Δόξα...

Εν τώ σταυρώ προσηλωθείς η Ζωή τών απάντων, καί εν νεκροίς λογισθείς ο αθάνατος Κύριος, ανέστης τριήμερος Σωτήρ, καί ήγειρας Αδάμ εκ τής φθοράς, διά τούτο αί Δυνάμεις τών ουρανών εβόων σοι ζωοδότα. Δόξα τοίς σοίς παθήμασι Χριστέ, δόξα τή Αναστάσει σου, δόξα τή συγκαταβάσει σου, μόνε φιλάνθρωπε.

Καί νύν...Θεοτοκίον

Τόν τάφον σου Σωτήρ

Μαρία τό σεπτόν, τού Δεσπότου δοχείον, ανάστησον ημάς, πεπτωκότας εις χάος, δεινής απογνώσεως, καί πταισμάτων καί θλίψεων, σύ γάρ πέφυκας, αμαρτωλών σωτηρία, καί βοήθεια, καί κραταιά προστασία, καί σώζεις τούς δούλους σου.

Η Υπακοή Ήχος α'

Η τού Ληστού μετάνοια, τόν παράδεισον εσύλησεν, ο δέ θρήνος τών Μυροφόρων τήν χαράν εμήνυσεν, ότι ανέστης Χριστέ ο Θεός, παρέχων τώ κόσμω τό μέγα έλεος.

Οι Αναβαθμοί

Αντίφωνον Α'

- Εν τώ θλίβεσθαί με, εισάκουσόν μου τών οδυνών, Κύριε σοί κράζω.
- Τοίς ερημικοίς, άπαυστος ο θείος πόθος εγγίνεται, κόσμου ούσι τού ματαίου εκτός.

Δόξα... καί νύν...

Αγίω Πνεύματι, τιμή καί δόξα, ώσπερ Πατρί, πρέπει άμα καί Υιώ, διά τούτο άσωμεν τή Τριάδι Μονοκρατορία.

Αντίφωνον Β'

- Εις τά όρη τών σών, ύψωσάς με νόμων, αρεταίς εκλάμπρυνον, ο Θεός, ίνα υμνώ σε.
- Δεξιά σου χειρί λαβών σύ Λόγε, φύλαξόν με, φρούρησον, μή πύρ με φλέξη τής αμαρτίας.

Δόξα... καί νύν ...

Αγίω Πνεύματι, πάσα η κτίσις καινουργείται, παλινδρομούσα εις τό πρώτον, Ισοσθενές γάρ εστι Πατρί καί Λόγω.

Αντίφωνον Γ'

- Επί τοίς ειρηκόσι μοι οδεύσωμεν είς τάς αυλάς τού Κυρίου, ευφράνθη μου τό Πνεύμα, συγχαίρει η καρδία.
- Επί οίκον Δαυϊδ, φόβος μέγας, εκεί γάρ θρόνων εκτεθέντων, κριθήσονται άπασαι, αι φυλαί τής γής καί γλώσσαι.

Δόξα... καί νύν...

Αγίω Πνεύματι, τιμήν προσκύνησιν, δόξαν καί κράτος, ως Πατρί τε άξιον, καί τώ Υιώ δεί προσφέρειν. Μονάς γάρ εστιν η Τρίας τη φύσει, αλλ' ου προσώποις.

Προκείμενον

Νύν αναστήσομαι λέγει Κύριος, θήσομαι εν σωτηρίω παρρησιάσομαι εν αυτώ.
Στίχ. Τά λόγια Κυρίου λόγια αγνά.

Κανών Αναστάσιμος

Ωδή α' Ήχος α' Ο Ειρμός

Σού η τροπαιούχος δεξιά, θεοπρεπώς εν ισχύϊ δεδόξασται, αύτη γάρ, Αθάνατε ως πανσθενής υπεναντίους έθραυσε, τοίς Ισραηλίταις, οδόν βυθού καινουργήσασα.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Ο χερσίν αχράντοις εκ χοός, θεουργικώς κατ αρχάς διαπλάσας με, χείρας διεπέτασας εν τώ Σταυρώ, εκ γής ανακαλούμενος, τό φθαρέν μου σώμα, ο εκ Παρθένου προσείληφας.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Νέκρωσιν υπέστη δι' εμέ, καί τήν ψυχήν τώ θανάτω προδίδωσιν, ο εμπνεύσει θεία ψυχήν μοι ενθείς, καί λύσας αιωνίων δεσμών, καί συναναστήσας, τή αφθαρσία εδόξασε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε Σώσον ημάς.

Χαίρε η τής χάριτος πηγή, χαίρε η κλίμαξ καί πύλη ουράνιος, χαίρε η λυχνία καί στάμνος χρυσή, καί όρος αλατόμητον, η τόν τώ κόσμω ζωοδότην Χριστόν, κυήσασα.

Κανών Σταυροαναστάσιμος

Ο Ειρμός

Χριστός γεννάται, δοξάσατε, Χριστός εξ ουρανών, απαντήσατε, Χριστός επί γής, υψώθητε, Άσατε τώ Κυρίω πάσα η γή, καί εν ευφροσύνη, ανυμνήσατε λαοί, ότι δεδόξασται.

Στίχ. Δόξα σοι ο Θεός ημών δόξα σοι.

Χριστός θεοί με σαρκούμενος, Χριστός με ανυψοί ταπεινούμενος, Χριστός απαθή εργάζεται, πάσχων ο ζωοδότης φύσει σαρκός, όθεν αναμέλπω, χαριστήριον ωδήν, ότι δεδόξασται.

Στίχ. Δόξα σοι ο Θεός ημών δόξα σοι.

Χριστός υψοί με σταυρούμενος, Χριστός συνανιστά με νεκρούμενος, Χριστός μοι ζωήν χαρίζεται, όθεν άδω εν ευφροσύνη χείρας κροτών, τώ Σωτήρι, επινίκιον ωδήν, ότι δεδόξασται.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Θεόν Παρθένε συνέλαβες, Χριστόν εν παρθενία δέ τέτοκας, εκ σού σαρκωθέντα Πάναγνε, ένα τή υποστάσει μονογενή, εν δυσίν ουσίαις, γνωριζόμενον Υιόν, ότι δεδόξασται.

### Κανών τής Υπεραγίας Θεοτόκου

### Ο Ειρμός

Σού η τροπαιούχος δεξιά, θεοπρεπώς εν ισχΰϊ δεδόξασται, αύτη γάρ, Αθάνατε, ως πανσθενής υπεναντίους έθραυσε, τοίς Ισραηλίταις, οδόν βυθού καινουργήσασα.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ποίαν σοι επάξιον ωδήν, η ημετέρα προσοίσει ασθένεια; εθμή τήν χαρμόσυνον, ήν Γαβριήλ ημάς εμυσταγώγησε. Χαίρε Θεοτόκε, Παρθένε Μήτηρ ανύμφευτε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τή Αειπαρθένω καί Μητρί, τού Βασιλέως τών άνω Δυνάμεων, εκ καθαρωτάτης καρδίας πιστοί, πνευματικώς βοήσωμεν, χαίρε Θεοτόκε, παρθένε Μήτηρ ανύμφευτε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Άπειρος η άβυσσος τής σής, ακαταλήπτου κυήσεως Πάναγνε, πίστει αδιστάκτω ούν, εθλικρινώς προσφέρομέν σοι λέγοντες, χαίρε Θεοτόκε παρθένε, Μήτηρ ανύμφευτε.

### Ωδή γ'  Ο Ειρμός

Ο μόνος ειδώς τής τών βροτών, ουσίας τήν ασθένειαν, καί συμπαθώς αυτήν μορφωσάμενος, περίζωσόν με εξ ύψους δύναμιν, τού βοάν σοι, Άγιος, ο ναός ο έμψυχος, τής αχράντου σου δόξης φιλάνθρωπε.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου Κύριε.

Θεός μου υπάρχων Αγαθέ, πεσόντα κατωκτείρησας, καί καταβήναι πρός με ηυδόκησας, ανύψωσάς με διά σταυρώσεως, τού βοάν σοι, Άγιος, ο τής δόξης Κύριος, ο ανείκαστος εν αγαθότητι.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου Κύριε.

Ζωή ενυπόστατος Χριστέ, υπάρχων καί φθαρέντα με, ως συμπαθής Θεός ενδυσάμενος, εις χούν θανάτου καταβάς Δέσποτα, τό θνητόν διέρρηξας, καί νεκρούς τριήμερος, αναστάς αφθαρσίαν ημφίεσας.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε σώσον ημάς.

Θεόν συλλαβούσα εν γαστρί, Παρθένε διά Πνεύματος, τού Παναγίου έμεινας άφλεκτος, επεί σέ βάτος τώ νομοθέτη Μωσή, φλεγομένη άκαυστα, σαφώς προεμήνυσε, τήν τό πύρ δεξαμένην τό άστεκτον.

Κανών Σταυροαναστάσιμος
Ο Ειρμός

Τώ πρό τών αιώνων, εκ Πατρός γεννηθέντι αρρεύστως Υιώ, καί επ' εσχάτων εκ Παρθένου, σαρκωθέντι ασπόρως, Χριστώ τώ Θεώ βοήσωμεν, Ο ανυψώσας τό κέρας ημών, Άγιος εί Κύριε.

Στίχ. Δόξα σοι ο Θεός ημών δόξα σοι.

Τώ επί τών ώμων, τό πλανώμενον πρόβατον άραντι, καί καθελόντι διά ξύλου, τήν αυτού αμαρτίαν, Χριστώ τώ Θεώ βοήσωμεν, ο ανυψώσας τό κέρας ημών, Άγιος εί Κύριε.

Στίχ. Δόξα σοι ο Θεός ημών δόξα σοι.

Τώ αναγαγόντι, τόν ποιμένα τόν μέγαν εξ άδου Χριστόν, καί τή αυτού ιεραρχία, διά τών Αποστόλων, σοφώς τά έθνη ποιμάναντι, εν αληθεία, τώ θείω πιστοί, Πνεύματι λατρεύσωμεν.

Θεοτοκίον

Στίχ. Ύπεραγία Θεοτόκε σώσον ημάς.

Τώ εκ τής Παρθένου, σαρκωθέντι ασπόρως βουλήσει Υιώ, καί τήν τεκούσαν μετά τόκον, θεϊκή δυναστεία, αγνήν παρθένον φυλάξαντι, τώ επί πάντων βοώμεν Θεώ, Άγιος εί Κύριε.

Κανών τής Θεοτόκου
Ο Ειρμός

Ο μόνος ειδώς τής τών βροτών, ουσίας τήν ασθένειαν, καί συμπαθώς αυτήν μορφωσάμενος, περίζωσόν με εξ ύψους δύναμιν, τού βοάν σοι, Άγιος, ο ναός ο έμψυχος, τής αχράντου σου δόξης φιλάνθρωπε.

Στίχ. Υπεραγία Θεοτόκε σώσον ημάς.

Νεφέλην σε κούφην αψευδώς, Παρθένε, ονομάζομεν, προφητικαίς επόμενοι ρήσεσιν, ελήλυθε γάρ επί σοί Κύριος, καθελείν Αιγύπτια, πλάνης χειροποίητα, καί φωτίσαι τούς ταύτα λατρεύοντας.

Στίχ. Υπεραγία Θεοτόκε σώσον ημάς.

Σέ εσφραγισμένην αληθώς, χορός Προφητικός, πηγήν, καί κεκλεισμένην πύλην ωνόμασε, τής παρθενίας τής σής Πανύμνητε, τηλαυγώς τά σύμβολα, ημίν διαγράφοντα, ήν εφύλαξας καί μετά γέννησιν.

Στίχ. Υπεραγία Θεοτόκε σώσον ημάς.

Νούν τόν υπερούσιον ιδείν, ως θέμις αξιούμενος, ο Γαβριήλ Παρθένε πανάμωμε, περιχαρή σοι φωνήν εκόμισε, τήν τού Λόγου σύλληψιν, εμφανώς μηνύουσαν, καί τόν άφραστον τόκον ηρύττουσαν.

Ωδή δ' Ο Ειρμός

Όρος σε τή χάριτι, τή θεία κατάσκιον, προβλεπτικοίς ο Αββακούμ, κατανοήσας οφθαλμοίς, εκ σού εξελεύσεσθαι, τού Ισραήλ προανεφώνει τόν άγιον, εις σωτηρίαν ημών καί ανάπλασιν.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου Κύριε.

Τίς ούτος, Σωτή ρ, ο εξ Εδώμ αφικόμενος, στεφηφορών εξ ακανθών, πεφοινιγμένος τήν στολήν, εν ξύλω κρεμάμενος; Τού Ισραήλ υπάρχει ούτος ο Άγιος, εις σωτηρίαν ημών καί ανάπλασιν.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου Κύριε.

Ίδετε λαός τών απειθών, καί αισχύνθητε, όν ως κακούργον γάρ υμείς, αναρτηθήναι εν σταυρώ, Πιλάτω ητήσασθε φρενοβλαβώς, θανάτου λύσας τήν δύναμιν, θεοπρεπώς εξανέστη τού μνήματος.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε σώσον ημάς.

Ξύλον σε Παρθένε τής ζωής επιστάμεθα, ου γάρ τής βρώσεως καρπός, θανατηφόρος τοίς βροτοίς, εκ σού ανεβλάστησεν, αλλά ζωής τής αϊδίου απόλαυσις, εις σωτηρίαν ημών τών υμνούντων σε.

Κανών Σταυροαναστάσιμος

Ο Ειρμός

Ράβδος εκ τής ρίζης Ιεσσαί, καί άνθος εξ αυτής Χριστέ, εκ τής Παρθένου ανεβλάστησας, εξ όρους ο αινετός, κατασκίου δασέος, ήλθες σαρκωθείς εξ απειράνδρου, ο άυλος καί Θεός, Δόξα τή δυνάμει σου, Κύριε.

Στίχ. Δόξα σοι ο Θεός ημών, δόξα σοι.

Τίς ούτος ωραίος εξ Εδώμ, καί τούτου τό ερύθημα, τών ιματίων εξ αμπέλου Βοσόρ; Ωραίος, ότι ο Θεός, ως βροτός δέ αίματι, σαρκός, τήν στολήν πεφοινιγμένος. Ώ μελωδούμεν πιστοί. Δόξα τή δυνάμει σου Κύριε.

Στίχ. Δόξα σοι ο Θεός ημών δόξα σοι.

Χριστός τών μελλόντων αγαθών, φανείς αρχιερεύς ημών, τήν αμαρτίαν διεσκέδασε, καί δείξας ξένην οδόν, τώ ιδίω αίματι, εις κρείττονα καί τελειοτέραν, εισέδραμε δέ σκηνήν, πρόδρομος ημών εις τά Άγια.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε σώσον ημάς.

Τής Εύας τήν πάλαι οφειλήν, απέτισας Πανύμνητε, τώ δι' ημάς φανέντι νέω Αδάμ, ενώσας γάρ εαυτώ, εξ αγνής συλλήψεως, σάρκα νοεράν εμψυχωμένην, εκ σού προήλθε Χριστός, εις τό συναμφότερον Κύριος.

Κανών τής Θεοτόκου

Ο Ειρμός

Όρος σε τή χάριτι, τή θεία κατάσκιον, προβλεπτικοίς ο Αββακούμ, κατανοήσας οφθαλμοίς, εκ σού εξελεύσεσθαι, τού Ισραήλ προανεφώνει τόν άγιον, εις σωτηρίαν ημών καί ανάπλασιν.

Στίχ. Υπεραγία Θεοτόκε σώσον ημάς.

Άκουε θαυμάτων ουρανέ, ενωτίζου δέ η γή, ότι θυγάτηρ χοϊκού, τού πεπτωκότος μέν Αδάμ, Θεού εχρημάτισε, τού εαυτής Δημιουργού τε λοχ εύτρια, εις σωτηρίαν ημών καί ανάπλασιν.

Στίχ. Υπεραγία Θεοτόκε σώσον ημάς.

Υμνούμεν τό μέγα καί φρικτόν σου μυστή ριον, υπερκοσμίους γάρ λαθών, Ταξιαρχίας επί σέ, ο Ών καταβέβηκεν, ως υετός, ο επί πόκον, Πανύμνητε, εις σωτηρίαν ημών καί ανάπλασιν.

Στίχ. Υπεραγία Θεοτόκε σώσον ημάς.

Αγίων αγία Θεοτόκε Πανύμνητε, η προσδοκία τών εθνών, καί σωτηρία τών πιστών, εκ σού ανατέταλκεν, ο λυτρωτής καί ζωοδότης καί Κύριος, όν εκδυσώπει σωθήναι τούς δούλους σου.

### Ωδή ε'  Ο Ειρμός

Ο φωτίσας τή ελλάμψει, τής σής παρουσίας Χριστέ, καί φαιδρύνας τώ Σταυρώ σου, τού κόσμου τά πέρατα, τας καρδίας φώτισον, φωτί τής σής θεογνωσίας, τών ορθοδόξως υμνούντων σε.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου Κύριε.

Τόν ποιμένα τών προβάτων, τόν μέγαν καί Κύριον, Ιουδαίοι διά ξύλου σταυρού εθανάτωσαν, αλλ' αυτός ως πρόβατα νεκρούς, εν άδη τεθαμμένους, κράτους θανάτου ερρύσατο.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου Κύριε.

Τώ Σταυρώ σου τήν ειρήνην, ευαγγελισάμενος, καί κηρύξας αιχμαλώτοις Σωτήρ μου τήν άφεσιν, τόν κρατούντα ήσχυνας, Χριστέ, γυμνόν ηπορημένον, δείξας τή θεία εγέρσει σου.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε σώσον ημάς.

Τάς αιτήσεις τών πιστώς αιτουμένων, Πανύμνητε, μή παρίδης, αλλά δέχου, καί ταύτας προσάγαγε, τώ Υιώ σου Άχραντε Θεώ, τώ μόνω ευεργέτη, σέ γάρ προστάτιν κεκτήμεθα.

### Κανών Σταυροαναστάσιμος

Ο Ειρμός

Θεός ών ειρήνης, Πατήρ οικτιρμών, τής μεγάλης Βουλής σου τόν Άγγελον, ειρήνην παρεχόμενον, απέστειλας ημίν, όθεν θεογνωσίας, πρός φώς οδηγηθέντες, εκ νυκτός ορθρίζοντες, δοξολογούμέν σε, Φιλάνθρωπε.

Στίχ. Δόξα σοι ο Θεός ημών δόξα σοι.

Ώ πλούτος καί βάθος, σοφίας Θεού! τούς σοφούς ο δρασσόμενος Κύριος, τής τούτων πανουργίας ελυτρώσατο ημάς, παθών γάρ εκουσίως, σαρκός εξ ασθενείας, εξ ιδίας ισχύος, ζωοποιός νεκρός εγήγερται.

Στίχ. Δόξα σοι ο Θεός ημών δόξα σοι.

Θεός ών ενούται, σαρκί δι' ημάς, καί σταυρούται καί θνήσκει καί θάπτεται, καί αύθις εξανίσταται, καί άνεισι φαιδρώς, σαρκί σύν τή ιδία, Χριστός πρός τόν Πατέρα, μεθ' ής ήξει καί σώσει, τούς ευσεβώς αυτώ λατρεύοντας.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε σώσον ημάς.

Αγίων αγία, Παρθένε αγνή, τών Άγίων τόν Άγιον τέτοκας, τόν πάντας αγιάζοντα, Χριστόν τόν λυτρωτήν, διό σέ Βασιλίδα καί Δέσποιναν απάντων, ως Μητέρα τού Κτίστου, τών ποιημάτων καταγγέλλομεν.

### Κανών τής Θεοτόκου

Ο Ειρμός

Ο φωτίσας τή ελλάμψει, τής σής παρουσίας Χριστέ, καί φαιδρύνας τώ Σταυρώ σου, τού κόσμου τά πέρατα, τας καρδίας φώτισον, φωτί τής σής θεογνωσίας, τών ορθοδόξως υμνούντων σε.

Στίχ. Υπεραγία Θεοτόκε σώσον ημάς.

Ευφραίνονται, ουρανών αι Δυνάμεις, ορώσαί σε, αγάλλονται σύν αυταίς, τών βροτών τά συστήματα, τώ γάρ τόκω ήνωνται τώ σώ, Παρθένε Θεοτόκε, όν επαξίως δοξάζομεν.

Στίχ. Υπεραγία Θεοτόκε σώσον ημάς.

Κνείσθωσαν, πάσαι γλώσσαι βρότειαι καί έννοιαι, πρός έπαινον τού βροτών, αληθώς καλλωπίσματος, η Παρθένος παρέστη σαφώς, δοξάζουσα τούς πίστει, ταύτης υμνούντας τά θαύματα.

Στίχ. Υπεραγία Θεοτόκε σώσον ημάς.

Δοξάζεται, ύμνος άπας σοφών καί εγκώμιον, τή Παρθένω καί Μητρί, τού Θεού προσφερόμενος, τής γάρ δόξης γέγονεν, αύτη ναός τής υπερθέου, ήν επαξίως δοξάζομεν.

Ωδή ς' Ο Ειρμός

Εκύκλωσεν ημάς εσχάτη άβυσσος, ουκ έστιν ο ρυόμενος, ελογίσθημεν ως πρόβατα σφαγής, σώσον τόν λαόν σου ο Θεός ημών, σύ γάρ ισχύς τών ασθενούντων, καί επανόρθωσις.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου Κύριε.

Τώ πταίσματι τού πρωτοπλάστου Κύριε, δεινώς ετραυματισθημεν, τώ δέ μώλωπι ιάθημεν τώ σώ, ώ υπέρ ημών ετραυματίσθης Χριστέ, σύ γάρ ισχύς τών ασθενούντων, καί επανόρθωσις.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου Κύριε.

Ανήγαγες ημάς εξ άδου Κύριε, τό κήτος χειρωσάμενος, τό παμφάγον Παντοδύναμε, τώ σώ κράτει καθελών αυτού τήν δύναμιν, σύ γάρ ζωή καί φώς υπάρχεις, καί η ανάστασις.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε σώσον ημάς.

Ευφραίνονται εν σοί, Παρθένε άχραντε, τού γένους οι Προπάτορες, Τήν Εδέμ απολαβόντες διά σού, ήν εκ παραβάσεως απώλεσαν, σύ γάρ αγνή, καί πρό τού τόκου καί μετά γέννησιν.

Κανών Σταυροαναστάσιμος

Ο Ειρμός

Σπλάγχνων Ιωνάν, έμβρυον απήμεσεν, ενάλιος θήρ, οίον εδέξατο, τή Παρθένω δέ, ενοικήσας ο Λόγος καί σάρκα λαβών, διελήλυθε φυλάξας αδιάφθορον, ής γάρ, ουχ υπέστη ρεύσεως, τήν τεκούσαν, κατέσχεν απήμαντον.

Στίχ. Δόξα σοι ο Θεός ημών δόξα σοι.

Νούς ών απαθής, καί άϋλος μίγνυται, Χριστός ο Θεός, τώ ανθρωπίνω νοϊ, μεσιτεύοντι, θεία φύσει σαρκός τε παχύτητι, καί όλω μοι, ατρέπτως όλος ήνωται, ίνα σωτηρίαν όλω μοι, τώ πεσόντι ορέξη σταυρούμενος.

Στίχ. Δόξα σοι ο Θεός ημών δόξα σοι.

Πίπτει πτερνισθείς, Αδάμ καί συντρίβεται, ελπίδι ψευσθείς πάλαι θεώσεως, αλλ' ανίσταται, τή ενώσει τού Λόγου θεούμενος, καί πάθει τήν απάθειαν κομίζεται, θρόνω ως Υιός δοξάζεται, συνεδρεύων Πατρί τε, καί Πνεύματι.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε σώσον ημάς.

Κόλπων ουκ εκστάς, ανάρχου Γεννήτορος, εν κόλποις αγνής Κόρης αυλίζεται, καί καθίσταται, ο αμήτωρ απάτωρ σαρκούμενος, ο τής δικαιοσύνης βασιλεύων Θεός, τούτου αγενεαλόγητος, η φρικτή γενεά καί απόρρητος.

Κανών τής Θεοτόκου

Ο Ειρμός

Εκύκλωσεν ημάς εσχάτη άβυσσος, ουκ έστιν ο ρυόμενος, ελογίσθημεν ως πρόβατα σφαγής, σώσον τόν λαόν σου ο Θεός ημών, σύ γάρ ισχύς τών ασθενούντων, καί επανόρθωσις.

Στίχ. Υπεραγία Θεοτόκε σώσον ημάς.

Παρίστανται δουλοπρεπώς τώ τόκω σου, αι Τάξεις αι ουράνιαι, εκπληττόμεναι αξίως τό τής σής ασπόρου λοχείας Αειπάρθενε, σύ γάρ αγνή καί πρό τού τόκου καί μετά γέννησιν.

Στίχ. Υπεραγία Θεοτόκε σώσον ημάς.

Σεσάρκωται ο πρίν υπάρχων άσαρκος, ο Λόγος εκ σού Πάναγνε, ο τά σύμπαντα βουλήματι ποιών, ο τών ασωμάτων τά στρατεύματα, παραγαγών εκ τού μή όντος, ως παντοδύναμος.

Στίχ. Υπεραγία Θεοτόκε σώσον ημάς.

Νενέκρωται εχθρός τώ ζωηφόρω σου, Καρπώ θεοχαρίτωτε, καί πεπάτηται ο άδης προφανώς, καί οι εν δεσμοίς ηλευθερώθημεν, διό βοώ. Τά πάθη λύσον, τά τής καρδίας μου.

### Κοντάκιον Ήχος α'
### Όταν έλθης ο Θεός

Εξανέστης ως Θεός εκ τού τάφου εν δόξη, καί κόσμον συνανέστησας, καί η φύσις τών βροτών ως Θεόν σε ανύμνησε, καί θάνατος ηφάνισται, καί ο Αδάμ χορεύει Δέσποτα, καί η Εύα νύν εκ τών δεσμών λυτρουμένη, χαίρει κράζουσα. Σύ εί ο πάσι παρέχων, Χριστέ τήν Ανάστασιν.

### Ο Οίκος

Τόν αναστάντα τριήμερον ανυμνήσωμεν, ως Θεόν παντοδύναμον, καί πύλας τού Άδου συντρίψαντα, καί τούς απ' αιώνος εκ τάφου εγείραντα, Μυροφόροις οφθέντα καθώς ηυδόκησε, πρώταις ταύταις τό, Χαίρετε, φήσας, καί Αποστόλοις χαράν μηνύων, ως μόνος ζωοδότης. Όθεν πίστει αι Γυναίκες, Μαθηταίς σύμβολα νίκης ευαγγελίζονται, καί Άδης στενάζει, καί θάνατος οδύρεται, καί κόσμος αγάλλεται, καί πάντες συγχαίρουσι, Σύ γάρ παρέσχες πάσι Χριστέ τήν Ανάστασιν.

### Ωδή ζ' Ο Ειρμός

Σέ νοητήν, Θεοτόκε κάμινον, κατανοούμεν οι πιστοί, ως γάρ Παίδας έσωσε τρείς, ο υπερυψούμενος, όλον με τόν άνθρωπον, εν τή γαστρί σου ανέπλασεν, ο αινετός τών Πατέρων, Θεός καί υπερένδοξος.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου Κύριε.

Έφριξε γή, απεστράφη ήλιος, καί συνεσκότασε τό φώς, διερράγη τό τού Ναού θείον καταπέτασμα, πέτραι δέ εσχίσθησαν, διά σταυρού γάρ ήρται ο δίκαιος, ο αινετός τών Πατέρων Θεός καί υπερένδοξος.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου Κύριε.

Σύ γεγονώς, ωσεί αβοήθητος, καί τραυματίας εν νεκροίς, εκουσίως τό καθ' ημάς, ο υπερυψούμενος, πάντας ηλευθέρωσας, καί κραταιά χειρί συνανέστησας, ο αινετός τών Πατέρων, Θεός καί υπερένδοξος.

### Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε σώσον ημάς.

Χαίρε πηγή, αειζώου νάματος. Χαίρε παράδεισε τρυφής. Χαίρε τείχος τό τών πιστών. Χαίρε Απειρόγαμε. Χαίρε η παγκόσμιος χαρά, δι' ής ημίν εξανέτειλεν, ο αινετός τών Πατέρων, Θεός καί υπερένδοξος.

### Κανών Σταυροαναστάσιμος
### Ο Ειρμός

Οι Παίδες ευσεβεία συντραφέντες, δυσσεβούς προστάγματος καταφρονήσαντες, πυρός απειλήν ουκ επτοήθησαν, αλλ' εν μέσω τής φλογός, εστώτες έψαλλον, Ο τών Πατέρων Θεός ευλογητός εί.

Στίχ. Δόξα σοι ο Θεός ημών δόξα σοι.

Πάλαι μέν κατηράθη, τώ τού Άβελ, φοινιχθείσα αίματι, αδελφοκτόνω γή χειρί, θεορρύτω δέ σου αίματι, ευλογείται ραντισθείσα, καί σκιρτώσα βοά. Ο τών Πατέρων Θεός ευλογητός εί.

Στίχ. Δόξα σοι ο Θεός ημών δόξα σοι.

θρηνείτω Ιουδαίων, ο αντίθεος λαός, τό τόλμημα τής αναιρέσεως Χριστού τά δέ έθνη ευφραι νέσθωσαν, καί κροτείτωσαν τάς χείρας, καί βοάτωσαν, ο τών Πατέρων Θεός ευλογητός εί.

Στίχ. Δόξα σοι ο Θεός ημών δόξα σοι.

Ιδού ταίς Μυροφόροις, εξαστράπτων, ανεβόα Άγγελος, τής Αναστάσεως Χριστού, δεύτε ίδετε τά σύμβολα, τάς σινδόνας, καί τόν τάφον, καί βοήσατε, ο τών Πατέρων Θεός ευλογητός εί.

## Κανών τής Θεοτόκου
## Ο Ειρμός

Σέ νοητήν, Θεοτόκε κάμινον, κατανοούμεν οι πιστοί, ως γάρ Παίδας έσωσε τρείς, ο υπερυψούμενος, όλον με τόν άνθρωπον, εν τή γαστρί σου ανέπλασεν, ο αινετός τών Πατέρων, Θεός καί υπερένδοξος.

Στίχ. Υπεραγία Θεοτόκε σώσον ημάς.

Σέ Ιακώβ, Θεοτόκε κλίμακα, προφητικώς κατανοεί, διά σού γάρ επί τής γής, ο υπερυψούμενος, ώφθη τοίς ανθρώποις τε, συναναστράφη ως αινετός τών Πατέρων, ηυδόκησεν, ο Θεός καί υπερένδοξος.

Στίχ. Υπεραγία Θεοτόκε σώσον ημάς.

Χαίρε Σεμνή, τού Αδάμ τό κώδιον, εκ σού προήλθεν ο Ποιμήν, ενδυσάμενος αληθώς, ο υπερυψούμενος όλον με τόν άνθρωπον, δι' ευσπλαγχνίαν ακατάληπτον, ο αινετός τών Πατέρων Θεός, καί υπερένδοξος.

Στίχ. Υπεραγία Θεοτόκε σώσον ημάς.

Θέος Αδάμ, εξ αγνών αιμάτων σου, ο προαιώνιος Θεός, εχρημάτισεν αληθώς, όν περ νύν ικέτευε, τόν παλαιωθέντα με, ανακαινίσαι κραυγάζοντα, ο αινετός τών Πατέρων Θεός, καί υπερένδοξος.

## Ωδή η' Ο Ειρμός

Εν καμίνω Παίδες Ισραήλ, ως εν χωνευτηρίω, τώ κάλλει τής ευσεβείας, καθαρώτερον χρυσού, απέστιλβον λέγοντες. Ευλογείτε πάντα τά έργα, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου Κύριε.

Ο βουλήσει άπαντα ποιών, ο καί μετασκευάζων, εκτρέπων σκιάν θανάτου, εις αιώνιον ζωήν, τώ πάθει σου Λόγε Θεού, σέ απαύστως πάντα τά έργα, ως Κύριον υμνούμεν, καί υπερυψούμεν, εις πάντας τούς αιώνας.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου Κύριε.

Σύ καθείλες σύντριμμα Χριστέ, καί τήν ταλαιπωρίαν, εν πύλαις καί οχυρώμασι τού άδου, αναστάς εκ τάφου τριήμερος. Σέ απαύστως πάντα τά έργα, ως Κύριον υμνούσι, καί υπερυψούσιν, εις πάντας τούς αιώνας.

## Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε σώσον ημάς.

Τήν ασπόρως καί υπερφυώς, εξ αστραπής τής θείας, τεκούσαν τόν μαργαρίτην, τόν πολύτιμον Χριστόν, υμνήσωμεν λέγοντες. Ευλογείτε πάντα τά έργα, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Κανών Σταυροαναστάσιμος
Ο Ειρμός

Θαύματος υπερφυούς η δροσοβόλος, εξεικόνισε κάμινος τύπον, ου γάρ ούς εδέξατο φλέγει Νέους, ώς ουδέ πύρ τής θεότητος, Παρθένου ήν υπέδυ νηδύν, διό ανυμνούντες αναμέλψωμεν, Ευλογείτω η Κτίσις πάσα τόν Κύριον, καί υπερυψούτω, εις πάντας τούς αιώνας.

Στίχ. Δόξα σοι ο Θεός ημών δόξα σοι.

Δεύτε Λαοί προσκυνήσωμεν τόν τόπον, εν ώ έστησαν άχραντοι πόδες, καί εν ξύλω θείαι Χριστού παλάμαι ζωοποιαί, εξετάθησαν εις πάντων σωτηρίαν βροτών, καί τάφον ζωής κυκλούντες μέλψωμεν. Ευλογείτω η κτίσις πάσα τόν Κύριον, καί υπερυψούτω εις πάντας τούς αιώνας.

Στίχ. Δόξα σοι ο Θεός ημών δόξα σοι.

Ήλεγκται τών θεοκτόνων Ιουδαίων, η παράνομος συκοφαντία, όν γάρ πλάνον έφησαν, εξηγέρθη ως δυνατός, μυκτηρίσας τών ανόμων τά σφραγίσματα. Διό γεγηθότες αναμέλψωμεν. Ευλογεί τω η κτίσις πάσα τόν Κύριον, καί υπερυψούτω εις πάντας τούς αιώνας.

Στίχ. Δόξα σοι ο Θεός ημών δόξα σοι.

Τρισίν εν αγιασμοίς θεολογούντες, τής μιάς κυριότητος δόξαν, Σεραφείμ τά άχραντα, μετά δέους δουλοπρεπώς, τρισυπόστατον δοξάζουσι θεότητα, μεθών καί ημείς ευσεβούντες αναμέλψωμεν. Ευλογείτω η κτισις πάσα τόν Κύριον, καί υπερυψούτω εις πάντας τούς αιώνας.

Κανών τής Θεοτόκου
Ο Ειρμός

Εν καμίνω Παίδες Ισραήλ, ως εν χωνευτηρίω, τώ κάλλει τής ευσεβείας, καθαρώτερον χρυσού, απέστιλβον λέγοντες. Ευλογείτε πάντα τά έργα, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Στίχ. Υπεραγία Θεοτόκε σώσον ημάς.

Τήν παστάδα τήν φωτοειδή, εξ ής ο τών απάντων Δεσπότης, ώσπερ νυμφίος προελήλυθε Χριστός, υμνήσωμεν άπαντες, εκβοώντες. Πάντα τά έργα, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Στίχ. Υπεραγία Θεοτόκε σώσον ημάς.

Χαίρε θρόνε ένδοξε Θεού, πιστών χαίρε τό τείχος, δι' ής φώς τοίς εν σκότει, εξανέτειλε Χριστός, τοίς σέ μακαρίζουσι, καί βοώσι. Πάντα τά έργα, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Στίχ. Υπεραγία Θεοτόκε σώσον ημάς.

Σωτηρίας αίτιον ημίν, τόν Κύριον τεκούσα, ικέτευε υπέρ πάντων, τών βοώντων εκτενώς, Παρθένε πανύμνητε. Ευλογείτε πάντα τά έργα, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Ωδή θ'  Ο Ειρμός

Τύπον τής αγνής λοχείας σου, πυρπολουμένη βάτος έδειξεν άφλεκτος, καί νύν καθημών, τών

πειρασμών αγριαίνουσαν, κατασβέσαι αιτούμεν τήν κάμινον, ίνα σέ Θεοτόκε ακαταπαύστως μεγαλύνομεν.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου Κύριε.

Ώ πώς ο λαός ο άνομος, ο απειθής καί πονηρά βουλευσάμενος, τόν αλάστορα καί ασεβή εδικαίωσε, τόν δέ δίκαιον ξύλω κατέκρινε, τόν Κύριον τής δόξης! Όν επαξίως μεγαλύνομεν.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου Κύριε.

Σώτερ ο Αμνός ο άμωμος, ο τήν τού κόσμου αμαρτίαν αράμενος, σέ δοξάζομεν τόν αναστάντα τριήμερον, σύν Πατρί καί τώ θείω σου Πνεύματι, καί Κύριον τής δόξης, θεολογούντες μεγαλύνομεν.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε σώσον ημάς.

Σώσον τόν λαόν σου Κύριε, όν περ εκτήσω τώ τιμίω σου αίματι, κατ' εχθρών ισχύν τώ Βασιλεί χαριζόμενος, καί ταίς σαίς Εκκλησίαις φιλάνθρωπε, βραβεύων τήν ειρήνην, τής Θεοτόκου ταίς εντεύξεσιν.

Κανών Σταυροαναστά σιμος

Ο Ειρμός

Μυστήριον ξένον, ορώ καί παράδοξον! ουρανόν τό Σπήλαιον, θρόνον Χερουβικόν, τήν Παρθένον, τήν φάτνην χωρίον, εν ώ ανεκλήθη ο αχώρητος, Χριστός ο Θεός, όν ανυμνούντες μεγαλύνομεν.

Στίχ. Δόξα σοι ο Θεός ημών δόξα σοι.

Δεδόξασται τή απορρήτω δυνάμει σου, ο Σταυρός σου Κύριε, σού γάρ τό ασθενές, υπέρ δύναμιν πάσιν εδείχθη, δι' ου δυνατοί μέν, καταβέβληνται εις γήν, καί πτωχοί πρός ουρανόν ανακομίζονται.

Στίχ. Δόξα σοι ο Θεός ημών δόξα σοι.

Νενέκρωται ο αμειδής ημών θάνατος, εκ νεκρών ανάστασιν, σύ γάρ επιφανείς, τοίς εν άδη Χριστέ εδωρήσω. Διό ως ζωήν σε καί ανάστασιν, καί φώς τό ενυπόστατον, υμνούντες μεγαλύνομεν.

Στίχ. Δόξα σοι ο Θεός ημών δόξα σοι.

Ηάναρχος φύσις καί απεριόριστος, εν τρισί γνωρίζεται, μόναις θεαρχικαίς Υποστάσεσι. Μία θεότης Πατρί, Υιώ τε καί Πνεύματι, εφ' ή ο θεόφρων Βασιλεύς ημών, πεποιθώς σώζεται.

Κανών τής Θεοτόκου

Ο Ειρμός

Τύπον τής αγνής λοχείας σου, πυρπολουμένη βάτος έδειξεν άφλεκτος, καί νύν καθημών, τών πειρασμών αγριαίνουσαν, κατασβέσαι αιτούμεν τήν κάμινον, ίνα σέ Θεοτόκε ακαταπαύστως μεγαλύνομεν.

Στίχ. Υπεραγία Θεοτόκε σώσον ημάς.

Ρίζης εκ Δαυϊδ εβλάστησας, προφητικώς Παρθένε τού θεοπάτορος, αλλά καί Δαυϊδ, ως αληθώς σύ εδόξασας, ως τεκούσα τόν προφητευόμενον, τόν Κύριον τής δόξης, όν επαξίως μεγαλύνομεν.

Στίχ. Υπεραγία Θεοτόκε σώσον ημάς.

Άπας εγκωμίων Πάναγνε, νόμος ηττάται τώ μεγέθει τής δόξης σου, αλλά Δέσποινα παρ' ικετών αναξίων μέν, εξ ευνοίας δέ σοι προσφερόμενον, προσδέχου Θεοτόκε, μετ' ευμενείας τό εφύμνιον.

Στίχ. Υπεραγία Θεοτόκε σώσον ημάς.

Ώ τών υπέρ νούν θαυμάτων σου! σύ γάρ Παρθένε μόνη υπέρ τόν ήλιον, πάσι δέδωκας κατανοείν τό καινότατον θαύμα, Πάναγνε, τής σής γεννήσεως, τό τής ακαταλήπτου. Διό σέ πάντες μεγαλύνομεν.

## Αίνοι Ήχος α'

1. Τού ποιήσαι εν αυτοίς κρίμα έγγραπτον. Δόξα αύτη έσται πάσι τοίς οσίοις αυτού.
-- Υμνούμέν σου Χριστέ τό σωτήριον Πάθος, καί δοξάζομέν σου τήν Ανάστασιν.
2. Αινείτε τόν Θεόν εν τοίς Αγίοις αυτού, αινείτε αυτόν εν στερεώματι τής δυνάμεως αυτού.
-- Ο σταυρόν υπομείνας, καί τόν θάνατον καταργήσας, καί αναστάς εκ τών νεκρών, ειρήνευσον ημών τήν ζωήν Κύριε, ως μόνος Παντοδύναμος.
3. Αινείτε αυτόν επί ταίς δυναστείαις αυτού, αινείτε αυτόν κατά τό πλήθος τής μεγαλωσύνης αυτού.
-- Ο τόν άδην σκυλεύσας, καί τόν άνθρωπον αναστήσας, τή αναστάσει σου Χριστέ, αξίωσον ημάς εν καθαρά καρδία, υμνείν καί δοξάζειν σε.
4. Αινείτε αυτόν εν ήχω, σάλπιγγος, αινείτε αυτόν εν ψαλτηρίω καί κιθάρα.
-- Τήν θεοπρεπή σου συγκατάβασιν δοξάζοντες, υμνούμέν σε Χριστέ, ετέχθης εκ Παρθένου, καί αχώριστος υπήρχες τώ Πατρί, έπαθες ως άνθρωπος, καί εκουσίως υπέμεινας σταυρόν, ανέστης εκ τού τάφου, ως εκ παστάδος προελθών, ίνα σώσης τόν κόσμον, Κύριε δόξα σοι.
5. Αινείτε αυτόν εν τυμπάνω καί χορώ, αινείτε αυτόν εν χορδαίς καί οργάνω,
-- Ότε προσηλώθης τώ ξύλω τού σταυρού, τότε ενεκρώθη τό κράτος του εχθρού, η κτίσις εσαλεύθη τώ φόβω σου, καί ο Άδης εσκυλεύθη τώ κράτει σου, τούς νεκρούς εκ τών τάφων ανέστησας, καί τώ Ληστή τόν Παράδεισον ήνοιξας, Χριστέ ο Θεός ημών δόξα σοι.
6. Αινείτε αυτόν εν κυμβάλοις ευήχοις, αινείτε αυτόν εν κυμβάλοις αλαλαγμού. Πάσα πνοή αινεσάτω τόν Κύριον.
-- Οδυρόμεναι μετά σπουδής, τό μνήμά σου κατέλαβον αι τίμιαι Γυναίκες, ευρούσαι δέ τόν τάφον ανεωγμένον, καί μαθούσαι παρά τού Αγγέλου, τό καινόν καί παράδοξον θαύμα, απήγγειλαν τοίς Αποστόλοις, ότι ανέστη ο Κύριος, δωρούμενος τώ κόσμω τό μέγα έλεος.
7. Ανάστηθι, Κύριε, ο Θεός μου, υψωθήτω η χείρ σου, μή επιλάθη τών πενήτων σου εις τέλος.
-- Τήν τών παθών θείαν μωλώπωσιν, σού προσκυνούμεν, Χριστέ ο Θεός, καί τήν εν τή Σιών δεσποτικήν ιερουργίαν, τήν εν τέλει τών αιώνων θεοφανώς γεγενημένην, τούς γάρ εν σκότει καθεύδοντας, Ο Ήλιος εφώτισας τής δικαιοσύνης, πρός ανέσπερον χειραγωγών έλλαμψιν, Κύριε δόξα σοι.
8. Εξομολογήσομαί σοι, Κύριε, εν όλη καρδία μου, διηγήσομαι πάντα τά θαυμάσιά σου.
-- Τό φιλοτάραχον γένος τών Ιουδαίων ενωτίσασθε, Πού εισιν οι Πιλάτω προσελθόντες; είπωσιν οι φυλάσσοντες στρατιώται, πού είσιν αι σφραγίδες τού μνήματος; πού μετετέθη ο ταφείς; πού επράθη ο άπρατος; πώς εσυλήθη ο θησαυρός; τί συκοφαντείτε τήν έγερσιν τού Σταυρωθέντος, παράνομοι Ιουδαίοι; Ανέστη ο εν νεκροίς ελεύθερος, καί παρέχει τώ κόσμω τό μέγα έλεος.

## Εις τήν Λειτουργίαν

## ΟΙ ΜΑΚΑΡΙΣΜΟΙ

Μακάριοι οι ελεήμονες, ότι αυτοί ελεηθήσονται.

Διά βρώσεως εξήγαγε, τού Παραδείσου ο εχθρός τόν Αδάμ, διά Σταυρού δέ τόν Ληστήν, αντεισήγαγε Χριστός εν αυτώ. Μνήσθητί μου κράζοντα, όταν έλθης εν τή Βασιλεία σου.

Μακάριοι οι καθαροί τή καρδία ότι αυ τοί τόν Θεόν όψονται.

Προσκυνώ σου τά παθήματα, δοξολογώ καί τήν Ανάστασιν, σύν τώ Αδάμ καί τώ Ληστή, μετά φωνής αναβοώ σοι λαμπράς, Μνήσθητί μου Κύριε, όταν έλθης εν τή Βασιλεία σου.

Μακάριοι οι ειρηνοποιοί, ότι αυτοί υιοί Θεού κληθήσονται.

Εσταυρώθης αναμάρτητε, καί εν μνημείω κατετέθης εκών, αλλ' εξανέστης ως Θεός, συνεγείρας εαυτώ τόν Αδάμ. Μνήσθητί μου κράζοντα, όταν έλθης εν τή Βασιλεία σου.

Μακάριοι οι δεδιωγμένοι ένεκεν δικαιοσύνης, ότι αυτών εστιν η βασιλεία τών ουρανών.

Τόν Ναόν σου τόν τού σώματος, τή τριημέρω αναστήσας ταφή, σύν τώ Αδάμ καί τούς εξ Αδάμ, εξανέστησας Χριστέ ο Θεός, Μνήσθητί μου κράζοντας, όταν έλθης εν τή Βασιλεία σου.

Μακάριοί εστε όταν ονειδίσωσιν υμάς, καί διώξωσι, καί είπωσι πάν πονηρόν ρήμα καθυμών ψευδόμενοι ένεκεν εμού.

Μυροφόροι ήλθον κλαίουσαι, επί τό μνήμά σου Χριστέ ο Θεός, λίαν καί εν λευκοίς, εύρον Άγγελον πρωϊ καθήμενον. Τί ζητείτε; κράζοντα, εξανέστη Χριστός, μή θρηνείτε λοιπόν.

Χαίρετε καί αγαλλιάσθε, ότι ο μισθός υμών πολύς εν τοίς ουρανοίς.

Οι Απόστολοί σου Κύριε, επί τό όρος, ού ετάξω αυτοίς, παραγενόμενοι Σωτήρ, σέ ιδόντες προσεκύνησαν, ούς καί εξαπέστειλας, εις τά Έθνη διδάσκειν, καί βαπτίζειν αυτούς.

Δόξα...

Τόν Πατέρα προσκυνήσωμεν, καί τόν Υιόν δοξολογήσωμεν, καί τό Πανάγιον ομού, πάντες Πνεύμα ανυμνήσωμεν, κράζοντες καί λέγοντες. Παναγία Τριάς, σώσον πάντας ημάς.

Καί νύν... Θεοτοκίον

Τήν Μητέρα σου προσάγει σοι, ικεσίαν ο λαός σου Χριστέ, ταίς παρακλήσεσιν αυτής, τούς οικτιρμούς σου δός ημίν Αγαθέ, ίνα σέδοξάζωμεν, τόν εκ τάφου ημίν ανατείλαντα.

top

1-2

## Στιχηρά Κατανυκτικά Δεσποτικά

### Ήχος α'

Πανεύφημοι Μάρτυρες

Στίχ. α'. Εάν ανομίας παρατηρήσης, Κύριε, Κύριε τίς υποστήσεται; ότι παρά σοί ο ιλασμός εστιν.

Τά πάντα παρήγαγες, τώ σώ, Λόγω καί τώ Πνεύματι, δι' αγαθότητα Κύριε, είτα πεποίηκας, λογικόν με ζώον, ίνα σου τό άγιον, δοξάζω Παντοδύναμε όνομα, εγώ δέ μάλιστα, τοίς αισχροίς μου έργοις πάντοτε, ατιμάζω, αλλά φείσαι δέομαι.

Στίχ. β'. Ένεκεν τού ονόματός σου υπέμεινά σε, Κύριε, υπέμεινεν η ψυχή μου εις τόν λόγον σου, ήλπισεν η ψυχή μου επί τόν Κύριον.

Γνώθί σου, ταλαίπωρε, ψυχή, τήν θείαν ευγένειαν, καί τήν Πατρίδα τήν άφθαρτον, καί σπεύδε πάντοτε, αγαθοεργίαις, ταύτην καταλήψασθαι, Μηδέν σε τών φθαρτών προσηλώσειε, τής άνω μοίρας εί, τό δέ σώμα γή, καί φθείρεται, μή νικήση τό χείρον τήν κρείττονα.

Στίχ. γ'. Από φυλακής πρωϊας μέχρι νυκτός, από φυλακής πρωϊας ελπισάτω Ισραήλ επί τόν Κύριον.

Δεύρο παναθλία μου ψυχή, πρός τόν υπεράγαθον, θερμοίς τοίς δάκρυσι πρόσελθε, τά πεπραγμένα σοι, πρό τής κρίσεώς σου, πάντα εξαγόρευσον, καί ίλεων τόν Κτίστην ταλαίπωρε, σαυτή απέργασαι, καί συγχώρησιν εξαίτησαι, πρίν τήν θύραν κλείση σοι ο Κύριος.

Έτερα τών Ασωμάτων όμοια

Στίχ. δ'. Ότι παρά τώ Κυρίω τό έλεος, καί πολλή παρ αυτώ, λύτρωσις, καί αυτός λυτρώσεται τόν Ισραήλ έκ πασών τών ανομιών αυτού.

Ασώματοι Άγγελοι Θεού, θρόνω, παριστάμενοι, καί ταίς εκείθεν ελλάμψεσιν καταστραπτόμενοι, καί φωτοχυσίαις αιωνίως λάμποντες, καί φώτα χρηματίζοντες δεύτερα, Χριστώ πρεσβεύσατε,

δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην καί τό μέγα έλεος.

Στίχ. ε'. Αινείτε τόν Κύριον πάντα τά έθνη, επαινέσατε αυτόν, πάντες οι λαοί.

Αθάνατοι Άγγελοι ζωήν, όντως τήν ανώλεθρον, παρά τής πρώτης δεξάμενοι, ζωής πανόλβιοι, αϊδίου δόξης, καί σεπτοί θεάμονες, σοφίας αϊδίου γεγόνατε, φωτός πληρούμενοι καί λαμπάδες συστρεφόμεναι, αρμοζόντως, επαναδεικνύμενοι.

Στίχ. ς'. Ότι εκραταιώθη τό έλεος αυτού εφ' ημάς, καί η αλήθεια τού Κυρίου μένει εις τόν αιώνα.

Αρχάγγελοι, Άγγελοι, Αρχαί, θρόνοι, Κυριότητες, τά Σεραφείμ εξαπτέρυγα, καί πολυόμματα, Χερουβείμ τά θεία, τής σοφίας όργανα, Δυνάμεις, Εξουσίαι θειόταται, Χριστώ πρεσβεύσατε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην καί τό μέγα έλεος.

Δόξα... Καί νύν... Θεοτοκίον

Μαρία τό άμωμον καί νούν, πάντα υπερκείμενον, τής καθαρότητος όχημα, περικρατούμενον, πολλαίς αμαρτίαις, καί στενοχωρούμενον, πρός πλάτος μετανοίας με ίθυνον, πανσθενεστάτη σου προστασία, καί γάρ δύνασαι, οία Μήτηρ, τού πάντα ισχύοντος.

## Απόστιχα Κατανυκτικά

Ότι τό πέλαγος πολύ, τών παραπτωμάτων μου Σωτήρ, καί δεινώς βεβύθισμαι ταίς πλημμελείαις μου, δός μοι χείρα σώσόν με, ως τώ Πέτρω ο Θεός καί ελέησόν με.

Στίχ. Α'. Πρός σέ ήρα τούς οφθαλμούς μου, τόν κατοικούντα εν τώ ουρανώ. Ιδού, ως οφθαλμοί δούλων εις χείρας τών κυρίων αυτών, ως οφθαλμοί παιδίσκης εις χείρας τής κυρίας αυτής, ούτως οι οφθαλμοί ημών πρός Κύριον τόν Θεόν ημών, έως ού οικτιρήσαι ημάς.

Ότι εννοίαις πονηραίς, καί έργοις καταδεδίκασμαι Σωτήρ, λογισμόν μοι δώρησαι, επιστροφής ο Θεός, ίνα κράζω, Σώσόν με, Ευεργέτα αγαθέ, καί ελέησόν με.

Μαρτυρικόν

Στίχ. Β'. Ελέησον ημάς, Κύριε, ελέησον ημάς, ότι επί πολύ επλήσθημεν εξουδενώσεως, επί πλείον επλ ήσθη η ψυχή ημών, τό όνειδος τοίς ευθηνούσι, καί η εξουδένωσις τοίς υπερηφάνοις.

Τή πρεσβεία Κύριε, πάντων τών Αγίων, καί τής Θεοτόκου, τήν σήν ειρήνην δός ημίν, καί ελέησον ημάς, ως μόνος οικτίρμων.

Δόξα... Καί νύν... Θεοτοκίον

Τών ουρανίων Ταγμάτων τό αγαλλίαμα, τών επί γής ανθρώπων, κραταιά προστασία, άχραντε Παρθένε, σώσον ημάς, τούς εις σέ καταφεύγοντας, ότι εν σοί τάς ελπίδας μετά Θεόν, Θεοτόκε ανεθέμεθα.

## Μετά τήν α' Στιχολογίαν τού ψαλτηρίου
## Καθίσματα Κατανυκτικά Ήχος α'

Εν ανομίαις συλληφθείς εγώ ο άσωτος, ου τολμώ ατενίσαι εις τό ύψος τού ουρανού, αλλά θαρρών εις τήν φιλανθρωπίαν σου, κράζω, ο Θεός ιλάσθητί μοι, καί σώσόν με.

Ει ο δίκαιος μόλις σώζεται, εγώ πού φανούμαι ο αμαρτωλός; τό βάρος καί τόν καύσωνα τής ημέρας ουκ εβάστασα, τοίς περί τήν ενδεκάτην ώραν, συναρίθμησόν με, ο Θεός, καί σώσόν με.

Δόξα... Καί νύν... Θεοτοκίον

Άχραντε Θεοτόκε, η εν ουρανοίς ευλογημένη, καί επί γής δοξολογουμένη, χαίρε Νύμφη ανύμφευτε.

## Μετά τήν β' Στιχολογίαν έτερα Καθίσματα
## Τόν τάφον σου Σωτήρ

Αγκάλας πατρικάς, διανοίξαί μοι σπεύσον, ασώτως τόν εμόν, κατηνάλωσα βίον, εις πλούτον αδαπάνητον, αφορών των οικτιρμών σου Σωτήρ, νύν πτωχεύουσαν, μή υπερίδης καρδίαν, σοί γάρ, Κύριε, εν κατανύξει κραυγάζω, Ήμαρτόν σοι σώσόν με.

Τό βήμά σου φρικτόν, καί η κρίσις δικαία, τά έργα μου δεινά, αλλ' αυτός Ελεήμον, προφθάσας με διάσωσον, καί κολάσεως λύτρωσαι, ρύσαι Δέσποτα, τής τών ερίφων μερίδος, καί αξίωσον, εκ δεξιών σού με στήναι, Κριτά δικαιότατε.

Δόξα... Καί νύν... Θεοτοκίον

Κυβέρνησον Αγνή, τήν αθλίαν ψυχήν μου, καί οίκτειρον αυτήν, υπό πλήθους πταισμάτων, βυθώ ολισθαίνουσαν, απωλείας Πανάμωμε, καί εν ώρα με, τή φοβερά τού θανάτου, ελευθέρωσον, κατηγορούντων δαιμόνων, φρικτής αποφάσεως.

Μετά τήν γ' Στιχολογίαν Καθίσματα έτερα

Τόν τάφον σου Σωτήρ

Αφρόνως από σού, μακρυνθείς Πανοικτίρμον, ασώτως τόν εμόν, εδαπάνησα βίον, δουλεύων τοίς πάθεσι, τοίς αλόγοις εκάστοτε, αλλά δέξαι με, ταίς τών Αγγέλων πρεσβείαις, Πάτερ εύσπλαγχνε, ώσπερ τόν Άσωτον παίδα, καί σώσόν με δέομαι.

Μαρτυρικόν

Αθλήσεως καύχημα, καί στεφάνων αξίωμα, οι ένδοξοι Αθλοφόροι, περιβέβληνταί σε Κύριε, καρτερία γάρ αικισμών, τούς ανόμους ετροπώσαντο, καί δυνάμει θεϊκή, εξ ουρανού τήν νίκην εδέξαντο, Αυτών ταίς ικεσίαις, ελευθέρωσον τού αοράτου εχθρού Σωτήρ, καί σώσόν με.

Δόξα... Καί νύν... Θεοτοκίον

Τόν τάφον σου Σωτήρ

Αϋλων Στρατιών, υπερέχουσα Κόρη, καί Τάξεις ουρανών, υπερβαίνουσα μόνη, επάξιον τήν αίνεσιν, παρ' αυτών δέχη Πάναγνε, αλλά πρέσβευε, τώ σώ Υιώ σύν Αγγέλοις, τού ρυσθήναί με, τής τών παθών τυραννίδος, τόν μόνον κατάκριτον.

Κανών Κατανυκτικός ποίημα Ιωσήφ, ού η Ακροστιχίς.

Τών πταισμάτων μου τόν ρύπον πλύνον, Λόγε, Ιωσήφ.

Ήχος α'  Ωδή α'  Ο Ειρμός

Σού η τροπαιούχος δεξιά, θεοπρεπώς εν ισχΰϊ δεδόξασται, αύτη γάρ, Αθάνατε, ως πανσθενής υπεναντίους έθραυσε, τοίς Ισραηλίταις, οδόν βυθού καί νουργήσασα.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Τών αμαρτιών μου τήν πληθύν, κατά τό πλήθος Χριστέ τού ελέους σου, δέομαι, εξάλειψον, καί λογισμόν επιστροφής μοι δώρησαι, όπως σου δοξάζω τήν υπέρ νούν αγαθότητα.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ώφθης διά σπλάγχνα οικτιρμών, επί τής γής σωματούμενος άνθρωπος, όθεν υπέρ άνθρωπον, Λόγε Θεού, ημαρτηκότα δέξαι με, νύν εν μετανοία, τοίς οικτιρμοίς σου προσπίπτοντα.

Μαρτυρικά

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Νέκρωσιν μιμούμενοι Χριστού, τού εκουσίως παθόντος καί θάνατον, πάθη υπεμεί νατε, πολυειδή καί θάνατον αοίδιμοι, όθεν αθανάτου, ζωής ετύχετε μάρτυρες.

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Πύρ ένδον αγάπης θεϊκής, περιφανώς περιφέροντες μάρτυρες, πύρ ουκ εптοήθητε, αλλά θερμαίς τών πόνων επιδόσεσι, τής πολυθεΐας, τήν ύλην πάσαν εφλέξατε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τάξεις Ασωμάτων σύν ημίν, σέ ανυμνούσι, Παρθένε πανύμνητε, τόν γάρ απερίληπτον, εν σή γαστρί σωματωθέντα τέτοκας, μείνασα παρθένος, ως πρό τού τόκου Θεόνυμφε.

Κανών τών Ασωμάτων
Ποίημα Θεοφάνους, έχων Ακροστιχίδα
«Θεοφάνους ο πρώτος Αγγέλων ύμνος»

Ο Ειρμός
Σού η τροπαιούχος δεξιά, θεοπρεπώς εν ισχΰϊ δεδόξασται, αύτη γάρ, Αθάνατε, ως πανσθενής υπεναντίους έθραυσε, τοίς Ισραηλίταις, οδόν βυθού καινουργήσασα.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Θρόνω παριστάμενοι φαιδρώς, τώ τού Δεσπότου, πανάγιοι Άγγελοι, τόν Πατρί συνάναρχον, καί τής αυτού μεγάλης βουλής Άγγελον, λόγον μοι εμπνεύσαι, υμάς υμνούντι, πρεσβεύσατε.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Έσοπτρα φωτός θεαρχικού, καί τρισηλίου λαμπάδος τήν έλλαμψιν, πάσαν εισδεχόμενα, ως εφικτόν, τά τών Αγγέλων τάγματα, πρώτον εννοήσας, ο Νούς ο θείος υπέστησεν.
Θεοτοκίον
Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ο διακοσμήσας ως Θεός, ταξιαρχίας τών άνω δυνάμεων, μήτραν απειρόγαμον, τών Σεραφείμ υψηλοτέραν ώκησε, τήν σήν Θεοτόκε, καί σάρξ ατρέπτως εγένετο.

Ωδή γ' Ο Ειρμός
Ο μόνος ειδώς τής τών βροτών, ουσίας τήν ασθένειαν, καί συμπαθώς αυτήν μορφωσάμενος, περίζωσόν με εξ ύψους δύναμιν, τού βοάν σοι, Άγιος, ο ναός ο έμψυχος, τής αχράντου σου δόξης, Φιλάνθρωπε.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ανάνηψον δεύρο, ώ ψυχή, καί βόησον τώ κτίστη σου, τώ τά κρυπτά σου πάντα γινώσκοντι, καί μετανοίας καρπούς επίδειξαι, όπως ελεήση σε, ο οικτίρμων Κύριος, καί πυρός αιωνίου λυτρώσηται.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ιλάσθητι μόνε Αγαθέ, ιλάσθητι καί σώσόν με, ως ο Τελώνης φόβω κραυγάζω σοι, εσμόν πταισμάτων επισυρόμενος, καί κατακαμπτόμενος, βάρει παραπτώσεων, καί αισχύνης αμέτρου πληρούμενος.
Μαρτυρικά
Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Σοφία καί γνώσει αληθεί, οι Μάρτυρες πληρούμενοι, Ελληνικήν σοφίαν εμώραναν, τόν σοφιστήν τε κακίαν ώλεσαν, καί στερρώς αθλήσαντες, επαξίως έλαβον, τούς τής νίκης στεφάνους γηθόμενοι.

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Μονάδα μέν φύσει αθληταί, Τριάδα τοίς προσώποις δέ, ομολογούντες, πλάνην πολύθεον, ενθέω πίστει εξηφανίσατε, καί φωστήρες ώφθητε, πάντων καταυγάζοντες, τάς καρδίας ακτίσι τής χάριτος.
Θεοτοκίον
Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Αγία Θεόνυμφε αγνή, αγίως απεκύησας, τόν εν Αγίοις αναπαυόμενον, Υιόν καί Λόγον, Πατρί

συνάναρχον, τόν καθαγιάζοντα εν Αγίω Πνεύματι, τούς αυτόν ευσεβώς αγιάζοντας.

Κανών τών Ασωμάτων
Ειρμός ο αυτός
Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Φωτί θεουργώ τά Σεραφείμ, αμέσως πλησιάζοντα, καί πολλαχώς αυτού εμπιπλάμενα, ταίς πρωτοδότοις σαφώς ελλάμψεσι, πρωτουργώς λαμπρύνονται, καί ως φώτα δεύτερα, χρηματίζουσι θέσει θεούμενα.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Αγγέλων λαμπρότητας υμνείν, προθύμως εφιέμενοι, τήν δι' αυτών θεόθεν βοήθειαν, χορηγουμένην πιστοί, αιτήσωμεν, νοός καθαρότητι, καί πανάγνοις στόμασι, καί τευξόμεθα τούτων ελλάμψεως.

Θεοτοκίον
Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νούν τόν υπερούσιον ιδείν, ως θέμις αξιούμενος, ο Γαβριήλ, Παρθένε πανάμωμε, περιχαρή σοι φωνήν εκόμισε, τήν τού Λόγου σύλληψιν, εμφανώς μηνύων σοι, καί τόν άφραστον τόκον κηρύττων σου.

Ωδή δ' Ο Ειρμός
Όρος σε τή χάριτι, τή θεία κατάσκιον, προβλεπτικοίς ο Αββακούμ, κατανοήσας οφθαλμοίς, εκ σού εξελεύσεσθαι, τού Ισραήλ προανεφώνει τόν Άγιον, εις σωτηρίαν ημών καί ανάπλασιν.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Τίνι σε, ψυχή μου, ομοιώσω ταλαίπωρε, εργαζομένην τά δεινά, καί μή ποιούσαν τά καλά; επίστρεψον βόησον, τώ διά σέ εθελουσίως πτωχεύσαντι, Καρδιογνώστα οικτείρησον σώσόν με.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ώρισας μετάνοιαν, Σωτήρ επιστρέφουσιν, ήν μοι παράσχου αγαθέ, πρό τής τού βίου τελευτής, διδούς μοι κατάνυξιν καί στεναγμόν, ώσπερ τή Πόρνη τό πρότερον, καταφιλούση τά ίχνη σου Δέσποτα.

Μαρτυρικά
Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ναμάτων τού Πνεύματος, πλησθέντες οι Μάρτυρες, ύδατος ζώντος ποταμοί, ώφθησαν νεύσει θεϊκή, καί πλάνης εξήραναν, τούς θολερούς Χριστέ χειμάρρους εν Πνεύματι, καί τών πιστών διανοίας κατήρδευσαν.

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Μεγάλως οι θείοι, ηγωνίσαντο Μάρτυρες, πύρ γάρ καί ξίφος καί δεινήν, πάσαν υπήνεγκαν ποινήν, Αυτών παρακλήσεσι, Λόγε Θεού, μεγίστης ρύσαι κολάσεως, καί αιωνίου τούς πίστει υμνούντάς σε.

Θεοτοκίον
Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ο πάλαι Πατρός εξ αγεννήτου, Υιός γεννηθείς, γέννησιν έσχε χρονικήν, εκ σού Παρθένε γεννηθείς, τόν χρόνιον πόλεμον τών γηγενών, εξάραι θέλων ως εύσπλαγχνος, ο ημερών τε καί χρόνων επέκεινα.

Κανών τών Ασωμάτων

Ειρμός ο αυτός

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Οι θρόνοι τόν πρώτον συμπληρούντες διάκοσμον, καί Χερουβείμ καί Σεραφείμ, ταίς τής θεότητος αυγαίς, αμέσως ελλάμπονται, θεουργικαίς Ιεραρχίαις δεχόμενοι, καί μελωδούσι, Δόξα τή δυνάμει σου Κύριε.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Υμνούσι τρισάριθμον μονάδα θεότητος, τριαδικοίς αγιασμοίς, ακαταπαύστοις εν φωναίς, τρανούντα τό άχραντον, τά Σεραφείμ θεολογίας μυστήριον, καί τήν ορθόδοξον πίστιν διδάσκοντα.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Σοφίας τήν χύσιν, καί τό πλάτος τής γνώσεως, τής ενιαίας καί απλής, αυτοσοφίας ευλαβώς, Χερουβείμ δεχόμενα, τοίς εφεξής θεομιμήτως παρέχουσι, διαπορθμεύοντα, τού τοίς τήν έλλαμψιν.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ο πάσης επέκεινα, νοούμενος κτίσεως, τής υπέρ νούν ζωαρχικής, ζωοπλαστίας αληθώς, εκτελών τεράστια, παρθενικαίς ηγλαϊσμένην φαιδρότησι, τήν σήν γαστέρα κατώκησεν Άχραντε.

Ωδή ε'  Ο Ειρμός

Ο φωτίσας, τή ελλάμψει τής σής παρουσίας Χριστέ, καί φαιδρύνας τώ Σταυρώ σου τού κόσμου τά πέρατα, τάς καρδίας φώτισον φωτί, τής σής θεογνωσίας, τών ορθοδόξως υμνούντων σε.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Υπέπεσα, τών παθών τή φθορά, καί πτοούμαί σου τό δίκαιον δικαστήριον, δίκαιε Κύριε, διό ικετεύω σε, ενίσχυσόν με τού ποιήσαι, πράξεις καλάς δικαιούσας με.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Τά άδηλα, καί τά κρύφια, σύ τής καρδίας μου επίστασαι, ο Θεός μου καί Πλάστης καί Κύριος, μή ούν κατακρίνης με εν ώρα κρίσεως, ηνίκα έρχη τού κρίναι τά σύμπαντα.

Μαρτυρικά

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Οι Άγιοι, ομιλούντες πυρί, τό διάπυρον εδείκνυον, τής ενθέου αυτών αγαπήσεως, όθεν δροσιζόμενοι, τή προσδοκία τών μελλόντων, οι θεοφόροι ηγάλλοντο.

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Νευρούμενοι, αγαθών τή ελπίδι οι Μάρτυρες, υπέφερον σπαραγμούς τών μελών καρτερώτατα, καί τόν πολυμήχανον νευραίς, τής τούτων ανενδότου υπομονής εναπέπνιξαν.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ρητορεύον, ου δυνήσεται στόμα τού τόκου σου, τό άρρητον διηγήσασθαι θαύμα, Θεόνυμφε, τόν γάρ ανερμήνευτον τίκτεις, καί φέρεις εν αγκάλαις, χειρί κρατούντα τά σύμπαντα.

Κανών τών Ασωμάτων

Ειρμός ο αυτός

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Πόθω θείω, πυρπολούμεναι αι Κυριότητες, Εξουσίαι, αι Δυνάμεις, αι τάξεις αι δεύτεραι, ασιγήτοις στόμασι, θεαρχικήν υμνολογούσι, μίαν ουσίαν καί δύναμιν.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Ρυθμίζονται, Αρχαγγέλων αι τάξεις τώ Πνεύματι, καί Αγγέλων, καί Αρχών σύν απείροις στρατεύμασι, μίαν τρισυπόστατον, φωτιστικήν ουσίαν σέβειν, περιφανώς διδασκόμεναι.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ωραιώθης, υπέρ πάσαν Αγγέλων ευπρέπειαν, τόν γάρ τούτων Ποιητήν, συλλαβούσα καί Κύριον, Θεομήτορ άχραντε, σωματωθέντα απορρήτως, εκ σών αιμάτων εκύησας.

Ωδή ς'  Ο Ειρμός

Εκύκλωσεν ημάς εσχάτη άβυσσος, ουκ έστιν ο ρυόμενος, ελογίσθημεν ως πρόβατα σφαγής, σώσον τόν λαόν σου ο Θεός ημών, σύ γάρ ισχύς τών ασθενούντων, καί επανόρθωσις.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Υπάρχων ιατρός Χριστέ ιάτρευσον, τά πάθη τής καρδίας μου, καί απόπλυνον παντός με μολυσμού, ρείθροις Ιησού μου κατανύξεως, ίνα υμνώ καί μεγαλύνω τήν ευσπλαγχνίαν σου.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Πλανώμενον οδοίς τής απωλείας με, καί βόθροις παραπτώσεων, περιπίπτοντα επίστρεψον Χριστέ, καί πρός απλανείς τρίβους εισάγαγε, σού τών σεπτών δικαιωμάτων, ίνα δοξάζω σε.

Μαρτυρικά

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Οι λίθοι αληθώς οι πολυτίμητοι, τοίς λίθοις συγχωννύμενοι, ουκ η ρνήσαντο τήν πέτραν τής ζωής, ουδέ τοίς γλυπτοίς λίθοις επέθυσαν, οι ευκλεείς καί στεφηφόροι Κυρίου Μάρτυρες.

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Νεώσαντες ψυχάς αρότρω Πίστεως, τόν άσταχυν οι Μάρτυρες τής αθλήσεως, εν Πνεύματι Θεού, τόν εκατοστεύοντα εξήνθησαν, καί τής τρυφής τής μακαρίας κατηξιώθησαν.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Πυρίνων Λειτουργών τό πύρ κυήσασα, εφάνης παναμώμητος, καί τής κτίσεως απάσης πρωτουργός, πάναγνε Παρθένε, υπερέχουσα, εν γυναιξίν ευλογημένη Θεοχαρίτωτε.

Κανών τών Ασωμάτων

Ειρμός ο αυτός

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Τά τάγματα, τών Ασωμάτων Κύριε, τώ θρόνω παριστάμενα τώ τής δόξης σου, φωναίς αγγελικαίς, ταίς ακαταπαύστοις σέ γεραίρουσι, σύ γάρ ισχύς τούτων υπάρχεις, Χριστέ, καί ύμνησις.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Οι πρόσωπον τό σόν ορώντες Άγγελοι, τό κάλλος τό αμήχανον, τήν υπέρθεον ευπρέπειαν τής σής, θείας αγλαΐας, εκλαμπρύνονται, σύ γάρ αυτών καί φώς υπάρχεις, καί αγαλλίαμα.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σεσάρκωται ο πρίν υπάρχων άσαρκος, ο Λόγος εκ σού Πάναγνε, ο τά σύμπαντα θελήματι ποιών, ο τών Ασωμάτων τά στρατεύματα, παραγαγών εκ του μή όντος, ως παντοδύναμος.

Ωδή ζ'  Ο Ειρμός

Σέ νοητήν, Θεοτόκε, κάμινον, κατανοούμεν οι πιστοί, ως γάρ Παίδας έσωσε τρείς, ο υπερυψούμενος, όλον με τόν άνθρωπον εν τή γαστρί σου ανέπλασεν, ο αινετός τών Πατέρων Θεός, καί υπερένδοξος.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Λέοντας πρίν, Δανιήλ εφίμωσε, σύνοικον έχων αρετήν, τούτον ζήλωσον, ώ ψυχή, καί τόν ωρυόμενον πάντοτε ως λέοντα, καί συλλαβείν σε βουλόμενον, τή πρός Θεόν ανανεύσει αεί, άπρακτον ποίησον.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Υπερβολή, ασωτείας, Κύριε, ψυχήν ερρύπωσα δεινώς, υπερβάλλουσαν ούν Χριστέ, έχων αγαθότητα, δέξαι, ως τόν Άσωτον, καί μελωδούν τά με οίκτειρον, ο αινετός τών Πατέρων Θεός, καί υπερένδοξος.

Μαρτυρικά

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Νόμω Χριστού, ευσθενώς ρωννύμενοι, τών ανομούντων τάς βουλάς, εξηφάνισαν ανδρικώς, οι ακαταγώνιστοι Μάρτυρες, νομίμως τε, τελειωθέντες δέ έμελπον, ο αινετός τών Πατέρων Θεός, καί υπερένδοξος.

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Οι θεαυγείς, τού Κυρίου Μάρτυρες, πεπυρσευμένοι τώ φωτί τής Τριάδος περιφανώς, σκότος τών κολάσεων, πλάνης τήν ομίχλην τε, διεληλύθατε μέλποντες, ο αινετός τών Πατέρων Θεός, καί υπερένδοξος.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νόμοι εν σοί, φύσεως καινίζονται, τόν νομοδότην γάρ Χριστόν, δίχα νόμων τών σαρκικών τίκτεις, Παναμώμητε, πάσιν απολύτρωσιν, νομοθετούντα τοίς μέλπουσιν, ο αινετός τών Πατέρων Θεός, καί υπερένδοξος.

Κανών τών Ασωμάτων

Ειρμός ο αυτός

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Άναρχον φώς, σύ υπάρχεις Δέσποτα, φωτός εκλάμψας εκ Πατρός, τών Αγγέλων τάς στρατιάς, φώτα κατεσκεύασας, έσοπτρα δεχόμενα, τήν αστραπήν σου τήν άδυτον, ο αινετός τών Πατέρων Θεός, καί υπερένδοξος.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Γένος βροτών, ο τών όλων Κύριος, επιστασίαις εμφανώς, περισώζεις αγγελικαίς, τούτους γάρ επέστησας πάσι τοίς πιστεύουσι, καί ορθοδόξως υμνούσί σε, τόν αινετόν τών Πατέρων Θεόν, καί υπερένδοξον.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Γλώσσα καί νούς, ουκ ισχύει Δέσποτα, τών σών θαυμάτων εξειπείν, καί τών έργων τό ευπρεπές, σύ γάρ κατηγλάϊσας, πάσαν διακόσμησιν τών ουρανίων Δυνάμεων, ο αινετός τών Πατέρων Θεός,

καί υπερένδοξος.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Εκ σού Σεμνή, ο Υιός σεσάρκωται, ο πρίν αμήτωρ εκ Πατρός, καί απάτωρ τό καθ' ημάς δι' ημάς γενόμενος, ώ καί νύν λατρεύουσι τών Ασωμάτων αι φάλαγγες, ως αινετόν τών Πατέρων Θεόν, καί υπερένδοξον.

Ωδή η' Ο Ειρμός

Εν καμίνω Παίδες Ισραήλ, ως εν χωνευτηρίω, τώ κάλλει τής ευσεβείας, καθαρώτερον χρυσού, απέστιλβον λέγοντες, Ευλογείτε πάντα τά έργα, τόν Κύριον υμνείτε, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Λυτρωτά μου εύσπλαγχνε Χριστέ, τής νύν με κατεχούσης ομίχλης αμαρτιών τε, καί παντοίων πειρασμών, λύτρωσαι κραυγάζοντα, Ευλογείτε πάντα τά έργα, τόν Κύριον υμνείτε, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Όταν μέλλης έρχεσθαι Χριστέ, εν δόξη κρίναι κόσμον, τή στάσει τών εκλεκτών σου συναρίθμησον καμέ, βοώντα καί λέγοντα, Ευλογείτε πάντα τά έργα, τόν Κύριον υμνείτε, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Μαρτυρικά

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Γής αγίας Μάρτυρες σοφοί, επέβητε, εν γή γάρ μεγάλως αγωνισάμενοι, ουρανίαν ζωήν ειλήφατε μέλποντες, Ευλογείτε πάντα τά έργα, τόν Κύριον υμνείτε, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Εκδυθέντες σώμα τό φθαρτόν, στολήν αθανασίας, ως Μάρτυρες νικηφόροι επενδύσασθε Χριστώ, εξ ύψους κραυγάζοντες, Ευλογείτε πάντα τά έργα, τόν Κύριον υμνείτε, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ιεραί σε πόρρωθεν φωναί, γενήσεσθαι Μητέρα τού πάντα τεκτηναμένου, προκατήγγειλαν Θεού, ώ μέλπομεν Άχραντε, Ευλογείτε πάντα τά έργα, τόν Κύριον υμνείτε, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Κανών τών Ασωμάτων

Ειρμός ο Αυτός

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Λαμπομένας καί πλησιφαείς, Αγγέλων στρατηγίας, ακτίσι τής τρισηλίου ωραιότητος πιστοί, μιμούμενοι μέλψωμεν, Ευλογείτε πάντα τά έργα, τόν Κύριον υμνείτε, και υπερυψούτε εις πάντας τούς αιώνας.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Ως πηγαία πάντων τών καλών, η θεαρχικωτάτη, παράγει θεία δυνάμει, φώτα δεύτερα τό φώς, τό πρώτον δεχόμενα, καί βοώντα, Πάντα τά έργα, τόν Κύριον υμνείτε, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Νούς ο πρώτος καί δημιουργός, υπερκοσμίους νόας, Αγγέλων υπερουσίως υπεστήσατο αυτώ, σαφώς πλησιάζοντας καί βοώντας, Πάντα τά έργα, τόν Κύριον υμνείτε, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Υπέρ λόγον τόν εκ τού Πατρός, τεχθέντα πρό αιώνων, αφράστως σεσαρκωμένον, απεγέννησας ημίν, Παρθένε πανάμωμε, ώ βοώμεν, Πάντα τά έργα, τόν Κύριον υμνείτε, καί υπερυψούτε εις πάντας τούς αιώνας.

## Ωδή θ' Ο Ειρμός

Τύπον τής αγνής λοχείας σου, πυρπολουμένη βάτος έδειξεν άφλεκτος, καί νύν καθημών, τών πειρασμών αγριαίνουσαν, κατασβέσαι αιτούμεν τήν κάμινον, ίνα σέ Θεοτόκε, ακαταπαύστως μεγαλύνωμεν.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ώσπερ Χαναναία κράζω σοι, Ελέησόν με Λόγε, ψυχήν γάρ κέκτημαι, ταίς δαιμονικαίς επιφοραίς κινδυνεύουσαν, καί αφρόνως τά άθεσμα πράττουσαν, καί μή αισθανομένην, τού θείου φόβου σου, Μακρόθυμε.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Στήσον επί πέτραν Κύριε, τάς τής ψυχής μου βάσεις, τών προσταγμάτων σου, καί τόν αναιδώς υποσκελίζειν με θέλοντα, υποσκέλισον όφιν καί ρύσαί με, τής τούτου κακουργίας, ως αγαθός καί πολυέλεος.

Μαρτυρικά

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ήδη παρελθόντες Μάρτυρες, τών πειρασμών τό ύδωρ τό ανυπόστατον, καί τών αικισμών τών χαλεπών τό κλυδώνιον, πρός λιμένα σαφώς κατηντήσατε, τής άνω Βασιλείας, θείας γαλήνης απολαύοντες.

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Φέγγους ανεσπέρου, Μάρτυρες, φωτοειδείς γενόμενοι ηξιώθητε, καί εν Εκκλησία πρωτοτόκων ευφραίνεσθαι καί Αγγέλων χοροίς συναγάλλεσθαι, μεθών τόν Ζωοδότην, υπέρ ημών καθικετεύσατε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φέρεις τόν τά πάντα φέροντα, καί γαλουχείς τόν πάσι τροφήν παρέχοντα, μέγα καί φρικτόν, τό υπέρ νούν σου μυστήριον, κιβωτέ τού σεπτού αγιάσματος, Παρθένε Θεοτόκε, όθεν σε πίστει μακαρίζομεν.

## Κανών τών Ασωμάτων
Ειρμός ο αυτός

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Μύστας τής αρρήτου δόξης σου, τούς ασωμάτους Νόας, Σώτερυπέστησας, καί νύν δι' αυτών, τόν σόν λαόν διαφύλαξον, τόνπίστειςοι καί πόθω προσφεύγοντα, ίνα σε τόν Δεσπότην, ακαταπαύστως μεγαλύνωμεν.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Νέμεις τής ειρήνης Άγγελον, περιφρουρούντα, Παντοκράτορ, τήν ποίμνην σου, (τής ειρήνης γάρ καί τής αγάπης σύ αίτιος), καί τήν έμφρονα πίστιν φυλάττοντα, καί πάσας τάς αιρέσεις, τή σή δυνάμει καταλύοντα.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Όλος γλυκασμός υμνούμενος, τών ουρανίων τήν γλυκείαν φαιδρότητα καταφύτευσον, εν Εκκλησίαις σου, Δέσποτα, καί τήν εύτακτον δίδου κατάστασιν, ίνα σε τόν Σωτήρα ακαταπαύστως μεγαλύνωμεν.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Στίφη τών Αγγέλων, Πάναγνε, νύν ασιγήτως τόν σόν τόκον γεραίρουσι, ταίς γάρ τάξεσιν επιστατούντα θεώμενοι, ταίς αυ τών θυμηδίαις εμπίπλανται, καί σέ τήν Θεοτόκον ακαταπαύστως μεγαλύνουσιν.

Απόστιχα Κατανυκτικά

Άλλος σε κόσμος, ψυχή, αναμένει καί Κριτής, τά σά μέλλων δημοσιεύειν κρυπτά καί δεινά, μή ούν εμμείνης τοίς ώδε, αλλά πρόφθασον βοώσα τώ Κριτή, ο Θεός ιλάσθητί μοι, καί σώσόν με.

Στίχ. α'. Ενεπλήσθημεν τό πρωϊ τού ελέους σου, Κύριε, καί ηγαλλιασάμεθα καί ηυφράνθημεν έν πάσαις ταίς ημέραις ημών, Ευφρανθείημεν, ανθών ημερών εταπείνωσας ημάς, ετών, ών είδομεν κακά, καί ίδε επί τούς δούλους σου καί επί τά έργα σου, καί οδήγησον τούς υιούς αυτών.

Μή αποδοκιμάσης με Σωτήρ μου, τή ραθυμία τής αμαρτίας συνεχόμενον, διέγειρόν μου τόν λογισμόν πρός μετάνοιαν, καί τού σού αμπελώνος εργάτην δόκιμον ανάδειξόν με, δωρούμενός μοι τής ενδεκάτης ώρας τόν μισθόν, καί τό μέγα έλεος.

Μαρτυρικόν

Στίχ. β'. Καί έστω η λαμπρότης Κυρίου τού Θεού ημών εφ' ημάς, καί τά έργα τών χειρών ημών κατεύθυνον εφ' ημάς, καί τό έργον τών χειρών ημών κατεύθυνον.

Τούς Αθλοφόρους τού Χριστού, δεύτε λαοί άπαντες τιμήσωμεν, ύμνοις καί ωδαίς πνευματικαίς, τούς φωστήρας τού κόσμου, καί κήρυκας τής πίστεως, τήν πηγήν τήν αέναον, εξ ής αναβλύζει τοίς πιστοίς τά ιάματα, Αυτών ταίς ικεσίαις, Χριστέ ο Θεός ημών, τήν ειρήνην δώρησαι τώ κόσμω σου, καί ταίς ψυχαίς ημών τό μέγα έλεος.

Δόξα... Καί νύν... Θεοτοκίον

Τών ουρανίων ταγμάτων

Αγιωτέρα αγίων πασών Δυνάμεων, τιμιωτέρα πάσης κτίσεως, Θεοτόκε, Δέσποινα τού κόσμου, σώσον ημάς, τόν Σωτήρα κυήσασα, από πταισμάτων μυρίων, ως αγαθή, καί κινδύνων ταίς πρεσβείαις σου.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

### Οι Μακαρισμοί

Μακάριοι οι ειρηνοποιοί, ότι αυτοί υιοί Θεού κληθήσονται.

Διά βρώσεως εξήγαγε, τού Παραδείσου ο εχθρός τόν Αδάμ, διά Σταυρού δέ τόν ληστήν, αντεισήγαγε Χριστός εν αυτώ, Μνήσθητί μου κράζοντα, όταν έλθης εν τώ βασιλεία σου.

Μακάριοι οι δεδιωγμένοι ένεκεν δικαιοσύνης, ότι αυτών εστιν η βασιλεία τών ουρανών.

Κατανύξεως πηγήν μοι δώρησαι, τή ευσπλαγχνία σου, Χριστέ ο Θεος, παντός με ρύπου τών κακών, τών αμέτρων εκκαθαίρουσαν, καί τής βασιλείας σου, ευεργέτα, μέτοχόν με ποίησον.

Μακάριοί εστε όταν ονειδίσωσιν υμάς, καί διώξωσι, καί είπωσι πάν πονηρόν ρήμα καθυμών ψευδόμενοι ένεκεν εμού.

Τών Αγγέλων σου τά τάγματα, εις ικεσίαν σοι κινούμεν Χριστέ, σώσον οικτείρησον ημάς, δι' αυτών ως υπεράγαθος, πάντα παρορών ημών, τά εν γνώσει, καί αγνοία πταίσματα.

Μαρτυρικόν

Χαίρετε καί αγαλλιάσθε, ότι ο μισθός υμών πολύς εν τοίς ουρανοίς.

Τών αιμάτων υμών, Άγιοι, τοίς οχετοίς τόν νοητόν Φαραώ, εναπεπνίξατε σαφώς, νύν δέ βλύζετε θαυμάτων κρουνούς, πέλαγος ξηραίνοντας νοσημάτων. όθεν μακαρίζεσθε.

Δόξα...

Τόν Πατέρα προσκυνήσωμεν, καί τόν Υιόν δοξολογήσωμεν, καί τό Πανάγιον πιστοί, πάντες Πνεύμα ανυμνήσωμεν, κράζοντες καί λέγοντες, Παναγία Τριάς, σώσον πάντας ημάς.

Καί νύν... Θεοτοκίον.

Η τεκούσα φώς τό άχρονον, εσκοτισμένην τήν ψυχήν μου αεί, ταίς τών δαιμόνων προσβολαίς, φωταγώγησον, Πανάμωμε, καί πυρός τού μέλλοντος, μεσιτείαις θείαις ελευθέρωσον.

top

1-3

Στιχηρά

Ήχος α'

Τών ουρανίων Ταγμάτων

Στίχ. α'. Εάν ανομίας παρατηρήσης, Κύριε, Κύριε τίς υποστήσεται; ότι παρά σοί ο ιλασμός εστιν.

Αμαρτημάτων πελάγει περιαντλουμενος, καί εν βυθώ πταισμάτων, συνεχόμενος όλως, βοώ σοι τώ Δεσπότη. Τών χαλεπών, καί ποικίλων με λύτρωσαι, πειρατηρίων τού βίου, καί τού πυρός τού ασβέστου, Υπεράγαθε.

Στίχ. β'. Ένεκεν τού ονόματός σου υπέμεινά σε, Κύριε, υπέμεινεν η ψυχή μου εις τόν λόγον σου, ήλπισεν η ψυχή μου επί τόν Κύριον.

Βεβυθισμένος υπάρχων εξ απογνώσεως, καί πονηρίας πλήρης, λογισμών εναντίων, πρός σέ μου τάς ελπίδας, Λόγε Θεού, ανεθέμην ο άθλιος, από εχθρών αοράτων, καί Ορατών, επιθέσεώς με λύτρωσαι.

Στίχ. γ'. Από φυλακής πρωϊας μέχρι νυκτός, από φυλακής πρωϊας ελπισάτω Ισραήλ επί τόν Κύριον.

Κατοικτειρήσας ο Κτίστης άπαν τό ποίημα, διά φιλανθρωπίας, καί αφάτου πτωχείας, ο αίρων τήν τού κόσμου, Λόγε Θεού, αμαρτίαν ως εύσπλαγχνος, άρον καμού τό φορτίον, καί τόν κλοιόν, τόν βαρύτατον ελάφρυνον.

Έτερα τού Προδρόμου

Πανεύφημοι Μάρτυρες

Στίχ. δ'. Ότι παρά τώ Κυρίω τό έλεος, καί πολλή παρ' αυτώ, λύτρωσις. καί αυτός λυτρώσεται τόν Ισραήλ έκ πασών τών ανομιών αυτού.

Προφήτα θαυμάσιε Χριστού, Βαπτιστά καί Πρόδρομε, τήν ξηρανθείσαν καρδίαν μου, τοίς ατοπήμασι, ποταμούς δακρύων, αενάως ποίησον, προχέειν δυσωπώ σε πρεσβείαις σου, όπως σωζόμενος, διά σού ο πολυώδυνος, μεγαλύνω τόν σέ μεγαλύναντα.

Στίχ. ε'. Αινείτε τόν Κύριον πάντα τά έθνη, επαινέσατε αυτόν, πάντες οι λαοί.

Προφήτα μακάριε πρός σέ, τάς ελπίδας πάσας μου, καί τήν ζωήν ανατίθημι, τής προσδοκίας μου, ο Χριστόν βαπτίσας, Ιησούν τήν άβυσσον, τόν αίροντα τού κόσμου τά πταίσματα, τούτον ικέτευε, Ιωάννη τήν καρδίαν μου, δυσωπώ σε, καθάραι καί σώσαί με.

Στίχ. ς'. Ότι εκραταιώθη τό έλεος αυτού εφ' ημάς, καί η αλήθεια τού Κυρίου μένει εις τόν αιώνα.

Ο κήρυξ τής χάριτος Χριστού, ο πάσι μετάνοιαν, προκαταγγείλας τοίς έθνεσι, τήν παναθλίαν μου, καί πεπωρωμένην, ψυχήν, θείε Πρόδρομε, προσμένειν μετανοία ευόδωσον, καί τά θελήματα, τού Κυρίου πράττειν πάντοτε, ίνα πίστει καί πόθω δοξάζω σε.

Δόξα... Καί νύν... Θεοτοκίον

Φωτός ενδιαίτημα Αγνή, μόνη εχρημάτισας, τού εκ Πατρός αναλάμψαντος, όθεν κραυγάζω σοι. Τήν εσκοτισμένην, ψυχήν μου τοίς πάθεσι, φωτί τών αρετών καταφαίδρυνον, καί εν σκηνώμασι, φωτεινοίς σου κατασκήνωσον, εν ημέρα τής κρίσεως Άχραντε.

Απόστιχα Κατανυκτικά

Ότι τό πέλαγος πολύ, τών παραπτωμάτων μου Σωτήρ, καί δεινώς βεβύθισμαι ταίς πλημμελείαις μου, δός μοι χείρα, σώσόν με, ως τώ Πέτρω ο Θεός, καί ελέησόν με.

Στίχ. Α'. Πρός σέ ήρα τούς οφθαλμούς μου, τόν κατοικούντα εν τώ ουρανώ. Ιδού, ως οφθαλμοί δούλων εις χείρας τών κυρίων αυτών, ως οφθαλμοί παιδίσκης εις χείρας τής κυρίας αυτής, ούτως οι οφθαλμοί ημών πρός Κύριον τόν Θεόν ημών, έως ού οικτιρήσαι ημάς.

Ότι εννοίαις πονηραίς, καί έργοις καταδεδίκασμαι Σωτήρ, λογισμόν μοι δώρησαι, επιστροφής ο Θεός, ίνα κράζω. Σώσόν με, Ευεργέτα αγαθέ, καί ελέησόν με.

Μαρτυρικόν

Στίχ. Β'. Ελέησον ημάς, Κύριε, ελέησον ημάς, ότι επί πολύ επλήσθημεν εξουδενώσεως, επί πλείον επλ ήσθη η ψυχή ημών, τό όνειδος τοίς ευθηνούσι, καί η εξουδένωσις τοίς υπερηφάνοις.

Η εν σταδίω υμών ομολογία, Άγιοι, τών δαιμόνων κατέπτηξε τήν δύναμιν, καί τής πλάνης τούς ανθρώπους ηλευθέρωσε, διό καί τάς κεφαλάς αποτεμνόμενοι εκράζετε. Γενέσθω Κύριε, η θυσία τών ψυχών ημών, ευπρόσδεκτος ενώπιόν σου, ότι σέ ποθήσαντες, κατεφρονήσαμεν τής προσκαίρου ζωής φιλάνθρωπε.

Δόξα... Καί νύν... Θεοτοκίον

Αμαρτωλών τάς δεήσεις προσδεχομένη, καί θλιβομένων στεναγμόν μή παρορώσα, πρέσβευε τώ εξ αγνών λαγόνων σου, σωθήναι ημάς, Παναγία Παρθένε.

Μετά τήν α' Στιχολογίαν

Καθίσματα Κατανυκτικά

Ήχος α'

Εν ανομίαις συλληφθείς, εγώ ο άσωτος, ου τολμώ ατενίσαι εις τό ύψος τού ουρανού, αλλά θαρρών εις τήν φιλανθρωπίαν σου, κράζω, ο Θεός ιλάσθητί μοι, καί σωσόν με.

Ει ο δίκαιος μόλις σώζεται, εγώ πού φανούμαι ο αμαρτωλός; τό βάρος καί τόν καύσωνα τής ημέρας ουκ εβάστασα, τοίς περί τήν ενδεκάτην ώραν, συναρίθμησόν με ο Θεός, καί σώσόν με.

Δόξα... Καί νύν... Θεοτοκίον

Άρρηκτον τείχος κεκτημένοι πιστοί, τήν Θεοτόκον Μαρίαν, δεύτε προσπέσωμεν αυτή, παρρησίαν γάρ έχει πρός τόν τεχθέντα εξ αυτής, τού πρεσβεύειν καί σώζειν από οργής, καί θανάτου τάς ψυχάς ημών.

Μετά τήν β' Στιχολογίαν, έτερα

Τό τάφον σου Σωτήρ

Αγκάλας πατρικάς, διανοίξαί μοι σπεύσον, ασώτως τόν εμόν κατηνάλωσα βίον, εις πλούτον αδαπάνητον, αφορών τών οικτιρμών σου Σωτήρ, νύν πτωχεύουσαν, μή υπερίδης καρδίαν, σοί γάρ, Κύριε, εν κατανύξει κραυγάζω. Ημάρτηκα, σώσόν με.

Τό βήμά σου φρικτόν, καί η κρίσις δικαία, τά έργα μου δεινά, αλλ' αυτός, Ελεήμον, προφθάσας με διάσωσον, καί κολάσεως λύτρωσαι, ρύσαι, Δέσποτα, τής τών ερίφων μερίδος, καί αξίωσον, εκ δεξιών σού με στήναι, Κριτά δικαιότατε.

Δόξα... Καί νύν... Θεοτοκίον, όμοιον

Απόθου, ώ ψυχή, ραθυμίας τόν ύπνον, καί άναψον φαιδράν, μετανοίας λαμπάδα, καί έξελθε νύν χαίρουσα, τής τού βίου συγχύσεως, εις απάντησιν τού αθανάτου Νυμφίου. Δέξαι, λέγουσα, καί μή απώση με, Λόγε, λιταίς τής τεκούσης σε.

Μετά τήν γ' Στιχολογίαν, έτερα

Τόν τάφον σου Σωτήρ

Ο πάλαι ταίς ροαίς, Ιορδάνου βαπτίσας, τήν κάθαρσιν παντός, Ιωάννη τού κόσμου, πολλοίς με βυθιζόμενον, πλημμελήμασιν έλκυσον, καί απόπλυνον, από παντοίας κηλίδος, τόν φιλάνθρωπον, διά παντός ικετεύων, ως πρέσβυς ευπρόσδεκτος.

Μαρτυρικόν

Τού λίθου σφραγισθέντος

Ως καλοί στρατιώται ομοφρόνως πιστεύσαντες, τάς απειλάς τών, τυράννων μή πτοουμενοι, Άγιοι, προσήλθετε προθύμως τώ Χριστώ, αράμενοι τόν τίμιον Σταυρόν, καί τελέσαντες τόν δρόμον, εξ ουρανού τήν νίκην εδέξασθε. Δόξα τώ ενισχύσαντι υμάς, δόξα τώ στεφανώσαντι, δόξα τώ δωρουμένω δι' υμών, πάσιν ιάματα.

Δόξα... Καί νύν... Θεοτοκίον

Τόν τάφον σου Σωτήρ

Νηδύϊ μητρική, Ιωάννης σκιρτήσας, φερόμενον Αγνή, τόν Θεόν εν γαστρί σου, επέγνω θεία χάριτι, καί πιστώς προσεκύνησεν, αλλά δέομαι, σύν τώ Προδρόμω, Παρθένε, καθικέτευσον, όν εσωμάτωσας Λόγον, σωθήναι, τόν δούλόν σου.

Κανών Κατανυκτικός, ού η Ακροστιχίς.

(άνευ τών Θεοτοκίων)

Δέχοις τεούς δε, τούς εμούς λόγους, Ιωσήφ

Ωδή α'  Ήχος α'  Ο Ειρμός

Ωδήν επινίκιον, άσωμεν πάντες, Θεώ τώ ποιήσαντι, θαυμαστά τέρατα, βραχίονι υψηλώ, καί σώσαντι τόν Ισραήλ, ότι δεδόξασται.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Δουλούμενος πάθεσι, τής αμαρτίας, προσπίπτω σοι Κύριε, όπως αποδείξης με, τούτων ελεύθερον, δοξάζοντά σου εκτενώς, τήν αγαθότητα.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Επλήγην ο άθλιος, τής αμαρτίας, ρομφαία καί τέθνηκα, καί ορών με. κείμενον, εχθρός αγάλλεται, ο αναστήσας τούς νεκρούς, ζώωσον, σώσόν με.

Μαρτυρικά

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Χοροί εδοξάσθησαν, τών αθλοφόρων, σεπτοίς αυτών μέλεσι, τόν Χριστόν δοξάσαντες, σάρκα φορέσαντα, καί διά πάθους τήν φθοράν εξαφανίσαντα.

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Οι πύργοι καί πρόμαχοι, τής Εκκλησίας, οι ένδοξοι μάρτυρες, προσβολαίς ακλόνητοι, εχθρού διέμειναν. Αυτών πρεσβείαις ο Θεός, ζώωσον πάντας ημάς.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε σώσον ημάς.

Ως θρόνος πυρίμορφος, φέρεις τόν κτίστην, ως έμψυχος θάλαμος, καί τερπνόν παλάτιον, τόν βασιλέα χωρείς, γενόμενον όπερ εσμέν, δίχα τροπής καί φυρμού.

Έτερος κανών τού Προδρόμου, ού η Ακροστιχίς.

Φωνής άκουσον τών βοώντων σοι Μάκαρ. Ιωσήφ.

Ειρμός ο αυτός

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Φωνή εχρημάτισας, τού Λόγου, Μάκαρ, διό τάς φωνάς ημών, άς πρός σέ ποιούμεθα, προσδέχου Πρόδρομε, ελευθερών ημάς κακών, τή μεσιτεία σου.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Ως όρθρος ως ήλιος, εξανατείλας, φωτίζεις τά πέρατα, καί σκοτίζεις πνεύματα, τά πονηρότατα, διό τόν ζόφον τής εμής, ψυχής απέλασον.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Νεκροίς τήν ζωήν ημών, ελευσομένην, εκήρυξας Πρόδρομε, διό καί τα νεκρούντα με πάθη θανάτωσον, δείξον θείας κοι νωνόν, Μάκαρ λαμπρότητος.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε σώσον ημάς.

Η μόνη τόν άχρονον, Υιόν εν χρόνω, τεκούσα σαρκούμενον, Παναγία Δέσποινα, πάντα τά χρόνια, τής παναθλίας μου ψυχής, πάθη θεράπευσον.

Ωδή γ'  Ο Ειρμός

Λίθον όν απεδοκίμασαν, οι οικοδομούντες, ούτος εγενήθη, εις κεφαλήν γωνίας, αυτός εστιν η πέτρα, εν ή εστερέωσε, τήν Εκκλησίαν ο Χριστός, ήν εξ εθνών εξηγοράσατο.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ίδε τήν εμήν ασθένειαν, ο φορέσας ταύτην, ίδε τής ψυχής μου, τήν δεινήν αμορφίαν, πρόσχες τή φωνή μου, Χριστέ πολυέλεε, καί μεταποίησον αυτής, τό ειδεχθές, εις ευμορφίαν Σωτήρ.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Σώσον Ιησού τόν άσωτον, σώσόν με τόν μόνον, σού τούς σωτηρίους, παραβάντα νόμους, καί πάσαν αμαρτίαν, αλόγως τελέσαντα, καί υπαχθέντα λογισμοίς, σού Αγαθέ αλλοτριούσί με.

Μαρτυρικά

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Τάξις Ασωμάτων Άγιοι, τήν υμών ανδρείαν, όντως κατεπλάγη, πώς εν τώ σταδίω, αθλούντες παραδόξως, καί πίπτοντες σώμασιν, ασάρκους πάντας δυσμενείς, θεία ροπή κατηδαφίσατε.

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Έτι τών πληγών τοίς αίμασι, περιηνθισμένοι, έτι τών αιμάτων τώ λύθρω Αθλοφόροι, σταζόμενοι Κυρίω, παρέστητε χαίροντες, τώ αθανάτω Βασιλεί, νικητικώς καταστεφόμενοι.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε σώσον ημάς.

Τίκτεις, όν Πατήρ εγέννησε, πάντων πρό αιώνων, τρέφεις τόν τροφέα, πείραν ανδρός μή γνούσα, Παράδοξον τό θαύμα! και νόν τό μυστήριον, θεοχαρίτωτε! διό πάσα πιστών ψυχή δοξάζει σε.

Κανών τού Προδρόμου

Ειρμός ο αυτός

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Στείρας εξ ακάρπου Πρόδρομε, ιερώς βλαστήσας, ώφθης καρποφόρος, γεωργίαις θείαις, διό μου τήν καρδίαν, παντοίων στειρεύουσαν, εύτεκνον ποίησον καλών, όπως πιστώς αεί δοξάζω σέ.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Άρτω ουρανίω στήριξον, τήν εμήν καρδίαν, Μάκαρ, παρειμένην, ταίς πονηραίς μελέταις, καί δίδου μοι προθύμως, ποιείν τά θελήματα, τού πανοικτίρμονος Θεού, όπως πιστώς αεί δοξάζω σε.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Κόσμου αμαρτίαν αίροντα, τόν Αμνόν κηρύξας, τών αμαρτιών μου, τό βαρύ φορτίον, μακάριε Προφήτα, ελάφρυνον δέομαι, κατάνυξίν μοι χορηγών, ρύπου παθών αποκαθαίρουσαν.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε σώσον ημάς.

Όλον τόν Αδάμ εφόρεσεν, εκ σού Θεοτόκε, όλος σαρκοφόρος, προελθών ο Λόγος. Αυτόν ούν, Θεοτόκε, δυσώπει με ρύσασθαι, εκ πειρασμών παντοδαπών, καί τού πυρός τού αιωνίζοντος.

Ωδή δ'  Ο Ειρμός

Εν Πνεύματι προβλέπων, προφήτα Αββακούμ, τήν τού Λόγου σάρκωσιν, εκήρυττες βοών. Εν τώ εγγίζειν τά έτη επιγνωσθήση, εν τώ παρείναι τόν καιρόν αναδειχθήση, δόξα τή δυνάμει σου Κύριε.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Όν έδωκάς μοι πλούτον, εσκόρπισα κακώς, εκτελών τά άτοπα, καί γέγονα γυμνός, ενδεδυμένος τά έργα τής ατιμίας, διό βοώ σοι. Καταφαίδρυνον στολαίς με, θεία κατανύσσων με χάριτι.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Υπήχθην απονοία, καί πέπτωκα δεινώς, καί εις γήν κατάκειμαι, ανίατα νοσών, ανάστησόν με τών πεπτωκότων η στάσις, καί επί πέτραν σωτηρίου μετανοίας, στήριξον Χριστέ τήν καρδίαν μου.

Μαρτυρικά

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Σταυρώ τόν υψωθέντα, μιμούμενοι Χριστόν, ομιλούντες μάστιξιν, ηγάλλοντο ομού, οι Αθλοφόροι, καί τών αιμάτων τοίς όμβροις, πολυθεϊας αναστείλαντες χειμάρρους, ρείθρα Ιαμάτων πηγάζουσι.

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Διέπλευσαν αβρόχως, βασάνων τό σφοδρόν, καί πικρόν κλυδώνιον, οι θείοι Αθληταί, τή κυβερνήσει τής σωτηρίου ελπίδος, καί πρός τούς άνω, προσωρμίσθησαν λιμένας, πάσης θυμηδίας πληρούμενοι.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε σώσον ημάς.

Εξέστησαν ορώσαι, Αγγέλων στρατιαί, πώς ο αθεώρητος, μορφή τή καθημάς, εκ σού ωράθη, Παρθένε Θεοκυήτορ, όν εκδυσώπει σωτηρίας αξιώσαι, πάντας τούς πιστώς σε δοξάζοντας.

Κανών τού Προδρόμου

Ειρμός ο αυτός

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Υφάνας σωτηρίου, ιμάτιον σαυτώ, τή γυμνώσει σώματος, Κυρίου Βαπτιστά, γεγυμνωμένον πάσης αγαθοεργίας, επένδυσόν με δυσωπώ δικαιοσύνης, καί αγαλλιάσεως ένδυμα.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Σταγόνα σωτηρίας, επόμβρισον καμοί, τηκομένω Πρόδρομε, αυχμώ τών ηδονών, ο καταδύσας εν ταίς ροαίς Ιορδάνου, τρυφής χειμάρρουν, Ιησούν τόν ζωοδότην, όπως κατά χρέος δοξάζω σε.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Ουκ Άγγελος ου πρέσβυς, διέσωσεν ημάς, αλλ' αυτός ο Κύριος, ελθών επί τής γής, ού τάς ευθείας οδούς ητοίμασας, Μάκαρ, όν νύν δυσώπει, υποδείξαί μοι τήν τρίβον, τήν πρός Βασιλείαν εισάγουσαν.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε σώσον ημάς.

Ναός ηγιασμένος εδείχθης τού Θεού, τού εν σοί οικήσαντος, Παρθένε, υπέρ νούν, Αυτόν δυσώπει αμαρτιών, ημάς ρύπου αποκαθάραι, όπως οίκος γνωρισθώμεν, καί κατοικητήριον Πνεύματος.

### Ωδή ε'  Ο Ειρμός

Τήν σήν ειρήνην δός ημίν, Υιέ τού Θεού, άλλον γάρ εκτός σου Θεόν ου γινώσκομεν, τό όνομά σου ονομάζομεν, ότι Θεός ζώντων, καί τών νεκρών υπάρχεις.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Επλήσθην παραπτώσεων, πολλών καί χαλεπών, Δέσποτα οικτίρμον μακρόθυμε, οικτείρησόν με τόν κατάκριτον, καί μή με απορρίψης από τού σού προσώπου.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Τελώνην εδικαίωσας, στενάξαντα, Χριστέ, τούτον ούν καγώ εκμιμούμενος, τύπτω τό στήθος, καί κραυγάζω σοι. Ιλάσθητί μοι, μόνε εύσπλαγχνε καί οικτίρμον.

Μαρτυρικά

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Οι άγιοί σου, Κύριε, φωστήρες απλανείς, ώφθησαν τής πλάνης, διώκοντες νύκτα βαθείαν, καί φωτίζοντες, τήν Οικουμένην πάσαν, θαυμάτων δαδουχίαις.

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Υπέρτιμοι ως λίθοι σε, τήν πέτραν τής ζωής, Δέσποτα, ποθούντες οι Μάρτυρες, διά βασάνων κυλιόμενοι, πάσαν οικοδομίαν, κατέστρεψαν τής πλάνης.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε σώσον ημάς.

Εν δύω ταίς θελήσεσι, τόν ένα τής σεπτής, τέτοκας Τριάδος, Πανάχραντε, φέροντα μίαν τήν υπόστασιν, όν εκτενώς δυσώπει, πάντας ημάς σωθήναι.

### Κανών τού Προδρόμου

Ειρμός ο αυτός

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Τήν έρημον κατώκησας, ως πάλαι Ηλιού, Πρόδρομε Χριστού, διό τήν καρδίαν μου, ερημωθείσαν πλημμελήμασιν, επιμελεία θεία, βελτίωσον Παμμάκαρ.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Ως στύλος απερίτρεπτος, καί βάσις τών πιστών, μέγιστος Χριστού, γενόμενος, Πρόδρομε, τόν λογισμόν μου σαλευόμενον, ταίς μηχαναίς τού πλάνου, απερίτρεπτον δείξον.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Νεκροί ευηγγελίσθησαν, τό φώς τό εκ Φωτός, λάμψαν επί γής, φωτί σου, μακάριε, καί οι εν σκότει εφωτίσθημεν, διό καταύγασόν με, δεινώς αμαυρωθέντα.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε σώσον ημάς.

Βασίλισσαν Παρθένον σε, κηρύττει ο Δαυϊδ, άχραντε Αγνή, διό ικετεύω σε, τής ουρανίου Βασιλείας με, ποίησον κληρονόμον, ίνα σε μακαρίζω.

## Ωδή ς'  Ο Ειρμός

Τόν Προφήτην Ιωνάν, εκμιμούμενος βοώ. Τήν ζωήν μου, Αγαθέ, ελευθέρωσον φθοράς, καί σώσόν με, Σωτήρ τού κόσμου, κράζοντα. Δόξα σοι.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Συνετρίβη τά οστά, τής αθλίας μου ψυχής, καί τώ βάρει τών πολλών, κατεκάμφθην, ηδονών, βοήθει μοι, Χριστέ, η μόνη πάντων βοήθεια.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Εν πελάγει τών δεινών, καί τή ζάλη τών παθών, εμπεσών αναβοώ. Παντοδύναμε Χριστέ, ανάγαγε, τή κραταιά σου χειρί, καί σώσόν με.

Μαρτυρικά

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Μυριόλεκτος πληθύς, τών αγίων αθλητών, μυριάδας νοητών, κατεπάτησαν εχθρών, καί ήνωνται, ταίς μυριάσι τών ουρανίων Νόων.

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Οι ξηράναντες βυθόν, αθεΐας αθληταί, τόν χειμάρρουν τής τρυφής, εκληρώσασθε, διό, ξηράνατε, τάς διεκχύσεις τής αμαρτίας μου.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε σώσον ημάς.

Αγιάσματος σκηνή, δεδειγμένη, Μαριάμ, μιανθείσαν ηδοναίς, τήν αθλίαν μου ψυχήν, αγίασον, καί θείας δόξης μέτοχον ποίησον.

## Κανών τού Προδρόμου

Ειρμός ο αυτός

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Ο μετάνοιαν εν γή, καταγγείλας, Βαπτιστά, μετανοίας μοι οδούς, οδηγούσας με πρός φώς, υπόδειξον, καί τών βαράθρων τή πλάνης ρύσαί με.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Ως τήν άβυσσον ροαίς, καταδύσας ποταμού, τάς αβύσσους τών εμών, αποξήρανον παθών, παρέχων μοι, δακρύων όμβρους, Πρόδρομε, κήρυξ Χριστού.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Νοσημάτων ψυχικών, καί παθών τών σαρκικών, τών τού βίου δυσχερών, καί παντοίων πειρασμών, καί θλίψεων, διάσωσόν με, Κυρίου Πρόδρομε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε σώσον ημάς.

Τήν Μητέρα τού Θεού, καί καλήν εν γυναιξί, δυσωπώ σε εκτενώς, μή παρίδης με, Αγνή, αλλ' οίκτειρον, καί πάσης βλάβης σώον συντήρησον.

Ωδή ζ' Ο Ειρμός

Τούς εν καμίνω παίδάς σου Σωτήρ, ουχ ήψατο, ουδέ παρηνώχλησε τό πύρ, τότε οι Τρείς ως εξ ενός στόματος, ύμνουν καί ευλόγουν λέγοντες. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Υπομονήν εξήσκησεν Ιώβ, καί έμεινε, πάσαις προσβολαίς τού πονηρού ακλόνητος, καθάπερ πύργος ο γενναίος, τούτον ζήλου πάντοτε, καί μηδαμώς, ώ ψυχή, οκλάσης εν τοίς δεινοίς.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Σωματικαίς ηττήθην ηδοναίς, καί γέγονα άλογος, υπάρχων λογικός. Λόγε Θεού, ο διά λόγου Πόρνην σώσας, σώσόν με τόν δείλαιον, ίνα υμνών ευλογώ, τήν σήν αγαθότητα.

Μαρτυρικά

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Λελυτρωμένοι Μάρτυρες σοφοί, τώ Αίματι τού σαρκί παθόντος δι' ημάς, υπέρ αυτού προθύμως είλεσθε, κενώσαι τά οικεία αίματα, διό απαύστως αυτώ συμβασιλεύετε.

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Οικοδομία άθλων ιερών, παλάτιον ώφθητε Σοφοί περιχαρές, εν ώ Χριστός επαναπαύσατο, ο μόνος Βασιλεύς καί Κύριος, ο πρός μονάς ουρανών, μεταβιβάσας υμάς.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε σώσον ημάς.

Εκ γενεών πασών σε ο Χριστός, Πανύμνητε, μόνην ηρετίσατο αυτώ, οία σεμνήν καί καθαράν εις κατοικίαν, καί εκ σού ως ήλιος, εξανατείλας τήν γήν, πάσαν εφώτισεν.

Κανών τού Προδρόμου

Ειρμός ο αυτός

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Ως παλαιάς καί νέας γεγονώς, πανάριστε, ένδοξος μεσίτης, Βαπτιστά, μεσίτευσον παλαιωθέντα αμαρτίαις, όλον καινουργήσαί με, τόν καινουργόν τού παντός, εκδυσωπών Ιησούν.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Νομοθετών μετάνοιαν εν γή, επέφανας, Πρόδρομε Χριστού καί Βαπτιστά, ήν εκτελείν πάντας ενίσχυσον ευχαίς σου, όπως λυτρωθείημεν, εκ τών αμέτρων κακών, ών πλημμελούμεν αεί.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Σύ τήν στενήν διώδευσας οδόν, εγκράτειαν πάσαν μετερχόμενος Σοφέ, καί πλατυσμώ, θεωριών τών φανωτάτων, όλως κατηγλάϊσαι, ών εντρυφάν καί ημάς δίδου, Χριστόν δυσωπών.

Τριαδικόν

Στίχ. Αγία Τριάς ο Θεός ελέησον καί σώσον ημάς.

Ο μοφυή τριάδα οι πιστοί, δοξάζομεν άναρχον Πατέρα καί Υιόν, Πνεύμα ευθές, ισοβασίλειον ουσίαν, μίαν κυριότητα, μίαν αρχήν, καί ζωήν, ζωοποιούσαν ημάς.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε σώσον ημάς.

Ικετηρίαν άχραντε Θεώ, προσάγαγε, όπως παραβλέψηται, ημών τά πταίσματα, καί τάς αμέτρους αμαρτίας, καί διαιωνίζοντος ελευθερώση ημάς, πυρός κολάζοντος.

Ωδή η'  Ο Ειρμός

Όν φρίττουσιν Άγγελοι, καί πάσαι Στρατιαί, ως κτίστην καί Κύριον, υμνείτε Ιερείς, δοξάσατε Παίδες, ευλογείτε λαοί, καί υπερυψούτε εις πάντας τούς αιωνας.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Γυμνόν με ειργάσατο, παντοίων αρετών, ο όφις ο δόλιος, κακίστη συμβουλ ή, στολαίς εναρέτοις καταφαίδρυνον νύν, ο γυμνώσας τούτου, Σωτήρ μου τήν κακίαν.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ο κρίναι ερχόμενος, τό γένος τών βροτών, Κριτά δικαιότατε, εν ώρα φοβερά, κατάκριτον όντα, μή εκπέμψης με, εις πύρ τό τής γεέννης, αλλ' οίκτειρον καί σώσον.

Μαρτυρικά

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Υμάς παναοίδιμοι, Κυρίου Αθληταί, ου θλίψις, ου κίνδυνος, ου ξίφος, ουδέ πύρ εχώρισεν, όλως τής αγάπης Χριστού, τού δι' ευσπλαγχνίαν, ημάς ηγαπηκότος.

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Σαρκί συμπλεκόμενοι, ασάρκω δυσμενεί, αυτόν κατεβάλετε, γενναίοι Αθληταί, καί σύν Ασωμάτοις συγχορεύετε, ιώμενοι πάθη, ψυχών τε καί σωμάτων.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε σώσον ημάς.

Ως κρίνον κοιλάσι, τού βίου ευρηκώς, εν σοί κατεσκήνωσεν, ο πάντων φυτουργός, οσμαίς εναρέτοις καί σεμνότητος νύν, κατευωδιάζων, ημάς Θεογεννήτορ.

Κανών τού Προδρόμου

Ο Ειρμός

Τόν τούς υμνολόγους εν καμίνω, διαφυλάξαντα Παίδας, καί τήν βροντώσαν κάμινον, μεταβαλόντα εις δρόσον, Χριστόν τόν Θεόν υμνείτε, καί υπερυψούτε αυτόν εις τούς αιώνας.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Μόνος υπέρ πάντας πλημμελήσας, τούς επί γής γεννηθέντας, μόνος γεγένημαι, παραβάτης τών σών νόμων, Κύριε, διό με διά τού Προδρόμου, οικτείρησον καί σώσον.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Άγγελος τοίς τρόποις ανεδείχθης, Βαπτιστά Ιωάννη, βουλής τόν Άγγελον τής μεγάλης κηρύττων τοίς πέρασι, διό σε ανυμνολογούμεν, εις πάντας τούς αιώνας.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Κάραν εκτμηθείς αδίκως, Μάκαρ, ο καταδύσας τήν κάραν, Χριστού εν ύδασιν, ενδυνάμωσον πάντας πρεσβείαις σου, τού πλάνου συμπατείν τήν κάραν, τήν όντως ολεθρίαν.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Άπασι τάς τρίβους τάς φερούσας, πρός τάς θείας εισόδους, Μάκαρ, υπόδειξον, εν αυταίς, όπως περιπατήσαντες, νυμφώνος θείου κληρονόμοι, γενώμεθα ευχαίς σου.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε σώσον ημάς.

Ρύσαί με ατόπου αμαρτίας, καί φλογός τής γεέννης, σκότους κολάζοντος, καί βρυγμού τών οδόντων, καί σκώληκος, Παρθένε, μόνη προστασία, τού γένους τών ανθρώπων.

Ωδή θ'  Ο Ειρμός

Τήν φωτοφόρον νεφέλην, εν ή ο πάντων Δεσπότης, ως υετός εξ ουρανού, επί πόκον κατήλθε, καί εσαρκώθη δι' ημάς, γενόμενος άνθρωπος ο άναρχος, μεγαλύνωμεν πάντες, ως Μητέρα τού Θεού ημών αγνήν.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ιδού καιρός μετανοίας, καί καθαράς εργασίας, ιδού ημέρα του φωτός, επεργάζου τά έργα, φεύγε τό σκότος τών παθών, τόν ύπνον εκδίωξον, τής κακίστης ραθυμίας, ψυχή μου, όπως γένη θείου φέγγους κοινωνός.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ως ο Τελώνης στενάζω, ώσπερ η Πόρνη δακρύω, ως ο Ληστής αναβοώ, Μνήσθητί μου, οικτίρμον, καί ως ο Άσωτος υιός, κραυγάζω τό, Ήμαρτον, προσπίπτω σοι, ώσπερ η Χαναναία, Ελεήμον, μή παρίδης με, Χριστέ.

Μαρτυρικά

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Σωματικών παθημάτων, καί ψυχικών συντριμμάτων, ώφθητε όντως ιατροί, παραδόντες τό σώμα πρός αικισμούς καρτερικώς, πρός βίαιον θάνατον, πανεύφημοι Αθληταί τού Κυρίου, διά τούτο μακαρίζεσθε αεί.

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ηλιακών λαμπηδόνων, εναπαστράψασα πλέον, η καρτερία τών σοφών, τού Χριστού Αθλοφόρων, σκότους τόν άρχοντα σαφώς, ηφάνισαν χάριτι, καί έλυσαν αθεϊας τήν νύκτα, καί καρδίας κατεφώτισαν πιστών.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε σώσον ημάς.

Φωτιστικαίς λαμπηδόσι, τού ανατείλαντος Λόγου, εκ τής αγίας σου γαστρός, Θεοτόκε Παρθένε, καί καταυγάσαντος τής γής τά πέρατα, φώτισον τήν ψυχήν μου, ηδονών αμαυρώσει σκοτισθείσαν, ίνα πίστει σε υμνώ.

Κανών Τού Προδρόμου

Ειρμός ο αυτός

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Ιδού ο λύχνος ο φαίνων, τοίς εν τώ σκότει τού βίου, η καλλικέλαδος ιδού χελιδών, η τό έαρ πάσι μηνύουσα Χριστόν, ο μέγιστος Πρόδρομος, μεσίτης τε παλαιάς καί τής νέας, ού πρεσβείαις φυλαττόμεθα αεί.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Ως τού νυμφίου σε φίλον, νυνί προβάλλομαι πρέσβυν, έχων πληθύν αμαρτιών, βοώ σοι, Βαπτιστά, Αποκοπήν μοι τών χρεών, Παμμάκαρ πρυτάνευσον, καί άναψον τής ψυχής μου τόν λύχνον, εσβεσμένον αμελεία παντελώς.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Σύν ασωμάτοις Αγγέλοις, σύν τοίς σεπτοίς Αποστόλοις, σύν Αθλοφόροις ιεροίς, σύν Προφήταις, Προφήτα, τόν υπεράγαθον Θεόν, ικέτευε πάντοτε, τυχείν ημάς αγαθών αιωνίων, τούς πλουτούντάς σε προστάτην αγαθόν.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Ηχελιδών η ωραία, η αηδών η τιμία, περιστερά η παγκαλής, η φιλέρημος τρυγών, ο τού Κυρίου Βαπτιστής, ερήμου τό βλάστημα, τήν έρημον ακαρπία, ψυχήν μου γεγονυίαν, δείξον γόνιμον καλών.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε σώσον ημάς.

Φέρεις τον φέροντα πάντα, χερουβικός ώσπερ θρόνος, τρέφεις τόν τρέφοντα ημάς, όν απαύστως δυσώπει, Θεοχαρίτωτε αγνή, σεισμού καταπτώσεως, αλώσεως, καί παντοίας ανάγκης, σού τήν ποίμνην εκλυτρώσασθαι αεί.

Απόστιχα Κατανυκτικά τών Αίνων

Ήχος α'

Άλλος σε κόσμος, ψυχή, αναμένει, καί Κριτής, τά σά μέλλων δημοσιεύειν κρυπτά καί δεινά, μή ούν εμμείνης τοίς ώδε, αλλά πρόφθασον βοώσα τώ Κριτή, ο Θεός ιλάσθητί μοι, καί σώσόν με.

Στίχ. α'. Ενεπλήσθημεν τό πρωϊ τού ελέους σου, Κύριε, καί ηγαλλιασάμεθα καί ηυφράνθημεν έν πάσαις ταίς ημέραις ημών. Ευφρανθείημεν, ανθών ημερών εταπείνωσας ημάς, ετών, ών είδομεν κακά, καί ίδε επί τούς δούλους σου καί επί τά έργα σου, καί οδήγησον τούς υιούς αυτών.

Μή αποδοκιμάσης με, Σωτήρ μου, τή ραθυμία τής αμαρτίας συνεχόμενον, διέγειρόν μου τόν λογισμόν πρός μετάνοιαν, καί τού σού αμπελώνος εργάτην δόκιμον ανάδειξόν με, δωρούμενός μοι τής ενδεκάτης ώρας τόν μισθόν, καί τό μέγα έλεος.

Στίχ. β'. Καί έστω η λαμπρότης Κυρίου τού Θεού ημών εφ' ημάς, καί τά έργα τών χειρών ημών κατεύθυνον εφ' ημάς, καί τό έργον τών χειρών ημών κατεύθυνον.

Μαρτυρικόν

Ούτοι οι Στρατιώται τού Βασιλέως τού μεγάλου, αντέστησαν τοίς δόγμασι τών τυράννων, γενναίως κατεφρόνησαν τών βασάνων, καί τήν πλάνην πάσαν πατήσαντες, αξίως στεφανωθέντες, αιτούνται παρά τού Σωτήρος ειρήνην, καί ταίς ψυχαίς ημών τό μέγα έλεος.

Δόξα... Καί νύν... Θεοτοκίον

Πανεύφημοι μάρτυρες

Παρθένε πανύμνητε Μωσής, τό εν σοί μυστήριον, προφητικοίς είδεν όμμασι, βάτον τήν άφλεκτον, είπερ καιομένην, πύρ γάρ τής θεότητος, τήν μήτραν σου, Αγνή, ου κατέφλεξε. Διό αιτούμέν σε, ως Μητέρα τού Θεού ημών, τήν ειρήνην τώ κόσμω δωρήσασθαι.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Οι Μακαρισμοί

Μακάριοι οι ειρηνοποιοί, ότι αυτοί υιοί Θεού κληθήσονται.

Διά βρώσεως εξήγαγε τού Παραδείσου ο ε χθρός τόν Αδάμ, διά Σταυρού δέ τόν Ληστήν, αντεισήγαγε Χριστός εν αυτώ, Μνησθητί μου κράζοντα, όταν έλθης εν τή Βασιλεία σου.

Μακάριοι οι δεδιωγμένοι ένεκεν δικαιοσύνης, ότι αυτών εστιν η βασιλεία τών ουρανών.

Καθ' εκάστην αμαρτάνοντα, καί παραβαί νοντα τάς σάς εντολάς, επίστρεψόν με ο Θεός, καί κολάσεως εξάρπασον, όπως σού τήν άφατον, ευσπλαγχνίαν δοξάζω, Φιλάνθρωπε.

Μακάριοί εστε όταν ονειδίσωσιν υμάς, καί διώξωσι, καί είπωσι πάν πονηρόν ρήμα καθυμών ψευδόμενοι ένεκεν εμού.

Λύχνος ώφθης, θείε Πρόδρομε, προπορευόμενος αδύτου φωτός, τού εκ νεφέλης φωτεινής, ανατείλαντος αρρήτως ημίν. Τούτον ούν ικέτευε, καταυγάσαι ψυχάς τών τιμώντων σε.

Μαρτυρικόν

Χαίρετε καί αγαλλιάσθε, ότι ο μισθός υμών πολύς εν τοίς ουρανοίς.

Υπομείναντες πολύπλοκα, βάσανα Μάρτυρες πανεύφημοι, επουρανίων αγαθών, εν υψίστοις ηξιώθητε, όθεν μακαρίζεσθε, υπό πάντων ανθρώπων εκάστοτε.

Δόξα...

Τόν Πατέρα προσκυνήσωμεν, καί τόν Υιόν δοξολογήσωμεν, καί τό πανάγιον πιστοί, πάντες Πνεύμα ανυμνήσωμεν, Μνήσθητί μου κράζοντες, ομοούσιε Τριάς, καί Μονάς ο Θεός.

Καί νύν... Θεοτοκίον

Μετά τόκον αειπάρθενος, ως πρό τού τόκου εφυλάχθης, Αγνή, Θεόν γεννήσασα σαρκί, όν δυσώπει σαρκικών ημάς, Άχραντε λυτρώσασθαι, ψυχικών τε παθών ικετεύομεν.

top

1-4

Στιχηρά Προσόμοια Σταυρώσιμα

Ήχος α'

Πανεύφημοι μάρτυρες υμάς.

Στίχ. α'. Εάν ανομίας παρατηρήσης, Κύριε, Κύριε τίς υποστήσεται; ότι παρά σοί ο ιλασμός εστιν.

Παλάμας αχράντους σου Χριστέ, ξύλου ήπλωσας, καί τούς δακτύλους ημάτωσας, θέλων λυτρώσασθαι, τών θείων χειρών σου, τό έργον φιλάνθρωπε, Αδάμ τόν παραβάσει κρατούμενον, εις τά βασίλεια, τού θανάτου, όν καί ήγειρας, εξουσία τή παντοδυνάμω σου.

Στίχ. β'. Ένεκεν τού ονόματός σου υπέμεινά σε, Κύριε, υπέμεινεν η ψυχή μου εις τόν λόγον σου, ήλπισεν η ψυχή μου επί τόν Κύριον.

Σταυρώ προσηλούμενος Χριστέ, ο Θεός ως άνθρωπος, ανθρώπων φύσιν εθέωσας, καί τόν αρχέκακον, θανατώσας όφιν, ημάς ηλευθέρωσας, αράς τής εκ τού ξύλου ως εύσπλαγχνος, αρά γενόμενος, καί τώ Κόσμω παρεχόμενος, ευλογίαν, καί τό μέγα έλεος.

Στίχ. γ'. Από φυλακής πρωϊας μέχρι νυκτός, από φυλακής πρωϊας ελπισάτω Ισραήλ επί τόν Κύριον.

Ο πάσης επέκεινα τιμής, χρηματίζων Δέσποτα, ατιμασθήναι ηυδόκησας, τόν επονείδιστον, υποστάς Οικτίρμον, εν τώ ξύλω θάνατον, δι' ού αθανασίαν ετρύγησε, γένος ανθρώπινον, καί ζωήν τήν πρίν απείληφε, σού θανόντος, σαρκί παντοδύναμε.

Στίχ. δ'. Ότι παρά τώ Κυρίω τό έλεος, καί πολλή παρ' αυτώ, λύτρωσις, καί αυτός λυτρώσεται τόν Ισραήλ έκ πασών τών ανομιών αυτού.

Ο δύνης με λύτρωσαι πικράς, τών ποδών μου Πάναγνε, καί τών γονάτων παρέσεως, άρθρων τε θραύσεως, καί αρμών χειρών τε, καί ποδών εκλύσεως, καί βλάβης διαφόρων ρευμάτων δέ, εν πάσι τούτοις με, ακηλίδωτον φυλάττουσα, εν αγάπη, του Θεού καί πλάστου μου.

Στίχ. ε'. Αινείτε τόν Κύριον πάντα τά έθνη, επαινέσατε αυτόν, πάντες οι λαοί.

Υπέκυψα πάθεσι δεινοίς, ο δεινός καί πέπραχα, αισχύνης έργα πανάσωτα, εξ ών καί έτι νύν, φαντασία τούτων, καί αισχρά με είδωλα, κλονούσιν, αλλοιούσι, καί τρέπουσι, πρός ηδυπάθειαν, τών αυτών εν τή αισθήσει μου, τής καρδίας, αλλά σύ με σώσον, Αγνή.

Στίχ. ς'. Ότι εκραταιώθη τό έλεος αυτού εφ' ημάς, καί η αλήθεια τού Κυρίου μένει εις τόν αιώνα.

Ο βίος μου, Πάναγνε, πολλών, πειρασμών ανάπλεως, εκ τών πολλών κακών γέγονεν, ών επλημμέλησα, αλλά σύ κακείνων, καί τούτων με λύτρωσαι, καί δός μοι νύν καί βίον απρόσκοπον, καί λόγον σώφρονα, ίνα πίστει μακαρίζω σε, καί δοξάζω τό θείόν σου όνομα.

Δόξα... Καί νύν...

Σταυροθεοτοκίον, όμοιον

Σφαγήν σου τήν άδικον, Χριστέ, η Παρθένος βλέπουσα, οδυρομένη εβόα σοι. Τέκνον γλυκύτατον, πώς αδίκως πάσχεις; Πώς τώ ξύλω κρέμασαι, ο πάσαν γήν κρεμάσας τοίς ύδασι; Μή λίπης μόνην με, ευεργέτα πολυέλεε, τήν Μητέρα καί δούλην σου δέομαι.

Απόστιχα Σταυρώσιμα

Σταυρός κατεπάγη εν Κρανίω, καί ήνθησεν ημίν αθανασίαν, εκ πηγής αενάου, τής πλευράς τού Σωτήρος.

Στίχ. Α'. Πρός σέ ήρα τούς οφθαλμούς μου, τόν κατοικούντα εν τώ ουρανώ. Ιδού, ως οφθαλμοί δούλων εις χείρας τών κυρίων αυτών, ως οφθαλμοί παιδίσκης εις χείρας τής κυρίας αυτής, ούτως οι οφθαλμοί ημών πρός Κύριον τόν Θεόν ημών, έως ού οικτιρήσαι ημάς.

Άρρηκτον τείχος ημίν εστιν, ο τίμιος Σταυρός ο τού Σωτήρος, εν αυτώ γάρ πεποιθότες, σωζόμεθα πάντες.

Μαρτυρικόν

Στίχ. Β'. Ελέησον ημάς, Κύριε, ελέησον ημάς, ότι επί πολύ επλήσθημεν εξουδενώσεως, επί πλείον επλ ήσθη η ψυχή ημών, τό όνειδος τοίς ευθηνούσι, καί η εξουδένωσις τοίς υπερηφάνοις.

Ώ τής καλής υμών πραγματείας Άγιοι! ότι αίματα εδώκατε καί ουρανούς εκληρονομήσατε, καί πρός καιρόν πειρασθέντες, αιωνίως αγάλλεσθε, όντως καλόν υμών τό εμπόρευμα! φθαρτά γάρ καταλιπόντες, τά άφθαρτα απελάβετε, καί σύν Αγγέλοις χορεύοντες, υμνείτε απαύστως Τριάδα ομοούσιον.

Δόξα... Καί νύν... Σταυροθεοτοκίον

Πανεύφημοι Μάρτυρες

Ρομφαία δι' ήλθεν ώ Υιέ, (η Παρθένος έλεγεν, επί τού ξύλου ως έβλεψε, Χριστόν κρεμάμενον), τήν εμήν καρδίαν, καί σπαράττει Δέσποτα, ως πάλαι Συμεών μοι προέφησεν, αλλά ανάστηθι, καί συνδόξασον, Αθάνατε, τήν Μητέρα, καί δούλην σου δέομαι.

Μετά τήν α' Στιχολογίαν

Καθίσματα Σταυρώσιμα  Ήχος α'

Σώσον, Κύριε, τόν λαόν σου, καί ευλόγησον τήν κληρονομίαν σου, νίκας τοίς Βασιλεύσι, κατά βαρβάρων δωρούμενος, καί τό σόν φυλάττων, διά τού Σταυρού σου πολίτευμα.

Σταυρωθέντος σου Χριστέ, ανηρέθη η τυραννίς, επατήθη η δύναμις τού εχθρού, ούτε γάρ Άγγελος, ουκ άνθρωπος, αλλ' αυτός ο Κύριος έσωσας ημάς. Δόξα σοι.

Δόξα... Καί νύν... Σταυροθεοτοκίον

Οι τήν σήν προστασίαν κεκτημένοι, Άχραντε, καί ταίς σαίς ικεσίαις τών δεινών εκλυτρούμενοι, τώ Σταυρώ τού Υιού σου, εν παντί φρουρούμενοι, καταχρέως σε πάντες, ευσεβώς μεγαλύνομεν.

Μετα τήν β' Στιχολογίαν

Καθίσματα Σταυρώσιμα

Τού λίθου σφραγισθέντος

Τού Σταυρού σου τό ξύλον προσκυνούμεν φιλάνθρωπε, ότι εν αυτώ προσηλώθης, η ζωή τών απάντων. Παράδεισον ηνέωξας Σωτήρ, τώ πίστει προσελθόντι σοι Ληστή, καί τρυφής κατηξιώθη, ομολογών σοι, Μνήσθητί μου, Κύριε. Δέξαι ώσπερ εκείνον καί ημάς, κραυγάζοντας. Ημάρτομεν

πάντες, τή ευσπλαχγνία σου, μή υπερίδης ημάς.

Τόν τάφον σου Σωτήρ

Τό όπλον τού Σταυρού, εν πολέμοις εδείχθη, ποτέ τώ ευσεβεί, Βασιλεί Κωνσταντίνω, αήττητον τρόπαιον, κατ εχθρών διά πίστεως. Τούτο τρέμουσιν, αι εναντίαι δυνάμεις. Τούτο γέγονε, καί τών πιστών σωτηρία, καί Παύλου τό καύχημα.

Δόξα... Καί νύν... Σταυροθετοκίον

Ώ θαύματος καινού! ώ φρικτού μυστηρίου! (εβόα η Αμνάς, καί πανάμωμος Κόρη, εν ξύλω ως εώρακεν, απλωθέντα τόν Κύριον), ο τά σύμπαντα, εν τή δρακί περιφέρων, πώς κατάκριτος, υπό κριτών παρανόμων, σταυρώ κατακρίνεται;

Μετά τήν γ' Στιχολογίαν Καθίσματα

Τόν τάφον σου Σωτήρ

Απλώσας εν Σταυρώ, τάς παλάμας Οικτίρμον, τά έθνη τά μακράν από σού γεγονότα, συνήγαγες δοξάζειν σου, τήν πολλήν αγαθότητα, αλλ' επίβλεψον, επί τήν σήν κληρουχίαν, καί κατάβαλε, τούς καθ ημών πολεμίους, Σταυρώ τώ τιμίω σου.

Μαρτυρικόν

Τάς αλγηδόνας τών Αγίων, άς υπέρ σού έπαθον, δυσωπήθητι, Κύριε, καί πάσας ημών τάς οδύνας, ίασαι, Φιλάνθρωπε, δεόμεθα.

Δόξα... Καί νύν... Σταυροθετοκίον

Τόν τάφον σου, Σωτήρ

Η άσπιλος Αμνάς, τόν Αμνόν καί Ποιμένα, κρεμάμενον νεκρόν, επί ξύλου ορώσα, εν δάκρυσιν εκραύγαζε, μητρικώς αλαλάζουσα. Πώς υμνήσω σου, τήν υπέρ λόγον, Υιέ μου, συγκατάβασιν, καί τά εκούσια πάθη, Θεέ υπεράγαθε;

Κανών Σταυρώσιμος, ού η ακροστιχίς.

Σταυρώ σέσωσμαι τού παθόντος Δεσπότου. ο Ιωσήφ.

Ωδή α' Ήχος α'

Ο Ειρμός Χριστός γεννάται

Πικράς δουλείας ρυσθείς Ισραήλ, τήν άβατον διήλθεν ως ήπειρον, εχθρόν δέ ορών ποντούμενον, ύμνον τώ ευεργέτη άδει Θεώ, τώ τερατουργούντι, βραχίονι υψηλώ, ότι δεδόξασται.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Σταυρώ Χριστέ αναρτώμενος, ανύψωσας πεσόντα τόν άνθρωπον, καί πάσαν εχθρού κατέρραξας, Λόγε τήν δυναστείαν, όθεν τό σόν πάθος αναμέλπω, τού παθόντος καί παθών, λυτρωσαμένου με.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Τής δόξης Κύριος πέφυκας, ο δόξη στεφανώσας τόν άνθρωπον, ακάνθαις, διό κατέστεψαι, τήν ακανθοφορούσαν φύσιν ημών, όπως απεργάση, καρποφόρον φυτουργέ, ενθέων πράξεων.

Μαρτυρικά

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Αγίων δήμος, πανάγιος, νομίμως εναθλήσας τήν σύμπασαν, αιμάτων αγίοις ρεύμασι, κτίσιν καθαγιάσας τάς εναγείς, δαίμοσι θυσίας, φερομένας εν Θεώ Πατρί, ηφάνισαν.

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Υμών πανάγιοι Μάρτυρες, τά νέφη τών βασάνων ουκ έκρυψαν, τά καρτερικά παλαίσματα, όθεν υπέρ Ηλίου μαρμαρυγάς, ένδοξοι οράσθε, απαστράπτοντες σαφώς, αίγλην σωτήριον.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ρομφαία Πάναγνε τέτρωσαι, τό πάθος τού Υιού σου ως έβλεψας, αυτόν τή λόγχη νυττόμενον, καί τήν εν Παραδείσω κωλυτικήν, είργοντα ρομφαίαν, μή διδούσαν τοίς πιστοίς, τήν θείαν είσοδον.

Κανών τής Υπεραγίας Θεοτόκου, έχων Ακροστιχίδα, κατ Αλφάβητον.

Ο Ειρμός

Σού η τροπαιούχος δεξιά, θεοπρεπώς εν ισχΰϊ δεδόξασται, αύτη γάρ, Αθάνατε, ως πανσθενής υπεναντίους έθραυσε, τοίς Ισραηλίταις, οδόν βυθού καινουργήσασα.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Αγιόν σε τέμενος ευρών, ο υπεράγιος Λόγος εσκήνωσεν, Άχραντε, εν μήτρα σου, αγιασμόν καί φωτισμόν καί λύτρωσιν, τών αμαρτημάτων, τοίς σέ τιμώσι δωρούμενος.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Βότρυν η τεκούσα τής ζωής, αναπηγάζοντα οίνον σωτήριον, μέθη σκοτισθέντα με, αμαρτιών, ως συμπαθής σωφρόνισον, καί πρός μετανοίας, οδούς ευθείας εισάγαγε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Γνώμη ολισθαίνοντα αεί, καί λογισμοίς πονηροίς εξελκόμενον, καί δελεαζόμενον φρενοβλαβώς, καί τοίς εχθροίς ευχείρωτον, όλον γεγονότα, μή υπερίδης με, Δέσποινα.

Ωδή γ'  Ο Ειρμός

Τώ πρό τών αιώνων

Μή εν τή σοφία, καί τώ πλούτω καυχάσθω θνητός τώ αυτού, αλλά τή πίστει τού Κυρίου, ορθοδόξως κραυγάζων, Χριστώ τώ Θεώ, καί μέλπων αεί. Επί τήν πέτραν τών σών εντολών, στήριξόν με Δέσποτα.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ώ ρυξάν σου χείρας, Ιησού μου, καί πόδας οι άνομοι, τού τή παλάμη απορρήτως, διαπλάσαντος πρώην, Χριστέ ο Θεός, τόν άνθρωπον, καί διά πάθους, παθών καί φθοράς, πάντας απαλλάξαντος.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Στήτω ανεβόα, Ιησούς η σελήνη καί ήλιος, τήν εν Σταυρώ προδιαγράφων, τού παθόντος Δεσπότου, σαρκί τών φωστήρων έκλειψιν, διού τού σκότους αρχαί πονηραί, παρεδειγματίσθησαν.

Μαρτυρικά

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Έφερον προθύμως, αλγηδόνας οι άγιοι μάρτυρες, τώ τραυματούσθαι τόν Βελίαρ, τραυματίζοντες όφιν στερρώς, όθεν τών ψυχών ημών, τάς αλγηδόνας ιώνται αεί, θείαις επινεύσεσι.

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Στήλας τών Δαιμόνων, καί ναούς εδαφίσαντες μάρτυρες, υπομονή τε καί ανδρείαν, εαυτούς παραδόξως, ναούς ηγείρατε άγιοι, χωρητικούς τού Πατρός, καί Υιού, καί αγίου Πνεύματος.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ώρα τή τού Πάθους, τόν ωραίον εν κάλλει εισβλέψασα, είδος, Παρθένε, ουδέ κάλλος κεκτημένον, εβόας πικρώς, Αγνή, αλαλάζουσα. Οίμοι! πώς πάσχεις Υιέ, εκ παθών, πάντας θέλων ρύσασθαι.

Κανών τής Θεοτόκου
Ο Ειρμος

Ο μόνος ειδώς τής τών βροτών, ουσίας τήν ασθένειαν, καί συμπαθώς αυτήν μορφωσάμενος, περίζωσόν με εξ ύψους δύναμιν, τού βοάν σοι, Άγιος ο ναός ο έμψυχος, τής αφράστου σου δόξης Φιλάνθρωπε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Δεσπότην τεκούσα τού παντός, καί πάντων ούσα Δέσποινα, τής δεσποτείας νύν με εξάρπασον, τών ακαθάρτων παθών πανάμωμε, εμαυτόν αθλίως γάρ, τούτοις κατεδούλωσα, ραθυμία καί γνώμης στρεβλότητι.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Έχουσα αεί τό συμπαθές, ως μόνη συμπαθέστατον, καί αγαθόν κυήσασα Κύριον, ασυμπαθή με όντα καί άσπλαγχνον, μοχθηρία φύσεως, μή παρίδης, Άχραντε, αλλ' επίστρεψον σαίς παρακλήσεσι.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ζάλης με ατόπων λογισμών, κινδύνων τε καί θλίψεων, καί πειρασμών, Παρθένε, εξάρπασον, καί πρός λιμένας, ενθέους ίθυνον, καί γαλήνης πλήρωσον, τήν εμήν διάνοιαν, ικετεύω σε, μόνη Πανύμνητε.

Ωδή δ' Ο Ειρμός
Ράβδος εκ τής ρίζης Ιεσσαί

Ακήκοε πάλαι Αββακούμ, Χριστέ, σού ο θαυμάσιος, τήν ακοήν καί φόβω έκραζεν. Από θαιμάν ο Θεός, καί ο Αγιος ήξεις, όρους εκ δασέος κατασκίου, τού σώσαι σού τούς χριστούς, δόξα τή δυνάμει σου Κύριε.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Στίγματα καί μώλωπας Χριστέ, υπήνεγκας σταυρούμενος, τούς τής καρδίας μου ιώμενος, χολής εγεύσω πικράς, ενηδόνου γεύσεως, τήν φθοροποιόν εξαίρων βλάβην, εν ξύλω δέ προσπαγείς, ξύλου τήν κατάραν ηφάνισας.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Μακράν απωσθέντα από σού, τά έθνη ανυψούμενος, επί Σταυρού πλησίον είλκυσας, κατήλλαξας δέ ημάς τώ Πατρί, Μακρόθυμε, μέσον εμβαλών, οία Μεσί της σαυτόν, καί μέσον τής γής, πάθος ενεγκών επονείδιστον.

Μαρτυρικά

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Αιμάτων θαλάσση μυστική, υμών θεομακάριστοι, σύν τοίς αυτού πάσι στρατεύμασιν, ο νοητός Φαραώ εμπεσών απώλετο, όθεν εν χαρά υμείς σωθέντες, επαγγελίας πρός γήν, ουρανοπολίται γεγόνατε.

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ισχΰϊ νευρούμενοι Χριστού, τό πάθος τό μακάριον, πάθη ποικίλα ανεδέξαντο, εν τή τιμία σαρκί, διά τούτο παύουσι πάθη τών ψυχών καί τών σωμάτων, τών ευφημούντων αυτούς, καί μακαριζόντων εκάστοτε.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τήν άδικον βλέπουσα σφαγήν, Χριστέ, η σέ Κυήσασα, οδυρομένη ανεβόα σοι. Δικαιοκρίτα Υιέ, πώς αδίκως κέκρισαι, θέλων δικαιούν τούς παραβάσει, κατακριθέντας τό πρίν, καί πρός τήν φθοράν ολισθήσαντας;

Κανών τής Θεοτόκου
Ο Ειρμός
Όρος σε τή χάριτι, τή θεία κατάσκιον, προβλεπτικοίς ο Αββακούμ, κατανοήσας οφθαλμοίς, εκ σού εξελεύσεσθαι, τού Ισραήλ προανεφώνει τόν Άγιον, εις σωτηρίαν ημών καί ανάπλασιν.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ήλιον ολόφωτε, νεφέλη κυήσασα, δικαιοσύνης Ιησούν, τόν φωτοδότην καί Θεόν, ψυχήν μου καταύγασον, τήν εν νυκτί τής αμαρτίας υπάρχουσαν, καί ηδονών αμαυρώσει τυφλώττουσαν.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Θήρας με δαιμόνων, καί φθοράς εξάρπασον, επιζητούντων με αεί, κακοποιήσαι δολερώς, ετοίμη βοήθεια Χριστιανών, τών θλιβομένων ανάψυξις, Θεοκυήτορ πανάμωμε Δέσποινα.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ισχύς μου καί ύμνησις, υπάρχει ο Κύριος, όν εξ αιμάτων σου αγνών εκυοφόρησας, Αγνή, αυτόν ούν ικέτευε διά παντός, αγνόν ψυχή τε καί σώματι, συντηρηθήναι, Παρθένε, τόν δούλόν σου.

Ωδή ε'  Ο Ειρμός
Θεός ών ειρήνης
Τό φώς σου τό άδυτον, λάμψον Χριστέ, ταίς καρδίαις τών πίστει υμνούντων σε, ειρήνην παρεχόμενος, ημίν τήν υπέρ νούν, όπως εξ αγνωσίας, νυκτός πρός τήν ημέραν, εντολών σου τρέχοντες, δοξολογώμέν σε Φιλάνθρωπε.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ο ήλιος Σώτερ, γυμνούται φωτός, επί ξύλου γυμνόν σε θεωμενος, κρεμάμενον τόν ύδασι κρεμάσαντα τήν γήν, πέτραι δέ επί πέτραν, ως ήσθοντο αρθέντα, διερράγησαν φόβω, καί τά θεμέλια σεσάλευται.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Υψώθης εν ξύλω, καί ήλοις παγείς, ηματώθης δακτύλους, μακρόθυμε, καί λόγχης διατρήσεσιν ενύγης τήν πλευράν, ιώμενος τό τραύμα Αδάμ, όπερ υπέστη, τή πλευρά υπακούσας, καί παρακούσας τού ποιήσαντος.

Μαρτυρικά
Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Παράδεισος ώφθη, μαρτύρων πληθύς, τής ζωής μέσον έχων τό ξύλον Χριστόν, δι' όν τόν επονείδιστον γενναίω λογισμώ, θάνατον υποστάντες, τόν βρώσει τούς Γενάρχας θανάτωσαντα όφιν, θεία δυνάμει εθανάτωσαν.

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Αιμάτων σταγόσι, Χριστού αθληταί, αθεϊας βυθόν εξηράνατε, καί θείαις αναβλύσεσι θαυμάτων ιερών, παθών τάς αναβλύσεις, ψυχών τε καί σωμάτων αποπαύετε, όθεν αξιοχρέως μακαρίζεσθε.

Σταυροθεοτοκίον
Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φαμβείται εν ξύλω, ορώσα Χριστόν, υψωθέντα βουλήσει η άμεμπτος, καί κλαίουσα εκραύγαζεν. Υιέ μου καί Θεέ, ωδίνας εν τώ τίκτειν λαθούσα, νύν οδύνας υπομένω αδίκως, υπό ανόμων σταυρουμένου σου.

Κανών τής Θεοτόκου
Ο Ειρμός

Ο φωτίσας τή ελλάμψει, τής σής παρουσίας Χριστέ, καί φαιδρύνας τώ Σταυρώ σου, τού κόσμου τά πέρατα, τάς καρδίας φώτισον φωτί, τής σής θεογνωσίας, τών ορθοδόξως υμνούντων σε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Καρποφόρον αρετών, τήν ψυχήν μου ανάδειξον, τούς ακάρπους λογισμούς μου, Παρθένε, διώκουσα, καί τάς συμπνιγούσας με, προρρίζους τέμνουσα ακάνθας, τής αμαρτίας, πανάχραντε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Λόγον θείον δι' Αγγέλου, εν μήτρα εχώρησας, υπέρ λόγον Θεοτόκε, αυτόν ούν δυσώπησον, εξ αλόγων πράξεων, καί ηδονών θανατηφόρων, ελευθερώσαι τούς δούλους σου.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Μαράνασα τώ βλαστώ σου, τήν ξύλω βλαστήσασαν αμαρτίαν, τής καί σαρκός μου φρονήματα μάρανον, παθών ορμήματα, καί τρικυμίας εναντίας, όπως υμνώ σε, Πανύμνητε.

Ωδή ς'  Ο Ειρμός
Σπλάγχνων Ιωνάν

Όλος εκ παθών, αμέτρων συνέχομαι, καί κήτει κακών συγκαταπέπτωκα, αλλ' ανάγαγε, εκ φθοράς ο Θεός με, ως πρίν Ιωνάν, καί εν πίστει τήν απάθειάν μοι δώρησαι, όπως εν φωνή αινέσεως, αληθείας τε πνεύματι θύσω σοι.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ότε Μωϋσής, τάς χείρας επέτασεν, εις ύψος τό σόν πάθος εικόνιζε, τού τανύσαντος επί ξύλου παλάμας, καί τού πονηρού, διολέσαντος τό κράτος τό ολέθριον, όθεν Λυτρωτήν ειδότες σε, καί Σωτήρα υμνούμεν, φιλάνθρωπε.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Νέκρωσιν αρθείς, εν ξύλω υπέμεινας, καί τόν νεκρωτήν ημών ενέκρωσας, καί εζώωσας, τών χειρών σου, Χριστέ τό πλαστούργημα, τήν πλευράν δέ ορυττόμενος εξέβλυσας, δύο ποταμούς αφέσεως, τοίς θελήσεσι δύο υμνούσί σε.

Μαρτυρικά

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Τίμιος υμών, ο θάνατος Άγιοι, ενώπιον νύν Κυρίου γέγονε, τού τιμήσαντος, τοίς τιμίοις αυτού πάντας πάθεσι, καί τόν άτιμον Βελίαρ καταισχύναντος, πάσαις προσβολαίς κολάσεων, κατεάξαι ημάς μηχανώμενον.

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Όλη τή ψυχή, πρός όλα χωρήσαντες, τά είδη σοφοί, τά τών κολάσεων, όλην εύρατε, συμμαχούσαν υμίν τήν βοήθειαν, τού δι' όλου τό ανθρώπινον φορέσαντος, όθεν μεληδόν τεμνόμενοι, καί πυρί ομιλούντες ηγάλλεσθε.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σταύρωσιν τήν σήν, η Πάναγνος βλέπουσα, εβόα, Υιέ, τί τό ορώμενον, ξένον θέαμα; ο τά πάθη νοσούντων ιώμενος, πώς τό πάθος υπομένεις τό καινότατον, τί σοι οι εχθροί απέδωκαν, ευεργέτα, ανθ' ών ευηργέτηνται;

Κανών τής Θεοτόκου
Ο Ειρμός

Εκύκλωσεν ημάς εσχάτη άβυσσος, ουκ έστιν ο ρυόμενος, ελογίσθημεν ως πρόβατα σφαγής, σώσον τόν λαόν σου ο Θεός ημών, σύ γάρ ισχύς, τών ασθενούντων καί επανόρθωσις.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νενέκρωται εχθρός, τώ ζωηφόρω σου, καρπώ, θεοχαρίτωτε, καί πεπάτηται ο άδης προφανώς, καί οι εν δεσμοίς ηλευθερώθημεν, διό βοώ. Τά πάθη λύσον, τά τής καρδίας μου.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ξενούμενον Θεού, διά φαυλότητα, καί πόρρω καθιστάμενον, Παναμώμητε, οικείωσον αυτώ, ξένη μεσιτεία σου, Θεόνυμφε, όπως υμνώ, τά μεγαλεία τής δυναστείας σου.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ο άχρονος Υιός, εν χρόνω γέγονεν, εκ σού αποτικτόμενος, όν ικέτευε τά χρόνια, Αγνή, πάθη θεραπεύσαι τής καρδίας μου, καί πρός ζωήν, τήν αιωνίαν καθοδηγήσαί με.

Ωδή ζ' Ο Ειρμός
Οι Παίδες ευσεβεία

Υπήλθον ως νυμφώνα, τής καμίνου τήν φλόγα τήν άστεκτον, οι δι' ευσέβειαν ποτέ, Παίδες άγιοι δειχθέντες Θεού, καί συμφώνως ανυμνούντες, ύμνον έμελπον, ο τών Πατέρων Θεός, ευλογητός εί.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Δεσπότης ών εκ δούλου, κατεδέξω Ιησού μου ράπισμα ελευθερώ σαί με ζητών, δουλωθέντα τώ αλάστορι, τώ Σταυρώ δέ προσπαγείς, σώζεις με μέλποντα, ο τών Πατέρων Θεός, ευλογητός εί.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Εσείσθη πάσα κτίσις, σταυρουμένου σου, εύσπλαγχνε Κύριε, λόγχη τρωθέντος σου εχθρός, ολοσώματον εδέξατο πληγήν, ο δέ πληγείς Αδάμ υγίωται, αναβοών, ο Θεός, ευλογητός εί.

Μαρτυρικά

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Σταυρώ τετειχισμένος, Αθλοφόρων ο στρατός ο ένθεος, τάς παρατάξεις τού εχθρού εξηφάνισεν εν χάριτι, καί τής νίκης εκβοών, στεφάνους είληφεν, ο τών Πατέρων Θεός, ευλογητός εί.

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Πυρός δυνατωτέραν, κεκτημένοι Αθληταί προαίρεσιν, ου κατεφλέχθητε πυρί ομιλούντες, αλλ' εφλέξατε δυσσεβείας πονηράν ύλην, κραυγάζοντες, ο τών Πατέρων Θεός, ευλογητός εί.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ο Τόκος σου Παρθένε, τούς αιώνας παραδόξως έτεκε, καί υψωθείς εν
τώ Σταυρώ, τούς πεσόντας συνανύψωσε, καί βοώντας ουρανού πολίτας έδειξεν, ο τών Πατέρων Θεός, ευλογητός εί.

Κανών τής Θεοτόκου
Ο Ειρμός

Σέ νοητήν Θεοτόκε κάμινον, κατανοούμεν οι πιστοί, ως γάρ Παίδας έσωσε τρείς, ο υπερυψούμενος, κόσμον ανεκαίνισεν εν τή ο γαστρί σου ολόκληρον, αινετός τών Πατέρων, Θεός καί υπερένδοξος.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Πύλη φωτός, πύλας μοι διάνοιξον, τής μετανοίας φωταυγείς, τάς εισόδους τών ηδονών, είργουσα πρεσβείαις σου, καί αποδιώκουσα τάς πονηράς ενθυμήσεις μου, όπως υμνώ καί δοξάζω, τήν σήν άμαχον δύναμιν.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ρύπον ψυχής, εξ απροσεξίας μου, τόν προστριβέντα μοι δεινώς, ταίς ρανίσι σών οικτιρμών, Πάναγνε, απόπλυνον, καί τής διανοίας μου τό οπτικόν αποκάθαρον, ίνα φωναίς ασιγήτοις, υμνώ τά μεγαλεία σου.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σύ τήν Πηγήν, τής ζωής κυήσασα, θανατωθέντα με δεινώς, ταίς δαιμόνων επαγωγαίς, Άχραντε Πανάμωμε, ζώωσον πρεσβείαις σου, τώ σώ Υιώ αναμέλποντα. Ο αινετός τών Πατέρων, Θεός καί υπερένδοξος.

Ωδή η' Ο Ειρμός
Θαύματος υπερφυούς

Τέρατος υπερφυούς έδειξε τύπον, η πυρένδροσος κάμινος, πάλαι, τό γάρ πύρ ουκ έφλεξε νέους Παίδας, Χριστού δηλούν, τήν ασπόρως εκ Παρθένου θείαν Γέννησιν, διό ανυμνούντες αναμέλψωμεν. Ευλογείτω η κτίσις πάσα τόν Κύριον, καί υπερυψούτω, εις πάντας τούς αιώνας.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Τέταται επί σταυρού εθελουσίως, ο εν πνεύματι ουρανόν τείνας, ήλοις προσηλούται δέ, εξηλώσαι επιποθών, διαθέσεις εμπαθείς τού πρωτοπλάστου Αδάμ, διό ανυμνούντες αναμέλψωμεν. Ευλογείτω η κτίσις πάσα τόν Κύριον, καί υπερυψούτω, εις πάντας τούς αιώνας.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ότε σε ζωής τήν πέτραν επί πέτραν, λιθοκάρδιος ύψωσε δήμος, όρη εκλονίσθησαν, γή εσείσθη, Λόγε Θεού, καί ψυχαί σεσαλευμέναι, εστηρίχθησαν πρός θείαν ζωήν, μέλπουσαι πάντοτε. Ευλογείτω η κτίσις πάσα τόν Κύριον, καί υπερυψούτω, εις πάντας τούς αιώνας.

Μαρτυρικά

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ύφαναν καταστολήν σωτηριώδη, εαυτοίς σοφώς οι Αθλοφόροι, εν γυμνώσει σώματος εναθλούντες καρτερικώς, καί νιφάδας αικισμών υποδεχόμενοι, διό ανυμνούντες αναμέλπουσιν. Ευλογείτω η κτίσις πάσα τόν Κύριον, καί υπερυψούτω, εις πάντας τούς αιώνας.

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Όνυξιν ανηλεώς οι Αθλοφόροι, σπαραττόμενοι, και ανενδότως μεληδόν κοπτόμενοι, καί αικίαις παντοδαπαίς ομιλούντες, τοίς ξοάνοις ουκ επέθυσαν, ανδρείας πιστοίς στήλαι δέ ώφθησαν, Ευλογείτε Χριστόν τά έργα κραυγάζοντες, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ίνα σέ παραπικραίνων άφρων δήμος, ως υπέλαβεν εκ γής εξάρη, άτεκνος γεγένημαι καί δονούμαι, καί μητρικώς τήν καρδίαν οδυνώμαι, η Απείρανδρος εβόα ποτέ, σταυρώ Ορώσά σε υψωθέντα, μεθ' ής η κτίσις δοξάζει σε, πάντων λυτρωτά, Ιησού εις τούς αιώνας.

Κανών τής Θεοτόκου
Ο Ειρμός

Εν καμίνω παίδες Ισραήλ, ως εν χωνευτηρίω, τώ κάλλει τής ευσεβείας, καθαρώτερον χρυσού, απέστιλβον λέγοντες, Ευλογείτε πάντα τά έργα Κυρίου, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τυραννεί με πρόσληψις παθών, δαιμόνων επήρειαι, αλλ' έχων καταφυγήν σε διασώζομαι, τώ σώ Υιώ μέλπων, Άχραντε. Ευλογείτε πάντα τά έργα, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Υπερτέρα ούσα ουρανών, υπέρτερον τόν νούν μου τής ύλης, καί τών εν βίο παραπτώσεων, Αγνή, ανάδειξον μέλποντα. Ευλογείτω η κτίσις πάσα, τόν Κύριον υμνείτω, καί υπερυψούτω, εις πάντας τούς αιώνας.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φωτοδότην τέξασα Θεόν, ολόφωτε Παρθένε, τά όμματα τής καρδίας μου, καταύγασον φωτί Θεού επι γνώσεως, όπως ψάλλω. Πάντα τά έργα, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Ωδή θ'  Ο Ειρμός
Μυστήριον ξένον

Απόρρητον τό τής Παρθένου μυστήριον, ουρανός γάρ αύτη, καί θρόνος χερουβικός, καί φωσφόρος παστάς ανεδείχθη, Χριστού τού Θεού τού παντοκράτορος, αυτήν ευσεβώς, ως Θεοτόκον μεγαλύνομεν.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ως είδέ σε πάλαι, εν ξύλω κρεμάμενον, τόν τήν γήν κρεμάσαντα, Σώτερ επί υδάτων απείρων, Ληστής ο ευγνώμων, πιστώς ανεβόα σοι τό, Μνήσθητι, μεθ' ού ευσεβώς, σού τά παθήματα δοξάζομεν.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Σταυρούμενος έσεισας γής τά θεμέλια, λόγχη εκκεντούμενος, βλύζεις αθανασίας σταγόνας, αίμά τε ύδωρ, δι' ών τό άνθρώπινον εκάθηρας, παθών Ιησού, όν επαξίως μεγαλύνομεν

Μαρτυρικά

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ηγάλλοντο εν ταις βασάνοις οι Άγιοι, εαυτούς προτρέποντες, ώσπερ επί τρυφήν οι γενναίοι, Στώμεν εκβοώντες, ιδού ως ανέωγε τό στάδιον, Χριστός τούς στεφάνους νύν προτείνει, οίς ηγάπησε.

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Φαιδρύνεται πάσα, πιστών η ομήγυρις, τούς άθλους γεραίρουσα πάντων τών αηττήτων Μαρτύρων, τούς μυρίους πόνους, δι' ών τής απόνου ηξιώθησαν, τρυφής καί ζωής, καί αϊδίου απολαύσεως.

## Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φιλάνθρωπον Λόγον, αρρήτως κυήσασα, όν ορώσα πάσχοντα, Κόρη, υπέρ άνθρωπον βουλήσει. Τί τούτο; εβόας, Θεός απαθής, πάθος υφίσταται, παθών όπως ρύσηται, τούς πίστει προσκυνούντας αυτόν.

## Κανών τής Θεοτόκου

## Ο Ειρμός

Τύπον τής αγνής λοχείας σου, πυρπολουμένη βάτος έδειξεν άφλεκτος, καί νύν καθ' ημών τών πειρασμών αγριαίνουσαν, κατασβέσαι αιτούμεν τήν κάμινον, ίνα σε Θεοτόκε, ακαταπαύστως μεγαλύνωμεν.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Χαίροις η χαράν κυήσασα. Χαίρε τήν λύπην μόνη εξαφανίσασα. Χαίρε η τά νέφη τών ψυχών, εκδιώκουσα, καί φωτί νοητώ καταυγάζουσα, τούς πίστει σε καί πόθω, Θεοκυήτορ μεγαλύνοντας.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ψύξον τών παθών μου, Πάναγνε, τάς διεκχύσεις πάσας, καί αποξήρανον τών αμαρτιών μου, τόν βυθόν τόν αμέτρητον, η σωτήριον όμβρον γεννήσασα, καί ποταμόν ειρήνης, καί ευσπλαγχνίας μέγα πέλαγος.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ώφθης ιατρείον άμισθον, τραυματισθείσι πάσι καί τήν απόγνωσιν, Άχραντε, νοσούσι, καί λιμήν θαλαττεύουσιν, εν πελάγει τού βίου σωτήριος, εν ώ πάς καταφεύγων, πίστει σωζόμενος δοξάζει σε.

## Απόστιχα τών Αίνων, Σταυρώσιμα

## Ήχος α'

Σέ τόν εν ξύλω προσπαγέντα, καί ζωήν ημίν παρεσχηκότα, ως Σωτήρα καί Δεσπότην, υμνούμεν απαύστως.

Στίχ. α'. Ενεπλήσθημεν τό πρωϊ τού ελέους σου, Κύριε, καί ηγαλλιασάμεθα καί ηυφράνθημεν έν πάσαις ταίς ημέραις ημών, Ευφρανθείημεν, ανθών ημερών εταπείνωσας ημάς, ετών, ών είδομεν κακά, καί ίδε επί τούς δούλους σου καί επί τά έργα σου, καί οδήγησον τούς υιούς αυτών.

Διά τού Σταυρού σου Χριστέ, μία ποίμνη γέγονεν, Αγγέλων καί ανθρώπων, καί μία Εκκλησία, ουρανός καί η γή αγάλλεται, Κύριε δόξα σοι.

## Μαρτυρικόν

Στίχ. β'. Καί έστω η λαμπρότης Κυρίου τού Θεού ημών εφ' ημάς, καί τά έργα τών χειρών ημών κατεύθυνον εφ' ημάς, καί τό έργον τών χειρών ημών κατεύθυνον.

Υμάς πανεύφημοι μάρτυρες, ου θλίψις, ου στενοχωρια, ου λιμός, ου διωγμός, ουδέ μάστιγες, ου θυμός θηρών, ου ξίφος, ουδέ πύρ απειλούν, χωρίσαι Θεού δεδύνηνται, πόθω δέ μάλλον τώ πρός αυτόν, ως εν αλλοτρίοις αγωνισάμενοι σώμασι, τήν φύσιν ελάθετε, θανάτου καταφρονήσαντες, όθεν καί επαξίως τών πόνων υμών, μισθόν εκομίσασθε, ουρανών Βασιλείας κληρονόμοι γεγόνατε, απαύστως πρεσβεύσατε υπέρ τών ψυχών ημών.

## Δόξα... Καί νύν... Σταυροθεοτοκίον

## Τών ουρανίων ταγμάτων

Τώ σώ Σταυρώ παρεστώσα, Λόγε Θεού η αμνάς, καί άμωμός σου Μήτηρ, θρηνωδούσα εβόα. Πώς θνήσκεις, ώ Υιέ μου, επί σταυρού; οίμοι φώς μου γλυκύτατον!. πού σου τό κάλλος νύν έδυ τό τής μορφής, τό ωραίον παρά πάντας βροτούς;

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

### Οι Μακαρισμοί

Μακάριοι οι ειρηνοποιοί, ότι αυτοί υιοί Θεού κληθήσονται.

Διά βρώσεως εξήγαγε, τού Παραδείσου ο εχθρός τόν Αδάμ, διά Σταυρού δέ τόν Ληστήν, αντεισήγαγε Χριστός εν αυτώ, Μνήσθητί μου κράζοντα, όταν έλθης εν τή Βασιλεία σου.

Μακάριοι οι δεδιωγμένοι ένεκεν δικαιοσύνης, ότι αυτών εστιν η βασιλεία τών ουρανών.

Επονείδιστον υπέμει νας, πάθος, Χριστέ, καί τά ονείδη ημών, πάντα αφείλω αγαθέ, καί τής άνω Βασιλείας ημάς, κοι νωνούς ανέδειξας, προσκυνούντας τήν σήν συγκατάβασιν.

Μακάριοί εστε όταν ονειδίσωσιν υμάς, καί διώξωσι, καί είπωσι πάν πονηρόν ρήμα καθυμών ψευδόμενοι ένεκεν εμού.

Τού Αδάμ Χριστέ τήν γύμνωσιν, σύ περιστέλλων εγυμνώθης σαρκί, καί ανυψώθης εν σταυρώ, ανυψών ημάς εκ βάθους κακών, όθεν σου δοξάζομεν, τήν αγίαν, Λόγε, συγκατάβασιν.

### Μαρτυρικόν

Χαίρετε καί αγαλλιάσθε, ότι ο μισθός υμών πολύς εν τοίς ουρανοίς.

Τοίς αγίοις υμών τραύμασι, πληθύν δαιμόνων τραυματίσαντες, πάντων ανθρώπων τάς πληγάς, καί τά τραύματα πανεύφημοι μάρτυρες, εν χάριτι, καθ' εκάστην αεί θεραπεύετε.

### Δόξα...

Τόν Πατέρα προσκυνήσωμεν, καί τόν Υιόν δοξολογήσωμεν, καί τό πανάγιον πιστοί, πάντες Πνεύμα ανυμνήσωμεν, κράζοντες καί λέγοντες. Τριάς αγία, σώσον τάς ψυχάς ημών.

### Καί νύν... Σταυροθεοτοκίον

Παρεστώσα Παναμώμητε, εν τώ Σταυρώ καί καθορώσα Χριστόν, προσηλωμένον σαρκικώς, αλαλάζουσα εκραύγαζες. Πού σου έδυ, εύσπλαγχνε, νύν τό κάλλος όντως τό ανέκφραστον.

top

1-5

## Στιχηρά Προσόμοια τών Αγ. Αποστόλων

### Ήχος α'

### Πανεύφημοι Μάρτυρες

Στίχ. α'. Εάν ανομίας παρατηρήσης, Κύριε, Κύριε τίς υποστήσεται; ότι παρά σοί ο ιλασμός εστιν.

Απόστολοι ένδοξοι Χριστού, μαθηταί θεόκλητοι, τής οικουμένης διδάσκαλοι, ευρόντες Κύριον, τόν Θεού μεσίτην, καί ανθρώπων πέλοντα, αυτώ θεοπρεπώς εκολλήθητε, καί ως Θεόν αυτόν, καί ως άνθρωπον παντέλειον, εν τώ κόσμω σαφώς εκηρύξατε.

Στίχ. β'. Ένεκεν τού ονόματός σου υπέμεινά σε, Κύριε, υπέμεινεν η ψυχή μου εις τόν λόγον σου, ήλπισεν η ψυχή μου επί τόν Κύριον.

Απόστολοι πάνσοφοι ψυχής, τής εμής τήν άνοιαν, αποτινάξαι πρεσβεύσατε, ως χρηματίσαντες, τής σοφίας όντως, μύσται καί εκφάντορες, τό φώς τού Παρακλήτου ανάψαντες, καί καταπρήσαντες, τό σαθρόν τής διανοίας μου, μακαρίζειν υμάς αξιώσατε.

Στίχ. γ'. Από φυλακής πρωϊας μέχρι νυκτός, από φυλακής πρωϊας ελπισάτω Ισραήλ επί τόν Κύριον.

Θεόπται Απόστολοι ψυχήν, τήν εμήν φωτίσατε, εσκοτισμένην τοίς πάθεσιν, οι τόν περίγειον, διδαχαίς ενθέοις, κόσμον καταυγάσαντες, καί σκότος τών ειδώλων μειώσαντες, καί νύν πρεσβεύσατε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην καί τό μέγα έλεος.

### Έτερα τού αγίου Νικολάου

### Τών ουρανίων ταγμάτων

Στίχ. δ'. Ότι παρά τώ Κυρίω τό έλεος, καί πολλή παρ' αυτώ, λύτρωσις, καί αυτός λυτρώσεται τόν

Ισραήλ έκ πασών τών ανομιών αυτού.

Τής Εκκλησίας τά άνθη περιϊπτάμενος, ως νεοσσός τής άνω, καλιάς τών Αγγέλων, Νικόλαε τρισμάκαρ, κράζεις αεί, πρός τόν Θεόν υπέρ πάντων ημών, τών εν ανάγκαις κινδύνων καί πειρασμών, καί λυτρούσαι ταίς πρεσβείαις σου.

Στίχ. ε'. Αινείτε τόν Κύριον πάντα τά έθνη, επαινέσατε αυτόν, πάντες οι λαοί.

Τών αθεάτων τά κάλλη περιερχόμενος, τήν φοβεράν αγίων, κατενόησας δόξαν, Άγιε εκείνην, όθεν ημίν, τά ουράνια λόγια, τών αειζώων εκεί νων θεωριών, εμφανίζεις ιερώτατε.

Στίχ. ς'. Ότι εκραταιώθη τό έλεος αυτού εφ' ημάς, καί η αλήθεια τού Κυρίου μένει εις τόν αιώνα.

Τής ιεράς διπλοΐδος τήν ωραιότητα, ταίς πρακτικαίς ειργάσω, αρεταίς λαμπροτέραν, Πάτερ θεοφόρε, όθεν ημίν, ιερουργείς τά τεράστια, τών αοιδίμων εκείνων θεωριών, τών δεινών ημάς λυτρούμενος.

Δόξα... Καί νύν... Θεοτοκίον

Θεοκυήτορ Παρθένε καί απειρόγαμε, η τόν Θεόν τεκούσα, επ' εσχάτων τών χρόνων, καί πάλιν μετά τόκον, ως αληθώς, ανεδείχθης Παρθένος αγνή, θρόνος καί πύλη καί τράπεζα μυστική, καί λυχνία φωτεινόμορφος.

### Απόστιχα Αποστολικά

Ήχος α'

Η τών Αποστόλων παναρμόνιος λύρα, εξ αγίου Πνεύματος κινουμένη, τάς τών στυγη ρών δαιμόνων τελετάς κατήργησε, καί τόν ένα Κύριον κηρύξασα, έθνη ελυτρώσατο τής πλάνης τών ειδώλων, καί προσκυνείν εδίδαξε Τριάδα ομοούσιον.

Τών ουρανίων ταγμάτων

Στίχ. Α'. Πρός σέ ήρα τούς οφθαλμούς μου, τόν κατοικούντα εν τώ ουρανώ. Ιδού, ως οφθαλμοί δούλων εις χείρας τών κυρίων αυτών, ως οφθαλμοί παιδίσκης εις χείρας τής κυρίας αυτής, ούτως οι οφθαλμοί ημών πρός Κύριον τόν Θεόν ημών, έως ού οικτιρήσαι ημάς.

Πέτρον καί Παύλον συμφώνως ανευφημήσωμεν, Λουκάν, Ματθαίον, Μάρκον, Ιωάννην, Ανδρέαν, θωμάν, Βαρθολομαίον, Σίμωνα τόν Κανανίτην, Ιάκωβον, Φίλιππον, καί τήν ομήγυριν πάσαν τών Μαθητών, επαξίως ευφημήσωμεν.

Μαρτυρικόν

Στίχ. Β'. Ελέησον ημάς, Κύριε, ελέησον ημάς, ότι επί πολύ επλήσθημεν εξουδενώσεως, επί πλείον επλήσθη η ψυχή ημών, τό όνειδος τοίς ευθηνούσι, καί η εξουδένωσις τοίς υπερηφάνοις.

Πανεύφημοι μάρτυρες υμάς, ουχ η γή κατέκρυψεν, αλλουρανός υπεδέξατο, υμίν ηνοίγησαν, Παραδείσου πύλαι, καί εντός γενόμενοι, του ξύλου τής ζωής απολαύετε, Χριστώ πρεσβεύοντες, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην καί τό μέγα έλεος.

Δόξα... Καί νύν... Θεοτοκίον

Παρθένε πανύμνητε, Μωσής, τό εν σοί μυστήριον, προφητικοίς είδεν όμμασι, βάτον μή φλέγεσθαι, καίπερ καιομένην, πύρ γάρ τής θεότητος, τήν μήτραν σου, Αγνή, ου κατέφλεξε, διό αιτούμέν σε, ως Μητέρα τού Θεού ημών, τήν ειρήνην τώ κόσμω σου δώρησαι.

### Μετά τήν α' Στιχολογίαν
### Καθίσματα Αποστολικά

Ήχος α'

Οι σοφοί τής οικουμένης αλιείς, εκ Θεού λαβόντες τό συμπαθές, πρεσβεύσατε καί νύν υπέρ ημών τών βοώντων, Κύριε, σώσον τό λαόν καί τήν πόλιν σου, καί τών συνεχόντων δεινών ελευθέρωσον, διά τών Αποστόλων τάς ψυχάς ημών.

Τού λίθου σφραγισθέντος

Τή σαγήνη τού λόγου τάς πλοκάς τών ρητόρων, οι αλιείς τώ καλάμω τού Σταυρού ανατρέψαντες, εφώτισαν τά έθνη ευσεβώς, δοξάζειν σε Θεόν αληθινόν, διό σοι τώ ενδυναμώσαντι αυτούς βοώμεν, Δόξα τώ Πατρί καί τώ Υιώ, δόξα τώ ομοουσίω Πνεύματι, δόξα τώ δι' αυτών φωτίσαντι

τόν κόσμον.

Δόξα... Καί νύν... Θεοτοκίον

Συλλαβούσα αφλέκτως, τό πύρ τής θεότητος, καί τεκούσα ασπόρως, πηγήν ζωής τόν Κύριον, κεχαριτωμένη Θεοτόκε, περίσωζε τούς σέ μεγαλύνοντας.

Μετα τήν β' Στιχολογίαν

Έτερα Καθίσματα Αποστολικά

Τόν τάφον σου Σωτήρ

Τάς σάλπι γγας Χριστού, τάς ευήχους εν ύμνοις, τιμήσωμεν Πιστοί, τούς σοφούς Αποστόλους, τούς ίππους τούς ταράξαντας, αθεΐας τήν θάλασσαν, καί ελκύσαντας, ως εκ βυθού τούς ανθρώπους, πρός τόν ένθεον, τής σωτηρίας λιμένα, τού Πνεύματος χάριτι.

Τό φώς τό εκ φωτός, προεκλάμψαν αχρόνως, εν χρόνω σαρκικώς, τοίς εν γή επεφάνη, καί κόσμον κατεφώτισε, δι' ημών Παμμακάριστοι, όθεν άπαντες, οι διδαχαίς υμών θείαις, φωτιζόμενοι, τήν ιεράν υμών μνήμην, τιμώμεν, Απόστολοι.

Δόξα... Καί νύν... Θεοτοκίον

Προστάτιν πρός Θεόν, κεκτημένοι σε πάντες, προστρέχομεν σεμνή, τώ αγίω ναώ σου, αιτούμενοι βοήθειαν, παρά σού Αειπάρθενε, ρύσαι ούν ημάς, τής τών δαιμόνων κακίας, καί εξάρπασον, εκ καταδίκης φρικώδους, τούς σέ μακαρίζοντας.

Μετά τήν γ' Στιχολογίαν

Έτερα Καθίσματα τού αγίου Νικολάου

Τόν τάφον σου Σωτήρ

Τοίς Μύροις παροικών, αισθητώς, Ιεράρχα, τώ μύρω νοητώς, τώ τού Πνεύματος ώφθης, χρισθείς, Πάτερ Νικόλαε, καί τοίς μύροις θαυμάτων σου, κατεμύρισας, μύρον αέναον χέων, τούς μυρίσαι σου, μεμυρισμένοιςεν ύμνοις, τήν μνήμην εθέλοντας.

Μαρτυρικόν

Τούς Μάρτυρας Χριστού, ικετεύσωμεν πάντες, αυτοί γάρ τήν ημών, σωτηρίαν αιτούνται, καί πόθω προσέλθωμεν, πρός αυτούς μετά πίστεως, ούτοι νέμουσι, τών ιαμάτων τήν χάριν, ούτοι φάλαγγας, αποσοβούσι δαιμόνων, ως φύλακες τής Πίστεως.

Δόξα... Καί νύν... Θεοτοκίον

Οι θείοι μαθηταί, καί Απόστολοι, Κόρη, ενθέοις διδαχαίς, ανεκήρυξαν πάσι, τήν άφραστόν σου γέννησιν, Θεοτόκε πανάχραντε, σέ διδάξαντες, τού προσκυνείσθαι αξίως, αλλ' αιτούμέν σε, σύν τούτοις αίτει σωθήναι, τούς πίστει τιμώντάς σε.

Κανών τών αγίων Αποστόλων

Ωδή α' Ήχος α' Ο Ειρμός

Σού η τροπαιούχος δεξιά, θεοπρεπώς εν ισχύϊ δεδόξασται, αύτη γάρ Αθάνατε, ως πανσθενής υπεναντίους έθραυσε, τοίς Ισραηλίταις, Οδόν βυθού καινουργήσασα.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Θείαις φωτιζόμενοι αυγαίς, τής τρισηλίου ελλάμψεως ένδοξοι, θέσει χρηματίζετε, όντως θεοί, θεοειδείς Απόστολοι, όθεν κατά χρέος, υμάς εν πίστει γεραίρομεν.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Λόγου τού φανέντος επί γής, δι' ευσπλαγχνίαν παχύτητι σώματος, άριστοι διάκονοι, καί τών αυτού, εκπληρωταί προστάξεων, πίστει γεγονότες, αεί τιμάσθε Απόστολοι.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Ταίς φωτιστικαίς μαρμαρυγαίς, τού παναγίου αοίδιμοι Πνεύματος, όλον με φωτίσατε, αμαρτιών εν σκότει καλυπτόμενον, καί πρός μετανοίας, οδόν σοφώς οδηγήσατε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Η τών Αποστόλων χαρμονή, Θεογεννήτορ πανάμωμε Δέσποινα, Μήτηρ ως υπάρχουσα, τού εν αυτοίς θεοπρεπώς λαλήσαντος, σύν αυτοίς δυσώπει, πυρός γεέννης ρυσθήναί με.

Κανών τού αγίου Νικολάου, ού η Ακροστιχίς.

Σοί, Νικόλαε, πρώτον εισφέρω μέλος εγώ Ιωσήφ.

Ο Ειρμός

Ωδήν επινίκιον άσωμεν πάντες, Θεώ τώ ποιήσαντι θαυμαστά τέρατα, βραχίονι υψηλώ, καί σώσαντι τόν Ισραήλ, ότι δεδόξασται.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Στεφάνοις κοσμούμενος δικαιοσύνης, καί θρόνω τής χάριτος, παρεστώς Νικόλαε, τούς υμνωδίαις σε, νύν καταστέφοντας πιστώς, σώζε πρεσβείαις σου.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Ο χάριν δεξάμενος τών ιαμάτων, παμμάκαρ Νικόλαε, τής ψυχής μου τραύματα, ευχαίς σου ίασαι, καί συμβαινόντων πειρασμών, ρύσαι πρεσβείαις σου.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Ισχύϊ Νικόλαε τής σής πρεσβείας, όλην παρειμένην μου, τήν ψυχήν ανόρθωσον, τοίς πλημμελήμασι, καί τών τού βίου δυσχερών, πάντας διάσωσον.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νοός μου Πανάμωμε τάς αμαυρώσεις, φωτί σου απέλασον, καί τού σκότους ρύσαί με, τού αιωνίζοντος, όπως υμνώ διηνεκώς, τά μεγαλεία σου.

Ωδή γ'  Ο Ειρμός

Ο μόνος ειδώς τής τών βροτών, ουσίας τήν ασθένειαν, καί συμπαθώς αυτήν μορφωσάμενος, περίζωσόν με εξ ύψους δύναμιν, τού βοάν σοι. Άγιος, ο ναός ο έμψυχος, τής αφράστου σου δόξης Φιλάνθρωπε.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Ο μόνος αόρατος Θεός, ωράθη σωματούμενος, καί μαθητάς υμάς εξελέξατο, εις πάντα κόσμον αυτού τό όνομα, καί τήν υπερκόσμιον, δόξαν καταγγέλλοντας, παμμακάριστοι θείοι Απόστολοι.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Σοί μόνω ημάρτηκα Χριστέ, σοί μόνω επλημμέλησα, καί τήν ψυχήν κακώς κατεμόλυνα, τώ σώ ελέει κάθαρον σώσόν με, έχων δυσωπούντάς σε, μόνε ευδιάλλακτε, Ιησού, τούς σοφούς Αποστόλους σου.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Πικρίας παθών καί λογισμών, καί πάσης αμαρτίας με, ως συμπαθείς Απόστολοι ρύσασθε, τή μετανοία καταγλυκαίνοντες, τήν εμήν διάνοιαν, ως τόν θείον φέροντες, γλυκασμόν εν καρδία πανεύφημοι.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Μετά τών αΰλων Λειτουργών, Παρθένε απειρόγαμε, μετα πασών τών άνω Δυνάμεων, μετά Μαρτύρων καί Αποστόλων Χριστού, όν περ εσωμάτωσας, εξ αγνών αιμάτων σου, εκδυσώπει σωθήναι τούς δούλους σου.

### Κανών τού Αγίου Νικολάου

### Ο Ειρμός

Στερεωθήτω η καρδία μου, εις τό θέλημά σου Χριστέ ο Θεός, ο εφ' υδάτων ουρανόν στερεώσας τόν δεύτερον, καί εδράσας εν τοίς ύδασι, τήν γήν Παντοδύναμε.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Αρχιερέων εγκαλλώπισμα, ευωδία θεία τού Πνεύματος, ταίς μυριπνόοις σου ευχαίς, τά δυσώδη απέλασον, τής καρδίας μου, Νικόλαε σοφέ, πάθη δέομαι.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Εν αμελεία διεξάγων μου, τήν ζωήν ο τάλας πτοούμαί σου, τό δικαστήριον Χριστέ, εν ώ μή κατακρίνης με, Νικολάου μεσιτείαις ιεραίς δυσωπούμενος.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Πεποικιλμένος θεία χάριτι, Ιεράρχα πάτερ Νικόλαε, από ποικίλων πειρασμών, καί κινδύνων με διάσωσον, προσφυγόντα σου τή σκέπη, τή σεπτή παμμακάριστε.

### Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ρύσαί με πάσης περιστάσεως, και πολλών σκανδάλων τού όφεως, καί αιωνίζοντος πυρός, καί τού σκότους Πανάμωμε, η τό φώς αποκυήσασα, βροτοίς τό ανέσπερον.

### Ωδή δ'  Ο Ειρμός

Όρος σε τή χάριτι, τή θεία κατάσκιον, προβλεπτικοίς ο Αββακούμ, κατανοήσας οφθαλμοίς, εκ σού εξελεύσεσθαι, τού Ισραήλ προανεφώνει τόν Άγιον, εις σωτηρίαν ημών καί ανάπλασιν.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Θαλάσσας αθέου απιστίας ταράξαντες, ταίς επιβάσεσιν υμών, ίπποι θεόλεκτοι Χριστού, εχθρόν εβυθίσατε τόν νοητόν, καί βυθισθέντες ειλκύσατε, πρός σωτηρίαν ανθρώπους Απόστολοι.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Δοχεία τού Πνεύματος τών θείων ελλάμψεων, τήν σκοτισθείσάν μου ψυχήν, καί δεκτικήν παντοδαπών, παθών χρηματίζουσαν, τώ φωτισμώ τής μετανοίας λαμπρύνατε, θεομακάριστοι θείοι Απόστολοι.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Νεφέλαι τό ύδωρ τής ζωής επομβρίσαντες, τήν χερσωθείσαν μου ψυχήν, τή αυχμηρία τών παθών, ενθέως αρδεύσατε, καί αρετών βλαστάνειν στάχυν ποιήσατε, σωτηριώδη, Απόστολοι ένδοξοι.

### Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Προφήται, Απόστολοι, πανένδοξοι Μάρτυρες, σύν τή Μητρί τού Λυτρωτού, εκδυσωπείτε εκτενώς, όπως λυτρωθείημεν, αμαρτιών καί αιωνίου κολάσεως, καί πειρασμών καί κινδύνων καί θλίψεων.

## Κανών τού Αγίου Νικολάου

### Ο Ειρμος

Εν πνεύματι προβλέπων Προφήτα Αββακούμ, τήν τού Λόγου σάρκωσιν εκήρυττες βοών, Εν τώ εγγίζειν τά έτη επιγνωσθήση, εν τώ παρείναι τόν καιρόν αναδειχθήση, Δόξα τή δυνάμει σου Κύριε.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Ως πάντων προσταγμάτων, Θεού εκπληρωτής, συντηρείν ευόδωσον πρεσβείαις σου ημάς, νομοθεσίας πρός σωτηρίαν φερούσας, καί ρύσαι πάντων πειρασμών επερχομένων, πάτερ Ιεράρχα Νικόλαε.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Τόν δρόμον σου τελέσας, οσίως εν Χριστώ, τάς οδούς κατεύθυνον ημών τάς πρός αυτόν, όπως φεύγοντες τάς ανοδίας τού πλάνου, πρόςσωτηρίαν καταντήσωμεν τελείαν, Πάτερ θεοφόρε Νικόλαε.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Ο πάσας μεθοδείας, κοιμήσας τού εχθρού, θείαις εγρηγόρσεσι, Νικόλαε σοφέ, επαγρυπνούντας, καί τόν Θεόν ανυμνούντας, καί σέ μεσίτην πρός αυτόν προβαλλομ ένους, πάντας ημάς Πάτερ χαρίτωσον.

### Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νοήσας ο Προφήτης, εν Πνεύματι Θεού, όρος σε προέγραψε, κατάσκιον Αγνή, τούς εκτακέντας φλογμώ πολλών εγκλημάτων, σαίς ευπροσδέκτοις μεσιτείαις, Θεοτόκε νύν επισκιάζουσαν χάριτι.

### Ωδή ε'  Ο Ειρμός

Ο φωτίσας τή ελλάμψει τής σής παρουσίας Χριστέ, καί φαιδρύνας τώ Σταυρώ σου τού κόσμου τά πέρατα, τάς καρδίας φώτισον, φωτί τής σής θεογνωσίας, τών ορθοδόξως υμνούντων σε.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Σταλάζοντα γλυκασμόν, καί τερπνήν αγαλλίασιν, εδείχθητε παναοίδιμοι όρη Απόστολοι, τήν πικρίαν άπασαν τού διαβόλου καθελόντες, καί τούς πιστούς ενηδύνοντες.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Ερχόμενον αλλοτρίως, Χριστόν εις τά ίδια, επέγνωτε, καί γνησίως αυτώ εκολλ ήθητε, εκ τού αλλοτρίου με διό, λυτρώσατε τής βλάβης, θείοι τού Λόγου Απόστολοι.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Τά κρύφια τής ψυχής μου, θεράπευσον τραύματα, ικεσίαις ιεραίς τών εν κόσμω, τήν θείαν σου κηρυξάντων έλευσιν, καί τά παθήματα Οικτίρμον, καί τήν εκ τάφου ανάστασιν.

### Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Μετά πάντων Ασωμάτων, όν περ εσωμάτωσας, Θεόν Λόγον Θεοτόκε Παρθένε ικέτευε, εξ αλόγων πράξεων, καί ηδονών θανατηφόρων, ελευθερώσαι τούς δούλους σου.

## Κανών τού Αγίου Νικολάου

### Ο Ειρμός

Τό φαεινόν ημίν εξανάτειλον, φώς τό απροσιτον, τοίς ορθρίζουσιν επί τά κρίματα, τών εντολών

σου, Δέσποτα φιλάνθρωπε, Χριστέ ο Θεός ημών.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Εν ταίς αυλαίς Κυρίου πεφύτευσαι, πάτερ Νικόλαε, ως κατάκαρπος ελαία, χάριτι καθιλαρύνων, πάντων νύν τά πρόσωπα, ελαίω τών πόνων σου.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Ικετηρίαν νύν Πάτερ ποίησον, υπέρ τών δούλων σου, όπως άφεσιν πταισμάτων λάβωμεν, καί συνεχούσης θλίψεως ρυσθείημεν, καί πάσης στενώσεως.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Σέ τόν θερμόν προστάτην, πρός Κύριον καθικετεύομεν, μή εάσης ημάς Άγιε απροστατεύτους, αλλά τή συνήθει σου πρεσβεία περίσωσον.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φωτοειδές Χριστού Κόρη, τέμενος, θεοχαρίτωτε, τού Πατρός, Υιού καί Πνεύματος, ταίς προσευχαίς σου οίκους ημάς ποίησον, τά όσια πράττοντας.

### Ωδή ς' Ο Ειρμός

Εκύκλωσεν ημάς εσχάτη άβυσσος, ουκ έστιν ο ρυόμενος, ελογίσθημεν ως πρόβατα σφαγής, σώσον τόν λαόν σου ο Θεός ημών, σύ γάρ ισχύς τών ασθενούντων καί επανόρθωσις.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Δικτύοις λογικοίς εσαγηνεύσατε, τά έθνη πρός επίγνωσιν, τού γνωσθέντος εις ανάπλασιν βροτών, ώ θεομακάριστοι Απόστολοι, όν εκτενώς υπέρ τού κόσμου καθικετεύσατε.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Ψυχή μου ταπεινή ψυχή ταλαίπωρε, ψυχή αμετανόητε, μετανόησον καί βόησον Χριστώ. Ήμαρτον ιλάσθητι, φιλάνθρωπε, ταίς προσευχαίς τών Αποστόλων, ως υπεράγαθος.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Ο πάλαι Ισραήλ πηγάσας ύδατα, εκ πέτρας παντοδύναμε, διαλύσας μου τήν πώρωσιν Χριστέ, φέρειν οχετούς δακρύων ποίησον, ταίς προσευχαίς τών Αποστόλων ως πολυέλεος.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Παρθένε τόν εκ σού δι' αγαθότητα, τεχθήναι ευδοκήσαντα, εκδυσώπησον ως Πλάστην καί Θεόν, σώσαι πειρασμών καί περιστάσεων, τούς επί σοί τή Παναγία, αεί ελπίζοντας.

### Κανών τού Αγίου Νικολάου
### Ο Ειρμός

Τόν Προφήτην Ιωνάν, εκμιμούμενος βοώ, Τήν ζωήν μου Αγαθέ, ελευθέρωσον φθοράς, καί σώσόν με, Σωτήρ τού κόσμου, κράζοντα, Δόξα σοι.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Έχων πλήθος οικτιρμών, τήνπληθύν μου τών κακών, απομείωσον, σοφέ, κυβερνών μου τήν ζωήν, τοίς κύμασι, τής αμαρτίας χειμαζομένην αεί.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Ρωμαλέως τόν εχθρόν, κατεπάτησας Σοφέ, όν συντρίβειν καί ημάς, σαίς ενίσχυσον ευχαίς, Νικόλαε, τούς σέ προστάτην, θείον πλουτήσαντας.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Ως τών Μύρων γεγονώς, αληθής αρχιερεύς, ευωδίασον ημών, τάς αισθήσεις τής ψυχής, τά βλάπτοντα, δυσώδη πάθη, Πάτερ διώκων αεί.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Μεγαλεία σοι Χριστός, εποιήσατο Αγνή, όν ικέτευε αεί, μεγαλύναι εν εμοί, τά πλούσια, αυτού ελέη, θεοχαρίτωτε.

Ωδή ζ' Ο Ειρμός

Σέ νοητήν, Θεοτόκε κάμινον, κατανοούμεν οι πιστοί, ως γάρ Παίδας έσωσε τρείς, ο υπερυψούμενος, όλον με τόν άνθρωπον, εν τή γαστρί σου ανέπλασεν, ο αινετός τών Πατέρων, Θεός καί υπερένδοξος.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Πηγή ζωής, Ιησούς ο Κύριος, υπάρχων ώσπερ ποταμούς, επαφήκε τούς Μαθητάς, νάμασιν αρδεύοντας, πάσαν τήν υφήλιον, θεογνωσίας καί μέλποντας, ο αινετός τών Πατέρων, Θεός καί υπερένδοξος.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Πύρ νοητόν, εν καρδία φέροντες, τήν θείαν χάριν τού Χριστού, ενεπρήσατε Μαθηταί, ύλην αθεότητος, όθεν τά υλώδη μου, βοώντος πάθη συμφλέξατε, ο αινετός τών Πατέρων, Θεός καί υπερένδοξος.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Τής τού πυρός, τιμωρίας ρύσαί με, ταίς ικεσίαις ο Θεός, τών ενδόξων σου Μαθητών, καί μή απορρίψης με, από τού προσώπου σου, εν μετανοία κραυγάζοντα, ο αινετός τών Πατέρων, Θεός καί υπερένδοξος.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φθοροποιών, εξελού με Κύριε, αμαρτημάτων καί παθών, ο αφθόρως αποτεχθείς, εκ τής Θεομήτορος, πάσιν αφθαρσίαν τε, τοίς μελωδούσι δωρούμενος, ο αινετός τών Πατέρων, Θεός καί υπερένδοξος.

Κανών τού Αγίου Νικολάου

Ο Ειρμός

Τούς εν καμίνω Παίδάς σου Σωτήρ, ουχ ήψατο, ουδέ παρηνώχλησε τό πύρ, τότε οι Τρείς ως εξ ενός στόματος, ύμνουν καί ευλόγουν λέγοντες, Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Ερειστική πρεσβεία σου σοφέ, καρδίας μου έρεισον τάς βάσεις ασφαλώς, πέτρα Θεού τών εντολών τών φανωτάτων, σώζων απερίτρεπτον, μεθοδειών βλαβερών, τού αρχεκάκου εχθρού.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Λύσιν ημίν τών αμαρτιών πρυτάνευσον, πάντων τε τών τού βίου δυσχερών, καί πειρασμών τών επερχομένων, ιερέ Νικόλαε, πάντων προστάτα πιστων, καί Αρχιερέων έρεισμα.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Ο κατακρύψας δούλος πονηρός τό τάλαντον, ο εις εργασίαν αγαθέ απείληφεν, εγώ υπάρχω, καί πτοούμαι τό εκεί κριτήριον, εν ώ Θεέ τού παντός μή κατακρίνης με.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σέ Παναγία άχραντε αγνή, οι δούλοί σου, πάντοτε, ημέρας καί νυκτός, συντετριμμένη διανοία δυσωπούμεν, Λύτρωσιν αμαρτημάτων τών πολλών, λιταίς σου δίδου ημίν αγαθή.

## Ωδή η' Ο Ειρμός

Εν καμίνω Παίδες Ισραήλ, ως εν χωνευτηρίω, τώ κάλλει τής ευσεβείας, καθαρώτερον χρυσού, απέστιλβον λέγοντες. Ευλογείτε πάντα τά έργα, τόν Κύριον υμνείτε, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Ως ακτίνας Ήλιος ημάς, εξήπλωσεν ο μέγας, εις πάσαν τήν οικουμένην, καταυγάζοντας πιστούς βοώντας, Απόστολοι. Ευλογείτε πάντα τά έργα, τόν Κύριον υμνείτε, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Ως ποιμένες όντες λογικοί, ως άρνες τού Ποιμένος, ως θρέμματα τού Αμνού, καί λυτρωτού ημών Θεού, θεόπται Απόστολοι, νοητού με λύκου ρυσθήναι, πρεσβεύσατε απαύστως, καί τής τών ερίφων οδυνηράς μερίδος.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Παναθλία στέναξον ψυχή, καί βόησον Κυρίω. Ήμάρτηκα υπέρ πάντας, καί ηνόμησα δεινώς, καθάρισον σώσόν με, ως τήν πόρνην, ως τόν Τελώνην, ως τόν Ληστήν, Οικτίρμον, ταίς τών Αποστόλων πρεσβείαις ευπροσδέκτοις.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σύν Αγγέλοις Μήτερ τού Θεού, καί σύν τοίς Αποστόλοις, καί Μάρτυσι καί Προφήταις, εκδυσώπησον Χριστόν, σώσαι τούς κραυγάζοντας. Ευλογείτε πάντα τά έργα, τόν Κύριον υμνείτε, καί υπερυψούτε εις πάντας τούς αιώνας.

## Κανών τού Αγίου Νικολάου

### Ο Ειρμός

Ον φρίττουσιν Άγγελοι, καί πάσαι στρατιαί, ως Κτίστην καί Κύριον, υμνείτε Ιερείς, δοξάσατε Παίδες, ευλογείτε λαοί, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Εν όρει ιστάμενος τών θείων αρετών, τοίς πέρασι γνώριμος θαυμάτων υψηλών, Νικόλαε ώφθης, επιδείξεσιν, όθεν πάσα γλώσσα, τιμά σε εις αιώνας.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Γευσάμενος Όσιε τού θείου γλυκασμού, πικρίαν εμίσησας παντοίων ηδονών, εξ ών ημάς ρύσαι, ικετεύων Χριστόν, επανισταμένους, κινδύνους καταπαύειν.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Ως στύλος ακράδαντος καί έρεισμα πιστών, αεί με κλονούμενον τού βίου τοίς κακοίς, καί ταίς τών δαιμόνων επιπνεύσεσι, στήριξον παμμάκαρ, Νικόλαε ευχαίς σου.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ιάτρευσον δέομαι τά πάθη τής εμής, καρδίας κυήσασα τόν πάντων Ιατρόν, καί τής τών δικαίων δείξον μέτοχον, Παρθένε μερίδος, Χριστόν εκδυσωπούσα.

## Ωδή θ' Ο Ειρμός

Τύπον τής αγνής λοχείας σου, πυρπολουμένη βάτος έδειξεν άφλεκτος, καί νύν καθ' ημών, τών πειρασμών αγριαίνουσαν, κατασβέσαι αιτούμεν τήν κάμινον, ίνα σε, Θεοτόκε, ακαταπαύστως μεγαλύνωμεν.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Θείαι τού αγίου Πνεύματος, καί φωταυγείς λαμπάδες αποδεικνύμενοι, εφωτίσατε, ταίς φωταυγείαις, μακάριοι, τού σεπτού καί πανσόφου κηρύγματος, πάσαν τήν οικουμένην, σκότος ειδώλων εκμειώσαντες.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Θεία τής αμπέλου κλήματα, τής νοητής υπάρχοντες, θείους βότρυας, εβλαστήσατε, αναπηγάζοντας ένδοξοι, τόν σωτήριον οίνον, Απόστολοι, διό με εκ τής μέθης, τών ηδονών απολυτρώσατε.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Τρέμω εννοών ο άθλιος, τό φοβερόν εκείνο, Χριστέ μου, βήμά σου, πράξεις γάρ αισχράς καί ρυπαράς νύν περίκειμαι, καί πρό δίκης υπάρχω κατάδικος, διό με ταίς πρεσβείαις, τών Αποστόλων σου οικτείρησον.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Μόνη τούς βροτούς εθέωσας, σωματωθέντα Λόγον αποκυήσασα, όν ικέτευε, σύν Αποστόλοις καί Μάρτυσι, Παναγία Παρθένε Θεόνυμφε, υπέρ ημών τών πίστει, μακαριζόντων καί τιμώντων σε.

## Κανών τού Αγίου Νικολάου

### Ο Ειρμός

Τήν φωτοφόρον νεφέλην, εν ή ο πάντων Δεσπότης, ως υετός εξ Ουρανού, επί πόκον κατήλθε, καί εσαρκώθη δί ημάς, γενόμενος Άνθρωπος, τήν Άχραντον μεγαλύνομεν πάντες, ως Μητέρα τού Θεού ημών αγνή.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Ως τού Χριστού Ιεράρχην, καί φωτοβόλον αστέρα, ως τών θαυμάτων αυτουργόν, ως πηγήν ιαμάτων, ως τόν εν λύπαις βοηθόν, ως πρέσβυν θερμότατον, τών καλούντων εν ανάγκαις σε Πάτερ, ευφημούμεν μελωδίαις ιεραίς.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Σέ τόν ποιμένα τόν μέγαν, καί μιμητήν κατά πάντα, τού αρχιποίμενος Χριστού, εκτενώς δυσωπούμεν, εξ υψωμάτων ιερών, Νικόλαε ποίμανον τούς δούλους σου, εκλυτρούμενος πάντων, τών τού βίου δυσχερών διηνεκώς.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Ήδη τό τέλος εγγίζει, τί αμελείς, ώ ψυχή μου; τί ου σπουδάζεις τώ Θεώ, ευαρέστως δουλεύσαι; σπεύσον ανάνηψον λοιπόν, καί κράξον, Φιλάνθρωπε οικτείρησον, Νικολάου πρεσβείαις, κυβερνών μου τήν ζωήν εν αγαθοίς.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φώς η τεκούσα τό θείον, εσκοτισμένον με πάσαις, ταίς μεθοδείαις τού εχθρού, καί ραθύμως βιούντα, καί παροργίζοντα Θεόν, Πανάμωμε φώτισον, οδηγούσα πρός καλάς εργασίας, ως αιτία ούσα πάντων τών καλών.

## Απόστιχα Αποστολικά

Ήχος α

Η τών Αποστόλων παναρμόνιος λύρα, εξ αγίου Πνεύματος κινουμένη, τάς τών στυγερών δαιμόνων τελετάς κατήργησε, καί τόν ένα Κύριον κηρύξασα, έθνη ελυτρώσατο τής πλάνης τών ειδώλων, καί προσκυνείν εδίδαξε Τριάδα ομοούσιον.

Τών ουρανίων ταγμάτων

Στίχ. α'. Ενεπλήσθημεν τό πρωϊ τού ελέους σου, Κύριε, καί ηγαλλιασάμεθα καί ηυφράνθημεν έν πάσαις ταίς ημέραις ημών. Ευφρανθείημεν, ανθών ημερών εταπείνωσας ημάς, ετών, ών είδομεν κακά, καί ίδε επί τούς δούλους σου καί επί τά έργα σου, καί οδήγησον τούς υιούς αυτών.

Πέτρον καί Παύλον συμφώνως ανευφημήσωμεν, Λουκάν, Ματθαίον, Μάρκον, Ιωάννην, Ανδρέαν, Θωμάν, Βαρθολομαίον, Σίμωνα τόν Κανανίτην, Ιάκωβον, Φίλιππον, καί τήν ομήγυριν πάσαν τών Μαθητών, επαξίως ευφημήσωμεν.

Μαρτυρικόν

Στίχ. β'. Καί έστω η λαμπρότης Κυρίου τού Θεού ημών εφ' ημάς, καί τά έργα τών χειρών ημών κατεύθυνον εφ' ημάς, καί τό έργον τών χειρών ημών κατεύθυνον.

Αγαλλιάσθε Μάρτυρες εν Κυρίω, ότι τόν αγώνατόν καλόν ηγωνίσασθε, αντέστητε βασιλεύσι, καί τυράννους ενικήσατε, πύρ καί ξίφος ουκ επτοήθητε, θηρών αγρίων κατεσθιόντων τά σώματα υμών, Χριστώ μετά Αγγέλων τήν υμνωδίαν αναπέμποντες, τούς απ' ουρανών στεφάνους εκομισασθε, αιτήσασθε δωρηθήναι ειρήνην τώ κόσμω, καί ταίς ψυχαίς ημών τό μέγα έλεος.

Δόξα... Καί νύν... Θεοτοκίον

Τών ουρανίων ταγμάτων

Προφητικώς τήν Παρθένον ανευφημήσωμεν, στάμνον χρυσήν τού μάννα, ακατάφλεκτον βάτον, καί τράπεζαν, καί θρόνον, λυχνίαν χρυσήν, τό λαμπάδιον έχουσαν, καί αλατόμητον όρος, καί κιβωτόν, αγιάσματος καί πύλην Θεού.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

### Οι Μακαρισμοί

Μακάριοι οι ειρηνοποιοί, ότι αυτοί υιοί Θεού κληθήσονται.

Διά βρώσεως εξήγαγε, τού Παραδείσου ο εχθρός τόν Αδάμ, διά Σταυρού δέ τόν ληστήν, αντεισήγαγε Χριστός εν αυτώ, μνήσθητί μου κράζοντα, όταν έλθης εν τή Βασιλεία σου.

Μακάριοι οι δεδιωγμένοι ένεκεν δικαιοσύνης, ότι αυτών εστιν η βασιλεία τών ουρανών.

Οι τά πέρατα φωτίσαντες, θείαις ακτίσι, τών δογμάτων υμών, τόν σκοτασμόν τής πονηράς, ασεβείας διελύσατε, καί πρός φώς τό άδυτον, μεταβάντες αεί μακαρίζεσθε.

Μακάριοί εστε όταν ονειδίσωσιν υμάς, καί διώξωσι, καί είπωσι πάν πονηρόν ρήμα καθυμών ψευδόμενοι ένεκεν εμού.

Τού Πατρός τήν ενυπόστατον, σχόντες σοφίαν μαθηταί τού Χριστού, πάντας σοφίζουσαν υμάς,

τή μωρία τού κη ρύγματος, κόσμον εφωτίσατε, καί πρός γνώσιν θείαν μετηγάγετε.

Μαρτυρικόν

Χαίρετε καί αγαλλιάσθε, ότι ο μισθός υμών πολύς εν τοίς ουρανοίς.

Τάς βασάνους υπομείναντες, καθάπερ άσαρκοι Χριστού αθληταί, πάντας ασάρκους δυσμενείς, κατά κράτος ενικήσατε, όθεν μακαρίζεσθε, υπό πάντων ανθρώπων εκάστοτε.

Δόξα...

Τήν Τριάδα προσκυνήσωμεν, σύν τώ Πατρί, Υιόν, καί Πνεύμα τό ζών, τήν αδιαίρετον πιστοί, καί αχώριστον καί σύνθρονον, Μονάδα κραυγάζοντες. Άγιος εί Θεέ τρισάγιε.

Καί νύν... Θεοτοκίον

Μακαρίζομέν σε Πάναγνε, ως προεφήτευσας Αγνή, Θεόν γάρ εκυοφόρησας, χορός Αποστόλων όν εκήρυξε, μεθ' ών ημίν αίτησαι, τών πταισμάτων λύτρωσιν πανάμωμε.

top

1-6

Στιχηρά Σταυρώσιμα Δεσποτικά

Ήχος α'

Τών ουρανίων ταγμάτων

Στίχ. α'. Εάν ανομίας παρατηρήσης, Κύριε, Κύριε τίς υποστήσεται; ότι παρά σοί ο ιλασμός εστιν.

Ξύλω τό πρίν ο Προπάτωρ, θανάτου γεύεται, ξύλω δέ νύν τιμίω, πάς πιστός εκλυτρούται, θανάτου καταδίκης, πάσα πνοή, ανυμνούντες δοξάσωμεν, τόν σταυρωθέντα βουλήσει υπέρ ημών, καί φωτίσαντα τά πέρατα.

Στίχ. β'. Ένεκεν τού ονόματός σου υπέμεινά σε, Κύριε, υπέμεινεν η ψυχή μου εις τόν λόγον σου, ήλπισεν η ψυχή μου επί τόν Κύριον.

Πεπωρωμένος καρδίαν, καί λογισμοίς πονηροίς, απεγνωσμένος όλος, καί κατακεκριμένος, υπάρχων εκβοώ σοι. Λόγε Θεού, τά κρυφή μοι εγκλήματα, καί τάς ατάκτους κινήσεις τών λογισμών, καταπραΰνον ως εύσπλαγχνος.

Στίχ. γ'. Από φυλακής πρωϊας μέχρι νυκτός, από φυλακής πρωϊας ελπισάτω Ισραήλ επί τόν Κύριον.

Εν τώ Σταυρώ σου Οικτίρμον, Χριστέ καυχώμεθα, καί εν αυτώ τήν πλάνην, τού εχθρού εκπορθούντες, υμνούμέν σε απαύστως, ότι ημών, τό σωτήριον Εύσπλαγχνε, τής γής εν μέσω ειργάσω ως αγαθός, εκουσίως υψωθείς εν αυτώ.

Έτερα Στιχηρά τής Θεοτόκου, όμοια

Στίχ. δ'. Ότι παρά τώ Κυρίω τό έλεος, καί πολλή παρ' αυτώ, λύτρωσις, καί αυτός λυτρώσεται τόν Ισραήλ έκ πασών τών ανομιών αυτού.

Σέ σωτηρίαν μου πάντοτε, επιγράφομαι, εν σοί θαρρώ σωθήναι, παναγία Παρθένε, εκ πάσης ούν με βλάβης, φθοράς καί παθών, ανελπίστου κακίας τε, καί εξαιρέτως εκ γνώμης ανηλεούς, φιλαργύρου τε εξάρπασον.

Στίχ. ε'. Αινείτε τόν Κύριον πάντα τά έθνη, επαινέσατε αυτόν, πάντες οι λαοί.

Επικαλούμαί σε πάλιν, Παρθένε Δέσποινα, κατά τού πάθους τούτου, τής φιλοχρηματίας, καί γάρ θηρός αγρίου αυτής τάς ορμάς, αληθώς πλέον δέδοικα, φιλαργυρία γάρ πράγμασι καί μικροίς, φειδομένοις τούτων κρίνεται.

Στίχ. ς'. Ότι εκραταιώθη τό έλεος αυτού εφ' ημάς, καί η αλήθεια τού Κυρίου μένει εις τόν αιώνα.

Ιλαρωτάτη προθέσει, καί διαθέσει χρηστή, πρός τούς πτωχούς καί ξένους, καί πενήτων τά πλήθη, οράν με καθ' εκάστην, ισχύν κραταιάν, Θεοτόκε χορήγησον, ακτημοσύνην ασπάσασθαι τώ Θεώ, οικειώσαι δυναμένηνμε.

Δόξα... Καί νύν...

Σταυροθεοτοκίον, όμοιον

Αναρτηθέντα ως είδεν, επί Σταυρού τόν Αμνόν, η άμωμος Παρθένος, θρηνωδούσα εβόα. Γλυκύτατον μου Τέκνον, τί τό καινόν, καί παράδοξον θέαμα; πώς ο κατέχων τά πάντα εν τή δρακί, ε πί ξύλου προσηλώθης σαρκί;

Απόστιχα Σταυρώσιμα

Σταυρός κατεπάγη εν κρανίω, καί ήνθησεν ημίν αθανασίαν, εκ πηγής αενάου, τής πλευράς τού Σωτήρος.

Στίχ. Α'. Πρός σέ ήρα τούς οφθαλμούς μου, τόν κατοικούντα εν τώ ουρανώ. Ιδού, ως οφθαλμοί δούλων εις χείρας τών κυρίων αυτών, ως οφθαλμοί παιδίσκης εις χείρας τής κυρίας αυτής, ούτως οι οφθαλμοί ημών πρός Κύριον τόν Θεόν ημών, έως ού οικτιρήσαι ημάς.

Άρρηκτον τείχος ημίν εστιν, ο τίμιος Σταυρός ο τού Σωτήρος, εν αυτώ γάρ πεποιθότες, σωζόμεθα πάντες.

Μαρτυρικόν

Στίχ. Β'. Ελέησον ημάς, Κύριε, ελέησον ημάς, ότι επί πολύ επλήσθημεν εξουδενώσεως, επί πλείον επλ ήσθη η ψυχή ημών, τό όνειδος τοίς ευθηνούσι, καί η εξουδένωσις τοίς υπερηφάνοις.

Τή πρεσβεία Κύριε, πάντων τών Αγίων, καί τής Θεοτόκου, τήν σήν ειρήνην δός ημίν, καί ελέησον ημάς, ως μόνος Οικτίρμων.

Δόξα... Καί νύν...

Σταυροθεοτοκίον Πανεύφημοι Μάρτυρες

Τήν γεύσιν τήν πάλαι τού Αδάμ, τήν πικράν εγλύκανας, χολήν καί όξος γευσάμενος, τέκνον γλυκύτατον, υψωθείς εν ξύλω, ως κριτός ο δίκαιος, διό με φαρμαχθείσαν τώ πάθει σου, γλύκανον Δέσποτα, αναστάς ως παντοδύναμος, η Παρθένος έλεγε δακρύουσα.

Μετά τήν α' Στιχολογίαν, Καθίσματα

Ήχος α'

Σώσον, Κύριε, τόν λαόν σου, καί ευλόγησον τήν κληρονομίαν σου, νίκας τοίς Βασιλεύσι, κατά βαρβάρων δωρούμενος, καί τό σόν φυλάττων, διά τού Σταυρού σου πολίτευμα.

Σταυρωθέντος σου Χριστέ, ανηρέθη η τυραννίς, επατήθη η δύναμις τού εχθρού, ούτε γάρ Άγγελος, ουκ άνθρωπος, αλλ' αυτός ο Κύριος, έσωσας ημάς, δόξα σοι.

Δόξα... Καί νύν... Σταυροθεοτοκίον

Τόν τάφον σου Σωτήρ

Σταυρώ σου τούς εχθρούς, τροπωσάμενος Σώτερ, διάλυσον αυτών, τάς αιρέσεις ως κόνιν, τό κέρας δέ ανύψωσον, τής σεπτής Εκκλησίας σου, στήσον, Κύριε, τήν καθ' ημών τούτων ζάλην, καί ειρήνευσον, τών Ορθοδόξων τά πλήθη, ευχαίς τής Τεκούσης σε.

Μετά τήν β' Στιχολογίαν, Καθίσματα

Τού λίθου σφραγισθέντος

Τού Σταυρού σου τό ξύλον, προσκυνούμεν φιλάνθρωπε, ότι εν αυτώ προσηλώθης, η ζωή τών απάντων. Παράδεισον ηνέωξας Σωτήρ, τώ πίστει προσελθόντι σοι Ληστή, καί τρυφής κατηξιώθη, ομολογών σοι, Μνήσθητί μου Κύριε, δέξαι ώσπερ εκείνον καί ημάς, κραυγάζοντας. Ημάρτομεν πάντες, τή ευσπλαγχνία σου, μή υπερίδης ημάς.

Τόν τάφον σου Σωτήρ

Τό όπλον τού Σταυρού, εν πολέμοις εδείχθη, ποτέ τώ ευσεβεί, Βασιλεί Κωνσταντίνω, αήττητον τρόπαιον, κατ εχθρών διά πίστεως. Τούτο τρέμουσιν αι εναντίαι δυνάμεις, τούτο γέγονε, καί τών πιστών σωτηρία, καί Παύλου τό καύχημα.

Δόξα... Καί νύν...

Σταυροθεοτοκίον, όμοιον

Ορώσά σε νεκρόν, καί γυμνόν επί ξύλου, τιτρώσκομαι δεινώς, καί δονούμαι τά σπλάγχνα, Υιέ μου υπεράγαθε, καί Θεέ παντοδύναμε, η πανάμωμος, εν στεναγμοίς ανεβόα, ήν υμνήσωμεν, ως τού Κυρίου Μητέρα, καί πίστει δοξάσωμεν.

Μετά τήν γ' Στιχολογίαν, Καθίσματα
Τόν τάφον σου Σωτήρ
Σταυρώ προσηλωθείς, εκουσίως Οικτίρμον, εθέωσας ημών, τήν φθαρείσαν ουσίαν, καί τόν ανθρωπόλεθρον, εθανάτωσας δράκοντα, αλλά στηριξον, ορθοδοξία τόν κόσμον καί κατάβαλε, αιρετικών τάς επάρσεις, Σταυρώ τώ τιμίω σου.
Μαρτυρικόν
Αθλήσεως καύχημα, καί στεφανων αξίωμα, οι ένδοξοι Αθλοφόροι, περιβέβληνταί σε Κύριε, καρτερία γάρ αικισμών, τούς ανόμους ετροπώσαντο, καί δυνάμει θεϊκή, εξ ουρανού τήν νίκην εδέξαντο. Αυτών ταίς ικεσίαις, δώρησαι ημίν ο Θεός τό μέγα έλεος.
Δόξα... Καί νύν... Σταυροθεοτοκίον
Τόν τάφον σου Σωτήρ
Η άσπιλος Αμνάς, τόν Αμνόν καί Ποιμένα, ορώσα εν Σταυρώ, ως αμνόν εσφαγμένον, τάς όψεις διεσπάραττε, καί θρηνούσα εφθέγγετο. Ώ τολμήματος, τών μιαιφόνων Εβραίων, καί τής θείας σου, μακροθυμίας, Υιέ μου, καί γάρ θέλων πέπονθας.

Ωδή α'  Ήχος α'  Ο Ειρμός
Τώ βοηθήσαντι Θεώ, εν Αιγύπτω τώ Μωσή, καί δι' αυτού τόν Φαραώ, πανστρατιά βυθίσαντι, επινίκιον ωδήν άσωμεν. Ότι δεδόξασται.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Παθείν ηνέσχου δι' ημάς, ο τή φύσει απαθής, καί σταυρωθείς μετά ληστών, τόν αρχέκακον εχθρόν, εθανάτωσας Λόγε καί έσωσας, τούς ανυμνούντάς σε.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ανατολή ανατολών, χρηματίζων πρός δυσμάς, τής απωσμένης Ιησού, ήλθες φύσεως ημών, όν ο ήλιος βλέπων κρεμάμενον, τό φώς συνέστειλεν.
Μαρτυρικά

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Θάνατον πρόξενον ζωής, αιωνίου Αθληταί, ανταλλαξάμενοι καλώς, βασιλείας ουρανών ηξιώθητε, όθεν δοξάζεσθε, καί μακαρίζεσθε.

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Οι τά παθήματα Χριστού, μιμησάμενοι καλώς, πάθη ιάσθε τών βροτών, χειρουργία μυστική, καί διώκετε λόγω τά πνεύματα, άγιοι Μάρτυρες.
Σταυροθεοτοκίον
Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ώσπερ αμνόν επί Σταυρού, καθορώσα η Αμνάς, αναρτηθέντα τόν Χριστόν, αλαλάζει καί βοά. Πού σου έδυ τό κάλλος μακρόθυμε, Υιέ προάναρχε;

Κανών τής Υπεραγίας Θεοτόκου
Ειρμός ο αυτός
Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Εν τώ πελάγει τών δεινών, καί τή ζάλη τών παθών, κλυδωνιζόμενος εγώ, τήν σήν άχραντε Σεμνή, επικαλούμαι γαλήνην, διάσωσόν με, λιμήν γάρ εί τών πιστών.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Προκαθαρθείσα τήν ψυχήν, θείου Πνεύματος φωτί, όλον εδέξω εν γαστρί, τό απαύγασμα Πατρός,

διό τον ζόφον μου λύσον τού πταίσματος, Παρθένε άχραντε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σέ τήν ουράνιον σκηνήν, καί αγίαν κιβωτόν, εν ή τόν οίκον εαυτού, ωκοδόμησε Χριστός, καί ιλαστήριον έδειξεν εις σωτηρίαν, ημών μεγαλύνομεν.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σύ εί τού γένους τών βροτών, ασφαλής καταφυγή, τείχος καί σκέπη καί λιμήν, καί προστάτις κραταιά, εν μοχθηροίς τού βίου πανύμνητε, Θεογεννήτρια.

### Ωδή γ'  Ο Ειρμός

Στερεωθήτω η καρδία μου, εις τό θέλημά σου Χριστέ ο Θεός, ο εφ' υδάτων ουρανόν, στερεώσας τόν δεύτερον, καί εδράσας εν τοίς ύδασι, τήν γήν Παντοδύναμε.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Επί Σταυρού παλάμας ήπλωσας, καί δακτύλους θείους ημάτωσας, έργον χειρών σου τόν Αδάμ, φονικής χειρός Δέσποτα, εκλυτρούμενος, ως μόνος αγαθός καί φιλάνθρωπος.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Πλευράν ενύγης λόγχη Δέσποτα, ανορθών πλευράς τό ολίσθημα, ξύλω υψώθης τόν ποτέ, ναυαγήσαντα ξύλου καρπώ, πρός Παράδεισον εισάγων, σύν Ληστή τώ ευγνώμονι.

### Μαρτυρικά

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Τής Εκκλησίας τά στηρίγματα, τά τής ευσεβείας προπύργια, τούς καθαιρέτας τού εχθρού, τού Κυρίου τούς Μάρτυρας, διανοία καθαρά, μελωδικώς ανυμνήσωμεν.

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Οίά περ θεία όντες κλήματα, νοητής αμπέλου οι Μάρτυρες, βότρυας ήνεγκαν σαφώς, καρτερίας προχέοντες οίνον, πάντων τάς καρδίας, τών πιστών κατευφραίνοντα.

### Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ευλογημένος τής κοιλίας σου, ο καρπός Παρθένε πανύμνητε, ο τούς φθαρέντας τώ καρπώ, διά ξύλου Σταυρού αυτού, αφθαρσίας καταστήσας, κοινωνούς θεία χάριτι.

### Κανών τής Θεοτόκου
### Ο Ειρμός

Στερέωσον Κύριε, τήν Εκκλησίαν σου, ήν εκτήσω τή δυνάμει τού Σταυρού σου, εν ώ εχθρόν εθριάμβευσας, καί εφώτισας τήν Οικουμένην.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Εν τώ φωτί Δέσποινα, τώ τού Υιού σου, τό ζοφώδες τών εμών αγνοημάτων, μετά δακρύων σού δέομαι, διασκέδασον τή σή πρεσβεία.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ως έχουσα Πανάχραντε, θαυμάτων άβυσσον, καί πηγήν ιαμάτων, ταίς πρεσβείαις σου απόσμηξον, πάντα ρύπον τής εμής ψυχής, τόν εξ αμαρτίας.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τόν άρρητον τόκον σου, ευλογημένη προσκυνούμεν, εις πρεσβείαν σε καλούντες, δυσώπησον Αγνή πάσης ανάγκης λυτρωθήναι, τούς σέ ανυμνούντας.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ελπίδων σε πλήρωμα, καί θείαν σκέπην, προστασίαν, καί ημέραν σωτηρίας, κεκτήμεθα, Μήτηρ τού Λόγου, λάμψον ημίν φώς τής μετανοίας.

## Ωδή δ' Ο Ειρμός

Εισακήκοα Κύριε τήν ακοήν σου, καί εφοβήθην, κατενόησα τά έργα σου, (ο Προφήτης έλεγε), καί εδόξασά σου τήν δύναμιν.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Νομοθέτης ών δίκαιος, μετά ανόμων κατελογίσθης, επί ξύλου αναρτώμενος, ευεργέτα Κύριε, πάντας δικαιώσαι βουλόμενος.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Αι δυνάμεις εξέστησαν, αι τών Αγγέλων, επί Σταυρού σε, θεασάμεναι υψούμενον, καί τού σκότους Ήλιε, τάς αρχάς δυνάμει τροπούμενον.

### Μαρτυρικά

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ιαμάτων χαρίσματα, εκ τών τού Πνεύματος χαρισμάτων, απαντλήσαντες οι μάρτυρες, πάντων αναπαύουσι, πάθη ψυχοφθόρα εν χάριτι.

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Νυσταγμόν απωσάμενοι, τής αμελείας οι αθλοφόροι, εγρηγόρσει θείας πίστεως, τών θηρών εκοίμισαν τάς ορμάς, καί χαίροντες ήθλησαν.

### Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Οίμοι τέκνον! Πώς βλέψω σε, επί τού ξύλου ανηρτημένον, καί αδίκως θανατούμενον, τόν ζωήν παρέχοντα; Η Παρθένος κλαίουσα έλεγεν.

## Κανών τής Θεοτόκου
### Ο Ειρμός

Κατενόησα Παντοδύναμε τήν σήν οικονομίαν, καί μετά φόβου εδόξασά σε Σωτήρ.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ιλαστήριον ακαταίσχυντον, τήν πρεσβείαν σου πάντες, αγνή Παρθένε, οι πιστοί κεκτήμεθα.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Θεόν Αγνή Λόγον εν μήτρα σου, αφράστως συλλαβούσα, Θεόν σωτήρα, τίκτεις τού γένους ημών.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Απροσμάχητον τείχος έχοντες, τήν σήν σκέπην Παρθένε, τών αοράτων, εχθρών λυτρούμεθα.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Πεπτωκότας αμαρτήμασι, διανάστησον Κόρη, ευλογημένη, ελπίς γάρ εί τών πιστών.

Ωδή ε'  Ο Ειρμός

Τό φαεινόν ημίν εξανάτειλον, φώς τό αϊδιον, τοίς ορθρίζουσιν, επί τά κρίματα τών εντολών σου, Δέσποτα φιλάνθρωπε, Χριστέ ο Θεός ημών.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Επί Σταυρού σαρκί ανυψούμενος, έθνη εκάλεσας, μή ειδότα σε, πρός σήν επίγνωσιν, Κριτά τών όλων, μόνε ευσυμπάθητε, Χριστέ ο Θεός ημών.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Σού πρός κριτήριον στάντος άδικον, δίκαιε Κύριε, δεδικαίωται ο πρίν κατάκριτος Αδάμ, καί κράζει. Δόξα τή Σταυρώσει σου, μακρόθυμε Κύριε.

Μαρτυρικά

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ώσπερ Παράδεισος θεοφύτευτος, ώφθητε μάρτυρες, πάθη τίμια, ως άνθη εύοσμα προσκεκτημένοι, οίς ευωδιάζεται, πιστών ψυχή άπασα.

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Τά ευθαλέστατα καί κατάκαρπα, δένδρα τής πίστεως, τόν αθάνατον καρπόν ανθήσαντα, τά τής κακίας ρίζας ανασπάσαντα, υμνούμεν τούς μάρτυρας.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ράβδος η έντιμος η βλαστήσασα, κλάδον αμάραντον, ανυψούμενον αυτόν ως έβλεπεν επί τού ξύλου, Δέσποτα, εκραύγαζε, μή άτεκνον δείξης με.

Κανών τής Θεοτόκου

Ο Ειρμός

Εκ νυκτός ορθρίζοντες υμνούμέν σε Χριστέ, τόν τώ Πατρί συν άναρχον, καί Σωτήρα τών ψυχών ημών, Τήν ειρήνην τώ κόσμω παράσχου φιλάνθρωπε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Κραταιάν σε αντίληψιν, Αειπάρθενε υπάρχουσαν, εν πειρασμοις καί θλίψεσι, καί δειναίς αμαρτίαις, εύροιμεν εύκαιρον βοήθειαν.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τά τών Αγγέλων στρατεύματα, ως τόν Κτίστην τών απάντων, υπερφυώς κυήσασαν, καί Παρθένον μείνασαν, Θεοτόκε ανυμνούσί σε αεί.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Εν τή πηγή τών ιαμάτων σου, καί τοίς ρείθροις τών θαυμάτων σου, τόν μολυσμόν απόπλυνον, τόν εκ τής αμαρτίας, προστριβέντα μοι πανάμωμε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τόν ιλασμόν τών ψυχών ημών, εν νηδύϊ συλλαβούσα Αγνή, σωτηρίαν τέτοκας, τοίς εν πίστει απλέτω, Θεοτόκον σε δοξάζουσιν.

Ωδή ς'  Ο Ειρμός
Τόν Προφήτην διέσωσας, εκ τού κήτους φιλάνθρωπε, καμέ τού βυθού τών πταισμάτων, ανάγαγε δέομαι, τροπάρια.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ο τιμής πάσης ύπερθεν, ατιμίαν υπήνεγκας, Σταυρώ προσπαγείς τούς ανθρώπους, τιμήσαι βουλόμενος.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Υπογράφεις μοι άφεσιν, τώ καλάμω τυπτόμενος, καταδουλωθέντι τώ πλάνω, Χριστέ ο Θεός ημών.

Μαρτυρικά

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Διά πόνων αθλήσεως, πρός τήν άπονον άγιοι, μετέβητε λήξιν αρρήτου, χαράς αξιούμενοι.

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Επυρώθητε άνθραξι, τής Χριστού αγαπήσεως, όθεν τώ πυρί ομιλούντες, εμείνατε άφλεκτοι.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Μετά τόκον Πανάμωμε, ως πρό τόκου διέμεινας, Θεόν γάρ εκύησας ξύλω, τόν άνθρωπον σώσαντα.

Κανών τής Θεοτόκου

Ο Ειρμός

Σύν τώ Ιωνά βοώμεν σοι Κύριε, μετά φωνής αινέσεως δεόμενοι, ανάγαγε εκ φθορός τήν ζωήν ημών.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τών αλγεινών παθών μου τά συντρίμματα, εν τώ συνδέσμω Δέσποινα, τής πρεσβείας σου θεράπευσον, καί τήν ρώσίν μοι δώρησαι.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Όλος συλληφθείς πολλοίς ατοπήμασι, καί συληθείς τόν νούν, αμαρτίαις πολλαίς, τή σκέπη σου καταφεύγω, διάσωσόν με.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Πάντες αδιστάκτω πίστει σε Πάναγνε, εκδυσωπούμεν Παρθένε, τών επταισμένων ημίν δώρησαι λύσιν, ως Μήτηρ Θεού.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ως του νοητού Ηλίου πανάμωμε, αναδειχθείσα όχημα, φωταγώγησον, τούς εν νυκτί, αγνωσίας καθεύδοντας.

Ωδή ζ'  Ο Ειρμός
Η κάμινος Σωτήρ εδροσίζετο, οι Παίδες δέ χορεύοντες έψαλλον. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Σταυρούμενος τήν κτίσιν εσάλευσας, νεκρούμενος τόν όφιν ενέκρωσας. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ποτίζεται χολή ο Μακρόθυμος, πηγάζων μοι γλυκασμόν σωτήριον, τή ενηδόνω βρώσει στερηθέντι, Παραδείσου τής τρυφής.

Μαρτυρικά

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Οι Μάρτυρες ξεόμενοι όνυξι, νεκρώσεως τό πάθος απέθεντο, καταστολήν δέ θείαν, εκ Θεού εκομίσαντο.

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Τοίς πάθεσι τό πάθος τό άχραντον, μιμούμενοι καλλίνικοι Μάρτυρες, τούς αικισμούς ραδίως, τών εχθρών υπεμείνατε.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σταυρούμενον ορώσα τόν Κύριον, η άμεμπτος Θεοτόκος έλεγεν. Οίμοι! Υιέ πώς θνήσκεις, η ζωή καί ελπίς τών πιστών.,

Κανών τής Θεοτόκου

Ο Ειρμός

Ο εν τή βάτω οφθείς, εν πυρί τώ Νομοθέτη, καί τόν τόκον τής αειπαρθένου εν αυτή προτυπώσας, ευλογητός εί Κύριε, ο Θεός τών Πατέρων ημών.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Εν πειρασμοίς βοηθόν, εν κινδύνοις σωτηρίαν, σέ Δέσποινα επιστάμενοι, πιστώς εκβοώμεν. Ευλογημένος Πάναγνε, ο καρπός τής κοιλίας σου.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τόν τής ζωής χορηγόν, ως τεκούσα Θεοτόκε, ανάστησον νεκρωθέντα με, δειναίς αμαρτίαις, Ευλογητός εί κράζοντα, ο Θεός τών Πατέρων ημών.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Θεός εκ σού προελθών, ελυτρώσατο τήν φύσιν τής κατάρας, καί ιάσατο τάς πάντων οδύνας. Ευλογημένος Πάναγνε, ο καρπός τής κοιλίας σου.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Χαίρε χαρά τών πιστών, καίλυτήριον λύπης. Χαίρε πάντων ιλαστήριον, τών πίστει βοώντων. Ευλογημένη άχραντε, Θεοτόκε πανύμνητε.

Ωδή η'  Ο Ειρμός

Τόν τούς υμνολόγους εν καμίνω, διασώσαντα Παίδας, καί τήν βροντόφλογον μεταβαλόντα, κάμινον εις δρόσον, Χριστόν τόν Θεόν υμνείτε, εις πάντας τούς αιώνας.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ότε τώ Σταυρώ Σώτερ επάγης, εκλονείτο η κτίσις, ήλιος έπαυσε τάς ακτίνας, καί πέτραι εσχίζοντο, καί άδης Σώτερ εγυμνούτο, μή φέρων σου τό κράτος.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Υπέρ καταδίκων απωσμένων, καταδίκης ηνέσχου, υπέρ τού γύμνωσιν υποστάντος, γυμνός ξύλω κρέμασαι, Οικτίρμον, Μέγα σου τό κράτος, καί η φιλανθρωπία.

Μαρτυρικά

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Οι τών Ασωμάτων συμπολίται, οι Χριστού στρατιώται, Σταυρόν ως θωρακα ενδυσάμενοι, πρός τόν αντίπαλον χωρούσι, καί τούτων ωραίοις, ποσί καταπατούσιν.

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ίσταντο εν μέσω τού σταδίου, τοίς μοχλοίς οι γενναίοι μέλη συνθλώμενοι, καί τήν δόμησιν αναμοχλεύοντες τής πλάνης, καί τούς δαιμόνων βωμούς εδαφίζοντες.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Η τών ουρανών υψηλοτέρα, υψωθέντα εν ξύλω, καί καταράσσοντα τάς υψώσεις, εχθρού θεωρήσασα, τόν μόνον ύψιστον, ανύμνει Χριστόν μεγαλοφώνως.

## Κανών τής Θεοτόκου

### Ο Ειρμός

Ύπνον σοι προσφέρομεν τών ασωμάτων, ώσπερ οι Παίδες εν τή καμίνω, καί υμνούντες λέγομεν, ευλογείτε πάντα τά έργα Κύριου τόν Κύριον.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ιλέωσαι τόν εύσπλαγχνον Θεόν καί Λόγον, Θεοκυήτορ υπέρ τών πίστει, ασιγήτως βοώντων. Ευλογείτε πάντα τά έργα Κυρίου τόν Κύριον.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Καθάρσιον έχοντες τήν σήν πρεσβείαν, οι εμπαγέντες βυθώ πταισμάτων, Θεοτόκε βοώμεν. Ευλογείτε πάντα τά έργα Κυρίου τόν Κύριον.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σέ πάντες καταφύγιον εν περιστάσει, καί συμμαχίαν καί προστασίαν, κεκτημένοι βοώμεν. Ευλογείτε πάντα τά έργα Κυρίου τόν Κύριον.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Αχλύς κυμάτων δεινών συνταράττει με, διό προστρέχω εν τώ λιμένι, τής σής πρεσβείας κραυγάζων. Ευλογείτε πάντα τά έργα Κυρίου τόν
Κύριον.

## Ωδή θ'  Ο Ειρμός

Σέ ήν περ είδε Μωϋσής, ακατάφλεκτον βάτον, καί κλίμακα έμψυχον, ήν ο Ιακώβ τεθέαται, καί πύλην ουράνιον, διής διήλθε Χριστός ο Θεός ημών, ύμνοις, Μήτερ αγνή, μεγαλύνομεν.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ώ! πώς λαός ο απειθής, παραδίδωσι Σταυρώ, τόν μόνον μακρόθυμον, εθελοντί πτωχεύσαντα, καί πάθος δεξάμενον, καί απαθείας πρόξενον γενόμενον, πάσι τοίς εξ Αδάμ ολισθήσασιν.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Σταύρωσιν άτιμον Χριστέ, κατεδέξω εν σαρκί, τιμήσαι βουλόμενος, ατιμασθέντα πάθεσιν, αλόγοις τόν άνθρωπον, καί τό αρχαίον κάλλος απολέσαντα, δόξα τή υπέρ νούν ευσπλαγχνία σου.

Μαρτυρικά

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ήλιε άδυτε Χριστέ, τούς ορθρίζοντας πρός σέ, καί σκότος κολάσεως, παραδραμόντας νεύσει σου, εις φέγγος ωδήγησας τής σής, αρρήτου δόξης καί λαμπρότητος, φώτισον ούν ημάς ταίς αυτών προσευχαίς.

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Φάλαγξ μαρτύρων ιερών, μυριάδας νοητών, εχθρών ετροπώσαντο, καί μυριάσιν ήνωνται αγίων Δυνάμεων, καί τά μύρια πάθη τών ψυχών ημών, νεύσει παντουργική θεραπεύουσιν.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φέγγει Παρθένε τού εκ σού, ανατείλαντος σαρκί, τόν νούν μου καταύγασον, καί τήν καρδίαν φώτισον, τό σκότος διώκουσα τής αμαρτίας, καί τής ραθυμίας μου, άπασαν τήν αχλύν απελαύνουσα.

Κανών τής Θεοτόκου

Ειρμός ο αυτός

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Έχουσα πλήθος συμπαθές, καί πλουσίους οικτιρμούς, τά πάθη καί τραύματα, τού σώματος καί μώλωπας, καί τάς οδύνας θεράπευσον Δέσποινα, δούλου τού σού, όπως κατά χρέος δοξάζω σε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σέ ως τόν Λόγον τού Πατρός, συλλαβούσαν εν γαστρί, καί τούτον κυήσασαν, υπέρ φύσιν πάναγνε, καί Παρθένον μεί νασαν, δοξολογώ ευχαρίστως, κράζων σοι. Χαίρε αμαρτωλών η βοήθεια.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Μόνη υπάρχεις απλανής, οδηγία τών πιστών, καί τρίβος σωτήριος, εις ευθείαν ημάς άγουσα, οδόν ουράνιον, τής Βασιλείας τού μόνου Θεού, Άχραντε, η ελπίς τών ψυχών ημών.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σύ τόν ουράνιον ημίν, εγεώργησας στάχυν, καί τρέφεις πανάμωμε, καί πρεσβεύεις πάντοτε, καί σώζεις εκ θλίψεως καί κινδύνων, καί παρέχεις άπασιν, ιλασμόν αμαρτιών τοίς υμνούσί σε.

Απόστιχα τών Αίνων, Σταυρώσιμα

Ήχος α'

Σέ τόν εν ξύλω προσπαγέντα, καί ζωήν ημίν παρεσχηκότα, ως Σωτήρα, καί Δεσπότην, υμνούμεν απαύστως.

Στίχ. α'. Ενεπλήσθημεν τό πρωϊ τού ελέους σου, Κύριε, καί ηγαλλιασάμεθα καί ηυφράνθημεν έν πάσαις ταίς ημέραις ημών. Ευφρανθείημεν, ανθών ημερών εταπείνωσας ημάς, ετών, ών είδομεν κακά, καί ίδε επί τούς δούλους σου καί επί τά έργα σου, καί οδήγησον τούς υιούς αυτών.

Διά τού Σταυρού σου Χριστέ, μία ποίμνη γέγονεν, Αγγέλων καί ανθρώπων, καί μία Εκκλησία, ουρανός καί η γή αγάλλεται, Κύριε δόξα σοι.

Μαρτυρικόν

Στίχ. β'. Καί έστω η λαμπρότης Κυρίου τού Θεού ημών εφ' ημάς, καί τά έργα τών χειρών ημών κατεύθυνον εφ' ημάς, καί τό έργον τών χειρών ημών κατεύθυνον.

Τούς Αθλοφόρους τού Χριστού, δεύτε λαοί άπαντες τιμήσωμεν, ύμνοις καί ωδαίς πνευματικαίς, τούς φωστήρας τού κόσμου, καί κήρυκας τής Πίστεως, τήν πηγήν τήν αέναον, εξ ής αναβλύζει τοίς πιστοίς τά ιάματα. Αυτών ταίς ικεσίαις, Χριστέ ο Θεός ημών, τήν ειρήνην δώρησαι τώ κόσμω σου, καί ταίς ψυχαίς ημών τό μέγα έλεος.

Δόξα... Καί νύν... Σταυροθεοτοκίον

Πανεύφημοι Μάρτυρες

Υψώθης Οικτίρμον εν Σταυρώ, ως αρνίον άκακον, εθελουσίως σφαττόμενος, τέκνον γλυκύτατον, (εν κλαυθμώ εβόα, η Αμνάς η άσπιλος, ορώσα επί ξύλου τόν Κύριον), εγώ δέ πίμπραμαι, τήν καρδίαν καί τιτρώσκομαι, αλλ' υμνώ σου τό άμετρον έλεος.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

### Οι Μακαρισμοί

Μακάριοι οι ειρηνοποιοί, ότι αυτοί υιοί Θεού κληθήσονται.

Διά βρώσεως εξήγαγε, τού Παραδείσου ο εχθρός τόν Αδάμ, διά Σταυρού δέ τόν Ληστήν, αντεισήγαγε Χριστός εν αυτώ. Μνήσθητί μου κράζοντα, όταν έλθης εν τή Βασιλεία σου.

Μακάριοι οι δεδιωγμένοι ένεκεν δικαιοσύνης, ότι αυτών εστιν η βασιλεία τών ουρανών.

Σταυρωθείς ο αναμάρτητος, τάς αμαρτίας πάντων ήρας Χριστέ, καί λογχευθείς σου τήν πλευράν, σωτηρίας κρουνούς έβλυσας, αίματος καί ύδατος αναπλάττων, τούς συντετριμμένους φθορά.

Μακάριοί εστε όταν ονειδίσωσιν υμάς, καί διώξωσι, καί είπωσι πάν πονηρόν ρήμα καθυμών ψευδόμενοι ένεκεν εμού.

Επί ξύλου καθηλούμενος, εθελουσίως Ιησού ο Θεός, άπαν εξήλωσας Αδάμ, εμπαθές Οικτίρμον νόημα, τραύμασι τιμίοις δέ, τών δαιμόνων, πληθύν ετραυμάτισας.

Μαρτυρικόν

Χαίρετε καί αγαλλιάσθε, ότι ο μισθός υμών πολύς εν τοίς ουρανοίς.

Οι τά Πάθη μιμησάμενοι, τού εκουσίως πεπονθότος σαρκι, Μάρτυρες ένδοξοι αεί, πάθη παύετε δυσίατα, νόσους τε διώκετε, τών ανθρώπων, ισχύϊ τού Πνεύματος.

Δόξα...

Ισοδύναμον ομότιμον, σέ τήν Τριάδα ονομάζομεν, Πατέρα άναρχον Θεόν, καί Υιόν καί Πνεύμα άγιον, μίαν τρισυπόστατον, θεαρχίαν, πιστώς μεγαλύνοντες.

Καί νύν... Σταυροθεοτοκίον

Τώ Σταυρώ σε καθηλούμενον, ως εθεάσατο Χριστέ ο Θεός, η σέ κυήσασα σαρκί, θρηνωδούσα απεφθέγγετο. Τί σοι ανταπέδωκεν, ώ Υιέ μου, δήμος ο αχάριστος;

top

1-7

### Στιχηρά Δεσποτικά προσόμοια

Ήχος α'

Πανεύφημοι Μάρτυρες

Στίχ. α'. Εάν ανομίας παρατηρήσης, Κύριε, Κύριε τίς υποστήσεται; ότι παρά σοί ο ιλασμός εστιν.

Ξύλου βρώσει τέθνηκα ποτέ, συμβουλία όφεως, συνεπαρθείς καί εξόριστος, τής θείας δόξης σου, γεγονώς ο τάλας, διό τεθανάτωμαι, υπό τής αμαρτίας ο δείλαιος, λοιπόν Φιλάνθρωπε, σύ ως μόνος ευδιάλλακτος, Παραδείσου, οικήτορα ποίησον.

Στίχ. β'. Ένεκεν τού ονόματός σου υπέμεινά σε, Κύριε, υπέμεινεν η ψυχή μου εις τόν λόγον σου, ήλπισεν η ψυχή μου επί τόν Κύριον.

Πάντα καταλείψασα ψυχή, εννοού τήν ώραν σου, τήν τελευταίαν καί πρόσεχε, σαυτή, πρός έξοδον, ετοιμαζομένη, όπως μή αιφνίδιος, ελθών σε καταλάβη ο θάνατος, ευρών ανέτοιμον, τώ Κυρίω ούν αείποτε, γρηγορούσα, προσεύχου καί δάκρυε.

Στίχ. γ'. Από φυλακής πρωϊας μέχρι νυκτός, από φυλακής πρωϊας ελπισάτω Ισραήλ επί τόν Κύριον.

Νέκρωσον τό φρόνημα παθών, τών παρενοχλούντων με, καί τάς ατάκτους κινήσεις μου, Θεέ προάναρχε, θεία εξουσία, πράϋνον ως εύσπλαγχνος, παρέχων μοι πταισμάτων τήν άφεσιν, ως ευδιάλλακτος, ως οικτίρμων καί φιλάνθρωπος, διά πλούτον, τής σής αγαθότητος.

Έτερα τής Θεοτόκου, όμοια

Στίχ. δ'. Ότι παρά τώ Κυρίω τό έλεος, καί πολλή παρ' αυτώ, λύτρωσις, καί αυτός λυτρώσεται τόν Ισραήλ έκ πασών τών ανομιών αυτού.

Αγία Θεόνυμφε αγνόν, σεμνόν με καί σώφρονα, πράον ησύχιον κόσμιον, ευθή καί όσιον, αληθή ανδρείον, φρόνιμον μακρόθυμον, χρηστόν επιεική τε καί μέτριον, άμεμπτον άμωμον, ανεπίληπτόν τε ποί ησον, καί πρός τούτοις Παραδείσου μέτοχον.

Στίχ. ε'. Αινείτε τόν Κύριον πάντα τά έθνη, επαινέσατε αυτόν, πάντες οι λαοί.

Υπέκκαυμα γέγονα αισχράς, ασωτίας Άχραντε, εφευρετής παραπτώσεων, παθών διδάσκαλος, οδηγός λαγνείας, ασελγείας πρόξενος, δεινής ακολασίας συνήγορος, καί έτι τούτων γάρ, ταίς εννοίαις ενηδύνομαι, αλλά πάσης απωλείας ρύσαί με.

Στίχ. ς'. Ότι εκραταιώθη τό έλεος αυτού εφ' ημάς, καί η αλήθεια τού Κυρίου μένει εις τόν αιώνα.

Δεινώς με χειμάζουσι δεινοί, αμαρτίας χείμαρροι, ωδίνες άδου κυκλούσί με, παγίς θανάτου δέ, ψυχικού προφθάνει, ελεήμον Δέσποινα, βοώ σοι μετ' οδύνης καρδίας μου. Σπεύσον εξάρπασον, εκ θανάτου απογνώσεως, καί εξ άδου, νύν τής απωλείας με.

Δόξα... Καί νύν... Θεοτοκίον

Τήν παγκόσμιον δόξαν, τήν εξ ανθρώπων σπαρείσαν, καί τόν Δεσπότην τεκούσαν, τήν επουράνιον πύλην, υμνήσωμεν Μαρίαν τήν παρθένον, τών Ασωμάτων τό άσμα, καί τών πιστών τό εγκαλλώπισμα. Αύτη γάρ ανεδείχθη ουρανός, καί ναός τής θεότητος. Αύτη τό μεσότοιχον τής έχθρας καθελούσα, ειρήνην αντεισήξε, καί τό βασίλειον ηνέωξε. Ταύτην ούν κατέχοντες, τής πίστεως τήν άγκυραν, υπέρμαχον έχομεν, τόν εξ αυτής τεχθέντα Κύριον. Θαρσείτω τοίνυν, θαρσείτω λαός τού Θεού, καί γάρ αυτός πολεμήσει τούς εχθρούς, ως παντοδύναμος.

Απόστιχα Μαρτυρικά

Η εν σταδίω υμών ομολογία Άγιοι, τών δαιμόνων κατέπτηξε τήν δύναμιν, καί τής πλάνης τούς ανθρώπους ηλευθέρωσε, διό καί τάς κεφαλάς αποτεμνόμενοι, εκράζετε. Γενέσθω, Κύριε, η θυσία τών ψυχών ημών, ευπρόσδεκτος ενώπιόν σου, ότι σέ ποθήσαντες, κατεφρονήσαμεν τής προσκαίρου ζωής φιλάνθρωπε.

Στίχ. Θαυμαστός ο Θεός εν τοίς αγίοις αυτού ο Θεός Ισραήλ αυτός δώσει δύναμιν καί κραραίωσιν τώ λαώ αυτού ευλογητός ο Θεός.

Ώ τής καλής υμών πραγματείας Άγιοι! ότι αίματα εδώκατε, καί ουρανούς εκληρονομήσατε, καί πρός καιρόν πειρασθέντες, αιωνίως αγάλλεσθε, όντως καλόν υμών τό εμπόρευμα! φθαρτά γάρ καταλιπόντες, τά άφθαρτα απελάβετε, καί σύν Αγγέλοις χορεύοντες, υμνείτε απαύστως, Τριάδα ομοούσιον.

Αυτόμελον

Στίχ. Τοίς Αγίοις τοίς εν τή γή αυτού εθαυμάστωμεν πάντα τά θέλημα αυτού εν αυτοίς.

Πανεύφημοι μάρτυρες υμάς, ουχ η γή κατέκρυψεν, αλλ' ουρανός ύπεδέξατο, υμίν ηνοίγησαν, Παραδείσου πύλαι, καί εντός γενόμενοι, τού ξύλου τής ζωής απολαύετε, Χριστώ πρεσβεύοντες, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην καί τό μέγα έλεος.

Νεκρώσιμον

Στίχ. Μακάριοι ούς εξελέξω καί προσλάβω Κύριε.

Ποία τού βίου τρυφή διαμένει λύπης αμέτοχος; ποία δόξα έστηκεν επί γής αμετάθετος; πάντα σκιάς ασθενέστερα, πάντα ονείρων απατηλότερα, μία ροπή, καί ταύτα πάντα θάνατος διαδέχεται. Αλλ' εν τώ φωτί Χριστέ τού προσώπου σου, καί τώ γλυκασμώ τής σής ωραιότητος, ούς εξελέξω ανάπαυσον ως φιλάνθρωπος.

Δόξα... Καί νύν... Θεοτοκίον

Χαίροις παρ' ημών αγία Θεοτόκε Παρθένε, τό σεπτόν κειμήλιοναπάσης τής οικουμένης, η λαμπάς η άσβεστος, τό χωρίον τού αχωρήτου, ο ναός ο ακατάλυτος. Χαίροις εξ ής Αμνός ετέχθη, ο αίρων τήν αμαρτίαν τού κόσμου.

Μετά τήν α' Στιχολογίαν

Καθίσματα Μαρτυρικά  Ήχος α'

Τού λίθου σφραγισθέντος

Ως καλοί στρατιώται ομοφρόνως πιστεύσαντες, τάς απειλάς τών τυράννων μή πτοούμενοι Άγιοι, προσήλθετε προθύμως τώ Χριστώ, αράμενοι τόν τίμιον Σταυρόν, καί τελέσαντες τόν δρόμον, εξ ουρανού τήν νίκην ελάβετε. Δόξα τώ ενισχύσαντι υμάς, δόξα τώ στεφανώσαντι, δόξα τώ ενεργούντι δι' υμών, πάσιν ιάματα.

Τάς αλγηδόνας τών Αγίων, άς υπέρ σού έπαθον, δυσωπήθητι Κύριε, καί πάσας ημών τάς οδύνας, ίασαι φιλάνθρωπε δεόμεθα.

Τούς μάρτυρας Χριστού, ικετεύσωμεν πάντες, αυτοί γάρ τήν ημών, σωτηρίαν αιτούνται, καί πόθω προσέλθωμεν, πρός αυτούς μετά πίστεως, ούτοι βρύουσι, τών ιαμάτων τήν χάριν, ούτοι φάλαγγας, αποσοβούσι δαιμόνων, ως φύλακες τής πίστεως.

Δόξα... Καί νύν... Θεοτοκίον

Τού Γαβριήλ φθεγξαμένου σοι Παρθένε τό Χαίρε, σύν τή φωνή εσαρκούτο, ο τών όλων Δεσπότης, εν σοί τή αγία κιβωτώ, ως έφη ο δίκαιος Δαυϊδ, εδείχθης πλατυτέρα τών ουρανών, βαστάσασα τόν Κτίστην σου. Δόξα τώ ενοικήσαντι εν σοί, δόξα τώ προελθόντι εκ σού, δόξα τώ ελευθερώσαντι ημάς διά τού τόκου σου.

Μετά τήν β' Στιχολογίαν, Καθίσματα

Μαρτυρικόν

Αθλήσεως καύχημα, καί στεφάνων αξίωμα, οι ένδοξοι αθλοφόροι, περιβέβληνταί σε Κύριε, καρτερία γάρ αικισμών, τούς ανόμους ετροπώσαντο, καί δυνάμει θεϊκή, εξ ουρανού τήν νίκην εδέξαντο, αυτών ταίς ικεσίαις, δώρησαι ημίν τό μέγα σου έλεος.

Έτερα Νεκρώσιμα

Τό τού θανάτου κράτος, Χριστέ κατήργησας, καί αφθαρσίαν τοίς επί γής επήγασας, καί οι εις σέ πιστεύοντες ου θνήσκουσιν, αλλά ζώσιν εν σοί. Ανάπαυσον ούν Κύριε, τάς ψυχάς τών δούλων σου, καί κατάταξον αυτούς μετά τών Αγίων σου, πρεσβείαις τής Θεοτόκου, χαριζόμενος αυτοίς τά ελέη σου.

Τόν τάφον σου Σωτήρ

Εν τόπω φωτεινώ, εν χορώ τών δικαίων, ανάπαυσον Σωτήρ, τούς πρός σέ μεταστάντας, εις σέ γάρ φιλάνθρωπε, τάς ελπίδας ανέθεντο. Δέξαι δέησιν, υπέρ πατέρων καί τέκνων, καί δικαίωσον, ών εκτελούμεν τήν μνήμην, ως ών πολυέλεος.

Δόξα... Καί νύν... Θεοτοκίον

Θαύμα θαυμάτων, Κεχαριτωμένη, εν σοί θεωρούσα η κτίσις αγάλλεται, συνέλαβες γάρ ασπόρως, καί έτεκες αφράστως, όν ταξιαρχίαι Αγγέλων οράν ου δεδύνηνται, αυτόν Θεοτόκε ικέτευε, υπέρ τών ψυχών ημών.

Κανών εις Προφήτας καί Μάρτυρας, ού η Ακροστιχίς εν τή θ' Ωδή. Ιωσήφ.

Ωδή α'  Ήχος α'  Ο Ειρμός

Σού η τροπαιούχος δεξιά, θεοπρεπώς εν ισχύϊ δεδόξασται, αύτη γάρ αθάνατε, ως πανσθενής υπεναντίους έθραυσε, τοίς Ισραηλίταις, Οδόν βυθού καινουργήσασα.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Χερσίν ωμοιώθης Προφητών, ο τή χειρί σου συνέχων τά πέρατα, τούτων παρακλήσεσι, τό τών εμών αμαρτιών χειρόγραφον, Λόγε διαρρήξας, εχθρού χειρών με εξάρπασον.

Στίχ. Αγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Θείων επιλάμψεων τόν νούν, προφητικώς δεκτικόν εργασάμενοι, φώς εχρηματίσατε, τήν νοητήν ανατολήν κηρύττοντες, ένδοξοι Προφήται, φωταγωγοί τών ψυχών ημών.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Αίμασιν υμών αθλητικοίς, πολυθεϊας ξηράναντες πέλαγος, τών ανομιών ημών, τούς ποταμούς ξηράνατε μακάριοι, θείαις επομβρίαις, τών ιερών προσευχών υμών.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Νέφος αθλητών φωτοειδές, τόν εκ Παρθένου νεφέλης εκλάμψαντα, Ήλιον δυσώπησον, τά σκοτεινά νέφη, τών καρδιών ημών εναποδιώξαι, καί τής γεέννης λυτρώσασθαι.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Γνώμη ολισθαίνονται αεί, καί λογισμοίς πονηροίς εξελκόμενον, καί δελεαζόμενον, φρενοβλαβώς δέ, τοίς εχθροίς ευχείρωτον, όλον γεγονότα, μή υπερίδης με Δέσποινα.

Κανών Νεκρώσιμος, ού η Ακροστιχίς.
Πιστώς θανούσιν πρώτον ύμνον προσφέρω.

Ειρμός ο αυτός

Στίχ. Πρεσβείαις τών Μαρτύρων σου ανάπαυσον, Κύριε, τάς ψυχάς τών δούλων σου.

Πύλας τού θανάτου καί μοχλούς, τώ σώ θανάτω συντρίψας, αθάνατε, πύλας αναπέτασον, τής υπέρ νούν αθανασίας Δέσποτα, τοίς κεκοιμημένοις, πρεσβείαις τών αθλοφόρων σου.

Στίχ. Αί ψυχαί αυτών εν αγαθοίς αυλισθήσονται.

Ίνα τής ενθέου σου ζωής, αξιωθώμεν κατήλθες πρός θάνατον, τούτου προνομεύσας δέ, τούς θησαυρούς, ημάς εκείθεν είλκυσας, νύν δέ ζωοδότα, τούς μεταστάντας ανάπαυσον.

Στίχ. Μακάριοι ούς εξελέξω καί προσλάβω Κύριε.

Σύ μου τό φθαρτόν τε καί θνητόν, αναλαβών αφθαρσίαν ενέδυσας, καί πρός ατελεύτητον, διαγωγήν καί μακαρίαν ύψωσας, ένθα ως οικτίρμων, ούς προσελάβου ανάπαυσον.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τήν κυοφορήσασαν πιστοί, τόν εκ Θεού Θεόν Λόγον υμνήσωμεν, αύτη γάρ η Πάναγνος, οδός ζωής τοίς τεθνεώσι γέγονεν, ήν ως θεοδόχον καί Θεοτόκον δοξάζομεν.

Ωδή γ'  Ο Ειρμός

Ο μόνος ειδώς τής τών βροτών, ουσίας τήν ασθένειαν, καί συμπαθώς αυτήν μορφωσάμενος,

περί βοάν ζωσόν με εξ ύψους δύναμιν, τού σοι, Άγιος, ο ναός ο έμψυχος, τής αχράντου σου δόξης φιλάνθρωπε.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Δοχεία τού Πνεύματος σοφοί, Προφήται χρηματίσαντες, τήν πρός ημάς τού Λόγου κατάβασιν, φαεινοτάτως διετρανώσατε, διό δυσωπήσατε, φωτισμόν καί έλεος, δωρηθήναι τοίς πίστει τιμώσιν υμάς.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Πλαξί καρδιών υμών σοφοί, τόν νόμον τόν σωτήριον, εγγεγραμμένον πίστει εσχήκατε, διό τώ νόμω τής αμαρτίας με, χαλεπώς τροπούμενον, θείαις παρακλήσεσι, θεηγόροι Προφήται λυτρώσασθε.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Φρύαγμα τυράννων δυσσεβές, γενναίως συνετρίψατε, πρός τόν Θεόν υψούμενοι μάρτυρες, διό κραυγάζω, κατεπαιρόμενον, καί σοβαρευόμενον, κατ' εμού τόν δράκοντα, ταίς υμών ικεσίαις συντρίψατε.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Θείων παθημάτων κοινωνοί, μελλούσης βασιλείας τε, αδιαδόχου μάρτυρες ένδοξοι, παθών σαρκός με απολυτρώσασθε, καί γεέννης ρύσασθε, καί μελλούσης κρίσεως, ταίς υμών πρός τόν Κτίστην δεήσεσιν.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σκηνή πλατυτέρα ουρανών, λαόν σου συνερχόμενον, εν τή σκηνή σόυ ταύτη υμνήσαί σε, σκηνών αϋλων μέτοχον ποίησον, τή θερμή δεήσει σου, τή πρός Χριστόν όν έτεκες, τόν Δεσπότην απάντων καί Κύριον.

Κανών εις Κοιμηθέντας

Ειρμός ο αυτός

Στίχ. Πρεσβείαις τών Μαρτύρων σου ανάπαυσον, Κύριε, τάς ψυχάς τών δούλων σου.

Ως μόνος υπάρχων αγαθός, καί μόνος πολυέλεος, τούς ευσεβώς πρός σέ εκδημήσαντας, εν ουρανίαις σκηναίς ανάπαυσον, ένθα η ανέκφραστος, χαρά καί απόλαυσις, ένθα νέφος Μαρτύρων ευφραί νεται.

Στίχ. Αί ψυχαί αυτών εν αγαθοίς αυλισθήσονται.

Σύ μόνος εφάνης επί γής, Σωτήρ μου αναμάρτητος, ο αμαρτίας αίρων ως εύσπλαγχνος, τού κόσμου τούτου τών μεταστάντων πιστώς, τάς ψυχάς ανάπαυσον, εν αυλαίς Αγίων σου, εν τρυφή Παραδείσου φιλάνθρωπε.

Στίχ. Μακάριοι ούς εξελέξω καί προσλάβω Κύριε.

Θανάτου τό κράτος καθελών, ζωήν τήν ατελεύτητον, πάσι πιστοίς επήγασας, Δέσποτα, εν ταύτη τούτους τούς εκδημήσαντας, ευσεβώς κατάταξον, παρορών τά πταίσματα, συγχωρών αμαρτίας Αθάνατε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ασπόρως συνέλαβες Αγνή, τόν Λόγον τόν αϊδιον, σωματικώς ημίν ομιλήσαντα, τόν τού θανάτου

τήν ισχύν λύσαντα, καί ζωήν πηγάσαντα, καί θνητοίς ανάστασιν, τή αυτού ευσπλαγχνία παρέχοντα.

Ωδή δ'  Ο Ειρμός

Όρος σε τή χάριτι, τή θεία κατάσκιον, προβλεπτικοίς ο Αββακούμ, κατανοήσας οφθαλμοίς, εκ σού εξελεύσεσθαι, τού Ισραήλ προανεφώνει τόν Άγιον, εις σωτηρίαν ημών καί ανάπλασιν.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Λαμπάδες εν Πνεύματι, ζωής λόγον φαίνουσαι, καί τά πληρώματα τής γής, φωταγωγούσαι μυστικώς, Προφήται ωράθητε, διό βοώ. Ευχαίς ημών συντηρήσατε, τήν τής ψυχής μου λαμπάδα ακοίμητον.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ως πλήρεις ναμάτων, ζωηρρύτων τού Πνεύματος, αναφανέντες ποταμοί, καί καταρδεύοντες τήν γήν, Προφήται θεσπέσιοι, τήν τώ αυχμώ κατατακείσαν καρδίαν μου, καταδροσίσατε ταύτην πανεύφημοι.

Μαρτυρικόν

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Αιμάτων πανεύφημοι, ρανίσι τούς άνθρακας, εναποσβέσαντες σοφοί, τής αθεϊας αθληταί, τοίς πεπυρωμένοις με, τού πονηρού καταφλεγόμενον βέλεσι, καταδροσίσατε δρόσω τού Πνεύματος.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Μαρτύρων Χριστέ μου, τάς λιτάς προσδεξαμενος, εναθλησάντων υπέρ σού, καί νικησάντων τόν εχθρόν, εχθρών ορωμένων με, ως αγαθός, καί αοράτων εξάρπασον, επιζητούντων αεί θανατώσαι με.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ναόν σε τής δόξης, επιστάμενοι Άχραντε, εν τώ ναώ σου τώ σεπτώ, συναθροιζόμενοι πιστώς, τήν σήν εξαιτούμεθα, θεοπρεπώς αγνή Παρθένε βοήθειαν, καί τή σεπτή σου πρεσβεία σωζόμεθα.

Κανών εις κοιμηθέντας

Ειρμός ο αυτός

Στίχ. Πρεσβείαις τών Μαρτύρων σου ανάπαυσον, Κύριε, τάς ψυχάς τών δούλων σου.

Νεκρώσας τόν άδην, αηττήτω δυνάμει σου, ο λογισθείς εν τοίς νεκροίς, μόνος ελεύθερος Χριστέ, ψυχάς ελευθέρωσον, τών ευσεβών τής εν αυτώ κατακρίσεως, ταίς τών αγίων μαρτύρων δεήσεσιν.

Στίχ. Αί ψυχαί αυτών εν αγαθοίς αυλισθήσονται.

Ο πάντων υπάρχων, ως Δεσπότης αντάξιος, τούς εξ Αδάμ τής σής σφαγής, λύτρον εδέξω καί τιμήν, διό σου δεόμεθα, τών οικτιρμών τούς μεταστάντας ανάπαυσον, τήν τών πταισμάτων παρέχων συγχώρησιν.

Στίχ. Μακάριοι ούς εξελέξω καί προσλάβω Κύριε.

Υπέστης Σωτήρ μου, τήν εν τάφω κατάθεσιν, καί τούς εν τάφοις κατοικείν, κατακριθέντας γηγενείς, νεκρούς εξανέστησας, νύν δέ ζωής τής αϊδίου, αξίωσον τούς μεταστάντας, ως μόνος φιλάνθρωπος.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σέσωσται τό γένος, τών ανθρώπων τώ τόκω σου, σύ γάρ εκύησας ημίν, τήν ενυπόστατον ζωήν, θανάτου καθαίρεσιν καί πρός ζωήν εργαζομένην επάνοδον, Θεογεννήτορ πανάμωμε Δέσποινα.

Ωδή ε' Ο Ειρμός

Ο φωτίσας τή ελλάμψει, τής σής παρουσίας Χριστέ, καί φαιδρύνας τώ Σταυρώ σου, τού κόσμου τά πέρατα, τάς καρδίας φώτισον φωτί, τής σής θεογνωσίας, τών ορθοδόξως υμνούντων σε.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Οι τού Νόμου τή σκιά, ευσεβώς διαπρέψαντες, καί τό φέγγος τής ενθέου, μηνύσαντες χάριτος, τής σκιάς με ρύσασθε, θανατηφόρου αμαρτίας, Θεού Προφήται πανένδοξοι.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Επορθρίσας πρός Θεόν, εκ νυκτός θεαυγέστατε, Ησαϊα, εφωτίσθης, καί φώς εχρημάτισας, διό ικετεύω σε, τήν σκοτισθείσάν μου καρδίαν, σαίς προσευχαίς φωταγώγησον.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Τεινόμενοι καί τό σώμα, ποιναίς συντριβόμενοι, πανεύφημοι αθλοφόροι, Θεόν εδοξάσατε, τοίς οικείοις μέλεσιν, όν ικετεύσατε τυχείν με, δόξης ενθέου μακάριοι.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Συλλαβείν με εν γαστρί, διανοίας τόν φόβον σου, καί κυήσαι σωτηρίας σου, πνεύμα αξίωσον, διά τών Μαρτύρων σου, τών ολικώς σε ποθησάντων, Λόγε Θεού υπεράγαθε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Μητέρα σε τού τά πάντα, βουλήσει ποιήσαντος, γινώσκοντες τώ ναώ σου, τώ θείω προστρέχομεν, εν αυτώ αιτούμενοι, τή μεσιτεία σου Παρθένε, λύσιν σφαλμάτων κομίσασθαι.

Κανών εις κοιμηθέντας

Ειρμός ο αυτός

Στίχ. Πρεσβείαις τών Μαρτύρων σου ανάπαυσον, Κύριε, τάς ψυχάς τών δούλων σου.

Ιώμενος τόν ιόν τού θανάτου, τόν θάνατον κατεδέξω, καί θανάτου τό κέντρον ημαύρωσας, αλλ' αυτός ανάπαυσον, ούς προσελάβου ζωοδότα, ταίς τών Μαρτύρων δεήσεσιν.

Στίχ. Αί ψυχαί αυτών εν αγαθοίς αυλισθήσονται.

Νεκρώσεως καί φθοράς, τούς ανθρώπους απήλλαξας, τά πνεύματα τών πιστώς, μεταστάντων κατάταξον, εν σκηναίς Αγίων σου, όθεν απέδρα πάσα λύπη, καί ευφροσύνη πεφύτευται.

Στίχ. Μακάριοι ούς εξελέξω καί προσλάβω Κύριε.

Παράδεισον τώ σύν σοί, κρεμασθέντι ως ήνοιξας, νύν προσδέχου τάς ψυχάς, τών πρός σέ διά πίστεως, μεταστάντων Δέσποτα, διδούς αυτοίς εν Εκκλησία, τών πρωτοτόκων αυλίζεσθαι.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ρυομένη τούς εν σοί, τής ελπίδος τήν άγκυραν, κατέχοντας, πρός λιμένα τού θείου θελήματος, ευμενώς οδήγησον, τή μητρική σου παρρησία, ευλογημένη Πανάμωμε.

Ωδή ς' Ο Ειρμός

Εκύκλωσεν ημάς εσχάτη άβυσσος, ουκ έστιν ο ρυόμενος, ελογίσθημεν ως πρόβατα σφαγής, σώσον τόν λαόν σου ο Θεός ημών, σύ γάρ ισχύς τών ασθενούντων καί επανόρθωσις.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Πελάγει με τού βίου κινδυνεύοντα, καί κήτει προσριπτούμενον αμαρτίας, αναμάρτητε Χριστέ, ως τόν Ιωνάν εκ φθοράς εξάρπασον, καί πρός ζωής γαληνοτάτους, λιμένας ίθυνον.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Χορός προφητικός καθικετεύει σε, οι Νόμω διαλάμψαντες, τόν πρό Νόμου θεραπεύσαντες Χριστόν, σέ τόν εν αυτοίς αναπαυόμενον, αμαρτιών πάσι παράσχου, λύσιν ως εύσπλαγχνος.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Κυκλούμενοι ποιναίς καί μαστιγώσεσι, Χριστόν ουκ εξηρνήσασθε, παμμακάριστοι, διό με τού εχθρού, ταίς επαγωγαίς περικυκλούμενον, ταίς πρός Θεόν υμών πρεσβείαις, απολυτρώσασθε.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Τών άθλων καλλοναίς ωραϊζόμενοι, τή πάντων ωραιότητι, πλησιάζετε οπλίται τού Χριστού, όθεν δυσωπώ τής διανοίας μου, τό ακαλλές καθωραΐσαι, θείαις δεήσεσιν.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Μαρία καθαρόν τού Λόγου σκήνωμα, παθών εναποκάθαρον, τήν καρδίαν μου καί σκεύος καθαρόν, Πνεύματος τού θείου αποτέλεσον, ίνα υμνώ καί μεγαλύνω, σέ τήν Πανύμνητον.

Κανών εις κοιμηθέντας

Ειρμός ο αυτός

Στίχ. Πρεσβείαις τών Μαρτύρων σου ανάπαυσον, Κύριε, τάς ψυχάς τών δούλων σου.

Ως εύπλαγχνος τοίς μεταστάσι δώρησαι, πταισμάτων τήν συγχώρησιν, τήν αιώνιον απόλαυσιν διδούς, ένθα καταλάμπει τού προσώπου σου, ο φωτισμός, καί καταυγάζει, τούς αθλοφόρους σου.

Στίχ. Αί ψυχαί αυτών εν αγαθοίς αυλισθήσονται.

Τώ αίματι τώ εκ πλευράς σου ρεύσαντι, τόν κόσμον ηλευθέρωσας, τούς εν πίστει μεταστάντας ούν πρός σέ, ρύσαι τή δυνάμει τών παθημάτων σου, σύ γάρ τιμήν, τήν υπέρ πάντων, σεαυτόν δέδωκας.

Στίχ. Καί τό μνημόσυνον αυτών, εις τόν αιώνα δοξάσαντα.

Ο πλάσας με χερσίν αχράντοις πρότερον, καί πνεύμα χαρισάμενος, καί πρός γήν καταπεσόντα χαλεπώς, πάλιν αναπλάσας ωραιότερον, νύν τάς ψυχάς, τών μεταστάντων, αυτός ανάπαυσον.

Στίχ. Μακάριοι ούς εξελέξω καί προσλάβω Κύριε.

Νυμφώνά σου τόν φωτοφόρον Κύριε, σκηνώσαι καταξίωσον, τούς εν πίστει κοιμηθέντας τή εις σέ, τούτων παρορών τά αμαρτήματα, ως αγαθός, καί ελεήμων, καί πολυέλεος.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Υμνούμέν σε, ευλογημένη Άχραντε, δι' ής ημίν ανέτειλε, τοίς εν σκότει τού θανάτου καί σκιά, τής δικαιοσύνης άδυτος Ήλιος, σύ γάρ ημίν τής σωτηρίας, πρόξενος γέγονας.

## Ωδή ζ'  Ο Ειρμός

Σέ νοητήν, Θεοτόκε κάμινον, κατανοούμεν οι πιστοί, ως γάρ Παίδας έσωσε τρείς, ο υπερυψούμενος, όλον με τόν άνθρωπον, εν τή γαστρί σου ανέπλασεν, ο αινετός τών Πατέρων, Θεός καί υπερένδοξος.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Τών Προφητών, δυσωπεί σε Κύριε, ο ιερώτατος χορός, ευλογίαις πνευματικαίς, πάντας επευλόγησον τούς δοξολογούντας σε, καί εν αινέσει κραυγάζοντας, ο αινετός τών Πατέρων, Θεός καί υπερένδοξος.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Οι τού πυρός, φύσιν εκνικήσαντες, επουρανίω δροσισμώ, θείοι Παίδες εκ τού πυρός, τού διαιωνίζοντος, ρύσασθέ με ψάλλοντα, καί εν αινέσει κραυγάζοντα, ο αινετός τών Πατέρων, Θεός καί υπερένδοξος.

### Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Μαρτυρικαίς, νίκαις κλεϊζόμενοι, δόξης ετύχετε Θεού, αιωνίου δόξης ημάς, όθεν αξιώσατε, Μάρτυρες πανένδοξοι, τούς ευσεβώς αναμέλποντας, ο αινετός τών Πατέρων, Θεός καί υπερένδοξος.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Οι τάς ορμάς, τών λεόντων παύσαντες, τή πρός τόν Κύριον ορμή, τόν ορμώντα νύν κατ εμού, δράκοντα πατάξατε Μάρτυρες, καί σώσατε ευσεβοφρόνως βοώντά με, ο αινετός τών Πατέρων, Θεός καί υπερένδοξος.

### Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Πρός τόν εκ σού, γεννηθέντα Κύριον, γενού μεσίτης Αγαθή, τής γεέννης καί τού πυρός, όπως με λυτρώσηται, καί καταξιώση με τής βασιλείας κραυγάζοντα, ο αινετός τών Πατέρων, Θεός καί υπερένδοξος.

### Κανών εις κοιμηθέντας
### Ειρμός ο αυτός

Στίχ. Πρεσβείαις τών Μαρτύρων σου ανάπαυσον, Κύριε, τάς ψυχάς τών δούλων σου.

Μαρμαρυγαίς, τής αχράντου δόξης σου, περιαυγάζεσθαι Χριστέ, τούς εκ ζάλης τής κοσμικής, πρός σέ εκδημήσαντας, πάντας καταξίωσον, μετά Μαρτύρων κραυγάζειν σοι, ο αινετός τών Πατέρων, Θεός καί υπερένδοξος.

Στίχ. Αί ψυχαί αυτών εν αγαθοίς αυλισθήσονται.

Νέος Αδάμ, αληθώς γενόμενος, ο τού Αδάμ δημιουργός, τήν κατάραν τήν τού Αδάμ, μόνος εξηφάνισας, όθεν σου δεόμεθα, τούς μεταστάντας ανάπαυσον, εν τή τρυφή τού Παραδείσου Χριστέ, ως μόνος εϋσπλαγχνος.

Στίχ. Μακάριοι ούς εξελέξω καί προσλάβω Κύριε.

Ο τήν ημών, φυσικήν ασθένειαν, μόνος γινώσκων ως Θεός, αγαθός τε καί συμπαθής, πάντας ούς μετέστησας, ένθα φώς τό άδυτον, επισκοπεί τού προσώπου σου, τάξον Χριστέ, ο τών Πατέρων, Θεός καί υπερένδοξος.

### Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νόμου σκιαί, καί τά πρίν αινίγματα, τώ σώ παρήλθον τοκετώ Θεομήτορ, σύ γάρ ημίν τό τής θείας χάριτος, φέγγος εξανέτειλας, δι' ού τής πρίν εκλυτρούμεθα, αράς, Αγνή, ανυμούντες, Θεόν τόν υπερένδοξον.

Ωδή η'  Ο Ειρμός

Εν καμίνω Παίδες Ισραήλ, ως εν χωνευτηρίω, τώ κάλλει τής ευσεβείας, καθαρώτερον χρυσού, απέστιλβον ψάλλοντες. Ευλογείτε πάντα τά έργα, τόν Κύριον υμνείτε, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Πειρασθέντες καί διά Χριστόν, αδίκως διωχθέντες Προφήται, εκ πειρασμών τε καί κολάσεων ημάς, λυτρώσασθε μέλποντας. Ευλογείτε πάντα τά έργα, τόν Κύριον υμνείτε, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ως δοχεία θείων δωρεών, Προφήται θεηγόροι πρεσβεύσατε, καταγώγια ημάς γενέσθαι τού Πνεύματος, τούς βοώντας. Πάντα τά έργα, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Μαρτυρικόν

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Δεσμευθέντες πάσαν τού εχθρού, ελύσατε κακίαν, διό με πεπεδημένον, αμαρτήμασι σοφοί, λυτρώσατε Μάρτυρες, μελωδούντα. Πάντα τά έργα, τόν Κύριον υμνείτε, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φωτοδότην τέξασα Θεόν, ολόφωτε Παρθένε, τά όμματα τής καρδίας μου, καταύγασον φωτί, Θεού επιγνώσεως, εις τό μέλπειν. Πάντα τά έργα, τόν Κύριον υμνείτε, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Κανών είς κοιμηθέντας

Ειρμός ο αυτός

Στίχ. Πρεσβείαις τών Μαρτύρων σου ανάπαυσον, Κύριε, τάς ψυχάς τών δούλων σου.

Παραστάτας Σώτερ δεξιούς, τή πίστει δικαιώσας, πρεσβείαις τών αθλοφόρων, ούς μετέστησας πιστούς, ανάδειξον μέλποντας, Ευλογείτε πάντα τά έργα, τόν Κύριον υμνείτε, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Στίχ. Αί ψυχαί αυτών εν αγαθοίς αυλισθήσονται.

Ρύπον πάντα τών σών οικετών, τής σής φιλανθρωπίας, τή δρόσω τών κοιμηθέντων, αποπλύνας σέ υμνείν, αξίωσον ψάλλοντας. Ευλογείτε πάντα τά έργα, τόν Κύριον υμνείτε, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Στίχ. Μακάριοι ούς εξελέξω καί προσλάβω Κύριε.

Ο θανάτου έχων καί ζωής, πάσαν τήν εξουσίαν, τούς πίστει κεκοιμημένους, σής ελλάμψεως τυχείν, ευδόκησον κράζοντας. Ευλογείτε πάντα τά έργα, τόν Κύριον υμνείτε, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σωτηρίας πρόξενος ημίν, καί τής εις απεράντους αιώνας, διαμονής τε καί λαμπρότητος, Αγνή εγένου Πανάμωμε. Σέ υμνούμεν πάντα τά έργα, καί υπερυψούμεν εις πάντας τούς αιώνας.

### Ωδή θ' Ο Ειρμός

Τύπον τής αγνής λοχείας σου, πυρπολουμένη βάτος έδειξεν άφλεκτος, καί νύν καθ' ημών, τών πειρασμών αγριαίνουσαν, κατασβέσαι αιτούμεν τήν κάμινον, ίνα σε Θεοτόκε, ακαταπαύστως μεγαλύνωμεν.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ίνα ιεροίς σκηνώμασι, προδηλωθή Χριστέ, σού η συγκατάβασις, σκεύη εκλεκτά τούς σούς Προφήτας ανέδειξας, δι' αυτών προδηλών τά εσόμενα, δι' ών σε δυσωπούμεν, τούς οικτιρμούς σου ημίν δώρησαι.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ώφθης τοίς Προφήταις Δέσποτα, καθώς εχώρουν βλέπειν σου τήν λαμπρότητα, τούτων προσευχαίς, χωρητικούς ημάς ποίησον, τών εν σοί καθαρών επιλάμψεων, παθών εξ αμαρτίας, αποκαθάρας τάς ψυχάς ημών.

### Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Σώμα παραδόντες μάστιξι, τά τών δαιμόνων στίφη κατεμαστίξατε, άπληγον τόν νούν, διατηρήσαντες Μάρτυρες, πληγωθείσαν διό τήν καρδίαν μου, τώ βέλει τής κακίας, ταίς προσευχαίς υμών ιάσασθε.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ήλγει διωκτών κακόνοια, τάς εκ πληγών οδύνας υμίν προσφέρουσα, Μάρτυρες σεπτοί, τής ευσεβείας υπέρμαχοι, τής ψυχής μου διό θεραπεύσατε, τάς χαλεπάς οδύνας, καί τής καρδίας μου τά τραύματα.

### Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φρίττει νοερά στρατεύματα, τό τού Πατρός ορώντα θείον απαύγασμα, σού εν ταίς χερσίν, ανερμηνεύτως κρατούμενον, καί τό σόν κεκτημένον ομοίωμα, ίνα βροτούς Θεώση, Παρθενομήτορ Παναμώμητε.

### Κανών εις κοιμηθέντας
### Ειρμός ο αυτός

Στίχ. Πρεσβείαις τών Μαρτύρων σου ανάπαυσον, Κύριε, τάς ψυχάς τών δούλων σου.

Φείσαι ως Θεός φιλάνθρωπος, καί ελεήμων τού ιδίου σου πλάσματος, καί ανάπαυσον, εν ταίς σκηναίς τών Αγίων σου, ένθα Μάρτυρες πάντες αγάλλονται, τούς πίστει μεταστάντας, εκ τών προσκαίρων Πολυέλεε.

Στίχ. Αί ψυχαί αυτών εν αγαθοίς αυλισθήσονται.

Έχων τού ελέους άβυσσον, υπερνικώσαν τά τών δούλων σου πταίσματα, προσδεξάμενος, ούς εξελέξω ανάπαυσον, Αβραάμ εν τοίς κόλποις φιλάνθρωπε, καί μετά τού Λαζάρου, εν τώ φωτί σου κατασκήνωσον.

Στίχ. Μακάριοι ούς εξελέξω καί προσλάβω Κύριε.

Ρύστης καί Σωτήρ γενόμενος, τού τών ανθρώπων γένους διά σταυρώσεως, ούς νύν εξ ημών, ως ευεργέτης μετέστησας, απολαύσεως θείας αξίωσον, καί ζωής ακηράτου, καί ευφροσύνης καί

λαμπρότητος.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ώ τών υπέρ νούν θαυμάτων σου! σύ γάρ Παρθένε μόνη, υπέρ τόν ήλιον, πάσι δέδωκας, κατανοείν τό και νότατον, θαύμα Πάναγνε, τής σής γεννήσεως, τό τής ακαταλήπτου, διό σε πάντες μεγαλύνομεν.

Στιχηρά τών Αίνων, Μαρτυρικά

Ήχος α'

Στίχ. Αινείτε αυτόν επί ταίς δυναστείαις αυτού, αινείτε αυτόν κατά τό πλήθος τής μεγαλωσύνης αυτού.

Τούς αθλοφόρους τού Χριστού, δεύτε λαοί άπαντες τιμήσωμεν, ύμνοις καί ωδαίς πνευματικαίς, τούς φωστήρας τού κόσμου, καί κήρυκας τής πίστεως, τήν πηγήν τήν αέναον, εξ ής αναβλύζει τοίς πιστοίς τά ιάματα. Αυτών ταίς ικεσίαις, Χριστέ ο Θεός ημών, τήν ειρήνην δώρησαι τώ κόσμω σου, καί ταίς ψυχαίς ημών τό μέγα έλεος.

Στίχ. Αινείτε αυτόν εν ήχω σάλπιγγος, αινείτε αυτόν εν ψαλτηρίω καί κιθάρα.

Ούτοι οι Στρατιώται τού Βασιλέως τού μεγάλου, αντέστησαν τοίς δόγμασι τών τυράννων, γενναίως κατεφρόνησαν τών βασάνων, καί τήν πλάνην πάσαν πατήσαντες, αξίως στεφανωθέντες, αιτούνται παρά τού Σωτήρος ειρήνην, καί ταίς ψυχαίς ημών τό μέγα έλεος.

Στίχ. Αινείτε αυτόν εν τυμπάνω καί χορώ, αινείτε αυτόν εν χορδαίς καί οργάνω.

Υμάς πανεύφημοι Μάρτυρες, ου θλίψις, ου στενοχωρία, ου λιμός, ου διωγμός, ουδέ μάστιγες, ου θυμός θηρών, ου ξίφος, ουδέ πύρ απειλούν, χωρίσαι Θεού δεδύνηνται, πόθω δέ μάλλον τώ πρός αυτόν, ως εν αλλοτρίοις αγωνισάμενοι σώμασι, τήν φύσιν ελάθετε, θανάτου καταφρονήσαντες, όθεν καί επαξίως τών πόνων υμών, μισθόν εκομίσασθε, ουρανών βασιλείας κληρονόμοι γεγόνατε, απαύστως πρεσβεύσατε υπέρ τών ψυχών ημών.

Στίχ. Αινείτε αυτόν εν κυμβάλοις ευήχοις, αινείτε αυτόν εν κυμβάλοις αλαλαγμού. Πάσα πνοή αινεσάτω τόν Κύριον.

Αγαλλιάσθε Μάρτυρες εν Κυρίω, ότι τόν αγώνα τόν καλόν ηγωνίσασθε, αντέστητε βασιλεύσι, καί τυράννους ενικήσατε, πύρ καί ξίφος ουκ επτοήθητε, θηρών αγρίων κατεσθιόντων τά σώματα υμών, Χριστώ μετά Αγγέλων τήν υμνωδίαν αναπέμποντες, τούς απ' ουρανών στεφάνους εκομίσασθε, αιτήσασθε δωρηθήναι ειρήνην τώ κόσμω, καί ταίς ψυχαίς ημών τό μέγα έλεος.

Νεκρώσιμον

Στίχ. Μακάριοι ούς εξελέξω καί προσελάβου, Κύριε.

Έργω Σωτήρ μου δεικνύς, ότι σύ εί η πάντων ανάστασις, λόγω Λόγε Λάζαρον εκ νεκρών εξανέστησας. Τότε μοχλοί συνετρίβησαν, πύλαι δέ άδου συνεταράχθησαν, τότε ύπνος ο τών ανθρώπων θάνατος απεδείκνυτο, αλλ' ο εις τό σώσαι τό πλάσμα σου, καί ουκ εις τό κρίναι παραγενόμενος, ούς εξελέξω ανάπαυσον, ως φιλάνθρωπος.

Δόξα... Καί νύν... Θεοτοκίον

Χαίρε Μαρία Θεοτόκε, ότι έτεκες τόν Βασιλέα, τόν Σωτήρα καί φωστήρα πάντων τών αιώνων.

Τά Απόστιχα τών Αίνων τού Θεοφάνους

Σούς, Χριστέ, δούλους γράψον έν ζώντων βίβλω. Πανεύφημοι Μάρτυρες υμάς.

Σού Σώτερ δεόμεθα τής σής, γλυκείας μεθέξεως, τούς μεταστάντας αξίωσον, καί κατασκήνωσον, ενσκηναίς Δικαίων, εν μοναίς Αγίων σου, καί εν επουρανίοις σκηνώμασι, τή ευσπλαγχνία σου, παρορών τά πλημμελήματα, καί παρέχων αυτοίς τήν συγχώρησιν.

Στίχ. Μακάριοι ούς εξελέξω καί προσλάβω Κύριε.

Ουδείς αναμάρτητος ουδείς, τών ανθρώπων γέγονεν, ειμή σύ μόνε Αθάνατε, διό τούς δούλους σου, ως Θεός οικτίρμων, εν φωτί κατάταξον, σύν ταίς χοροστασίαις Αγγέλων σου, τή ευσπλαγχνία σου, παρορών τά ανομήματα, καί παρέχων αυτοίς τήν συγχώρησιν.

Στίχ. Αί ψυχαί αυτών εν αγαθοίς αυλισθήσονται.

Υπέρ τά ορώμενα τά σά, Σώτερ επαγγέλματα! ά οφθαλμός ου τεθέαται, καί ούς ουκ ήκουσε, καί επί καρδίαν, ουκ ανέβη πώποτε, ανθρώπου, δυσωπούμέν σε Δέσποτα, τυχείν ευδόκησον, τούς πρός σέ μεταχωρήσαντας, καί παράσχου ζωήν τήν αιώνιον.

Στίχ. Καί τό μνημόσυνον αυτών, εις τόν αιώνα δοξάσαντα.

Σταυρώ σου γηθόμενοι Σωτήρ, θαρρούντες οι δούλοί σου, πρός σέ μετέστησαν Κύριε, όν νύν αντίλυτρον, τών αυτών πταισματων, ως δεσπότης δώρησαι, εφ ού σου τό ζωήρρυτον έχεας, αίμα καί τιμιον, καί τής δόξης ανεσπέρου σου, απολαύειν τούτους καταξίωσον.

Δόξα... Καί νύν... Θεοτοκίον

Χριστόν εκδυσώπησον τόν σόν, τόκον Μητροπάρθενε, τήν τών πταισμάτων συγχώρησιν, δούναι τοίς δούλοις σου, τοίς σέ Θεοτόκον, ευσεβώς κηρύξασι, καί λόγω αληθεί δογματίσασι, καί τής λαμπρότητος, τών αγίων καί φαιδρότητος, αξιώσαι εν τή βασιλεία αυτού.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

### Οι Μακαρισμοί

Μακάριοι οι ειρηνοποιοί, ότι αυτοί υιοί Θεού κληθήσονται.

Διά βρώσεως εξήγαγε, τού Παραδείσου ο εχθρός τόν Αδάμ, διά Σταυρού δέ τόν Ληστήν, αντεισήγαγε Χριστός εν αυτώ. Μνήσθητί μου κράζοντα, όταν έλθης εν τή Βασιλεία σου.

Μακάριοι οι δεδιωγμένοι ένεκεν δικαιοσύνης, ότι αυτών εστιν η βασιλεία τών ουρανών.

Αθλητών πληθύς αμέτρητος, Αρχιερέων καί σοφών γυναικών, καί Προφητών πανευκλεών, δυσωπεί σε Ιησού ο Θεός, δίδου πάσιν άφεσιν, τών πταισμάτων, ως μόνος φιλάνθρωπος.

Μακάριοί εστε όταν ονειδίσωσιν υμάς, καί διώξωσι, καί είπωσι πάν πονηρόν ρήμα καθυμών ψευδόμενοι ένεκεν εμού.

Οι τόν δρόμον διανύσαντες, τόν Ιερώτατον Χριστού Ασκηταί, σύν Ιεράρχαις ιεροίς, καί Προφήταις ηξιώθητε, πόλιν τήν ουράνιον, σύν Αγγέλοις, οικείν ευφραινόμενοι.

Χαίρετε καί αγαλλιάσθε, ότι ο μισθός υμών πολύς εν τοίς ουρανοίς.

Εν φωτί Χριστέ κατάταξον, τώ ανεσπέρω, ούς μετέστησας, τά παραπτώματα αυτών παραβλέψας, ως οικτίρμων Θεός, όπως σού δοξάζωμεν, Ευεργέτα, τό πλούσιον έλεος.

Δόξα...

Σύν Πατρί τώ προανάρχω σου, καί τώ αγίω Πνεύματι Χριστέ ο Θεός, πάντες δοξάζομεν τήν σήν, φιλανθρωπίαν ανακράζοντες. Μνήσθητι τών δούλων σου, εν τή ώρα τής κρίσεως Κύριε.

Καί νύν... Θεοτοκίον

Ως παλάτιον ευρύχωρον, καί θρόνον δόξης καί νεφέλην φωτός, υμνολογούμέν σε Αγνή, καί δεόμεθα, διάλυσον νέφη τά δεινότατα, καί τά πάθη, Κόρη, τών ψυχών ημών.

top

2-1

## ΤΩ ΣΑΒΒΑ ΤΩ ΕΣΠΕΡΑΣ

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

### Στιχηρά Αναστάσιμα τής Οκτωήχου

Ήχος β'

Τόν πρό αιώνων εκ Πατρός γεννηθένια, τόν Θεόν λόγον σαρκωθέντα, εκ Παρθένου Μαρίας, δεύτε προσκυνήσωμεν, Σταυρόν γαρ υπομείνας, τή ταφή παρεδόθη, ως αυτός η θέλησε, καί αναστάς έκ νεκρών, έσωσέ με τόν πλανώμενον άνθρωπον.εκ βαθέων εκέκραξά σοι, Κύριε, Κύριε εισάκουσον τής φωνής μου. (Δίς)

Χριστός ο Σωτήρ ημών, τό καθ' ημών χειρόγραφον προσηλώσας, τώ Σταυρώ εξήλειψε, καί τού θανάτου τό κράτος κατήργησε, προσκυνούμεν αυτού τήν τριήμερον Έγερσιν.

Σύν Αρχαγγέλοις υμνήσωμεν, Χριστού τήν Ανάστασιν, αυτός γάρ Λυτρωτής εστι, καί Σωτήρ τών ψυχών ημών, καί εν δόξη φοβερά καί κραταιά δυνάμει, πάλιν έρχεται, κρίναι κόσμον όν έπλασεν.

Δόξα... Καί νύν...

Τό Θεοτοκίον Δογματικόν

Ήχος β'

Ώ τού μεγίστου μυστηρίου! βλέπων τά θαύματα, ανακηρύττω τήν θεότητα, ουκ αρνούμαι τήν ανθρωπότητα, ο γάρ Εμμανουήλ φύσεως μέν πύλας ήνοιξεν, ως φιλάνθρωπος, παρθενίας δέ κλείθρα ου διέρρηξεν, ως Θεός, αλλ' ούτως εκ μήτρας προήλθεν, ως δι' ακοής εισήλθεν, ούτως εσαρκώθη, ως συνελήφθη, απαθώς εισήλθεν, αφράστως εξήλθε, κατά τόν Προφήτην τόν λέγοντα. Αύτη η πύλη κεκλεισμένη έσται, ουδείς ου μή διέλθη δι' αυτής, ειμή μόνος Κύριος ο Θεός Ισραήλ, ο έχων τό μέγα έλεος.

### Απόστιχα Αναστάσιμα

Η Ανάστασίς σου Χριστέ Σωτήρ, άπασαν εφώτισε τήν οικουμένην, καί ανεκαλέσω τό ίδιον πλάσμα, παντοδύναμε Κύριε, δόξα σοι.

Στίχ. Μνησθήσομαι τού ονόματός σου εν πάση γενεά καί γενεά.

Πάντων θλιβομένων η χαρά, καί αδικουμένων προστάτις, καί πενομένων τροφή, ξένων τε παράκλησις, καί βακτηρία τυφλών, ασθενούντων επίσκεψις, καταπονουμένων, σκέπη καί αντίληψις, καί ορφανών βοηθός, Μήτηρ τού Θεού τού Υψίστου, σύ υπάρχεις, Άχραντε, σπεύσον, δυσωπούμεν σώζεσθαι τούς δούλους σου.

Στίχ. Άκουσον, θύγατερ, καί ίδε, καί κλίνον τό ούς σου καί επιλάθου τού λαού σου καί τού οίκου τού Πατρός σου καί επιθυμήσει ο Βασιλεύς τού κάλλους σου.

Πάσαν ανομίαν αφειδώς, πάσαν ακρατώς αμαρτίαν, ο τάλας έπραξα, πάσης κατακρίσεως, άξιος πέφυκα, αφορμάς μετανοίας μοι παράσχου Παρθένε, όπως ακατάκριτος, εκεί οφθήσωμαι, σέ γάρ επιγράφομαι, πρέσβυν, σέ επικαλούμαι προστάτιν, μή με καταισχύνης θεονύμφευτε.

Στίχ. Τό πρόσωπόν σου λιτανεύσουσιν οι πλούσιοι τού λαού.

Άλλο καταφύγιον Αγνή, πρός τόν ποιητήν καί Δεσπότην, ουκ ευπορούμεν ημείς, ειμή σέ Θεόνυμφε, μή απορρίψης ημάς, τής θερμής προστασίας σου, μηδέ καταισχύνης, πόθω τούς προστρέχοντας, υπό τήν σκέπην σου, Μήτηρ τού Θεού ημών σπεύσον, δείξόν σου ελέους τόν πλούτον, καί τής νύν οργής ημάς διάσωσον.

Δόξα... Καί νύν... Θεοτοκίον

Τίς σε κατ' αξίαν επαινέσει, καί μακαρίσει Κόρη Θεόνυμφε, υπέρ τής διά σού γεγονυίας τώ κόσμω απολυτρώσεως; ευχαριστουντες ούν κραυγάζομέν σοι λέγοντες. Χαίρε η τόν Αδάμ Θεώσασα, καί τά διεστώτα συνάψασα. Χαίρε η φωτίσασα τό γένος ημών, τή φωτοφόρω Αναστάσει, τού Υιού σου καί Θεού ημών, σέ γάρ Χριστιανών τό γένος, απαύστως μεγαλύνομεν.

### Απολυτίκιον  Ήχος β'

Ότε κατήλθες πρός τόν θάνατον, η Ζωή η αθάνατος, τότε τόν Άδην ενέκρωσας τή αστραπή τής θεότητος, ότε δέ καί τούς τεθνεώτας εκ τών καταχθονίων ανέστησας, πάσαι αι Δυνάμεις τών επουρανίων εκραύγαζον, Ζωοδότα Χριστέ ο Θεός ημών δόξα σοι.

Θεοτοκίον

Πάντα υπέρ έννοιαν, πάντα υπερένδοξα, τα σά Θεοτόκε μυστήρια, τή αγνεία εσφραγισμένη, καί παρθενία φυλαττομένη, Μήτηρ εγνώσθης αψευδής, Θεόν τεκούσα αληθινόν, αυτόν ικέτευε σωθήναι τάς ψυχάς ημών.

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Ήχος β'

Τόν πρό αιώνων εκ Πατρός γεννηθένια, τόν Θεόν λόγον σαρκωθέντα, εκ Παρθένου Μαρίας, δεύτε προσκυνήσωμεν, Σταυρόν γαρ υπομείνας, τή ταφή παρεδόθη, ως αυτός η θέλησε, καί αναστάς έκ νεκρών, έσωσέ με τόν πλανώμενον άνθρωπον.εκ βαθέων εκέκραξά σοι, Κύριε, Κύριε εισάκουσον τής φωνής μου.

- εμέ υπομενούσι δίκαιοι, έως ου ανταποδώς μοι.

Χριστός ο Σωτήρ ημών, τό καθ' ημών χειρόγραφον προσηλώσας, τώ Σταυρώ εξήλειψε, καί τού θανάτου τό κράτος κατήργησε, προσκυνούμεν αυτού τήν τριήμερον Έγερσιν.

- εκ βαθέων εκέκραξά σοι, Κύριε, Κύριε εισάκουσον τής φωνής μου.

Σύν Αρχαγγέλοις υμνήσωμεν, Χριστού τήν Ανάστασιν, αυτός γάρ Λυτρωτής εστι, καί Σωτήρ τών ψυχών ημών, καί εν δόξη φοβερά καί κραταιά δυνάμει, πάλιν έρχεται, κρίναι κόσμον όν έπλασεν.

- γενηθήτω τά ώτά σου προσέχοντα εις τήν φωνήν τής δεήσεώς μου.

Σέ τόν σταυρωθέντα καί ταφέντα, Άγγελος εκήρυξε Δεσπότην, καί έλεγε ταίς γυναιξί. Δεύτε ίδετε, όπου έκειτο ο Κύριος, Ανέστη γάρ καθώς είπεν, ως παντοδύναμος, διό σε προσκυνούμεν τόν μόνον αθάνατον, ζωοδότα Χριστέ, ελέησον ημάς.

- εάν ανομίας παρατηρήσης, Κύριε, Κύριε τίς υποστήσεται; ότι παρά σοί ο ιλασμός εστιν.

Εν τώ Σταυρώ σου Κατήργησας, τήν τού ξύλου κατάραν, εν τή ταφή σου ενέκρωσας, τού θανάτου τό κράτος, εν δέ τή Εγέρσει σου, εφώτισας τό γένος τών ανθρώπων, διά τούτό σοι βοώμεν, Ευεργέτα Χριστέ, ο Θεός ημών δόξα σοι.

- ένεκεν τού ονόματός σου υπέμεινά σε, Κύριε, υπέμεινεν η ψυχή μου εις τόν λόγον σου, ήλπισεν η ψυχή μου επί τόν Κύριον.

Ηνοίγησάν σοι Κύριε, φόβω πύλαι θανάτου, πυλωροί δέ άδου ιδόντες σε έπτηξαν, πύλας γάρ χαλκάς συνέτριψας, καί μοχλούς σιδηρούς συνέθλασας, καί εξήγαγες ημάς εκ σκότους, καί σκιάς θανάτου, καί τούς δεσμούς ημών διέρρηξας.

- από φυλακής πρωίας μέχρι νυκτός, από φυλακής πρωίας, ελπισάτω Ισραηλ επί τόν Κύριον.

Τόν σωτήριον ύμνον άδοντες, εκ στομάτων αναμέλψωμεν, δεύτε πάντες εν οίκω Κυρίου, προσπέσωμεν λέγοντες, ο επί ξύλου σταυρωθείς, καί εκ νεκρών αναστάς, καί ών εν κόλποις τού Πατρός, ιλάσθητι ταίς αμαρτίαις ημών.

- ότι παρά τώ Κυρίω τό έλεος καί πολλή παρ' αυτώ λύτρωσις' καί αυτός λυτρώσεται τόν Ισραηλ εκ πασών τών ανομιών αυτού.

- αινείτε τόν κύριον πάντα τά έθνη επαινέσατε αυτόν πάντες οι λαοί.

- ότι εκραταιώθη τό έλεος αυτού εφ' ημάς, καί η αλήθεια τού κυρίου μένει εις τόν αιώνα.

Θεοτοκίον

Παρήλθεν η σκιά τού νόμου, τής χάριτος ελθούσης, ως γάρ η βάτος ουκ εκαίετο καταφλεγομένη, ούτω παρθένος έτεκες, καί παρθένος έμεινας, αντί στύλου πυρός, δικαιοσύνης ανέτειλεν Ήλιος, αντί Μωϋσέως Χριστός, η σωτηρία τών ψυχών ημών.

Ήχος β'

Η Ανάστασίς σου Χριστέ Σωτήρ, άπασαν εφώτισε τήν οικουμένην, καί ανεκαλέσω τό ίδιον πλάσμα, παντοδύναμε Κύριε δόξα σοι.

- ο Κύριος εβασίλευσεν, ευπρέπειαν ενεδύσατο, ενεδύσατο Κύριος δύναμιν καί περιεζώσατο.

Διά ξύλου Σώτερ κατήργησας, τήν τού ξύλου κατάραν, κράτος θανάτου τή ταφή σου ενέκρωσας, εφώτισας, δέ τό γένος ημών τή Εγέρσει σου, διό βοώμέν σοι, Ζωοδότα Χριστέ ο Θεός ημών δόξα σοι.

- καί γάρ εστερέωσεν τήν οικουμένην, ήτις ου σαλευθήσεται.

Εν τώ Σταυρώ Χριστέ, φανείς καθηλωμένος, ηλλοίωσας κάλλος κτισμάτων, καί τό μέν απάνθρωπον στρατιώται δεικνύμενοι, λόγχη πλευράν σου εκέντησαν. Εβραίοι δέ σφραγίσαι τάφον ητήσαντο, τήν σήν εξουσίαν ουκ επιστάμενοι, αλλ' ο δι' οίκτον σπλάγχνων σου καταδεξάμενος ταφήν, καί τριήμερος αναστάς, Κύριε δόξα σοι.

- τώ οίκω σου πρέπει αγίασμα, Κύριε εις μακρότητα ημερών.

Ζωοδότα Χριστέ, εκουσίως Πάθος υποστάς διά θνητούς, εν Άδη δέ κατελθών ως δυνατός, τούς εκεί τήν έλευσιν μείνοντας τήν σήν, αφαρπάσας ως εκ χειρός κραταιού, Παράδεισον ανθ' Άδου, οικείν δεδώρησαι, διό καί ημίν τοίς δοξάζουσι τήν σήν τριήμερον Έγερσιν, δώρησαι ιλασμόν αμαρτιών, καί τό μέγα έλεος.

Θεοτοκίον

Ώ θαύματος καινού, πάντων τών πάλαι θαυμάτων! τίς γάρ έγνω Μητέρα, άνευ ανδρός τετοκυίαν, καί εν αγκάλαις φέρουσαν, τόν άπασαν τήν κτίσιν περιέχοντα; Θεού εστι βουλή τό κυηθέν, όν ως βρέφος Πάναγνε, σαίς ωλέναις βαστάσα, καί μητρικήν παρρησίαν πρός αυτόν κεκτημένη, μή παύση δυσωπούσα υπέρ τών σέ τιμώντων, τού οικτειρήσαι καί σώσαι τάς ψυχάς ημών.

Απολυτίκιον Ήχος β'

Ότε κατήλθες πρός τόν θάνατον, η Ζωή η αθάνατος, τότε τόν Άδην ενέκρωσας τή αστραπή τής θεότητος, ότε δέ καί τούς τεθνεώτας εκ τών καταχθονίων ανέστησας, πάσαι αι Δυνάμεις τών επουρανίων εκραύγαζον, Ζωοδότα Χριστέ ο Θεός ημών δόξα σοι.

Θεοτοκίον

Πάντα υπέρ έννοιαν, πάντα υπερένδοξα, τα σά Θεοτόκε μυστήρια, τή αγνεία εσφραγισμένη, καί παρθενία φυλαττομένη, Μήτηρ εγνώσθης αψευδής, Θεόν τεκούσα αληθινόν, αυτόν ικέτευε σωθήναι τάς ψυχάς ημών.

## ΕΝ ΤΩ ΜΕΣΟΝΥΚΤΙΚΩ

Κανών Τριαδικός, ού η Ακροστιχίς.
Τό τρισσόν υμνώ τής θεαρχίας σέλας.

Ωδή α' Ήχος β'
Εν βυθώ κατέστρωσε

Τήν τριττήν καί μίαν αρχικήν, φύσιν τής θεότητος, ασματικώς υμνήσωμεν λέγοντες. Τού ελέους πέλαγος ανεξάντλητον, ουσιώδες ως έχουσα, σέ τούς προσκυνούντας φρούρησον, καί σώσον ως φιλάνθρωπος.

Ο πηγή καί ρίζα πεφυκώς, ο Πατήρ ως αίτιος, τής εν Υιώ καί αγίω σου Πνεύματι, συμφυούς θεότητος, τό τρισήλιον τή καρδία μου πήγασον σέλας, καί μεθέξει λάμπρυνον, σής θεουργού ελλάμψεως.

Τριφεγγής Μονάς θεαρχική, πάσαν διασκέδασον, αμαρτιών καί παθών μου τήν ζόφωσιν, φωτεινών ακτίνων σου, γλυκυτάταις εν μετουσίαις, καί ποίησον σού τής απροσίτου, δόξης με ναόν, καί σκηνήν άχραντον.

Θεοτοκίον

Ρούν τόν πρίν τής φύσεως ημών, πεπονθυίας άτοπον, καί πρός φθοράν ολισθησάσης Άχραντε, σαρκωθείς εν μήτρα σου, ο Θεός Λόγος, φιλανθρώπως ανέστειλε, καί τήν θεαρχίαν τρίφωτον, ημάς εμυσταγώγησεν.

Ωδή γ'
Εν πέτρα με τής πίστεως

Ισότητι τής φύσεως θεαρχία, ομότιμον δοξάζω σε τοίς προσώποις, καί ζωής χορηγός ούσα, αρζωήγαρ ρεύστως πέφυκας, είς ο Θεός ημών, καί ουκ έστιν Άγιος πλήν σου Κύριε.

Σύ τάξεις τάς αϋλους καί ουρανίους, υπέστησας ως έσοπτρα τού σού κάλλους, Τριάς η αδιαίρετος μοναρχία, υμνείν απαύστως σε, αλλά καί νύν ημών, εκ πηλίνου στόματος, δέξαι τήν αίνεσιν.

Στερέωσον τής Πίστεως εν τή πέτρα, καί πλάτυνον αγάπης σου τώ πελάγει, καρδίαν καί διάνοιαν τών σών δούλων, Μονάς τρισήλιε, σύ γάρ εΙ Θεός ημών, εφ' ώπερ ελπίζοντες, μή αισχυνθείημεν.

Θεοτοκίον

Ο πάσαν πρίν υπόστασιν ουσιώσας, τής κτίσεως εν μήτρα σου ουσιώθη, απείρω αγαθότητι, Θεοτόκε, καί φώς τρισήλιον, πάσιν ανέτειλε, τής μιάς θεότητος, καί Κυριότητος.

Κάθισμα

Ότε κατ' αρχάς, τόν Αδάμ διέπλασας Κύριε, τότε τώ λόγω σου τώ ενυποστάτω, εβόησας εύσπλαγχνε. Ποιήσωμεν κατά τήν ημετέραν ομοίωσιν, τό δέ Πνεύμα τό άγιον συμπαρήν δημιουργόν, διό βοώμέν σοι, Ποιητά ο Θεός ημών, δόξα σοι.

Δόξα... Καί νύν... Θεοτοκίον

Ότε πρός ημάς, ο Θεός ελθείν κατηξίωσε, τότε σου Πάναγνε, τήν καθαρωτάτην νηδύν εγκατώκησε, καί έσωσε διά σού τών ανθρώπων τό φύραμα, χαρισάμενος άπασι βασιλείαν ουρανών, διό βοώμέν σοι, Θεοτόκε αγνή, χαίρε Δέσποινα.

Ωδή δ'

Υμνώ σε, ακοή

Νοείν σε, ουδέ τάξεις άϋλοι, εξισχύουσι τών Αγγέλων, τριάς μονάς, άναρχε, αλλ' ούν ημείς πηλίνη γλώττη, τήν σήν ουσιώδη αγαθότητα, καί ανυμνούμεν πίστει καί δοξάζομεν.

Υπάρχων, πλαστουργός τής φύσεως, Παντοκράτορ, τής τών ανθρώπων, πάσαν εμήν βλέπεις νύν, ως πανδερκής αδυναμίαν, διό κατοικτείρησον τόν δούλόν σου, καί πρός ζωήν βελτίστην επανάγαγε.

Μονάδος, αρχικής ασύγχυτα, τρία πρόσωπα ανυμνούμεν, ως ιδικώς έχοντα, καί μεριστώς τάς υποστάσεις, αλλ' ούν ηνωμένα, καί αμέριστα, έν τε βουλή, καί δόξη καί θεότητι.

Θεοτοκίον

Ναόν σε, καθαρόν καί άχραντον, αειπάρθενε Θεοτόκε, ο Παντουργός εύρηκε, μόνην σαφώς εκ τού αιώνος, εν ώ κατοικήσας ανεμόρφωσε, τήν τών ανθρώπων φύσιν, ως φιλάνθρωπος.

Ωδή ε'

Ο φωτισμός

Ως ολικώς, επί πάντα τά όντα τής σής προνοίας, τάς ειρηνοδώρους απλών ακτίνας, καί σωτηρίους, Βασιλεύ τής ειρήνης, φρούρησόν με εν τή ειρήνη σου, σύ γάρ εί ζωή, καί ειρήνη τού σύμπαντος.

Τώ Μωϋσή, εν τή βάτω ως ώφθης πυρός εν είδει, Άγγελος εκλήθης Πατρός ο Λόγος, τήν προς ημάς σου προδηλών παρουσίαν, δι' ής πάσι σαφώς ανήγγειλας, κράτος θεαρχίας μιάς τρισυπόστατον.

Η φυσικήν, συναΐδιον δόξαν προβαλλομένη, μοναρχικωτάτη Τριάς αγία, τούς ανυμνούντας ορθοδόξω σε πίστει, τής σής δόξης ιδείν αξίωσον, άναρχον καί μίαν αυγήν τήν τρισήλιον.

Θεοτοκίον

Συνεκτικός, κατ' ουσίαν υπάρχων ο Θεός Λόγος, πάντων τών αιώνων εν τή γαστρί σου, Παρθενομήτορ, συνεσχέθη αφράστως, τούς ανθρώπους ανακαλούμενος, πρός τό ενικόν τής μιάς Κυριότητος.

Ωδή ς'

Εν αβύσσω πταισμάτων

Θελητά τού ελέους ελέησον, τούς εις σέ πιστεύοντας, Θεέ τρισήλιε, καί τών πταισμάτων λύτρωσαι, καί παθών καί κινδύνων τούς δούλους σου. (Δίς)

Εν αφάτω πελάγει χρηστότητος, τήν απερινόητον τής σής ελλάμψεως, καί τριλαμπούς θεότητος, φωτοδότιδα αίγλην μοι βράβευσον.

Θεοτοκίον

Απορρήτως Παρθένε ο Ύψιστος, άνθρωπος εγένετο εκ σού τόν άνθρωπον, ολικώς ενδυσάμενος, καί φωτί τριλαμπεί με κατηύγασε.

### Κάθισμα

Ευσπλαγχνίας

Ευσπλαγχνίας τό πέλαγος ημίν υφαπλώσας, υπόδειξαι ημάς Ελεήμον, Βλέψον εις λαόν τόν σέ δοξάζοντα, δέξαι τάς ωδάς τών αιτουμένων σε, Τριάς μονάς άναρχε, εις σέ γάρ ελπίζομεν τόν τών όλων Θεόν, τών πταισμάτων δούναι τήν συγχώρησιν.

Δόξα... Καί νύν... Θεοτοκίον

Ευσπλαγχνίας κυήσασα πηγήν, συμπαθής σύ υπάρχεις, αγαθή Θεοτόκε. Σύ γάρ τών πιστών μόνη αντίληψις, σύ τών λυπουμένων η παράκλησις, διό σοι νύν άπαντες, εν πίστει προσπίπτομεν, ευρείν λύσιν δεινών, οι πλουτούντες μόνην σε βοήθειαν.

### Ωδή ζ'

Εικόνος χρυσής

Ρυθμίζεις αεί, τών Αγγέλων στρατιάς πρός ατρεψίαν, μόνος υπάρχων αναλλοίωτος, ο τρισυπόστατος Κύριος, δείξον ούν καμού τήν καρδίαν, απερίτρεπτον πάντοτε, πρός τό δοξάζειν σε θερμώς, καί ανυμνείν ευσεβώς. (Δίς)

Χοροί νοεροί, τών αϋλων ουσιών ταίς σαίς ακτίσι, Θεέ μονάρχα καί τρισήλιε, καταυγαζόμενοι, γίνονται, θέσει δευτερεύοντα φώτα, ών καμέ ταίς ελλάμψεσι, καί μετουσίαις δείξον φώς, ως φωτουργός τριλαμπής.

Θεοτοκίον

Ιθύνειν ημάς, καί υψούν πρός ουρανούς μή διαλείπης, τούς σέ φιλούντας, ο δι' άφατον φιλανθρωπίαν γενόμενος, άνθρωπος εν μήτρα Παρθένου, καί Θεώσας τόν άνθρωπον, καί θρόνω δόξης τώ Πατρί συγκαθεζόμενος.

### Ωδή η'

Ινδάλματος χρυσού

Απρόσιτε Τριάς, συναϊδιε συνάναρχε θεαρχία, η απαράλλακτος εν πάσι, πλήν τών φωσφόρων ιδιοτήτων, πάσαν πονηράν κατάργησον, τών αντικειμένων βουλήν, καί ενόχλησιν των δαιμόνων, αβλαβή τηρών με αεί, Κύριε πάντων. (Δίς)

Σοφώς καί πανσθενώς, απερίγραπτε τρισήλιε Μοναρχία, η υποστήσασα τον κόσμον, καί συντηρούσα εν αλωβήτω τάξει παντελεί, ενοίκησον τή εμή καρδία, υμνείν καί δοξάζειν σε ασιγήτως, σύν χοροίς Αγγέλων, εις πάντας τούς αιώνας.

Σοφία τού Πατρός, ακατάληπτε ανέκφραστε Θεού Λόγε, τήν αμετάβλητόν σου φύσιν ουκ αλλοιώσας, τήν τών ανθρώπων φύσιν συμπαθώς ανέλαβες, καί τήν ενιαίαν Τριάδα, εδίδαξας πάντας σέβειν, ως κυριαρχίαν, απάντων τών αιώνων.

### Ωδή θ'

Η τόν πρό ηλίου φωστήρα

Εκ φωτός ανάρχου, συνάναρχος Υιός φώς εξανέτειλε, καί συμφυές φώς πνεύμα εκπορεύεται, απορρήτως θεοπρεπώς, αρρεύστου τής γεννήσεως, πιστευομένης άμα δέ, καί τής αφράστου εκπορεύσεως.

Λάμψον τάς καρδίας, τρισήλιε θεότης τών υμνούντων σε, τώ τριλαμπεί φωτί σου, καί δός σύνεσιν, τού εν πάσι κατανοείν, καί πράττειν τό σόν θέλημα, τό αγαθόν καί τέλειον, καί μεγαλύνειν καί δοξάζειν σε.

Άπειρος τή φύσει, υπάρχων ως Θεός, άπειρον πέλαγος τών οικτιρμών, ως έχων κατωκτείρησας, Τριάς πρώην, ούτω καί νύν, οικτείρησον τούς δούλους σου, καί τών πταισμάτων λύτρωσαι, καί πειρασμών καί περιστάσεων.

Θεοτοκίον

Σώσόν με Θεέ μου, παντοίας επηρείας καί κακώσεως, ο εν τρισί προσώποις ανυμνούμενος,

ανεκφράστως μοναδικός, Θεός καί παντοδύναμος, καί τήν σήν ποίμνην φύλαττε, τής Θεοτόκου ταίς εντεύξεσιν.

### Υπακοή τού ήχου χύμα

Μετά τό πάθος πορευθείσαι εν τώ μνήματι, πρός τό μυρίσαι τό σώμά σου αι Γυναίκες, Χριστέ ο Θεός, είδον Αγγέλους εν τώ τάφω καί εξέστησαν, φωνής γάρ ότι ανέστη ο Κύριος, ήκουον εξ αυτών, δωρούμενος τώ κόσμω τό μέγα έλεος.

## ΕΝ ΤΩ ΟΡΘΡΩ

### Απολυτίκιον Ήχος β'

Ότε κατήλθες πρός τόν θάνατον, η Ζωή η αθάνατος, τότε τόν Άδην ενέκρωσας τή αστραπή τής θεότητος, ότε δέ καί τούς τεθνεώτας εκ τών καταχθονίων ανέστησας, πάσαι αι Δυνάμεις τών επουρανίων εκραύγαζον, Ζωοδότα Χριστέ ο Θεός ημών δόξα σοι.

### Θεοτοκίον

Πάντα υπέρ έννοιαν, πάντα υπερένδοξα, τα σά Θεοτόκε μυστήρια, τή αγνεία εσφραγισμένη, καί παρθενία φυλαττομένη, Μήτηρ εγνώσθης αψευδής, Θεόν τεκούσα αληθινόν, αυτόν ικέτευε σωθήναι τάς ψυχάς ημών.

### Μετά τήν α' Στιχολογίαν
### Καθίσματα Αναστάσιμα
### Ήχος β'

Ο ευσχήμων Ιωσήφ, από τού ξύλου καθελών, τό άχραντόν σου Σώμα, σινδόνι καθαρά, ειλήσας καί αρώμαμασιν, εν μνήματι καινώ, κηδεύσας απέθετο, αλλά τριήμερος ανέστης Κύριε, παρέχων τώ κόσμω τό μέγα έλεος.

### Δόξα...

Ταίς μυροφόροις Γυναιξί, παρά τό μνήμα επιστάς, ο Άγγελος εβόα. Τά μύρα τοίς θνητοίς υπάρχει αρμόδια, Χριστός δέ διαφθοράς εδείχθη αλλότριος, αλλά κραυγάσατε. Ανέστη ο Κύριος, παρέχων τώ κόσμω τό μέγα έλεος.

### Καί νύν... Σταυροθεοτοκίον

Υπερδεδοξασμένη υπάρχεις, θεοτόκε Παρθένε, υμνούμέν σε, διά γάρ του Σταυρού τού Υιού σου, κατεβλήθη ο άδης, καί ο θάνατος τέθνηκε, νεκρωθέντες ανέστημεν, καί ζωής ηξιώθημεν, τόν Παράδεισον ελάβομεν, τήν αρχαίαν απόλαυσιν, διό ευχαριστούντες δοξολογούμεν, ως κραταιόν Χριστόν τόν θεόν ημών, καί μόνον πολυέλεον.

### Μετά τήν β' Στιχολογίαν, έτερα

Τόν λίθον τού μνήματος, σφραγισθήναι μή κωλύσας, τήν πέτραν τής πίστεως, αναστάς παρέσχες πάσι, Κύριε δόξα σοι.

### Δόξα...

Τών Μαθητών σου ο χορός, σύν μυροφόροις Γυναιξίν, αγάλλεται συμφώνως, κοινήν γάρ εορτήν σύν αυτοίς εορτάζομεν, εις δόξαν καί τιμήν τής σής Αναστάσεως, καί δι' αυτών, φιλάνθρωπε Κύριε, τώ λαώ σου παράσχου τό μέγα έλεος.

### Καί νύν... Σταυροθεοτοκίον

Υπερευλογημένη υπάρχεις, Θεοτόκε Παρθένε, διά γάρ τού εκ σού σαρκωθέντος, ο άδης ηχμαλώτισται, ο Αδάμ ανακέκληται, η κατάρα νενέκρωται, η Εύα ηλευθέρωται, ο θάνατος τεθανάτωται, καί ημεις εζωοποιήθημεν, διό ανυμνούντες βοώμεν. Ευλογητός Χριστός ο Θεός ημών, ο ούτως ευδοκήσας δόξα σοι.

### Η Υπακοή Ήχος β'

Μετά τό Πάθος πορευθείσαι εν τώ μνήματι πρός τό μυρίσαι τό σώμά σου αι γυναίκες Χριστέ ο Θεός, είδον Αγγέλους εν τώ τάφω καί εξέστησαν, φωνής γάρ ήκουον εξ αυτών, ότι ανέστη ο Κύριος, δωρούμενος τώ κόσμω τό μέγα έλεος.

### Οι Αναβαθμοί Αντίφωνον Α'

- Εν τώ ουρανώ τά όμματα, εκπέμπω μου τής καρδίας, πρός σέ Σωτήρ, σώσόν με σή επιλάμψει.
- Ελέησον ημάς τούς πταίοντάς σοι πολλά καθ' εκάστην ώραν, ώ Χριστέ μου, καί δός πρό

τέλους τρόπους, τού μετανοείν σοι.

Δόξα... καί νύν...

Αγίω Πνεύματι, τό βασιλεύειν πέλει, τό αγιάζειν, τό κινείν τήν κτίσιν, Θεός γάρ εστιν, ομοούσιος Πατρί καί Λόγω.

Αντίφωνον Β'

- Ειμή ότι Κύριος ήν εν ημίν, τίς ικανός σώος φυλαχθήναι, εκ τού εχθρού άμα, καί ανθρωποκτόνου;
- Τοίς οδούσιν αυτών, μή παραδώς Σωτήρ τόν σόν δούλον, λέοντος τρόπον κατ' εμού κινούνται, καί γάρ οι εχθροί μου.

Δόξα... καί νύν...

Αγίω Πνεύματι, ζωαρχία καί γέρας, πάντα γάρ τα κτιστά, ως Θεός ών δυναμοί, συντηρεί εν Πατρί δι' Υιού δέ.

Αντίφωνον Γ'

- Οι πεποιθότες επί Κύριον, εοίκασιν όρει τώ αγίω, οί ουδαμώς σαλεύονται, προσβολαίς τού Βελίαρ.
- Εν ανομίαις χείρας αυτών μή εκτεινάτωσαν οι θείως ζώντες, ου γάρ εά Χριστός, τή ράβδω τόν κλήρον αυτού.

Δόξα... καί νύν...

Αγίω Πνεύματι, προσπηγάζει πάσα σοφία, ένθεν χάρις Αποστόλοις, καί τοίς άθλοις καταστέφονται Μάρτυρες, καί Προφήται ορώσι.

Προκείμενον

Εξεγέρθητι, Κύριε Ο Θεός μου, εν προστάγματι ώ ενετείλω, καί συναγωγή λαών κυκλώσει σε.
Στίχ. Κύριε, ο Θεός μου, επί σοί ήλπισα.

## Κανών Αναστάσιμος

### Ωδή α' Ήχος β' Ο Ειρμός

Εν βυθώ κατέστρωσε ποτέ, τήν Φαραωνίτιδα, πανστρατιάν, η υπέροπλος δύναμις, σαρκωθείς ο Λόγος δέ, τήν παμμόχθηρον αμαρτίαν εξήλειψεν, ο δεδοξασμένος Κύριος, ενδόξως γάρ δεδόξασται.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Ο τού κόσμου άρχων αγαθέ, ώ απεγραψάμεθα, τή εντολή τή σή μή πειθαρχήσαντες, τώ Σταυρώ σου κέκριται, προσβαλών γάρ σοι ως θνητώ, περιπέπτωκε τώ τής εξουσίας κράτει σου, καί ασθενής διήλεγκται.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Λυτρωτής τού γένους τών βροτών, και τής ακηράτου ζωής αρχηγός, εις τόν κόσμον ελήλυθας, τή γάρ Αναστάσει σου, διεσπάραξας τού θανάτου τά σπάργανα, ήν δοξολογούμεν άπαντες, ενδόξως γάρ δεδόξασται.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Υπερτέρα πέφηνας Αγνή, πάσης αοράτου τε, καί ορατής αειπάρθενε κτίσεως, τόν γάρ κτίστην τέτοκας, ως ηυδόκησε σαρκωθήναι εν μήτρα σου, ώ σύν παρρησία πρέσβευε, σωθήναι τάς ψυχάς ημών.

## Κανών Σταυροαναστάσιμος, ού η Ακροστιχίς, σύν τοίς Ειρμοίς.
## Άδω τόν αίνον τώ φερεσβίω λόγω.

### Ο Ειρμός

Άτριπτον ασυνήθη, αβρόχως θαλαττίαν ανύσας τρίβον, ο εκλεκτός εβόα Ισραήλ. Τώ Κυρίω άσωμεν, ότι δεδόξασται.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Δύναμις ασθενούσιν, ανάστασις πεσούσι, καί αφθαρσία τοίς τεθνεώσι, γέγονας Χριστέ, τής σαρκός τώ πάθει σου, ότι δεδόξασται.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ώ κτειρε τήν πεσούσαν, εικόνα καί ανέστησε, συντριβείσαν ο πλαστουργός Θεός καί καινουργός, νεκρωθείς ο γέγονε, ότι δεδόξασται.

Κανών τής Υπεραγίας Θεοτόκου, ού η Ακροστιχίς. Άδω τόν αίνον τή φερεσβίω Κόρη.

Ειρμός ο αυτός

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Αϋλος πάλαι κλίμαξ, καί ξένως χερσωθείσα, οδός θαλάσσης, τήν σήν εδήλου γέννησιν Αγνή, ήν υμνούμεν άπαντες, ότι δεδόξασται.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Δύναμις τού Υψίστου, Υπόστασις τελεία, Θεού Σοφία, σωματωθείσα Άχραντε εκ σού, τοίς βροτοίς, ωμίλησεν, ότι δεδόξασται.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ώδευσε διά πύλης, αβάτου κεκλεισμένης, τής σής νηδύος, δικαιοσύνης Ήλιος Αγνή, καί τώ κόσμω έλαμψεν, ότι δεδόξασται.

Ωδή γ' Ο Ειρμός

Εξήνθησεν η έρημος, ωσεί κρίνον Κύριε, η τών εθνών στειρεύουσα, Εκκλησία τή παρουσία σου, εν ή εστερεώθη η καρδία μου.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Η κτίσις εν τώ πάθει σου, ηλλοιούτο βλέπουσα, εν ευτελεί προσχήματι, υπ' ανόμων, μυκτηριζόμενον, τόν εδράσαντα πάντα θείω νεύματι.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Εκ χοός κατ' εικόνα με, τή χειρί σου έπλασας, καί συντριβέντα πάλιν δέ, εις χούν θανάτου δι' αμαρτίαν Χριστέ, συγκαταβάς εις άδην συνανέστησας.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τά τάγματα εξέστησαν, τών Αγγέλων Πάναγνε, καί τών ανθρώπων έφριξαν, αι καρδίαι επί τώ τόκω σου, διό σε Θεοτόκε, πίστει σέβομεν.

Κανών Σταυροαναστάσιμος

Ο Ειρμός

Τόξον συνετρίβη δυναστών τώ κράτει σου Χριστέ, καί δύναμιν ασθενείς, σέ περιεζώσαντο.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ο πάντων επέκεινα Χριστός, ηλάττωται βραχύ, τώ πάθει τώ τής σαρκός, τής Αγγέλων φύσεως.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Νεκρός μετ' ανόμων λογισθεις, εκλάμπων Γυναιξί, στεφάνω δόξης Χριστέ, ώφθης τής Εγέρσεως.

Κανών τής Θεοτόκου
Ειρμός ο αυτός

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ο χρόνου επέκεινα παντός, ως χρόνων Ποιητής, εκ σού Παρθένε εκών, βρέφος πεπλαστούργηται.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νηδύν πλατυτέραν ουρανών, υμνήσωμεν πιστοί, δι'  Ής Αδάμ εν τοίς ουρανοίς, χαίρων πεπολίτευται.

Ωδή δ'  Ο Ειρμός

Ελήλυθας εκ Παρθένου, ου πρέσβυς, ουκ Άγγελος, αλλ' αυτός ο Κύριος, σεσαρκωμένος καί έσωσας, όλον με τόν άνθρωπον, διό κραυγάζω σοι, Δόξα τή δυνάμει σου Κύριε.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Παρίστασο ως κριτός, ο Θεός μου τώ βήματι, ου κραυγάζων Δέσποτα, κρίσιν ενάγων τοίς έθνεσιν, ήν διά τού πάθους σου, τή οικουμένη ειργάσω, σωτηρίαν Χριστέ.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Τώ πάθει σου τού εχθρού, αι ρομφαίαι εξέλιπον, τών υπεναντίων δέ, εν τή εις άδου καθόδω σου, πόλεις καθηρέθησαν, καί τού τυράννου τό θράσος καταβέβληται.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σέ λιμένα σωτηρίας, καί τείχος ακράδαντον, Θεοτόκε Δέσποινα, πάντες πιστοί επιστάμεθα, σύ γάρ ταίς πρεσβείαις σου, εκ τών κινδύνων λυτρούσαι τάς ψυχάς ημών.

Κανών Σταυροαναστάσιμος
Ο Ειρμός

Ακήκοα Κύριε, τήν ένδοξόν σου.
(Εισακήκοα τήν ένδοξον οικονομίαν σου Χριστέ ο Θεός, ότι ετέχθης εκ τής Παρθένου, ίνα εκ πλάνης ρύση τούς κραυγάζοντας, Δόξα τή δυνάμει σου Κύριε.)

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ιδούσα εν ξύλω σε, Χριστέ παγέντα Παρθένος, η ανωδίνως σε κυήσασα, τάς μητρικάς οδύνας υπέμεινε.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Νενίκηται θάνατος, νεκρός σκυλεύει άδου τάς πύλας, τού παμφάγου γάρ ραγέντος μοι, τά υπέρ φύσιν πάντα δεδώρηται.

Κανών τής Θεοτόκου
Ειρμός ο αυτός

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ιδού υπερύψωται, τό θείον όρος οίκω Κυρίου, υπεράνω τών Δυνάμεων, η θεομήτωρ

εμφανέστατα.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νομίμων τής φύσεως, Παρθένε άτερ μόνη τεκούσα, τόν δεσπόζοντα τής κτίσεως, κατηξιώθης θείας κλήσεως.

Ωδή ε' Ο Ειρμός

Μεσίτης Θεού, καί ανθρώπων γέγονας, Χριστέ ο Θεός, διά σού γάρ Δέσποτα, τήν πρός τόν αρχίφωτον Πατέρα σου, εκ νυκτός αγνωσίας, προσαγωγήν εσχήκαμεν.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Ως κέδρος Χριστέ, τών εχθρών τό φρύαγμα συνέτριψας, εκουσίως Δέσποτα, εν τή κυπαρίσσω ως ηυδόκησας, καί τή πεύκη καί κέδρω σαρκί συνανυψούμενος.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Εν λάκκω Χριστέ, κατωτάτω έθεντό σε, άπνουν νεκρόν, αλλ' οικείω μώλωπι, επιλελησμένους τραυματίας Σωτήρ, τούς εν τάφοις υπνούντας, σεαυτώ συνεξανέστησας.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Δυσώπει τόν σόν, Υιόν καί Κύριον, Παρθένε αγνή, αιχμαλώτοις λύτρωσιν, τοίς εξ εναντίας περιστάσεως, επί σοί πεποιθόσιν, ειρηνικήν δωρήσασθαι.

Κανών Σταυροαναστάσιμος

Ο Ειρμός

Ο άνθραξ τώ Ησαϊα, προοφθείς, Ήλιος παρθενικής από γαστρός ανέτειλε, τοίς εν σκότει πεπλανημένοις, καί θεογνωσίας φωτισμόν δωρούμενος.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Νηστεύειν απανηνάμενος, Αδάμ γεύεται, θανατηφόρου τού ξύλου ο πρότερος, αλλά τούτου τήν αμαρτίαν εξαφανίζει, σταυρωθείς ο δεύτερος.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Τήν φύσιν παθητός, καί θνητός γέγονας, ο απαθής τή αϋλω θεότητι, αφθαρτίσας νενεκρωμένους Χριστέ, κευθμώνων άδου εξανέστησας.

Κανών τής Θεοτόκου

Ειρμός ο αυτός

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νεφέλαι τής ευφροσύνης, γλυκασμόν ράνατε, τοίς επί γής, ότι παιδίον δέδοται ο υπάρχων πρό τών αιώνων, εκ τής Παρθένου σαρκωθείς Θεός ημών.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τώ βίω καί τώ σαρκίω μου, τό φώς έλαμψε, καί τό στυγνόν τής αμαρτίας έλυσεν, επ εσχάτων εκ τής Παρθένου, άνευ σποράς σωματωθείς ο Ύψιστος.

Ωδή ς' Ο Ειρμός

Εν αβύσσω πταισμάτων κυκλούμενος, τήν ανεξιχνίαστον τής ευσπλαγχνίας σου, επικαλούμαι άβυσσον. Εκ φθοράς ο Θεός με ανάγαγε.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Ως κακούργος ο δίκαιος κέκριται, καί μετά ανόμων τώ ξύλω προσήλωται, τοίς υπευθύνοις άφεσιν, τώ οικείω δωρούμενος αίματι.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Δι' ενός μέν ανθρώπου τού πρώτου Αδάμ, πάλαι εις τόν κόσμον εισήλθεν ο θάνατος, καί δι' ενός Ανάστασις, τού Υιού τού Θεού πεφανέρωται.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Απειράνδρως Παρθένε εκύησας, Ακαί διαιωνίζεις παρθένος εμφαίνουσα, τής αληθούς θεότητος, τού Υιού καί Θεού σου τά σύμβολα.

Κανών Σταυροαναστάσιμος

Ο Ειρμός

Ήχου ρημάτων δεήσεως, εκ κατωδύνου Δέσποτα, ψυχής επακούσας, τών δεινών με λύτρωσαι, μόνος γάρ εί τής ημών, σωτηρίας πρόξενος.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Φύλακας έθου τώ πταίσαντι, τά Χερουβείμ τού ξύλου τής ζωής, αλλ' ιδόντα σε τάς πύλας ήνοιξαν, ώφθης γάρ οδοποιών τώ Ληστή Παράδεισον.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Έρημος άδης καί άπορος, διά θανάτου γέγονεν ενός, όν πολύν γάρ πλούτον εθησαύρισεν, εις υπέρ πάντων ημών, ο Χριστός εκένωσεν.

Κανών τής Θεοτόκου

Ειρμός ο αυτός

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φύσις ανθρώπων δουλεύουσα, τή αμαρτία Δέσποιναααγνή, διά σού ελευθερίας έτυχε, σός γάρ Υιός ως αμνός, υπέρ πάντων τέθυται.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Επιβοώμεθα πάντες, σέ τήν αληθή Μητέρα τού Θεού, Παροργίσαντας οικέτας λύτρωσαι, μόνη γάρ πρός Υιόν, παρρησίαν κέκτησαι.

Κοντάκιον Ήχος β'

Τά άνω ζητών Ανέστης Σωτήρ, εκ τάφου Παντοδύναμε καί Άδης ιδών, τό θαύμα εξεπλήττετο, καί νεκροί ανίσταντο, καί η κτίσις ιδούσα συγχαίρει σοι, καί ο Αδάμ συναγάλλεται, και κόσμος Σωτήρ μου ανυμνεί σε αεί.

Οίκος

Σύ ει τό φώς τών εσκοτισμένων, σύ εί η ανάστασις πάντων καί η ζωή τών βροτών καί πάντας συνανέστησας, τού θανάτου τό κράτος Σωτήρ σκυλεύσας, καί τού Άδου τάς πύλας συντρίψας Λόγε, καί οι θνητοί κατιδόντες τό θαύμα εθαύμαζον, καί πάσα κτίσις συγχαίρει εν τή σή Αναστάσει, Φιλάνθρωπε. Διό καί πάντες δοξάζομεν, καί υμνούμεν τήν σήν συγκατάβασιν, καί κόσμος Σωτήρ μου ανυμνεί σε αεί.

Ωδή ζ' Ο Ειρμός

Αντίθεον πρόσταγμα, παρανομούντος, τυράννου μετάρσιον, τήν φλόγα ανερρίπισε, Χριστός δέ

εφήπλωσε, θεοσεβέσι Παισί, δρόσον τήν τού Πνεύματος, ο ών ευλογημένος καί υπερένδοξος.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Ουκ έφερες Δέσποτα, δι' ευσπλαγχνίαν, θανάτω τόν άνθρωπον, καθοράν τυραννούμενον, αλλ' Ήλθες καί έσωσας ιδίω Αίματι, άνθρωπος γενόμενος, ο ών ευλογημένος καί υπερένδοξος.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Ιδόντες σε έπτηξαν, ημφιεσμένον, στολήν εκδικήσεως, οι πυλωροί τού άδου Χριστέ, αγνώμονα τύραννον, οικέτην Δέσποτα, ήλθες γάρ χειρώσασθαι, ο ών ευλογημένος καί υπερένδοξος.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Αγίων Αγίαν σε, κατανοούμεν, ως μόνην κυήσασαν, Θεόν τόν αναλλοίωτον, Παρθένε αμόλυντε, Μήτερ ανύμφευτε, πάσι γάρ επήγασας πιστοίς, τήν αφθαρσίαν τώ θείω τόκω σου.

Κανών Σταυροαναστάσιμος

Ο Ειρμός

Ρήτορες ανεδείχθησαν Παίδες, φιλοσοφώτατοι ποτέ, εκ θεολήπτου ψυχής γάρ, θεολογούντες χείλεσιν έμελπον, ο υπέρθεος τών Πατέρων, καί ημών Θεός ευλογητός εί.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Έκρινε τόν προπάτορα πάλαι, εν τή Εδέμ παρακοή, αλλ' εκουσίως εκρίθη, τώ παραβάντι λύων τό έγκλημα, ο υπέρθεος τών Πατέρων, Θεός καί υπερένδοξος.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Σέσωκας τόν τρωθέντα τή γλώσση, τή ιοβόλω εν Εδέμ, τό εθελούσιον δήγμα, τώ εκουσίω πάθει ιάσω γάρ, ο υπέρθεος τών Πατέρων, Θεός καί υπερένδοξος.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Βαίνοντα εν σκιά με θανάτου, ανεκαλέσω πρός τό φώς, τόν σκοτεινόμορφον άδην, τή αστραπή βαλών τής θεότητος, ο υπέρθεος τών Πατέρων, Θεός καί υπερένδοξος.

Κανών τής Θεοτόκου

Ειρμός ο αυτός

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Εώρα εν νυκτί Ιακώβ μέν, ως εν αινίγματι Θεόν σεσαρκωμένον, εκ σού δέ εν φρυκτωρία ώφθη τοίς μέλπουσιν, ο υπέρθεος τών Πατέρων, Θεός καί υπερένδοξος.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σύμβολα τής εν σοί απορρήτου, προκαταγγέλλων συμπλοκής, τώ Ιακώβ προσπαλαίει, δι' Ής εκών ηνώθη ανθρώποις Αγνή, ο υπέρθεος τών Πατέρων, Θεός καί υπερένδοξος.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Βέβηλος ο μή ένα κηρύττων, τόν τής Παρθένου σε Υιόν, τής πανυμνήτου Τριάδος, καί αδιστάκτω γνώμη καί γλώσση βοών, ο υπέρθεος τών Πατέρων, Θεός καί υπερένδοξος.

Ωδή η' Ο Ειρμός

Κάμινος ποτέ, πυρός εν Βαβυλώνι, τάς ενεργείας διεμέριζε, τώ θείω προστάγματι, τούς

Χαλδαίους καταφλέγουσα, τούς δέ πιστούς δροσίζουσα, ψάλλοντας. Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Αίματι Χριστε, τώ σώ πεφοινιγμένην, τήν τής σαρκός σου καθορώντα στολήν, εν τρόμω εξίσταντο, τήν πολλήν μακροθυμίαν, τά τών Αγγέλων Τάγματα, κράζοντα. Ευλογείτε, πάντα τά έργα τόν Κύριον.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Σύ μου τό θνητόν, ενέδυσας Οικτίρμον, αθανασίαν τή εγέρσει σου, διό αγαλλόμενος, ευχαρίστως αναμέλπει σοι, ο εκλεκτός λαός Χριστέ, κράζων σοι. Κατεπόθη, όντως εις νίκος ο θάνατος.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σύ τόν τού Πατρός, αχώριστον εν μήτρα, θεανδρικώς πολιτευσάμενον, ασπόρως συνέλαβες καί αφράστως απεκύησας, Θεογεννήτορ Πάναγνε, όθεν σε σωτηρίαν, πάντων ημών επιστάμεθα.

## Κανών Σταυροαναστάσιμος

### Ο Ειρμός

Ινδάλματος χρυσού, καταπτύσαντες τρισόλβιοι Νεανίαι, τήν απαράλλακτον καί ζώσαν Θεού Εικόνα τεθεάμενοι, μέσον τής φλογός ανέμελπον, η ουσωθείσα υμνείτω τόν Κύριον, πάσαν Κτίσις, καί υπερυψούτω, εις πάντας τούς αιώνας.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ωράθης εν σταυρώ, καθηλούμενος ο πλούσιος εν ελέει, εκών ετάφης δέ, καί τριήμερος εξανέστης, καί ελυτρώσω πάντας τούς βροτούς φιλάνθρωπε, πίστει μελωδούντας. Υμνείτω τόν Κύριον πάσα κτίσις, καί υπερυψούτω εις πάντας τούς αιώνας.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Λυτρούσαι τής φθοράς, υπελθών τά καταχθόνια, Θεού Λόγε, όνπερ διέπλασας δυνάμει σου, Χριστέ μου θεία, καί αφθαρτίσας, δόξης αϊδίου μέτοχον, τής σής απειργάσω. Υμνείτω κραυγάζοντα πάσα κτίσις, καί υπερυψούτω Χριστόν εις τούς αιώνας.

## Κανών τής Θεοτόκου

### Ειρμός ο αυτός

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ωράθη επί γής, διά σού, καί τοίς ανθρώποις συνανεστράφη, ο αγαθότητι ασύγκριτος, καί δυνάμει, ώ μελωδούντες πάντες οι πιστοί κραυγάζομεν. Η ουσιωθείσα υμνείτω τόν Κύριον πάσα κτίσις, καί υπερυψούτω εις πάντας τούς αιώνας.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Κυρίως σε Αγνήν, καταγγέλλοντες δοξάζομεν Θεοτόκε, σύ γάρ τόν ένα απεκύησας, τής Τριάδος σεσαρκωμένον, ώ σύν τώ Πατρί καί Πνεύματι πάντες μελωδούμεν. Υμνείτω τόν Κύριον πάσα κτίσις, καί υπερυψούτω εις πάντας τούς αιώνας.

### Ωδή θ'  Ο Ειρμός

Ανάρχου Γεννήτορος, Υιός Θεός καί Κύριος, σαρκωθείς εκ Παρθένου ημίν επέφανε, τά εσκοτισμένα φωτίσαι, συναγαγείν τά εσκορπισμένα, διό τήν πανύμνητον, Θεοτόκον μεγαλύνομεν.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Ως εν Παραδείσω φυτευθέν, εν τώ Κρανίω Σωτήρ, τό τρισόλβιον ξύλον τού σού αχράντου Σταυρού, αίματι καί ύδατι θείω, ως εκ πηγής τής θείας πλευράς σου, Χριστέ αρδευόμενον, τήν ζωήν ημίν εξήνθησε.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Καθείλες δυνάστας, σταυρωθείς ο παντοδύναμος, καί τήν κάτω κειμένην, εν τή τού άδου φρουρά, φύσιν τών ανθρώπων υψώσας, τώ πατρικώ ενίδρυσας θρόνω, μεθ' Ής σε ερχόμενον, προσκυνούντες μεγαλύνομεν.

Τριαδικόν

Στίχ. Αγία Τριάς ο Θεός ελέησον καί σώσον ημάς.

Μονάδα τρισάριθμον, Τριάδα Ομοούσιον, ορθοδόξως υμνούντες, πιστοί δοξάσωμεν, άτμητον υπέρθεον φύσιν, τρισοφεγγή ανέσπερον αίγλην, τήν μόνην ακήρατον, τήν τό φώς ημίν εκλάμπουσαν.

## Κανών Σταυροαναστάσιμος

### Ο Ειρμός

Τόν εκ Θεού Θεόν Λόγον, τόν αρρήτω σοφία, ήκοντα καινουργήσαι τόν Αδάμ, βρώσει φθορά πεπτωκότα δεινώς, εξ Αγίας Παρθένου, αφράστως σαρκωθέντα δι' ημάς, οι πιστοί ομοφρόνως, εν ύμνοις μεγαλύνομεν.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Εν μέσω τών καταδίκων, ως αμνός ανηρτήθης, Χριστέ επί Κρανίου τού Σταυρού, λόγχη πλευράν εκκεντούμενος, τήν ζωήν εδωρήσω, ημίν τοίς χοϊκοίς ως αγαθός, τοίς εν πίστει τιμώσι, τήν θείαν σου Ανάστασιν.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Τόν τώ ιδίω θανάτω, τού θανάτου τό κράτος, δυνάμει καταργήσαντα Θεόν, πάντες πιστοί προσκυνήσωμεν, ότι τούς απ' αιώνος νεκρούς συνεξανέστησε, καί τοίς πάσι παρέχει, ζωήν καί τήν ανάστασιν.

## Κανών τής Θεοτόκου

### Ο Ειρμός

Όλος υπάρχεις έφεσις, όλος γλυκασμός, Λόγε Θεού, Παρθένου Υιέ, Θεέ θεών Κύριε, Αγίων Υπεράγιε, διό σε άπαντες σύν τή Τεκούση μεγαλύνομεν.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ράβδος ισχύος δέδοται, φύσει τή σαθρά, Λόγος Θεού, εν μήτρα σου Αγνή, καί ταύτην ανέστησε, πρός άδην ολισθήσασαν, διό σε πάναγνε, ως Θεοτόκον μεγαλύνομεν.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ήν ηρετίσω, Δέσποτα, δέξαι συμπαθώς, πρέσβιν Μητέρα, σήν υπέρ ημών, καί σού τής χρηστότητος, τά σύμπαντα πλησθήσονται, ίνα σε άπαντες, ως ευεργέτην μεγαλύνωμεν.

## Εις τούς Αίνους, Στιχηρά Αναστάσιμα

### Ήχος β'

1. Τού ποιήσαι εν αυτοίς κρίμα έγγραπτον. Δόξα αύτη έσται πάσι τοίς οσίοις αυτού.
-- Πάσα πνοή, καί πάσα κτίσις, σέ δοξάζει Κύριε, ότι διά τού Σταυρού τόν θάνατον κατήργησας, ίνα δείξης τοίς λαοίς, τήν εκ νεκρών σου Ανάστασιν, ως μόνος φιλάνθρωπος.
2. Αινείτε τόν Θεόν εν τοίς Αγίοις αυτού, αινείτε αυτόν εν στερεώματι τής δυνάμεως αυτού.

-- Ειπάτωσαν Ιουδαίοι, πώς οι στρατιώται απώλεσαν τηρούντες τόν Βασιλέα; διατί γάρ ο λίθος ουκ εφύλαξε τήν πέτραν τής ζωής; ή τόν ταφέντα δότωσαν, ή αναστάντα προσκυνείτωσαν, λέγοντες σύν ημίν. Δόξα τώ πλήθει τών οικτιρμών σου. Σωτήρ ημών δόξα σοι.
3. Αινείτε αυτόν επί ταίς δυναστείαις αυτού, αινείτε αυτόν κατά τό πλήθος τής μεγαλωσύνης αυτού.
-- Χαίρετε λαοί, καί αγαλλιάσθε, Άγγελος εκάθισεν εις τόν λίθον τού μνήματος, αυτός ημάς ευηγγελίσατο ειπών, Χριστός ανέστη εκ νεκρών, ο Σωτήρ τού κόσμου, καί επλήρωσε τά σύμπαντα ευωδίας. Χαίρετε Λαοί, καί αγαλλιάσθε.
4. Αινείτε αυτόν εν ήχω, σάλπιγγος, αινείτε αυτόν εν ψαλτηρίω καί κιθάρα.
-- Άγγελος μέν τό Χαίρε, πρό τής σής συλλήψεως Κύριε, τή Κεχαριτωμένη εκόμισεν, Άγγελος δέ τόν λίθον τού ενδόξου σου μνήματος, εν τή σή Αναστάσει εκύλισεν, Ο μέν αντί τής λύπης, ευφροσύνης σύμβολα μηνύων, ο δέ αντί θανάτου, Δεσπότην ζωοδότην κηρύττων ημίν. Διό βοώμέν σοι, Ευεργέτα τών απάντων, Κύριε δόξα σοι.
5. Αινείτε αυτόν εν τυμπάνω καί χορώ, αινείτε αυτόν εν χορδαίς καί οργάνω,
-- Έρραναν μύρα μετά δακρύων, επί τό μνήμα σου αι Γυναίκες, καί επλήσθη χαράς τό στόμα αυτών, εν τώ λέγειν, Ανέστη ο Κύριος.
6. Αινείτε αυτόν εν κυμβάλοις ευήχοις, αινείτε αυτόν εν κυμβάλοις αλαλαγμού. Πάσα πνοή αινεσάτω τόν Κύριον.
-- Αινεσάτωσαν έθνη καί λαοί Χριστόν τόν Θεόν ημών, τόν εκουσίως δι, ημάς σταυρόν υπομείναντα, καί εν τώ άδη τριημερεύσαντα, καί προσκυνησάτωσαν αυτού τήν εκ νεκρών Ανάστασιν, δι' ής, πεφώτισται πάντα τού κόσμου τά πέρατα.
7. Ανάστηθι, Κύριε, ο Θεός μου, υψωθήτω η χείρ σου, μή επιλάθη τών πενήτων σου εις τέλος.
-- Εσταυρώθης, ετάφης, Χριστέ, ως ηβουλήθης, εσκύλευσας τόν θάνατον, ως Θεός καί Δεσπότης, δωρούμενος τώ κόσμω ζωήν αιώνιον, καί τό μέγα έλεος.
8. Εξομολογήσομαί σοι, Κύριε, εν όλη καρδία μου, διηγήσομαι πάντα τά θαυμάσιά σου.
-- Όντως παράνομοι σφραγίσαντες τόν λίθον, μείζονος ημάς θαύματος ηξιώσατε, έχουσι τήν γνώσιν οι φύλακες, σήμερον προήλθε τού μνήματος, καί έλεγον, Είπατε, ότι ημών κοιμωμένων, ήλθον οι Μαθηταί, καί έκλεψαν αυτόν. Καί τίς κλέπτει νεκρόν, μάλιστα δέ καί γυμνόν. Αυτός ανέστη αυτεξουσίως ως Θεός, καταλιπών καί εν τώ τάφω τά εντάφια αυτού. Δεύτε ίδετε Ιουδαίοι, πώς ου διέρρηξε τάς σφραγίδας, ο τόν θάνατον πατήσας, καί εν τώ γένει τών ανθρώπων, τήν ατελεύτητον ζωήν δωρούμενος, καί τό μέγα έλεος.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

### Μακαρισμοί

Μακάριοι οι ελεήμονες, ότι αυτοί ελεηθήσονται.

Τήν φωνήν σοι προσάγομεν, τού Ληστού, καί βοώμέν σοι. Μνήσθητι ημών Σωτήρ, εν τή Βασιλεία σου.

Μακάριοι οι καθαροί τή καρδία ότι αυ τοί τόν Θεόν όψονται.

Τόν Σταυρόν σοι προσάγομεν, εις πταισμάτων συγχώρησιν, όν υπέρ ημών, κατεδέξω φιλάνθρωπε.

Μακάριοι οι ειρηνοποιοί, ότι αυτοί υιοί Θεού κληθήσονται.

Προσκυνούμέν σου Δέσποτα, τήν ταφήν καί τήν έγερσιν, δι' ών εκ φθοράς ελυτρώσω, τόν κόσμον φιλάνθρωπε.

Μακάριοι οι δεδιωγμένοι ένεκεν δικαιοσύνης, ότι αυτών εστιν η βασιλεία τών ουρανών.

Τώ θανάτω σου Κύριε, κατεπόθη ο θάνατος, καί τή Αναστάσει σου Σώτερ, τόν κόσμον διέσωσας.

Μακάριοί εστε όταν ονειδίσωσιν υμάς, καί διώξωσι, καί είπωσι πάν πονηρόν ρήμα καθυμών ψευδόμενοι ένεκεν εμού.

Οι εν σκότει καθεύδοντες, σέ τό φώς θεασάμενοι, εν τοίς κατωτάτοις τού άδου, Χριστέ εξανέστησαν.

Χαίρετε καί αγαλλιάσθε, ότι ο μισθός υμών πολύς εν τοίς ουρανοίς.

Μυροφόροις υπήντησας, αναστάς εκ τού μνήματος, καί τοίς μαθηταίς επηγγείλω, ειπείν σου τήν έγερσιν.

Δόξα...

Τόν Πατέρα δοξάσωμεν, τόν Υιόν προσκυνήσωμεν πάντες, καί τό άγιον Πνεύμα, πιστώς ανυμνήσωμεν.

Καί νύν... Θεοτοκίον

Χαίρε θρόνε πυρίμορφε. Χαίρε νύμφη ανύμφευτε. Χαίρε η Θεόν τοίς ανθρώποις, Παρθένε κυήσασα.

top

2-2

Στιχηρά Δεσποτικά προσόμοια

Ήχος β'

Ότε εκ τού ξύλου

Στίχ. α'. Εάν ανομίας παρατηρήσης, Κύριε, Κύριε τίς υποστήσεται; ότι παρά σοί ο ιλασμός εστιν.

Δός μοι μετανοίας λογισμόν, δός καί κατανύξεως πόθον, τή ταπεινή μου ψυχή, έγειρον εξ ύπνου με δεινής πωρώσεως, καί τό σκότος απέλασον, τό τής ραθυμίας, καί τής απογνώσεως λύσον τήν ζόφωσιν, όπως, ανανεύσας ο τάλας, σοί προσκολληθήσωμαι Λόγε, καί σού τοίς θελήμασι πορεύσωμαι.

Στίχ. β'. Ένεκεν τού ονόματός σου υπέμεινά σε, Κύριε, υπέμεινεν η ψυχή μου εις τόν λόγον σου, ήλπισεν η ψυχή μου επί τόν Κύριον.

Μόνε ευδιάλλακτε Χριστέ, μόνε υπεράγαθε Λόγε καί ανεξίκακε, σοί προσπίπτω εύσπλαγχνε, σέ ικετεύω θερμώς, σοί κραυγάζω δεόμενος. Ημάρτηκα σώσον, σώσόν με τόν άσωτον τή ευσπλαγχνία σου, όπως, ευχαρίστως κραυγάζω. Κύριε, συγχώρησιν δός μοι, καί σού τή χρηστότητι πορεύσομαι.

Στίχ. γ'. Από φυλακής πρωϊας μέχρι νυκτός, από φυλακής πρωϊας ελπισάτω Ισραήλ επί τόν Κύριον.

Πάντα άπερ ήμαρτον εις σέ, λόγοις τε καί έργοις, Θεέ μου, καί ενθυμήσεσι, πάντα εξαγγέλλω σοι, πάντα νύν λέγω σοι, τήν ημέραν παρήλθον γάρ, καί πάντα τόν χρόνον, νύκτα δέ κατέλαβον πλήρης υπάρχων κακών, όθεν σοι προσπίπτω κραυγάζων. Δέσποτά μου, Δέσποτα Σώτερ, ήμαρτον, συγχώρησον, καί σώσόν με.

Έτερα τών Ασωμάτων, όμοια

Στίχ. δ'. Ότι παρά τώ Κυρίω τό έλεος, καί πολλή παρ' αυτώ, λύτρωσις. καί αυτός λυτρώσεται τόν Ισραήλ έκ πασών τών ανομιών αυτού.

Δεύτε εν ωδαίς πνευματικαίς, τούς προαρχηγούς τών Αγγέλων, ανευφημήσωμεν, πάντων γάρ ως πρόκριτοι, τών ασωμάτων Χορών, Στρατηγοί καί Αρχάγγελοι, εκλήθησαν άμφω, άρχων γάρ τής χάριτος ο Γαβριήλ πεφυκώς, νόμου, καί τών πρό Μωϋσέως, έξαρχος γνωρίζεται αύθις, ο τών Αρχαγγέλων αρχηγός Μιχαήλ.

Στίχ. ε'. Αινείτε τόν Κύριον πάντα τά έθνη, επαινέσατε αυτόν, πάντες οι λαοί.

Εύγε Ασωμάτων ο φωστήρ! εύγε τής αϋλου χορείας, ώ Αρχιστράτηγε, μύστα καί πρωτάγγελε, τών απορρήτων Θεού, Μιχαήλ παμμακάριστε, αυτόπτα τών άνω. Λύτρωσαι δεόμεθα τούς σοί προστρέχοντας, πάντων, δυσχερών καί κινδύνων, σέ γάρ πρός τόν Κύριον πάντες, ευμενή προστάτην προβαλλόμεθα.

Στίχ. ς'. Ότι εκραταιώθη τό έλεος αυτού εφ' ημάς, καί η αλήθεια τού Κυρίου μένει εις τόν αιώνα.

Χαίροις τών Αγγέλων στρατηγέ, καί τών απορρήτων ο μύστης, καί λειτουργέ τού Θεού, άρχων καί ακρότατε, τών ασωμάτων Χορών, Γαβριήλ υπερένδοξε, φρικτών μυστηρίων, ώφθης γάρ διάκονος κρυφιομύστου βουλής, σύ γάρ, τήν Θεού πρός ανθρώπους, άκραν συγκατάβασιν ήλθες, επί σωτηρία προαγγέλλων ημίν.

Δόξα... Καί νύν... Θεοτοκίον, όμοιον

Ώραν τής ετάσεως σκοπών, φρίττω εννοών μου τά πλήθη, τών παραπτώσεων, τί απολογήσομαι; πώς διαφεύξομαι, τήν αισχύνην τήν μέλλουσαν, ασώτως βιώσας; όθεν Κόρη κράζω σοι θερμοίς τοίς δάκρυσι. Πλύνον, τής ψυχής μου τόν ρύπον, η τόν καθαρόν μαργαρίτην, τόν Χριστόν κυήσασα, καί σώσόν με.

Απόστιχα Κατανυκτικά

Ήμαρτον εις σέ Σωτήρ, ως ο Άσωτος υιός, δέξαι με Πάτερ, μετανοούντα, καί ελέησόν με ο Θεός.

Στίχ. Α'. Πρός σέ ήρα τούς οφθαλμούς μου, τόν κατοικούντα εν τώ ουρανώ. Ιδού, ως οφθαλμοί δούλων εις χείρας τών κυρίων αυτών, ως οφθαλμοί παιδίσκης εις χείρας τής κυρίας αυτής, ούτως οι οφθαλμοί ημών πρός Κύριον τόν Θεόν ημών, έως ού οικτιρήσαι ημάς.

Κράζω σοι Χριστέ, Σωτήρ, τού Τελώνου τήν φωνήν. Ιλάσθητί μοι, ώσπερ εκείνω, καί ελέησόν με ο Θεός.

Μαρτυρικόν

Στίχ. Β'. Ελέησον ημάς, Κύριε, ελέησον ημάς, ότι επί πολύ επλήσθημεν εξουδενώσεως, επί πλείον επλ ήσθη η ψυχή ημών, τό όνειδος τοίς ευθηνούσι, καί η εξουδένωσις τοίς υπερηφάνοις.

Οι τήν επίγειον απόλαυσιν, μή ποθήσαντες Αθλοφόροι, ουρανίων αγαθών ηξιώθησαν, καί Αγγέλων συμπολίται γεγόνασι, Κύριε, πρεσβείαις αυτών, ελέησον καί σώσον ημάς.

Δόξα... Καί νύν... Θεοτοκίον

Αδιόδευτε Πύλη, μυστικώς εσφραγισμένη, ευλογημένη Θεοτόκε Παρθένε, δέξαι τάς δεήσεις ημών, καί προσάγαγε τώ σώ Υιώ καί Θεώ, ίνα σώση διά σού τάς ψυχάς ημών.

Μετά τήν α' Στιχολογίαν

Καθίσματα Κατανυκτικά Ήχος β'

Ως κύματα θαλάσσης επ' εμέ επανέστησαν αι ανομίαι μου, ως σκάφος εν πελάγει εγώ μόνος χειμάζομαι, υπό πταισμάτων πολλών, αλλ' εις εύδιον λιμένα οδήγησόν με Κύριε, διά τής μετανοίας καί σώσόν με.

Εγώ υπάρχω τό δένδρον τό άκαρπον Κύριε, κατανύξεως καρπόν μή φέρων τό σύνολον, καί τήν εκκοπήν πτοούμαι, καί τό πύρ εκείνο δειλιώ τό ακοίμητον, διό σε ικετεύω, πρό εκείνης τής ανάγκης, επίστρεψον καί σώσόν με.

Δόξα... Καί νύν... Θεοτοκίον

Ευσπλαγχνίας υπάρχουσα πηγή, συμπαθείας αξίωσον ημάς, Θεοτόκε, βλέψον εις λαόν τόν αμαρτήσαντα, δείξον ως αεί τήν δυναστείαν σου, εις σέ γάρ ελπίζοντες, τό Χαίρε βοώμέν σοι, ως ποτέ ο Γαβριήλ, ο τών Ασωμάτων Αρχιστράτηγος.

Μετά τήν β' Στιχολογίαν

Καθίσματα Κατανυκτικά

Ελέησόν με, είπεν ο Δαυϊδ, καγώ σοι κράζω. Ήμαρτον Σωτήρ, τάς εμάς αμαρτίας, διά τής μετανοίας εξαλείψας, ελέησόν με.

Ελέησόν με, ο Θεός, ελέησόν με, επί δυσίν αμαρτήμασιν ο Δαυϊδ εθρήνει, επί μυρίοις εγώ πλημμελήμασι βοώ σοι. Εκείνος τήν στρωμνήν τοίς δάκρυσιν έβρεχεν, εγώ δέ ρανίδα μίαν ου κέκτημαι, απέγνωσμαι, καί δέομαι, ελέησόν με ο Θεός κατά τό μέγα σου έλεος.

Δόξα... Καί νύν... Θεοτοκίον

Σέ μεγαλύνομεν, Θεοτόκε βοώντες. Χαίρε η πύλη η κεκλεισμένη, δι' Ής ηνοίγη ανθρώποις, ο

πάλαι Παράδεισος.

Μετά τήν γ' Στιχολογίαν, Καθίσματα
Ευσπλαγχνίας υπάρχουσα

Ασωμάτων πανάγιοι χοροί, δυσωπείτε Θεόν τόν αγαθόν, καί Δεσπότην, φείσασθαι ημών, εν ώρα τής κρίσεως, ρύσασθαι ημάς, πικράς κολάσεως, δαιμόνων κακώσεως, καί παθών αμαυρώσεως, καί πάσης απειλής, προστρέχοντας πόθω τή σκέπη υμών.

Μαρτυρικόν

Σέ τόν περιβάλλοντα, τόν ουρανόν εν νεφέλαις, έχοντες οι Άγιοι περιβολήν εν τώ κόσμω, τάς βασάνους τών ανόμων υπέμειναν, καί τήν πλάνην τών ειδώλων κατήργησαν, αυτών ταίς ικεσίαις ελευθέρωσον, τού αοράτου εχθρού Σωτήρ, καί σώσόν ημάς.

Δόξα... Καί νύν... Θεοτοκίον

Ποία μήτηρ ηκούσθη παρθένος; ποία δέ παρθένος μήτηρ εγνωρίσθη; πάντα τά σά Θεοτόκε παράδοξα, διά τούτό σε, πιστώς μεγαλύνομεν.

Ωδή α'  Ήχος β'  Ο Ειρμός

Δεύτε λαοί, άσωμεν άσμα Χριστώ τώ Θεώ, τώ διελόντι θάλασσαν, καί οδηγήσαντι, τόν λαόν όν ανήκε, δουλείας Αιγυπτίων, ότι δεδόξασται.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ο σαρκωθείς, καί μή δικαίους ως έφησας, αμαρτωλούς καλέσαι δέ, παραγενόμενος, εις μετάνοιαν Λόγε, πολλά ημαρτηκότα δέξαι, καί σώσόν με.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Μόνος εγώ, τή αμαρτία δεδούλωμαι, μόνος εγώ τοίς πάθεσι, θύραν ηνέωξα. Ευδιάλλακτε μόνε, επίστρεψόν με σώσον, τή ευσπλαγχνία σου.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Βήμα τό σόν, στεφηφορούντες παρίστανται, οι αθλοφόροι Κύριε, τά τού αλάστορος εκνικήσαντες θράση, καί τήν αθανασίαν καταπλουτήσαντες.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ρείθρον ημίν, τών ιαμάτων πηγάζοντες, οι αθλοφόροι Μάρτυρες, τά αναβλύζοντα, τής σαρκός ημών πάθη, ξηραίνουσι, δυνάμει τού θείου Πνεύματος.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Η τήν πηγήν τής απαθείας κυήσασα, τραυματισθέντα πάθεσι, Κόρη θεράπευσον, καί πυρός αιωνίου εξάρπασόν με, μόνη θεοχαρίτωτε.

Κανών τών Ασωμάτων ού η Ακροστιχίς
Άδω τόν αίνον τώ χορώ τών Αγγέλων.

Ο Ειρμός

Άτριπτον ασυνήθη, αβρόχως θαλαττίαν ανύσας τρίβον, ο εκλεκτός εβόα Ισραήλ. Τώ Κυρίω άσωμεν, ότι δεδόξασται.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Άνθρακας θεοφόρους, τή αίγλη πυρσωθέντας τής σής ουσίας, τούς ασωμάτους έδειξας Χορούς, σέ Χριστέ δοξάζοντας, ως παντοδύναμον.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Δύναμιν αφθαρσίας, καί δόξαν κεκτημένοι αθανασίας, δεδωρημένοι Άγγελοι Χριστέ, τή πρός σέ εγγύτητι καταφωτίζονται.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Ώφθησαν λαμπροφόροι, τήν άϋλον δεικνύντες καί κατά φύσιν, διά συμβόλων Άγγελοι Χριστέ, αισθητώς τυπούμενοι τήν καθαρότητα.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τάγματα τών τώ Τόκω Αγγέλων, σου Παρθέγε, τώ υπέρ φύσιν, υπηρετούσι χαίροντα σεμνή, τόν γάρ τούτων τέτοκας Θεόν καί Κύριον.

## Ωδή γ'  Ο Ειρμός

Στερέωσον ημάς εν σοί Κύριε, ο ξύλω νεκρώσας τήν αμαρτίαν, καί τόν φόβον σου εμφύτευσον, εις τάς καρδίας ημών τών υμνούντων σε.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ο μήτραν υποδύς Χριστέ άφθορον, φθαρείσαν τοίς πάθεσι τήν ψυχήν μου, μετανοία καινοποίησον, καί φωτός αϊδίου δείξον έμπλεων.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Υπήκουσα εχθρού παραπικραίνοντος, καί πάσαν ετέλεσα αμαρτίαν, καί αφθόνως παρεπίκρανα, σέ τόν μόνον μακρόθυμον, φιλάνθρωπε.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Σταυρώ τετειχισμένοι οι αήττητοι, οπλίται, καί μάρτυρες τού Σωτήρος, ώσπερ τείχη κατηδάφισαν, τά τής πλάνης γενναίως οχυρώματα.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Δυνάμει θεϊκή τό ασθενές υμών, γενναίοι νευρώσαντες αθλοφόροι, τήν ισχύν τού πολεμήτορος, παντελεί απωλεία παρεδώκατε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Μαρία τό χρυσούν θυμιατήριον, παθών μου απέλασον τό δυσώδες, καί στερέωσον κλονούμενον, προσβολαίς τού δολίου πολεμήτορος.

## Κανών τών Ασωμάτων

Ο Ειρμός

Τόξον συνετρίβη δυναστών τώ κράτει σου Χριστέ, καί δύναμιν ασθενείς, σέ περιεζώσαντο.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Ο φύσει αθάνατος Θεός, σοφός δημιουργός, εν χάριτι στρατιάς, αθανάτους δείκνυσι.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Νύν παρεστώτες ορεκτών, ακρότητι Χριστώ, σωθήναι πάντας ημάς, Άγγελοι πρεσβεύσατε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Αρχήν υπό χρόνον ειληφώς, πιστεύεται εκ σού, ο χρόνων δημιουργός, Μήτηρ αειπάρθενε.

## Ωδή δ'  Ο Ειρμός

Υμνώ σε, ακοήν γάρ Κύριε, εισακήκοα καί εξέστην, έως εμού ήκεις γάρ, εμέ ζητών τόν πλανηθέντα, διό τήν πολλήν σου συγκατάβασιν, τήν εις εμέ δοξάζω πολυέλεε.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ιλύϊ αμαρτίας πέπτωκα, καί τήν άνωθεν ευμορφίαν απώλεσα Κύριε, καί δέδοικα τήν τιμωρίαν, διό μετανοίας ωραιότητι, τήν ταπεινήν ψυχήν μου καταφαίδρυνον.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Δολίαις, λαλιαίς ο δόλιος, από σού με αποσυλ ήσας, κατάβρωμα ίδιον ειργάσατο, Θεέ τών όλων, αυτού τής κακίας με εξάρπασον, καί μετανοίας τρόποις ανακάλεσαι.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ο χρόνος, τής ζωής μου γέγονεν, εργασία μοι απωλείας, μιά ροπή σώσόν με, ως έσωσας ποτέ τήν Πόρνην, Χριστέ μεταγνούσαν τή κελεύσει σου, ίνα υμνώ σε μόνε αναμάρτητε.

### Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Υπάρχων, καινουργός ο άνομος, τής κακίας εθελουσίως, τούς τού Χριστού μάρτυρας ηνάγκαζεν, αψύχοις σέβας θεοίς απονείμαι, αλλ' ημαύρωται, Θεόν γάρ μόνον έγνων τόν ποιήσαντα.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Μονάδα, τή ουσία σέβοντες, καί Τριάδα τοίς χαρακτήρσι, θεότητα άκτιστον, τοίς κτίσμασιν ουδόλως σέβας υμείς, Χριστομάρτυρες ενείματε, όθεν κολάσεις πάσας υπεμείνατε.

### Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σαρκούται, εξ αγνών αιμάτων σου, ανθρώποις ενούται θέλων ο Κύριος, Άχραντε, καί δέχεται μετανοούντας, τούς πρίν υπαχθέντας αμαρτήμασι, ταίς σαίς λιταίς αεί κατακαμπτόμενος.

## Κανών τών Ασωμάτων
### Ο Ειρμός

Ακήκοα Κύριε, τήν ένδοξόν σου.
(Εισακήκοα τήν ένδοξον οικονομίαν σου Χριστέ ο Θεός, ότι ετέχθης εκ τής Παρθένου, ίνα εκ πλάνης ρύση τούς κραυγάζοντας, Δόξα τή δυνάμει σου Κύριε.)

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Ικέτας προσάγω σοι τούς Ασωμάτους, ούς περ Οικτίρμον, προσδεξάμενος ως εύπλαγχνος, τής αμαρτίας με λύτρωσαι.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Νοϊ πλησιάζοντες τώ παναιτίω, Νόες οι θείοι, καθαιρόμενοι φωτίζονται, ταίς υπερτάταις νοήσεσιν.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Οι θείοι διάκοσμοι τής ουρανίου, ταξιαρχίας, θείω Πνεύματι κοσμούμενοι, διαφυλάττονται άτρωτοι.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νοήσας σε πόρρωθεν Θεόν, Παρθένε, σεσαρκωμένον, εν αγκάλαις σου βαστάσουσαν, ο Ησαϊας προκατήγγειλεν.

Ωδή ε'  Ο Ειρμός

Ο τού φωτός χορηγός, καί τών αιώνων ποιητής Κύριε, εν τώ φωτί τών σών, προσταγμάτων οδήγησον ημάς, εκτός σου γάρ άλλον Θεόν ου γινώσκομεν.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ο ομματώσας τυφλούς, τήν τυφλωθείσάν μου ψυχήν φώτισον, επαγρυπνείν, ταύτην ενισχύων εις πράξεις αγαθάς, ύπνον αμελείας τελείως μισήσασαν.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ίασαι μόνε Σωτήρ, τήν πληγωθείσάν μου ψυχήν, δήγματι τής χαλεπής όντως αμαρτίας, ο πάλαι τάς πληγάς, τού περιπεσόντος λησταίς ιασάμενος.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Δήμος σεπτών αθλητών, δήμον ανόμων διωκτών, ήσχυνε, πολυειδείς πόνους υπομείνας, καί νύν τοίς ιεροίς δήμοις, τών Αγγέλων αεί επαγάλλεται.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Άστρα πολύφωτα, μαρμαρυγάς υπομονής πέμποντα, καί τών πιστών εν Πνεύματι θείω, φωτίζοντα ψυχάς, οι πεφωτισμένοι εδείχθησαν Μάρτυρες.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νέον ως βρέφος ημίν, τόν προαιώνιον Υιόν τέτοκας, θελητικαίς δυσίν ενεργείαις, υπάρχοντα διπλούν, ως άνθρωπον άμα, Θεόν τε Πανάμωμε.

Κανών τών Ασωμάτων

Ο Ειρμός

Ο άνθραξ τώ Ησαϊα, προοφθείς, Ήλιος παρθενικής από γαστρός ανέτειλε, τοίς εν σκότει πεπλανημένοις, καί θεογνωσίας φωτισμόν δωρούμενος.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Τή θέα τής θεαρχίας προσεχώς, λάμποντα τά Σεραφείμ, καί Χερουβείμ λαμπρότητι, σύν τοίς θρόνοις τοίς επη ρμένοις, θεομιμήτως τοίς εξής φωτίζουσιν.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Ως πάσης φωτοχυσίας χορηγός, έσοπτρα φωτοειδή, Λόγε Θεού, παρήγαγες, τήν σήν αίγλην μετ' ευφροσύνης, καί συντονίας ακλινούς δεχόμενα.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Χαράν σοι τών προπατόρων, σκυθρωπόν λύουσαν, ο Γαβριήλ ο ιερός Αρχάγγελος, ουρανόθεν καταφοιτήσας, ευαγγελίζεται σεμνή θεόνυμφε.

Ωδή ς'  Ο Ειρμός

Εν αβύσσω πταισμάτων κυκλούμενος, τήν ανεξιχνίαστον τής ευσπλαγχνίας σου, επικαλούμαι άβυσσον. Εκ φθοράς ο Θεός με ανάγαγε, ατεβλήθην κακία τού όφεως, καί εν απογνώσεως κλίνη κατάκειμαι, ο παραλύτους ρήματι, ανορθώσας, Χριστέ με ανάστησον.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ριπιζόμενον αύραις τού δράκοντος, καί κλυδωνιζόμενον κύμασι πάντοθεν, τής αμαρτίας σώσόν με, ως τόν Πέτρον φιλάνθρωπε Κύριε.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Υπερβάντες τούς όρους τής φύσεως, τάς υπέρ τήν φύσιν βασάνους υπέστητε, διό τών υπέρ έννοιαν, αγαθών ηξιώθητε μάρτυρες.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ως καλοί, ως ωραίοι, ως έντιμοι, τώ καλλοποιώ καί ωραίω συνήφθητε, υπέρ ημών πρεσβεύοντες, παναοίδιμοι πάντοτε Μάρτυρες.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Εκ πασών γενεών εξελέξατο, σέ τήν καλλονήν Ιακώβ ήν ηγάπησεν, ο ποιητής Πανάμωμε, καί εκ σού ανατείλας επέφανε.

Κανών τών Ασωμάτων

Ο Ειρμός

Ήχου ρημάτων δεήσεως, εκ κατωδύνου Δέσποτα, ψυχής επακούσας, τών δεινών με λύτρωσαι, μόνος γάρ εί τής ημών, σωτηρίας πρόξενος.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Οι θείοι τύποι τής δόξης σου, τής αρχιφώτου Δέσποτα Χριστέ, φωτοβόλοις λάμψεσιν, ακτινοφωτοειδείς οι Άγγελοι, αιωνίως μένουσι.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Ρώμη τή θεία ρωννύμενα, τά Σεραφείμ κραυγάζουσι, φωναίς ασιγήτοις, ύμνον τόν τρισάγιον, σέβειν υπανοίγουσιν ημίν, φύσιν τρισυπόστατον.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ώμοσεν ώσπερ ο Κύριος, εν αληθεία πάλαι τώ Δαυϊδ, εκ γαστρός σου προελθών πεπλήρωκε, τέτοκας γάρ τόν παντός, Κόρη βασιλεύοντα.

Ωδή ζ'  Ο Ειρμός

Εικόνος χρυσής, εν πεδίω Δεηρά λατρευομένης, οι τρείς σου Παίδες κατεπάτησαν, αθεωτάτου προστάγματος, μέσον δέ πυρός εμβληθέντες, δροσιζόμενοι έψαλλον. Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Νοός εκτροπαίς, καί δαιμόνων προσβολαίς, μακράν γεγένημαι, τών αγκαλών σου, ως ο Άσωτος, πάσης αισχύνης πληρούμενος, νύν δέ επιστρέψας κραυγάζω, ως εκείνος τό Ήμαρτον, μή με βδελύξη Ιησού, ο σαρκωθείς δι' εμέ.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Θεέ τού παντός, Νινευϊτας απειλής γεννώσης θάνατον, μετανοήσαντας πάλαι έσωσας, ωσαύτως, μόνε φιλάνθρωπε, τήν υπερβολή αμαρτίας, μολυνθείσαν καρδίαν μου, νύν επιστρέφουσαν, ρικτής ρύσαι κολάσεως.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Επλήγη δεινώς, ο πληγώσαι βουληθείς υμάς κακούργος, θεομακάριστοι θείοι Μάρτυρες, καί ανιάτρευτος έμεινε, πάσι δέ πιστοίς ιατρείον, αι πληγαί υμών ώφθησαν, τοίς πληγωθείσι προσβολαίς, τού παλαιού πτερνιστού.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ου θήρας πικρούς, ου τυράννων απειλάς, ου ξίφη τέμνοντα, ουδ' αικίσεις καί τά πριστήρια κατεπτοήθητε όργανα, ως εν αλλοτρίω δέ πάντα υπεμείνατε σώματι, Μεγαλομάρτυρες, διό εστεφανώθητε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Αϋλου φωτός, οικητήριον η σή μήτρα γεγένηται, τού φρυκτωρίαις θείας γνώσεως, τήν αθεϊαν μειώσαντος, άχραντε Θεόνυμφε Κόρη, όν υμνούντες κραυγάζομεν. Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Κανών τών Ασωμάτων

Ο Ειρμός

Ρήτορες ανεδείχθησαν Παίδες, φιλοσοφώτατοι ποτέ, εκ θεολήπτου ψυχής γάρ, θεολογούντες χείλεσιν έμελπον, ο υπέρθεος τών Πατέρων, καί ημών Θεός ευλογητός εί.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Τώ θρόνω τής αρρήτου σου δόξης, περιχορεύοντες αεί, οι επουράνιοι Νόες, εν ασωμάτοις στόμασιν άδουσιν, ο υπέρθεος τών Πατέρων, καί ημών Θεός ευλογητός εί.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Ως είδον τών Αγγέλων αι τάξεις, εις ουρανους μετά σαρκός αναφερόμενον, πύλας τας ουρανίους, ήράν σοι ψάλλοντες, ο υπέρθεος τών Πατέρων, καί ημών Θεός ευλογητος εί.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νόμου σε τό κεφάλαιον Κόρη, καί Προφητών ο Γαβριήλ, υποδεικνύων εβόα, Ιδού σύ τίκτεις, μόνη Πανύμνητε, τόν υπέρθεον τών Πατέρων, καί ημών Θεόν ευλογημένη.

Ωδή η'  Ο Ειρμός

Τόν εν καμίνω τού πυρός, τών Εβραίων τοίς παισί συγκαταβάντα, καί τήν φλόγα εις δρόσον μεταβαλόντα Θεόν, υμνείτε τά έργα ως Κύριον, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Υποπεσών τώ πονηρώ, ταίς εκείνου μηχαναίς κατεδουλώθην, καί ορών με ο πλάνος, εν απωλεία πολλή καυχάται, τούτου με εξάρπασον η τών πλανωμένων, επιστροφή Οικτίρμον.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Λύσον αλύτοις με δεσμοίς, τών τού σώματος παθών κεκρατημένον, ο τά άλυτα λύσας τών απ' αιώνων δεσμά, και τρέχειν πρός τρίβους ευόδωσον, τάς σωτηριώδεις, Χριστέ Σωτήρ τού κόσμου.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Οι τών παθών δημιουργοί, επ' εμοί τώ ταπεινώ, πάσαν κακίαν ετεκτήναντο όντως, τών παθημάτων Χριστού, ως όντες μιμηταί, μακάριοι Μάρτυρες, τής τούτων λυτρώσασθέ με βλάβης.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Γόνυ μή κάμψαντες γλυπτοίς, εν καμίνω αικισμών, ώσπερ οι Παίδες, ενεβλήθητε πάλαι, καί δροσισμώ θεϊκώ, αφθέντες, άφλεκτοι εμείνατε, Μάρτυρες, υμνούντες, Χριστόν εις τούς αιώνας.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Εξασθενήσασαν πολλαίς, προσβολαίς τού πονηρού, Θεογεννήτορ, τήν αθλίαν ψυχήν μου, ταίς ρωστικαίς σου λιταίς, Παρθένε υγιή απέργασαι, ίνα σε δοξάζω εις πάντας τούς αιώνας.

Κανών τών Ασωμάτων

Ο Ειρμός

Ινδάλματος χρυσού, καταπτύσαντες τρισόλβιοι Νεανίαι, τήν απαράλλακτον καί ζώσαν Θεού Εικόνα τεθεάμενοι, μέσον τής φλογός ανέμελπον, η ουσωθείσα υμνείτω τόν Κύριον, πάσαν Κτίσις, καί υπερυψούτω, εις πάντας τούς αιώνας.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Αγάλματα τής σής, αγαθότητος υπέστησας τούς Αγγέλους, τάς εντολάς σου εκτελούντας, Λόγε εν ισχύϊ, καί συνεργούντας πάσι τοίς πιστώς κραυγάζουσιν. Η ουσιωθείσα υμνείτω τόν Κύριον, πάσα κτίσις, καί υπερυψούτω, εις πάντας τούς αιώνας.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Γονίμοις αρεταίς, τήν ουράνιον εκόσμησας πολιτείαν, ταίς τών Αγγέλων καταγλαϊσας ιεραρχίαις, ταύτην δέ δέχη Χριστέ μου, αεί κραυγάζουσαν. Η ουσιωθείσα υμνείτω τόν Κύριον, πάσα κτίσις, καί υπερυψούτω, εις πάντας τούς αιώνας.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Γηθόμενοι λαμπρώς, μελωδήσωμεν τήν ένθεον μελωδίαν, τών Ασωμάτων ανενδότως, καί τώ Δεσπότη θεολογούντες, άσμα σύν αυτοίς κραυγάσωμεν. Η ουσιωθείσα υμνείτω τόν Κύριον, πάσα κτίσις, καί υπερυψούτω, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ευθύτης η σοφώς, τό πάν διευθύνουσα, ηγάπησεν επαξίως, σέ τήν Πανάμωμον καί Πανάχραντον Θεοτόκον, ανερμηνεύτως Πάναγνε, εν σοί σκηνώσασα, ήν δοξολογούμεν. Υμνείτω τόν Κύριον, πάσα κτίσις, καί υπερυψούτω, εις πάντας τούς αιώνας.

Ωδή θ'  Ο Ειρμός

Τόν εκ Θεού Θεόν Λόγον, τόν αρρήτω σοφία, ήκοντα καινουργήσαι τόν Αδάμ, βρώσει φθορά πεπτωκότα δεινώς, εξ αγίας Παρθένου, αφράστως σαρκωθέντα δι' ημάς, οι πιστοί ομοφρόνως, εν ύμνοις μεγαλύνομεν.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ιδού καιρός εργασίας, τί καθεύδεις αφρόνως, ψυχή εν αθυμία παντελεί; έγειραι, δάκρυσι φαίδρυνον τήν λαμπάδα σου, σπεύσον, εγγίζει ο Νυμφίος τών ψυχών, μή βραδύνης, καί μείνης τής θείας θύρας έξωθεν.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ώ πώς φρικτόν σου τό βήμα, φανερούν πάσαν πράξιν, γυμνήν επί Αγγέλων καί βροτών! Ώ πώς δεινή η απόφασις, ήν τοίς πταίσασι μέλλεις διδόναι! εξ ής ρύσαί με Χριστέ, πρό τού τέλους, παρέχων επιστροφής μοι δάκρυα.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Σημειωθέντες τώ πόθω, τού Αμνού καί Ποιμένος, οι ένδοξοι καί θείοι αθληταί, αίματι θύονται χαίροντες, ώσπερ άκακοι άρνες, καί πάσαν πρωτοτόκων αληθώς, Εκκλησίαν αγίαν, εν ουρανοίς φαιδρύνουσιν.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ηλιακαίς λαμπηδόσιν, ως φωστήρες δειχθέντες, τώ φέγγει τής αθλήσεως υμών, πάσαν ψυχήν καταυγάζετε, πάντα ζόφον τής πλάνης διώκετε, γενναίοι αθληταί, διά τούτο εν πίστει, αξίως μακαρίζεσθε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φείσαί μου Κύριε φείσαι, όταν μέλλης με κρίναι, καί μή καταδικάσης με εις πύρ, μή τώ θυμώ σου ελέγξης με, δυσωπεί σε Παρθένος, η σέ κυοφορήσασα Χριστέ, τών Αγγέλων τά πλήθη, καί τών Μαρτύρων σύλλογος.

Κανών τών Ασωμάτων

Ο Ειρμός

Όλος υπάρχεις έφεσις, όλος γλυκασμός, Λόγε Θεού, Παρθένου Υιέ, Θεέ θεών Κύριε, Αγίων Υπεράγιε, διό σε άπαντες σύν τή Τεκούση μεγαλύνομεν.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Λευχειμονούντες ώφθησαν, Άγγελοι φαιδροί, συμβολικώς τοίς θείοις Μαθηταίς, τήν σήν σαφηνίζοντες δευτέραν παρουσίαν Χριστέ, μεθ' ών σε άπαντες, θεολογούντες μεγαλύνομεν.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Ως ευεργέτης άπασαν, φύσιν λογικήν δημιουργείς, τής πρώτης σου αυγής, δευτέραν λαμπρότητα, Χριστέ μου υπεράγαθε, διό σε άπαντες, υμνολογούντες μεγαλύνομεν.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νενοηκώς σου Πάναγνε, τό φωτοειδές τής παρθενίας, καί καταπλαγείς, χαράν σοι εβόησεν, ο θείος Αρχιστράτηγος, διό σε άπαντες, ως Θεοτόκον μεγαλύνομεν.

Απόστιχα τών Αίνων, Κατανυκτικά

Τών πεπραγμένων μοι δεινών εννοών τά άτοπα, επί τούς σούς καταφεύγω οικτιρμούς, Τελώνην μιμούμενος, καί Πόρνην τήν δακρύσασαν, καί τόν Άσωτον υιόν, διό καί προσπίπτω σοι Ελεήμον, πρίν με καταδικάσης, φείσαί μου ο Θεός, καί ελέησόν με.

Στίχ. α'. Ενεπλήσθημεν τό πρωϊ τού ελέους σου, Κύριε, καί ηγαλλιασάμεθα καί ηυφράνθημεν έν πάσαις ταίς ημέραις ημών. Ευφρανθείημεν, ανθών ημερών εταπείνωσας ημάς, ετών, ών είδομεν κακά, καί ίδε επί τούς δούλους σου καί επί τά έργα σου, καί οδήγησον τούς υιούς αυτών.

Τάς ανομίας μου πάριδε, Κύριε, ο εκ Παρθένου τεχθείς, καί τήν καρδίαν μου καθάρισον, ναόν αυτήν ποιών τού αγίου σου Πνεύματος, μή με εξουδενώσης, από τού σού προσώπου, ο

αμέτρητον έχων τό έλεος.

Μαρτυρικόν

Στίχ. β'. Καί έστω η λαμπρότης Κυρίου τού Θεού ημών εφ' ημάς, καί τά έργα τών χειρών ημών κατεύθυνον εφ' ημάς, καί τό έργον τών χειρών ημών κατεύθυνον.

Υπέρ Χριστού παθόντες μέχρι θανάτου, ώ αθλοφόροι Μάρτυρες, ψυχάς μέν έχετε εις ουρανούς εν χειρί Θεού, καί κατά κόσμον όλον, δορυφορείται υμών τά λείψανα. Ιερείς καί Βασιλείς προσκυνούσι, καί λαοί πάντες επαγαλλόμενοι, συνήθως βοώμεν. Ύπνος τίμιος εναντίον Κυρίου, ο θάνατος τών Οσίων αυτού.

Δόξα... Καί νύν... Θεοτοκίον

Ωσεί ελαία κατάκαρπος, η Παρθένος εβλάστησε, σέ τόν καρπόν τής ζωής, καρποφορείν τώ κόσμω, τό μέγα καί πλούσιον έλεος.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

### Οι Μακαρισμοί

Μακάριοι οι ειρηνοποιοί, ότι αυτοί υιοί Θεού κληθήσονται.

Τήν φωνήν σοι προσάγομεν, τού Ληστού καί βοώμέν σοι, Μνήσθητι ημών Σωτήρ, εν τή Βασιλεία σου.

Μακάριοι οι δεδιωγμένοι ένεκεν δικαιοσύνης, ότι αυτών εστιν η βασιλεία τών ουρανών.

Τά πολλά μου εγκλήματα, παραβλέψας φιλάνθρωπε, δείξον μέτοχόν με τής σής, λαμπρότητος δέομαι.

Μακάριοί εστε όταν ονειδίσωσιν υμάς, καί διώξωσι, καί είπωσι πάν πονηρόν ρήμα καθυμών ψευδόμενοι ένεκεν εμού.

Τών Αγγέλων τά τάγματα, δυσωπούσί σε Κύριε, υπέρ πάντων τών πιστών, τών πόθω υμνούντων σε.

Μαρτυρικόν

Χαίρετε καί αγαλλιάσθε, ότι ο μισθός υμών πολύς εν τοίς ουρανοίς.

Ταίς λιταίς τών Μαρτύρων σου, Ιησού υπεράγαθε, ίλεως ημίν γενού, εν ώρα τής κρίσεως.

Δόξα...

Τόν Πατέρα δοξάσωμεν, τόν Υιόν προσκυνήσωμεν, καί Πνεύμαπάντες πιστοί, τό θείον υμνήσωμεν.

Καί νύν... Θεοτοκίον

Ο καρπός τής κοιλίας σου, τούς καρπώ ολισθήσαντας, τού Παραδείσου Αγνή, πολίτας ειργάσατο.

top

2-3

### Στιχηρά προσόμοια Δεσποτικά

Ήχος β'

Ότε εκ τού ξύλου

Στίχ. α'. Εάν ανομίας παρατηρήσης, Κύριε, Κύριε τίς υποστήσεται; ότι παρά σοί ο ιλασμός εστιν.

Μόνε αναμάρτητε Χριστέ, μόνε ανεξίκακε μόνε, πηγή χρηστότητος, ίδε μου τήν στένωσιν, ίδετήν θλίψίν μου, καί ουλάς τών τραυμάτων μου, εξάλειψον πάσας, καί εν τώ ελέει σου, σώσον τόν δούλόν σου, όπως αθυμίας τά νέφη, πόρρω εκδιώξας δοξάζω, σέ τόν υπεράγαθον Σωτήρά μου.

Στίχ. β'. Ένεκεν τού ονόματός σου υπέμεινά σε, Κύριε, υπέμεινεν η ψυχή μου εις τόν λόγον σου, ήλπισεν η ψυχή μου επί τόν Κύριον.

Βλέψον, ώ ψυχή μου ταπεινή, ίδε σου τά έργα οποία, εισί παμβέβηλα, ίδε σου τήν γύμνωσιν, φεύ καί τήν μόνωσιν, καί γάρ μέλλεις χωρίζεσθαι, Θεού καί Αγγέλων, καί πρός ατελεύτητον, ρίπτεσθαι

βάσανον. Νήψον, διεγέρθητι, σπεύσον, βόησον. Ημάρτηκα Σώτερ, δός μοι τήν συγχώρησιν καί σώσόν με.

Στίχ. γ'. Από φυλακής πρωϊας μέχρι νυκτός, από φυλακής πρωϊας ελπισάτω Ισραήλ επί τόν Κύριον.

Σώμα κατεμόλυνα δεινώς, έφθειρα ψυχήν καί καρδίαν, καί λογισμοίς ρυπαροίς, πάσας τάς αισθήσεις μου, κατετραυμάτισα, οφθαλμούς εβεβήλωσα, εσπίλωσα ώτα, λόγοις γλώσσαν έχρανα, καί πάντα έχω αισχρά, όθεν σοι προσπίπτων κραυγάζω. Δέσποτα Χριστέ ήμαρτόν σοι, ήμαρτον συγχώρησον καί σώσόν με.

Έτερα Στιχηρά τού Προδρόμου, όμοια

Στίχ. δ'. Ότι παρά τώ Κυρίω τό έλεος, καί πολλή παρ' αυτώ, λύτρωσις. καί αυτός λυτρώσεται τόν Ισραήλ έκ πασών τών ανομιών αυτού.

Σπεύσον εξελού με πειρασμών, ένδοξε Κυρίου Προφήτα, καθικετεύω σε, μάτην γάρ κεκίνηνται οι πολεμούντές με, κατ' εμού πικροί δαίμονες, ζητούντες αρπάσαι, τήν ψυχήν τού δούλου σου, ώσπερ στρουθίον οικτρόν, μή με καταλίπης εις τέλος, γνώτωσαν δέ μάλλον Παμμάκαρ, ότι σύ μου πέλεις καταφύγιον.

Στίχ. ε'. Αινείτε τόν Κύριον πάντα τά έθνη, επαινέσατε αυτόν, πάντες οι λαοί.

Στείρας ο πανάγιος βλαστός, βλάστημα τερπνόν τής ερήμου, η χελιδών η τερπνή, αηδών η εύλαλος, περιστερά η χρυσή, τήν στειρεύουσαν πάντοτε, αθλίαν ψυχήν μου, εύκαρπον ανάδειξον, αγαθών πράξεων, όπως εκβλαστάνουσα στάχυν, τόν εκατοστεύοντα Μάκαρ, ένθεον προσάξη σοι τήν αίνεσιν.

Στίχ. ς'. Ότι εκραταιώθη τό έλεος αυτού εφ' ημάς, καί η αλήθεια τού Κυρίου μένει εις τόν αιώνα.

Ρύσαι αιωνίου με πυρός, σκότους αφεγγούς καί ανάγκης, καί πάσης θλίψεως, πάσης κακουχίας τε, πάσης στενώσεως, ικετεύω σε Πρόδρομε, καί δείξον μερίδος, τόν αυτοκατάκριτον, όντα τοίς πταίσμασι, Μάκαρ, σωζομένων ευχαίς σου, ένθα τών Αγίων χορείαι, καί χαρά υπάρχει η ανέκφραστος.

Δόξα... Καί νύν... Θεοτοκίον

Θλίψεις καί δεινών επαγωγαί, πάθη τε ποικίλα χειμάζει, τήν ταπεινήν μου ψυχήν, Κόρη απειρόγαμε, Μήτερ Χριστού τού Θεού, κυβερνή τίς μοι φάνηθι, θαλάσση τού βίου, καί τόν επικείμενον πράϋνον κλύδωνα, όρμω, γαληνώ μετανοίας, καί αναψυχής οδηγούσα, τόν τή θεία σκέπη σου προστρέχοντα.

Απόστιχα Κατανυκτικά

Ήμαρτον εις σέ Σωτήρ, ως ο άσωτος υιός, δέξαι με, Πάτερ, μετανοούντα, καί ελέησόν με ο Θεός.

Στίχ. Α'. Πρός σέ ήρα τούς οφθαλμούς μου, τόν κατοικούντα εν τώ ουρανώ. Ιδού, ως οφθαλμοί δούλων εις χείρας τών κυρίων αυτών, ως οφθαλμοί παιδίσκης εις χείρας τής κυρίας αυτής, ούτως οι οφθαλμοί ημών πρός Κύριον τόν Θεόν ημών, έως ού οικτιρήσαι ημάς.

Κράζω σοι Χριστέ Σωτήρ, τού Τελώνου τήν φωνήν, ιλάσθητί μοι, ώσπερ εκείνω, καί ελέησόν με ο Θεός.

Μαρτυρικόν

Στίχ. Β'. Ελέησον ημάς, Κύριε, ελέησον ημάς, ότι επί πολύ επλήσθημεν εξουδενώσεως, επί πλείον επλ ήσθη η ψυχή ημών, τό όνειδος τοίς ευθηνούσι, καί η εξουδένωσις τοίς υπερηφάνοις.

Τών αγίων Μαρτύρων, πρεσβευόντων υπέρ ημών, καί τόν Χριστόν υμνούντων, πάσα πλάνη πέπαυται, καί τών ανθρώπων τό γένος, πίστει διασώζεται.

Δόξα... Καί νύν... Θεοτοκίον

Τήν πάσαν ελπίδα μου, εις σέ ανατίθημι, Μήτηρ τής ζωής, φύλαξόν με υπό τήν σκέπην σου.

Μετά τήν α' Στιχολογίαν
Καθίσματα Κατανυκτικά
Ήχος β'

Εννοούσα ψυχή μου, τής φρικτής ημέρας τήν έτασιν, τρόμαξον τήν ανταπόδοσιν τής αιωνίου κολάσεως, καί εν μετανοία βόησον δακρύουσα, ο Θεός, ήμαρτον ελέησόν με.

Ερευνών μου τό συνειδός τό κατάκριτον, δειλιώ σου τό φοβερόν δικαστήριον Κύριε, ότι ουκ έστιν εξ έργων σωτηρία, αλλ' ως έχων τόν πλούτον τής ευσπλαγχνίας, οικτείρησόν με Χριστέ, ο Θεός, καί σώσόν με.

Δόξα... Καί νύν... Θεοτοκίον

Σέ μεγαλύνομεν, Θεοτόκε βοώντες. Χαίρε η ράβδος, εξ ής ασπόρως Θεός βλαστήσας, ανείλεν εν ξύλω τόν θάνατον.

Μετά τήν β' Στιχολογίαν
Καθίσματα Κατανυκτικά

Ελέησόν με, είπεν ο Δαυϊδ, καγώ σοι κράζω. Ήμαρτον Σωτήρ, τας εμάς αμαρτίας, διά τής μετανοίας εξαλείψας, ελέησόν με.

Ελέησόν με ο Θεός, ελέησόν με, επί δυσίν αμαρτήμασιν ο Δαυϊδ εθρήνει, επί μυρίοις εγώ πλημμελήμασι βοώ σοι, εκείνος τήν στρωμνήν τοίς δάκρυσιν έβρεχεν, εγώ δέ ρανίδα μίαν ου κέκτημαι, απέγνωσμαι καί δέομαι. Ελέησόν με ο Θεός, κατά τό μέγα σου έλεος.

Δόξα... Καί νύν... Θεοτοκίον

Θεοτόκε, μή παρίδης με δεόμενον, αντιλήψεως τής παρά σού, επί σοί γάρ πέποιθεν η ψυχή μου, ελέησόν με.

Μετά τήν γ' Στιχολογίαν
Καθίσματα
Ευσπλαγχνίας υπάρχουσα

Ευσπλαγχνίας τήν άφθονον πηγήν, Ιορδάνου κατέδυσας ροαίς Ιωάννη, όθεν εκτενώς καθικετεύω σε, πάθεσι πολλοίς καταποντούμενον, πελάγει με τού βίου καθ εκάστην χαλεπώς, ευπροσδέκτοις σου ευχαίς, ζωής πρός λιμένα χειραγώγησον.

Μαρτυρικόν

Ο φαιδρύνας τούς Αγίους σου υπέρ χρυσόν, καί δοξάσας τούς οσίους σου ως αγαθός, υπ' αυτών δυσωπούμενος Χριστέ ο Θεός, τήν ζωήν ημών κυβέρνησον ως φιλάνθρωπος, καί τήν ευχήν κατεύθυνον ως θυμίαμα, ο μόνος εν Αγίοις αναπαυόμενος.

Δόξα... Καί νύν... Θεοτοκίον

Τίς είδε, τίς ήκουσε Μητέρα τίκτουσαν, τόν εαυτής Δημιουργόν, απειράνδρως θηλάζουσαν τόν διδόντα τροφήν πάση σαρκί; ώ τού θαύματος! θρόνος Χερουβικός, εδείχθη η γαστήρ σου, Θεοτόκε κεχαριτωμένη, πρέσβευε υπέρ τών ψυχών ημών.

Κανών Κατανυκτικός
Ωδή α'  Ήχος β'  Ο Ειρμός

Τήν Μωσέως ωδήν, αναλαβούσα βόησον ψυχή, βοηθός καί σκεπαστής, εγένετό μοι εις σωτηρίαν, ούτός μου Θεός, καί δοξάσω αυτόν.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Εαυτούς αδελφοί, πρό τής εξόδου κλαύσωμεν πικρώς, όπως δάκρυσι καλοίς, φύγωμεν δάκρυα τιμωρίας, έχοντα ουδέν τότε όφελος.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Μυριάκις Χριστέ, επηγγειλάμην τού μετανοείν, καί αναίσθητον ψυχήν, έχων τοίς σφάλμασι περιπίπτω, οίκτειρον Σωτήρ τήν ασθένειάν μου.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Οι βασάνων πυράν, υπενεγκόντες θείω δροσισμώ, αθλοφόροι τού Χριστού, πυρός γεέννης λυτρώσασθέ με, πάθη χαλεπά περικείμενον.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ισχυροί κατ' εχθρών, αναδειχθέντες σθένει θεϊκώ, τήν ανίσχυρον αυτών, κατεπαλαίσατε δυναστείαν, Μάρτυρες Χριστού αξιάγαστοι.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φλογοφόρε λαβίς, ήν Ησαϊας έβλεψε ποτέ, τά υλώδη τής εμής καρδίας πάθη, Θεογεννήτορ φλέξον, καί εις τέλος αφάνισον.

Κανών τού Προδρόμου. ού η Ακροστιχίς.
Βαπτιστά την δε τήν δέησιν προσδέχου. Ιωσήφ.

Ο Ειρμός

Εν βυθώ κατέστρωσε ποτέ, τήν Φαραωνίτιδα, πανστρατιάν η υπέροπλος δύναμις, σαρκωθείς ο Λόγος δέ, τήν παμμόχθηρον αμαρτίαν εξήλειψεν, ο δεδοξασμένος Κύριος, ενδόξως γάρ δεδόξασται.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Βαπτιστά καί Πρόδρομε Χριστού, καταβαπτιζόμενον, διηνεκώς ταίς ηδοναίς τού σώματος, τόν νούν μου κυβέρνησον, καί τά κύματα τών παθών καταπράϋνον, όπως εν γαλήνη, θεία γεγονώς υμνολογήσω σε.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Απορρήτω λάμψας φωτισμώ, άστρον ως πολύφωτον, τής νοητής ανατολής προέδραμες, υφ' ής καταυγάζεσθαι, τήν καρδίαν μου Βαπτιστά καθικέτευε, τήν εσκοτισμένην, πάσαις τών δαιμόνων επιθέσεσι.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Ποταμώ τήν άβυσσόν ποτέ, Πάνσοφε κατέδυσας, κατακλυσμόν εργαζομένην χάριτι, πάσης παραβάσεως, αλλά δέομαι τούς χειμάρρους μακάριε, τών εμών πταισμάτων, ξήρανον ενθέω μεσιτεία σου.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τής αγνής Παρθένου συγγενής, μάκαρ εχρημάτισας, τής τόν Θεόν σωματωσάσης Πρόδρομε, μεθ' Ής σε γεραίρομεν, καί δεόμεθα, οι τώ θείω τεμένει σου, νύν περιπολούντες, οίκους ημάς ποίησον τού Πνεύματος.

Ωδή γ' Ο Ειρμός

Στειρωθέντα μου τόν νούν, καρποφόρον ο Θεός ανάδειξόν με, γεωργέ τών καλών, φυτουργέ τών αγαθών, τή ευσπλαγχνία σου.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ραθυμίας νυσταγμώ, εβαρύνθην τήν ψυχήν, διέγειρόν με, πρός εγρήγορσιν Χριστέ, μετανοίας τού ποιείν, τά σά προστάγματα.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Μή με δείξης Ιησού, εν ημέρα φοβερά, κατεγνωσμένον, αλλά πρό τής τελευτής, επιστρέψας χαλεπής, ρύσαι κολάσεως.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Οι τά πάθη τού Χριστού, μιμησάμενοι καλώς, ενθέοις τρόποις, αθλοφόροι Χριστού, τής ψυχής μου τά δεινά, πάθη ιάσασθε.

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ίνα τών εν ουρανοίς, αϊδίων αγαθών, αξιωθήτε, πάσαν πείραν δεινών, αθλοφόροι επί γής, στερρώς ηνέγκατε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Γαλουχείς μητροπρεπώς, τόν τροφέα τού παντός, καί φέρεις τούτον, εν αγκάλαις Αγνή, τόν τά σύμπαντα, χειρί φέροντα πάντοτε.

Κανών τού Προδρόμου

Ο Ειρμός

Εν πέτρα με τής πίστεως στερεώσας, επλάτυνας τό στόμα μου επ' εχθρούς μου, ηυφράνθη γάρ τό πνεύμα μου εν τώ μου εν τώ ψάλλειν, ουκ έστιν Άγιος ως ο Θεός ημών, καί ουκ έστι δίκαιος, πλήν σου Κύριε.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Ιάτρευσον τά τραύματα τής ψυχής μου, τόν νούν μου σκοτιζόμενον αμελεία, καταύγασον ενθέω σου μεσιτεία, Κυρίου Πρόδρομε, καί πάσης ρύσαί με, εναντίας δέομαι περιστάσεως.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Στειρώσεως απέλυσας τήν τεκούσαν, τεχθείς Θεού προνοία, σοφέ Προφήτα, στειρεύουσαν ούν έργασαι καρποφόρον, νύν τήν καρδίαν μου, Κυρίου Πρόδρομε, αρετών εκφέρουσαν τά βλαστήματα.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Τόν πόθω σοι δειμάμενον θείον οίκον, τής άνω κληρουχίας τυχείν δυσώπει, τούς πίστει τώ τεμένει σου λειτουργούντας, ναούς τού Πνεύματος, τού θείου ποίησον, Βαπτιστά καί Πρόδρομε μεσιτείαις σου.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Αγάλλεται ο Πρόδρομος εν νηδύϊ, φερόμενος μητρώα, καί προσεκύνει, τόν Κύριον φερόμενον σή νηδύϊ, θεοχαρίτωτε, όν καθικέτευε, από πάσης θλίψεως λυτρωθήναί με.

Ωδή δ'  Ο Ειρμός

Τήν εκ παρθένου σου γέννησιν, ο Προφήτης προβλέπων, ανεκήρυττε βοών. Τήν ακοήν σου ακήκοα, καί εφοβήθην, ότι από θαιμάν, καί εξ όρους αγίου κατασκίου, επεδήμησας Χριστέ.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Σεσυλημένον με πάντοθεν, καί πτωχεύοντα Λόγε, καθορών ο δυσμενής, τή απωλεία μου τέρπεται ο δολιόφρων. Κύριε τής δόξης, πλουτιστά τών απόρων, τής αυτού με, κακουργίας εξελού.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Χείρας καί όμματα Κύριε, κατερρύπωσα πράττων, ά ουκ έξεστι ποιείν, καί εις οργήν συνεκίνησα τούς οικτιρμούς, σου, καταδαπανήσας τήν σήν μακροθυμίαν, επιβλέψας, οίκτειρόν με, αγαθέ.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ως θαυμαστός ο Θεός ημών, εν αγίοις υπάρχει, πειθαρχήσασιν αυτώ, καί καθελούσι τα ξόανα τής απωλείας, καί κληρωσαμένοις Παραδείσου τό πλάτος, ού περ πάλαι εξεβλήθη ο Αδάμ.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ρείθροις αιμάτων μακάριοι, ανεστείλατε λύθρον, προσαγόμενόν ποτε, δαίμοσι πράσιν ολέθριον, επ' απωλεία καί φθορά, τών αυτοίς προσαγόντων ανθρώπων, διά τούτο, μακαρίζεσθε αεί.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Μεμυημένος εν Πνεύματι, Προφητών Θεοτόκε, ο περίδοξος χορός, τό υπέρ νούν σου μυστήριον ποικιλοτρόπως, τούτο προχαράττει, ιεροίς εν συμβόλοις, ών τό πέρας καθορώμεν τηλαυγώς.

Κανών τού Προδρόμου

Ο Ειρμός

Ελήλυθας, εκ Παρθένου ού πρέσβυς, ουκ Άγγελος, αλλ' αυτός ο Κύριος, σεσαρκωμένος, καί έσωσας, όλον με τόν άνθρωπον, διό κραυγάζω σοι, Δόξα τή δυνάμει σου Κύριε.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Τού κλίναντος ουρανούς, καί βροτοίς ομιλήσαντος, τήν κάραν υπέκλινας, τή δεξιά σου, πανόλβιε, ή με περιφρούρησον, εν ταπεινώσει φυλάττων τήν καρδίαν μου.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Η έρημος σέ πολίτην, η άβατος έσχηκε, μακάριε Πρόδρομε, όθεν βοώ σοι. Τήν έρημον πάσης θείας πράξεως, γεγενημένην ψυχήν μου περιποίησον.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Νόμον θείον εκδικών, παρανόμως ανήρησαι, διό ικετεύω σε, παρανομούντά με πάντοτε, καί δελεαζόμενον, ταίς τών δαιμόνων, απάταις επανόρθωσον.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Δειμάμενος σεαυτόν, τού Δεσπότου ανάκτορον, πρός θεία σκηνώματα, νύν μεταβέβηκας Πρόδρομε, ών τυχείν ικέτευε, τόν σοί πανάγιον οίκον ανεγείραντα.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Επίβλεψον επ' εμέ, τόν νοσούντα Πανάμωμε, καί λύσον τά πάθη μου, τά χαλεπά καί δυσίατα, όπως μεγαλύνω σε, τήν μεγαλύνασαν άπαν τό ανθρώπινον.

Ωδή ε' Ο Ειρμός

Τήν αχλύν τής ψυχής μου, Σωτήρ μου διασκεδάσας, τώ φωτί τών εντολών σου καταύγασόν με, ως μόνος τής ειρήνης Βασιλεύς.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Αμαρτίας συνάπτω, αφρόνως ταίς αμαρτίαις, καί ανάνευσις ουκ έστιν εν τώ θανάτω μου, οίμοι! πώς οφθήσομαι Χριστώ.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ναυαγήσας ως πλοίον, απώλεσά μου τόν φόρτον, όν μοι δέδωκας Οικτίρμον, καί νύν πενόμενος κράζω. Μή παρίδης με Χριστέ.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ως τήν δόξαν παριδόντες, τήν κάτω καί πατουμένην, ουρανίου αθλοφόροι, κατηξιώθητε δόξης, συνυπάρχοντες Χριστώ.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Συμπαθείας τής πρός σάρκα, τόν νούν χωρίσαντες πίστει, τάς βασάνους οικειούσθε ερωτικώς, αθλοφόροι, οικειούμενοι Χριστώ.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Δανιήλ σε όρος μέγα, εν πνεύματι εΘεώρει, Θεοτόκε, εξ ού λίθος αποτμηθείς, εκλεπτύνει τών δαιμόνων τά γλυπτά.

Κανών τού Προδρόμου

Ο Ειρμός

Ο φωτισμός, τών εν σκότει κειμένων, η σωτηρία, τών απεγνωσμένων Χριστέ Σωτήρ μου πρός σέ ορθρίζω, Βασιλεύ τής ειρήνης, φώτισόν με τή επιλάμψει σου, άλλον γάρ εκτός σου Θεόν ουκ επίσταμαι.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Ταίς προχοαίς, Ιορδάνου τοίς ρείθροις, τής αφθαρσίας, Πρόδρομε βαπτίσας Χριστόν δυσώπει, τάς αναβλύσεις τών παθών μου ξηράναι, καί χειμάρρουντρυφής κληρώσασθαι, καί τήν τών δικαίων τερπνήν αγαλλίασιν.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Ήδη θρηνώ, καί συστέλλομαι φόβω, καί απορία πάντοτε συνέχομαι, εννοών μου τά πεπραγμένα, καί τήν μέλλουσαν δίκην τήν φρικώδη, εύσπλαγχνε Κύριε, φείσαί μου, τού σού Βαπτιστού παρακλήσεσιν.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Νομοθετών, τοίς λαοίς σωτηρίαν, εν μεταγνώσει Πρόδρομε, πταισμάτων γενησομένην, μέσον τού νόμου καί τής χάριτος έστης, διά τούτο εκδυσωπούμέν σε, τρόποις μετανοίας ημάς καταφαίδρυνον.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Δός μοι καιρόν, μετανοίας ραθύμως, τόν παρελθόντα όλον δαπανήσαντι, Ευεργέτα, έχων εις τούτο δυσωπούντά σε Λόγε, Ιωάννην τόν μέγαν Πρόδρομον, καί τής μετανοίας παγκόσμιον κήρυκα.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Επιβουλαίς, καί ενέδραις τού πλάνου, εθανατώθην. Δέσποινα Πανάμωμε, ζώωσόν με η τετοκυία,

τήν ζωήν τών απάντων, Θεοτόκε τήν ενυπόστατον, ίνα σε υμνώ ευσεβώς τήν Πανάμωμον.

### Ωδή ς'  Ο Ειρμός

Βυθώ αμαρτημάτων συνέχομαι αεί, καί εν πελάγει τού βίου χειμάζομαι, αλλ' ώσπερ τόν Ιωνάν εκ τού θηρός, καμέ τών παθών ανάγαγε, καί διάσωσον Σωτήρ.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ως πάλαι Χαναναία κραυγάζω σοι Σωτήρ, Υιέ Θεού ελεήσας με οίκτειρον, ψυχήν γάρ πάσχουσαν έχω εν δεινοίς, καί μή εαυτής εις αίσθησιν, βουλομένην νύν ελθείν.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ταράσσει με αμέτρων κλυδώνιον παθών, ως τή θαλάσση ποτέ επετίμησας, καί έσωσας τούς αγίους μαθητάς, καμέ Ιησού ανάγαγε, καί διάσωσον Χριστέ.

### Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Εξέστησαν Αγγέλων ασώματοι χοροί, τήν καρτερίαν υμών τήν εν σώματι, καί ήνεσαν τόν παρέχοντα υμίν, σεπτοί αθληταί καί δύναμιν, καί καμάτων αμοιβήν.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ραινόμενοι αιμάτων οικείων ταίς ροαίς, καί οφθαλμούς εκκεντούμενοι Μάρτυρες, πηγνύμενοι υπό κρύους χαλεπού, πρός θάλψιν ζωής μετέβητε, ανυμνούντες τόν Χριστόν.

### Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ως τράπεζα τόν άρτον χωρείς τόν μυστικόν, εξ ού φαγόντες, ουκέτι λιμώττομεν Πανύμνητε, οι ειδότες σε Χριστού, τού πάντων Θεού γεννήτριαν, καί τροφόν ως αληθώς.

### Κανών τού Προδρόμου

### Ο Ειρμός

Εν αβύσσω πταισμάτων κυκλούμενος, τήν ανεξιχνίαστον τής ευσπλαγχνίας σου, επικαλούμαι άβυσσον, Εκ φθοράς ο Θεός με ανάγαγε.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Η φωνή η τόν λόγον κηρύξασα, πάντων τάς φωνάς προσδεξάμενος αίτησαι, αμαρτιών συγχώρησιν, δωρηθήναι τοίς πίστει υμνούσί σε.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Συντριβήν τής ψυχής μου θεράπευσον, τών αμαρτιών τό φορτίον διάλυσον, καί παρ' ελπίδα σώσόν με, ταίς ευχαίς σου μακάριε Πρόδρομε.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Ιησούν όν χειρί σου εβάπτισας, Πρόδρομε ικέτευε χειρός με ρύσασθαι, τής αμαρτίας αίροντα, πρός αυτόν αεί χείρας πανένδοξε.

### Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νυσταγμώ αμελείας συνέχομαι, ύπνος αμαρτίας βαρεί τήν καρδίαν μου, τή σή αγρύπνω Πάναγνε, μεσιτεία εξέγειρον σώσον με.

Ωδή ζ'  Ο Ειρμός

Τά Χερουβείμ μιμούμενοι, Παίδες εν τή καμίνω εχόρευον βοώντες. Ευλογητός εί ο Θεός, ότι εν αληθεία καί κρίσει επήγαγες, ταύτα πάντα διά τάς αμαρτίας ημών, ο υπερύμνητος, καί δεδοξασμένος, εις πάντας τούς αιώνας.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Νόμους τούς σούς ηθέτησα, υπήχθην τε ταίς αλόγοις επιθυμίαις, πράττων τά μή ανήκοντα Χριστέ, ότι εματαιώθην εν τή απονοία μου, ώσπερ άλλος ουδείς ανθρώπων επί γής, μή ούν εάσης με, Σώτερ, απολέσθαι, διά φιλανθρωπίαν.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Εν ανομίαις Κύριε, ιδού εγώ συνελήφθην, ως ο Δαυϊδ κραυγάζω, καί ως η Πόρνη δακρύω, καί ως παραπικραίνων δούλος παρεπίκρανα, σέ τόν μόνον υπάρχοντα Θεόν αγαθόν, μή ούν εάσης με, Σώτερ, απολέσθαι, διά φιλανθρωπίαν.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Μαρτυρικώς ηγώνισται, δήμος τών αθλοφόρων, μαρτυρικώς εστέφθη τή ζωηφόρω δεξιά, ότι εν αληθεία τόν Θεόν ηγάπησε, τόν τά πάντα πεποιηκότα λόγω, καί νύν εν ουρανοίς, χαίρων απολαύει, τής θείας κληρουχίας.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Οφθαλμούς εκκεντούμενοι, καί αφαιρούμενοι χείρας, καί πόδας ευθυδρόμως, πρός ουράνιον οι ευκλεείς, εστέλλοντο πορείαν, καθυποσκελίζοντες τάς πορείας τού μόνου πολεμήτορος. Αυτών ταίς προσευχαίς, σώσον πάντας Λόγε, τούς σέ δοξολογούντας.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τά Χερουβείμ δοξάζουσι, τά Σεραφείμ ανυμνούσι, θρόνοι καί Εξουσίαι, καί Κυριότητες αεί, τόν υπέρ νούν σου τόκον, Μαρία Πανύμνητε, ότι μόνη Θεόν κυοφορείς εν σαρκί, όν αίτησαι Αγνή, πάντας ημάς σωθήναι, τούς πόθω σε τιμώντας.

Κανών τού Προδρόμου

Ο Ειρμός

Αντίθεον πρόσταγμα παρανομούντος, τυράννου μετάρσιον, τήν φλόγα ανερρίπισε, Χριστός δέ εφήπλωσε, θεοσεβέσι Παισί, δρόσον τήν τού Πνεύματος, ο ών ευλογημένος, καί υπερένδοξος.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Προρρίζους αξίνη σου τής μετανοίας, εκτίλας τούς μώλωπας, τής εμπαθούς καρδίας μου, εμφύτευσον Πρόδρομε, θείαν απάθειαν, φόβον τε αγνότατον Θεού, πάσης κακίας αλλοτριούντά με.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Ροαίς ως εβάπτισας τού Ιορδάνου, στεγάζοντα ύδασι, τά υπερώα Κύριον, αυτόν καθικέτευε, ύδωρ δωρήσασθαι, θείας κατανύξεως, αεί τοίς οφθαλμοίς μου ένδοξε Πρόδρομε.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Ο κόσμου τόν αίροντα τήν αμαρτίαν, Αμνόν Θεού Πρόδρομε, κηρύξας, τούτον αίτησαι, ερίφων τής μοίρας με, δείξαι αλλότριον, καί τοίς δεξιοίς αυτού, καμέ συναριθμήσαι, προβάτοις ένδοξε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Στερεύουσα φέρει σε νηδύς Παρθένε, εγγάστριον φέρουσαν, τόν Λόγον σωματούμενον, όν θείοις σκιρτήμασιν, ο μέγας Πρόδρομος, στείρας ο πανάγιος καρπός, επέγνω χαίρων, καί προσεκύνησε.

### Ωδή η'  Ο Ειρμός

Τόν εν τή βάτω Μωσή, τής Παρθένου τό θαύμα, εν Σιναίω τώ όρει, προτυπώσαντά ποτε, υμνείτε, ευλογείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ίνα Θεώσης ημάς, εσαρκώθης δι' οίκτον, ου συνήκα δέ όλως, δουλωθείς ταίς ηδοναίς, τή σή αγαθωσύνη, επίστρεψόν με Χριστέ, η πάντων σωτηρία.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Σύ ο ποιμήν ο καλός, πλανηθείσαν εις όρη, παραβάσεως Λόγε, τήν αθλίαν μου ψυχήν, επίστρεψον καί σώσον, μή με τελείως εχθρός, ο πλάνος καταπίη.

### Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Στώμεν ανδρείως ομού, ανεβόων αλλήλοις, οι τερπνοί αθλοφόροι, αικιζόμενοι δεινώς. Χριστός ιδού προτείνει, τής νίκης τούς στεφάνους, εις πάντας τούς αιώνας.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ισχυροτάταις νευραίς, τών στερρών υμών πόνων, απεπνίξατε όφιν, τόν βουλόμενον υμάς, δελεάσαι κακούργως, καί παραδείσου τρυφής, ώφθητε, κληρονόμοι.

### Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ίνα Θεώση ημάς, ο Θεός εσαρκώθη, εξ αγνών σου αιμάτων, καί εγένετο βροτός, Παρθένε Θεοτόκε, όν εκδυσώπει αεί, υπέρ τών σέ τιμώντων.

## Κανών τού Προδρόμου

### Ο Ειρμός

Κάμινος ποτέ, πυρός εν Βαβυλώνι, τάς ενεργείας διεμέριζε, τώ θείω προστάγματι, τούς Χαλδαίους καταφλέγουσα, τούς δέ πιστούς δροσίζουσα ψάλλοντας, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Δίδου δεξιάν, εμοί χαμαί κειμένω, ο δεξιάν εκτείνας Πρόδρομε, καί λούσας τοίς ύδασι τόν αμόλυντον, καί ρύσαί με τού μολυσμού τού σώματος, όλον αποκαθαίρων, τή μετανοία καί σώσόν με.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Έχουσα ψυχή, καιρόν τού μεταγνώναι, τής αμελείας τόν βαθύτατον, ύπνον αποτίναξον, καί σπουδαίως επαγρύπνησον, βοώσα τώ Δεσπότη σου. Εύσπλαγχνε οίκτειρόν με, τού Βαπτιστού παρακλήσεσιν.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Χείμαρροι παθών, καί ύδατα κακίας, έως ψυχής μου επεισήλθοσαν, μακάριε Πρόδρομε, σπεύσον

τάχος εξελέσθαι με, ο ποταμού τοίς ρεύμασι, λούσας τής απαθείας, τό γαληνότατον πέλαγος.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Οίμοι τώ πολλά, κακά πεποι ηκότι! οίμοι τώ μόνω παροργίσαντι, Θεόν τόν πανάγαθον! Βαπτιστά Χριστού βοήθει μοι, καί βράβευσον πταισμάτων μου λύσιν, καί τών χρεών μου, αποκοπήν μεσιτείαις σου.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ύψιστον Θεόν, σαρκί αποτεκούσα, από κοπρίας με ανάστησον, παθών τών θλιβόντων με, καί δεινών όλον πτωχεύσαντα, ταίς θείαις καταπλούτισον, Πάναγνε αρεταίς με, όπως υμνώ σε σωζόμενος.

Ωδή θ' Ο Ειρμός

Τών γηγενών τίς ήκουσε τοιούτον; ή τις εώρακέ ποτε, ότι Παρθένος ευρέθη εν γαστρί έχουσα, καί ανωδίνως τό βρέφος αποτεκούσα; τοιούτόν σου τό θαύμα, καί σέ αγνή Θεοτόκε μεγαλύνομεν.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ώ πώς φρικτόν υπάρχει σου τό βήμα, εν ώ κριθήναι προσδοκώ, καί ουκ αισθάνομαι όλως τούτου τό έμφοβον, εν αμελεία τόν πάντα διάγων χρόνον! επίστρεψόν με, μόνε δημιουργέ, ο Μανασσήν επιστρέψας πλημμελήσαντα.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Στήσον Χριστέ, τά ρεύματα βοώ σοι, τών αμετρήτων μου κακών, όμβρους διδούς μοι δακρύων, εναποπλύνοντας τόν μολυσμόν, όν υπέστην εξ αφροσύνης, καί σώσόν με ο σώσας, τήν εκ ψυχής μετανοήσασαν, Πόρνην τώ ελέει σου.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Η φωταυγής τών θείων αθλοφόρων μνήμη, ως ήλιος ημίν, εξανατείλασα πάσι, τής γής τοίς πέρασι φωταγωγεί, καί τό σκότος αποδιώκει τής ειδωλομανίας, καί τών παθών τών ψυχοφθόρων τόν ζόφον, θείω Πνεύματι.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Φάλαγξ σεπτή, στρατός τροπαιοφόρος, καί εκλεκτή παρεμβολ ή, δήμος αγίων Μαρτύρων, χορός μακάριος χοροστασίαις συνήφθη τών Ασωμάτων. Αυτών Χριστέ πρεσβείαις, πάντας ημάς τής σής Βασιλείας, μετόχους ποίησον.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φωτιστικαίς αυγαίς, τού εκ γαστρός σου εξανατείλαντος ημίν, καί αθεϊας τήν νύκτα εξαφανίσαντος, Παρθενομήτορ Μαρία, φώτισον πάντας τούς πίστει σε τιμώντας, καί αφεγγούς λύτρωσαι σκότους, εν ώρα κατακρίσεως.

Κανών τού Προδρόμου

Ο Ειρμός

Ανάρχου Γεννήτορος, Υιός Θεός καί Κύριος, σαρκωθείς εκ Παρθένου ημίν επέφανε, τά εσκοτισμένα φωτίσαι, συναγαγείν τά εσκορπισμένα, διό τήν πανύμνητον, Θεοτόκον μεγαλύνομεν.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Ιλύος με λύτρωσαι, τής αμαρτίας Κύριε, αναμάρτητε μόνε καί πολυέλεε, ταίς τού Βαπτιστού

ικεσίαις, τού σέ παντί κηρύξαντος κόσμω, Αμνόν Θεού αίροντα, τών ανθρώπων αμαρτήματα.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Ως ρόδον ηδύπνοον, ως εύοσμον κυπάρισσον, ως αμάραντον κρίνον, ως μύρον τίμιον, έχων σε Κυρίου Προφήτα, τής τών εμών έργων δυσωδίας, ευχαίς σου ρυσθήσομαι, ο προστρέχων εν τή σκέπη σου.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Στειρεύειν ακάρπων με, παμμάκαρ έργων ποίησον, αρετών ευτεκνίαν αεί προσφέροντα, τέκνον με Κυρίου ποιούντα, καί κοινωνόν θείας βασιλείας, καί τής ομηγύρεως, τών Αγίων ομοδίαιτον.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Ημίν τοίς ποθούσί σε, καί πόθω σε γεραίρουσι, καί τώ θείω ναώ σου περιχορεύουσι, δίδου ουρανόθεν τήν λύσιν τών δυσχερών, Πρόδρομε Κυρίου, καί βίου διόρθωσιν, καί πταισμάτων απολύτρωσιν.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φερόμενον άπαντα, τόν φέροντα τώ νεύματι, εν γαστρί προσεκύνεις τής θεομήτορος, μεθ'  Ής εκδυσώπει Προφήτα, τήν ταπεινήν σώζεσθαι ψυχήν μου, πολλοίς περιπίπτουσαν, καθ' ημέραν πλημμελήμασιν.

Απόστιχα τών Αίνων Κατανυκτικά

Πάντας υπερβάλλω τή αμαρτία, τίνι μαθητεύσω τή μετανοία; εάν στενάξω ως ο Τελώνης, νομίζω βαρείν τούς ουρανούς, εάν δακρύσω καθώς η Πόρνη, μιαίνω τοίς δάκρυσι τήν γήν, αλλά δός μοι τήν άφεσιν τών αμαρτιών, ο Θεός καί ελέησόν με.

Στίχ. α'. Ενεπλήσθημεν τό πρωϊ τού ελέους σου, Κύριε, καί ηγαλλιασάμεθα καί ηυφράνθημεν έν πάσαις ταίς ημέραις ημών. Ευφρανθείημεν, ανθών ημερών εταπείνωσας ημάς, ετών, ών είδομεν κακά, καί ίδε επί τούς δούλους σου καί επί τά έργα σου, καί οδήγησον τούς υιούς αυτών.

Τάς ανομίας μου πάριδε Κύριε, ο εκ Παρθένου τεχθείς, καί τήν καρδίαν μου καθάρισον, ναόν αυτήν ποιών τού Αγίου σου Πνεύματος, μή εξουδενώσης, από τού σού προσώπου που, ο αμέτρητον έχων τό μέγα έλεος.

Μαρτυρικόν

Στίχ. β'. Καί έστω η λαμπρότης Κυρίου τού Θεού ημών εφ' ημάς, καί τά έργα τών χειρών ημών κατεύθυνον εφ' ημάς, καί τό έργον τών χειρών ημών κατεύθυνον.

Τόν σταυρόν τού Χριστού, λαβόντες οι άγιοι Μάρτυρες, όπλον ακαταγώνιστον, πάσαν τού διαβόλου τήν ισχύν κατήργησαν, καί λαβόντες στέφος ουράνιον, τείχος ημίν γεγόνασιν, υπέρ ημών αεί πρεσβεύοντες.

Δόξα... Καί νύν... Θεοτοκίον

Χαίρε Μαρία Θεοτόκε, ο ναός ο ακατάλυτος, μάλλον δέ ο Άγιος, καθώς βοά ο Προφήτης, Άγιος ο ναός σου, θαυμαστός εν δικαιοσύνη.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

### Οι Μακαρισμοί

Μακάριοι οι ειρηνοποιοί, ότι αυτοί υιοί Θεού κληθήσονται.

Τήν φωνήν σοι προσάγομεν, τού Ληστού καί βοώμεν σοι. Μνήσθητι ημών Σωτήρ, εν τή Βασιλεία σου.

Μακάριοι οι δεδιωγμένοι ένεκεν δικαιοσύνης, ότι αυτών εστιν η βασιλεία τών ουρανών.

Τόν Ληστήν υπερβέβηκα, καί τήν πόρνην τοίς πάθεσιν, οικτείρησόν με Σωτήρ, τόν αυτοκατάκριτον.

Μακάριοί εστε όταν ονειδίσωσιν υμάς, καί διώξωσι, καί είπωσι πάν πονηρόν ρήμα καθυμών ψευδόμενοι ένεκεν εμού.

Καταδύσας τήν άβυσσον, ευσπλαγχνίας εν ύδατι, Πρόδρομε ταίς σαίς ευχαίς, τά πάθη μου μείωσον.

Μαρτυρικόν

Χαίρετε καί αγαλλιάσθε, ότι ο μισθός υμών πολύς εν τοίς ουρανοίς.

Οι τής πλάνης τά ρήματα, τών αιμάτων τοίς ρεύμασι, ψύξαντες Χριστού Αθληταί, αξίως δοξάζεσθε.

Δόξα...

Ρητορεύων ως γέγραπται, νούς ανθρώπων ου δύναται, θεότητος μίαν αρχήν, υμνείν τρισυπόστατον.

Καί νύν... Θεοτοκίον

Τήν αφλέκτως κυήσασαν, τόν Θεόν τόν προάναρχον, εγκωμίων πάντες ωδαίς, απαύστως υμνήσωμεν.

top
2-4

Στιχηρά προσόμοια Σταυρώσιμα

Ήχος β'

Ότε εκ τού ξύλου σε νεκρόν

Στίχ. α'. Εάν ανομίας παρατηρήσης, Κύριε, Κύριε τίς υποστήσεται; ότι παρά σοί ο ιλασμός εστιν.

Σώτερ τώ Σταυρώ προσηλωθείς, ήλιος ιδών εσκοτίσθη, από τού φόβου σου, καί τό καταπέτασμα Ναού ερρήγνυτο, η δέ γή κατεσείετο, καί πέτραι ωσαύτως, τρόμω διεσχίζοντο, οράν μή σθένουσαι, Κτίστην καί Θεόν επί ξύλου, πάσχοντα αδίκως βουλήσει, καί υπό ανόμων υβριζόμενον.

Στίχ. β'. Ένεκεν τού ονόματός σου υπέμεινά σε, Κύριε, υπέμεινεν η ψυχή μου εις τόν λόγον σου, ήλπισεν η ψυχή μου επί τόν Κύριον.

Όλος καταβέβληται εις γήν, όλος ανετράπη καί κείται, πτώμα εξαίσιον, όφις ο παμπόνηρος, ανυψωθέντος σου, επί ξύλου φιλάνθρωπε, Αδάμ δέ κατάρας, λύεται καί σώζεται, ο πρίν κατάκριτος, όθεν καί ημείς δυσωπούμεν, σώσον ημάς, οίκτειρον πάντας, καί τής Βασιλείας σου αξίωσον.

Στίχ. γ'. Από φυλακής πρωϊας μέχρι νυκτός, από φυλακής πρωϊας ελπισάτω Ισραήλ επί τόν Κύριον.

Κρίσιν δέχη μόνε Βασιλεύ, ο κρίναι τά σύμπαντα μέλλων, εν τή ελεύσει σου, στέφος ανεδύσω δέ, Σώτερ ακάνθινον, υπεκτίλλων Φιλάνθρωπε, τήν εκ τής απάτης, άκανθαν προθέλυμνον, τή δυναστεία σου, πάσιν εμφυτεύων τοίς πίστει, σταύρωσιν τήν σήν προσκυνούσι, τήν τής ευσπλαγχνίας σου επίγνωσιν.

Έτερα τής Θεοτόκου, όμοια

Στίχ. δ'. Ότι παρά τώ Κυρίω τό έλεος, καί πολλή παρ' αυτώ, λύτρωσις. καί αυτός λυτρώσεται τόν Ισραήλ έκ πασών τών ανομιών αυτού.

Πλούτος πτωχευόντων καί τρυφή, καί καταφυγή τών πενήτων, καί ορφανών η ελπίς, σύ υπάρχεις Δέσποινα, καί σέ δοξάζομεν, οι εν θλίψει κραυγάζοντες, Αγία Αγίων, λύτρωσαι προφθάσασα, καί νύν τούς δούλους σου, πάσης επηρείας δαιμόνων, καί τής χαλεπής τιμωρίας, καί τής αιωνίου κατακρίσεως.

Στίχ. ε'. Αινείτε τόν Κύριον πάντα τά έθνη, επαινέσατε αυτόν, πάντες οι λαοί.

Όντως υπερήραν αληθώς, τών ανομιών μου τά πλήθη, τήν κεφαλήν μου Αγνή, καί αι ανομίαι μου υπερεπλήθυναν, καί φορτία δυσβάστακτα, καί άμετρα Κόρη, κέκτημαι ο δείλαιος, καί αδιόρθωτος. Σύ ούν τή θερμή σου πρεσβεία, πρόφθασον καί σώσόν με μόνη, τών αμαρτανόντων η διόρθωσις.

Στίχ. ς'. Ότι εκραταιώθη τό έλεος αυτού εφ' ημάς, καί η αλήθεια τού Κυρίου μένει εις τόν αιώνα.

Ώσπερ εν λιμένι προσδραμών, υπό τήν αγίαν σου σκέπην, Παρθενομήτορ αγνή, δέομαι σπλαγχνίσθητι, μή απορρίψης με, αλλά ρύσαι τόν δούλόν σου, τής νύν επελθούσης, θλίψεως, ως έχουσα τό συμπαθές φυσικόν, Μήτερ τού Θεού τού Υψίστου, πάντοτε πρεσβεύουσα σώζε, πάσης περιστάσεως τούς δούλους σου.

Δόξα... Καί νύν...

Σταυροθετοκίον όμοιον

Βότρυν τόν παμπέπειρον Αγνή, όν αγεωργήτως εν μήτρα εκυοφόρησας, ξύλω ως εώρακας, τούτον κρεμάμενον, θρηνωδούσα ηλάλαζες, καί έκραζες. Τέκνον, γλεύκος εναπόσταξον, δι' ού η μέθη αρθή, πάσα τών παθών Ευεργέτα, δι' εμού τής σέ τετοκυίας, σού τήν ευσπλαγχνίαν ενδεικνύμενος.

Στίχ. Α'. Πρός σέ ήρα τούς οφθαλμούς μου, τόν κατοικούντα εν τώ ουρανώ. Ιδού, ως οφθαλμοί δούλων εις χείρας τών κυρίων αυτών, ως οφθαλμοί παιδίσκης εις χείρας τής κυρίας αυτής, ούτως οι οφθαλμοί ημών πρός Κύριον τόν Θεόν ημών, έως ού οικτιρήσαι ημάς.

Σώσόν με Χριστέ Σωτήρ, τή δυνάμει τού Σταυρού, ο σώσας Πέτρον εν τή θαλάσση, καί ελέησόν με ο Θεός.

Τού Σταυρού σου τό ξύλον, Χριστέ ο Θεός, ξύλον ζωής ανέδειξας ημίν, τοίς πιστεύουσιν εις σέ, καί δι' αυτού καταργήσας, τόν τό κράτος έχοντα τού θανάτου, εζωοποίησας ημάς, νεκρωθέντας τή αμαρτία, διό βοώμεν σοι, Ευεργέτα τών απάντων, Κύριε, δόξα σοι.

Μαρτυρικόν

Στίχ. Β'. Ελέησον ημάς, Κύριε, ελέησον ημάς, ότι επί πολύ επλήσθημεν εξουδενώσεως, επί πλείον επλ ήσθη η ψυχή ημών, τό όνειδος τοίς ευθηνούσι, καί η εξουδένωσις τοίς υπερηφάνοις.

Χοροί Μαρτύρων αντέστησαν, τοίς τυράννοις λέγοντες. Ημείς στρατευόμεθα τώ Βασιλεί τών δυνάμεων, ει καί πυρί καί βασάνοις αναλώσητε ημάς, ουκ αρνούμεθα τής Τριάδος τήν δύναμιν.

Δόξα... Καί νύν... Σταυροθετοκίον

Ότε εκ τού ξύλου

Πόνους υπομείνασα πολλούς, εν τή τού Υιού καί Θεού σου, σταυρωσει Άχραντε, έστενες δακρύουσα, καί αλαλάζουσα. Οίμοι! τέκνον γλυκύτατον, αδίκως πώς πάσχεις, θέλων εκλυτρώσασθαι τούς εξ Αδάμ γηγενείς; Όθεν Παναγία Παρθένε, σέ παρακαλούμεν εν πίστει, ίλεων ημίν τούτον απέργασαι.

Μετα τήν α' Στιχολογίαν

Καθίσματα Σταυρώσιμα

Σωτηρίαν ειργάσω εν μέσω τής γής, Χριστέ ο Θεός, επί Σταυρού τάς αχράντους σου χείρας εξέτεινας, επισυνάγων πάντα τά έθνη, κράζοντα, Κύριε δόξα σοι.

Τόν ζωοποιόν Σταυρόν, τής σής αγαθότητος, όν εδωρήσω ημίν τοίς αναξίοις Κύριε, σοί προσάγομεν εις πρεσβείαν, σώζε τούς βασιλείς καί τήν πόλιν σου, ειρηνεύοντας διά τής Θεοτόκου, μόνε φιλάνθρωπε.

Δόξα... Καί νύν... Σταυροθετοκίον

Η παρθένος καί Μήτηρ σου Χριστέ, επί ξύλου ορώσά σε νεκρόν ηπλωμένον, κλαίουσα πικρώς, Υιέ μου έλεγε, τί τό φοβερόν τούτο μυστήριον, ο πάσι δωρούμενος ζωήν τήν αιώνιον, εκουσίως εν Σταυρώ πώς θνήσκεις, θάνατον επονείδιστον.

Μετά τήν β' Στιχολογίαν

Καθίσματα Σταυρώσιμα

Τήν άχραντον Εικόνα σου, προσκυνούμεν αγαθέ, αιτούμενοι συγχώρησιν τών πταισμάτων ημών, Χριστέ ο Θεός, βουλήσει γάρ ηυδόκησας σαρκί, ανελθείν εν τώ Σταυρώ, ίνα ρύση ούς έπλασας, εκ τής δουλείας τού εχθρού, όθεν ευχαρίστως βοώμέν σοι. Χαράς επλήρωσας τά πάντα ο Σωτήρ ημών, παραγενόμενος εις τό σώσαι τόν κόσμον.

Ο φωτίσας τά επίγεια διά Σταυρού, καί καλέσας εις μετάνοιαν αμαρτωλούς, μή χωρίσης με τής ποίμνης σου ο ποιμήν ο καλός, αλλά ζήτησόν με, Δέσποτα τόν πλανώμενον, καί τή αγία σου ποίμνη συναρίθμησον, ο μόνος αγαθός καί φιλάνθρωπος.

Δόξα... Καί νύν... Σταυροθεοτοκίον

Παρεστώσα τώ Σταυρώ σου η ασπόρως τεκούσά σε, καί μή φέρουσα οράν αδίκως πάσχοντα, ωλοφύρετο, κλαυθμώ, καί ανεβόα σοι. Πώς πάσχεις ο τή φύσει απαθής, γλυκύτατε Υιέ; υμνώ σου τήν άκραν αγαθότητα.

Μετά τήν γ' Στιχολογίαν

Καθίσματα Σταυρώσιμα

Ως ο Ληστής ομολογώ, καί βοώ σοι τώ αγαθώ. Μνήσθητι μου Κύριε, εν τή Βασιλεία σου, καί σύν αυτώ ο εκουσίως με συναρίθμησον, τά πάθη υπέρ ημών καταδεξάμενος.

Μαρτυρικόν

Αθλοφόροι Κυρίου, μακαρία η γή η πιανθείσα τοίς αίμασιν υμών, καί άγιαι αι σκηναί, αι δεξάμεναι τά σώματα υμών, εν σταδίω γάρ τόν εχθρόν εθριαμβεύσατε, καί Χριστόν μετά παρρησίας εκηρύξατε, αυτόν ως αγαθόν ικετεύσατε, σωθήναι δεόμεθα τάς ψυχάς ημών.

Δόξα... Καί νύν... Σταυροθεοτοκίον

Τά άνω ζητών

Ω θαύμα καινόν! εβόα η Πανάμωμος, Σταυρώ τόν Υιόν, ιδούσα καθηλούμενον, ο δρακί τά σύμπαντα περιφέρων, πάθος υφίσταται, καί ως πάσι παρέχων κριτός κατακρίνεται, ο τήν συγχώρησιν.

Ωδή α' Ήχος β' Ο Ειρμός

Εν βυθώ κατέστρωσε ποτέ, τήν Φαραωνίτιδα πανστρατιάν, η υπέροπλος δύναμις, σαρκωθείς ο Λόγος δέ, τήν παμμόχθηρον αμαρτίαν εξήλειψεν, ο δεδοξασμένος Κύριος, ενδόξως γάρ δεδόξασται.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Παραβάς τήν πρώτην εντολήν, πάλαι ο πρωτόπλαστος, εκ τού φυτού θάνατον απετρύγησεν, υψωθείς εν ξύλω δέ, ο αθάνατος, καί θανάτου γευσάμενος, τήν αθανασίαν, πάσι τοίς ανθρώποις εδωρήσατο.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Τού Σταυρού παγέντος επί γής, πέπτωκε τό φρύαγμα, τού δυσμενούς, καί παντελώς ηφάνισται, ο πρίν απωσμένος δέ, πρός Παράδεισον επανέρχεται άνθρωπος, δόξα σοι τώ ούτω, μόνω ευδοκήσαντι Θεώ ημών.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ως κριοί, ως άρνες λογικοί, εναποσφαττόμενοι, καί μεληδόν ανηλεώς κοπτόμενοι, πανεύφημοι Μάρτυρες, προσηνέχθητε, τώ τυθέντι ως νύν πρόβατον, καί τήν Εκκλησίαν, τών πρωτοτόκων εφαιδρύνατε.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Σταθηράν τήν ένστασιν σοφοί, πάντοτε ποιούμενοι, τούς πονηρούς εχθρούς κατεπαλαίσατε, ξίφεσι τεμνόμενοι, καί εν ύδατι καί πυρί προσριπτόμενοι, όθεν μακαρίου τέλους, Αθλοφόροι

ηξιώθητε.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ιερός εκάλει σε χορός, πύλην αδιόδευτον, γήν εκλεκτήν, καί όρος αλατόμητον, Παναγία Δέσποινα, τόν Δεσπότην γάρ τών απάντων εκύησας, τόν εθελουσίως, σταύρωσιν σαρκί καταδεξάμενον.

Κανών τής Υπεραγίας Θεοτόκου, ού η Ακροστιχίς,
κατ' Αλφάβητον έξ αντιστρόφου.

Ειρμός ο αυτός

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ως ωραίαν, ως περικαλλή, όλην ως αμώμητον, εν γυναιξί Θεός σε εκλεξάμενος, σού τήν μήτραν ώκησε τήν αμώμητον, όν δυσώπει Πανάμωμε, μώμου εγκλημάτων, άπαντας ρυσθήναι τούς υμνούντάς σε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ψαλμικώς Αγνή εκ δεξιών, οίά περ Βασίλισσα, τού εκ τής σής νηδύος αναλάμψαντος, βασιλέως έστηκας, όν ικέτευε, δεξιόν παραστάτην με, δείξαι εν ημέρα, τής ανταποδόσεως Πανάμωμε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Χερσωθείσαν φύσιν τών βροτών, πάσιν ατοπήμασι, τόν υετόν τεκούσα τόν ουράνιον, όλην ανεκαίνισας, αλλά δέομαι, τής ψυχής μου τήν αύλακα, αποχερσωθείσαν, δείξον καρποφόρον Θεονύμφευτε.

Ωδή γ'  Ο Ειρμός

Εξήνθησεν η έρημος, ωσεί κρίνον Κύριε, η τών εθνών στειρεύουσα, Εκκλησία τή παρουσία σου, εν ή εστερεώθη η καρδία μου.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Σταυρούμενος εσάλευσας, πάσαν κτίσιν, Κύριε, καί τούς πιστούς εστήριξας, επιγνόντας τήν δυναστείαν σου, καί τήν άφατον Λόγε συγκατάβασιν.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Παράδεισον ηνέωξας, τώ Σταυρώ σου Δέσποτα, καί τόν Ληστήν εισήγαγες, επιγνόντα τήν Βασιλείαν σου, καί τόν πλούτον τής θείας ευσπλαγχνίας σου.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Εξήνθησαν οι μάρτυρες, ώσπερ ρόδα εύοσμα, ταίς νοηταίς κοιλάσι, καί δυσώδη πλάνην εμείωσαν, καί πιστών τάς καρδίας ευωδίασαν.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Φωστήρες οικουμένης, πιστών σωτήρες Άγιοι, φωτιστικαίς τού Πνεύματος φρυκτωρίαις, πάντας φωτίσατε, τούς υμάς κατά χρέος μακαρίζοντας.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Υψούμενον εν ξύλω σε, τόν ζωοδότην βλέπουσα, καί εκουσίως θνήσκοντα, καί τοίς πάσι ζωήν

παρέχοντα, εδονείτο τά σπλάγχνα η Πανάμωμος.

Κανών τής Θεοτόκου
Ειρμός ο αυτός

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φορέσας με τόν άνθρωπον, εκ γαστρός σου πρόεισιν, ο ποιητής Πανάχραντε, αφθαρσίας στολήν δωρούμενος, τοις πολλοίς γυμνωθείσαν ατοπήμασιν.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Υπέρτιμον εκύησας, Θεόν Λόγον Άχραντε, όν εκτενώς ικέτευε, οικτειρήσαι τήν ταπεινήν μου ψυχήν, ηδονών ατιμία σκυθρωπάζουσαν.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τά τραύματα θεράπευσον, τής ψυχής μου Πάναγνε, τήν ταπεινήν καρδίαν μου, φαρμαχθείσαν ιώ τού όφεως, δραστικώ σου φαρμάκω περιποίησαι.

Ωδή δ'  Ο Ειρμός

Ελήλυθας, εκ Παρθένου, ου πρέσβυς ουκ Άγγελος, αλλ' αυτός ο Κύριος σεσαρκωμένος, καί έσωσας, όλον με τόν άνθρωπον, διό κραυγάζω σοι. Δόξα τή δυνάμει σου Κύριε.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Κατήργησας, τάς αρχάς τού δεινού πολεμήτορος, εν ξύλω υψούμενος, καί τήν αράν εξηφάνισας, όθεν σε δοξάζομεν, οι διά σού σεσωσμένοι μόνε Κύριε.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Εφήπλωσο, εν Σταυρώ, καί συνέστειλεν ήλιος, τό φώς θεωρήσας σε, όρη καί πέτραι εσχίσθησαν, καί τό καταπέτασμα, τό τού ναού διερράγη παντοδύναμε.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Νεκρούμενοι, τον εχθρόν παντελώς ενεκρώσατε, σιδήρω ξεόμενοι, τής δερματίνης νεκρώσεως, πάθος εξεδύσασθε, Μάρτυρες θείοι, καί δόξαν ενεδύσασθε.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Διέκοψαν, κεφαλάς εν εκστάσει οι Μάρτυρες, πονηρών δυνάμεων, τάς κεφαλάς εκτεμνόμενοι, καί τήν διαμένουσαν, εκληρονόμησαν δόξαν αγαλλόμενοι.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ανέτειλεν, εκ γαστρός σου Πατρός τό απαύγασμα, Χριστός, καί εφώτισε τήν Οικουμένην σταυρούμενος, Κόρη απειρόγαμε, καί τών δαιμόνων σκότος εξηφάνισεν.

Κανών τής Θεοτόκου
Ειρμός ο αυτός

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σταγόνα μοι, κατανύξεως όμβρισον Δέσποινα, εξαίρουσα άπαντα, τόν τής καρδίας μου καύσωνα, καί τής διανοίας μου, τάς σφαλεράς ενθυμήσεις αναστέλλουσα.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ρομφαία με, ηδονής τόν πληγέντα, καί κείμενον, τραυματίαν Άχραντε, μή υπερίδης, αλλ' ίασαι, λόγχη καί τώ αίματι, τού σταυρωθέντος, Υιού σου καί Θεού ημών.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Πλουτήσασα, δεσποτείαν απάσης τής κτίσεως, δεινώς με πτωχεύσαντα, χάριτος θείας οικτείρησον, όπως μεγαλύνω σε, ως αγαθήν μου προστάτιν Παναμώμητε.

## Ωδή ε'  Ο Ειρμός

Μεσίτης Θεού, καί ανθρώπων γέγονας, Χριστέ ο Θεός, διά σού γάρ Δέσποτα, τήν πρός τόν αρχίφωτον Πατέρα σου, εκ νυκτός αγνωσίας, προσαγωγήν εσχήκαμεν.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ικρίω παγείς, τά τής γής θεμέλια εσάλευσας, καί λόγχη νυττόμενος, εχθρόν τόν αρχέκακον κατέσφαξας, καί κρουνούς σωτηρίας, πάσι Χριστέ επήγασας.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Μή φέρων οράν, όν χερσί διέπλασας πλανώμενον, τάς χείρας εξέτεινας, Λόγε επί ξύλου θανατούμενος, καί εζώωσας τούτον, ξύλω ποτέ τεθνήξαντα.

### Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Οι φίλοι Θεού, οι θερμοί ανθρώπων αντιλήπτορες, τά άνθη τά τίμια, τά περιφανή σκεύη τού Πνεύματος, οι σοφοί Αθλοφόροι, αξίως μακαρίζονται.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Νομίμως αθλών, ο χορός ο άγιος τών σών Αθλητών, ανόμους κατήσχυνε, μόνε Νομοδότα τή δυνάμει σου, καί τελέσας τόν δρόμον, μαρτυρικώς κατέστεπται.

### Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ωράθης Αγνή, μετά τόκον άφθορος, Θεός γάρ εκ σού, ετέχθη ως άνθρωπος, όν κατανοήσασα σταυρούμενον, τήν τών σπλάγχνων οδύνην, μή φέρουσα ηλάλαζες.

### Κανών τής Θεοτόκου
### Ειρμός ο αυτός

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Οδόν τής ζωής, η τεκούσα Άχραντε, οδήγησον, οδόν εις ευθείάν με, νύν εις ανοδίας τε καί βάραθρα, χαλεπών συμπτωμάτων, αλόγως κρημνιζόμενον.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ξενώσας φρενί, εμαυτόν αγνώμονι, Παρθένε Μήτηρ Θεού, ασώτως εβίωσα, χώραν εις μακράν περιπλανώμενος, αλλ' επίστρεψον σώσον, ταίς σαίς με παρακλήσεσιν.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ναμάτων τών σών, ζωηρύτων πότισον, τόν δούλόν σου, φλογμώ συγκαιόμενον, τών αμαρτιών καί κινδυνεύοντα, προσβολαίς τών δαιμόνων, Παρθενομήτορ άχραντε.

## Ωδή ς'  Ο Ειρμός

Πρός Κύριον εκ κήτους, ο Ιωνάς εβόησε. Σύ με ανάγαγε εκ πυθμένος άδου δέομαι, ίνα ως Λυτρωτή εν φωνή αινέσεως, αληθείας τε πνεύματι θύσω σοι.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Νεαζούσαις κάραις θείς, παλάμας ποτέ Ιακώβ, Σταυρόν προέγραψεν, εν ώ Λόγε εξεπέτασας, παλάμας καί χειρός, πλάνου πολεμήτορος, ελυτρώσω Χριστέ τό ανθρώπινον.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Σταυρωθέντος σου Χριστέ, παμβασιλεύ βουλήματι, η βασιλεύουσα αμαρτία εξωστράκισται, Αδάμ δέ ο ποτέ, Παραδείσου άποικος, εν αυτώ σέ υμνών εισοικίζεται.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Τούς ωραίους εν στίγμασιν, ιερούς υπάρχοντας, τούς τήν ευπρέπειαν, στολισθέντας τήν ουράνιον, τούς όντως ποθητούς, τού Κυρίου Μάρτυρας, αδιστάκτω καρδία υμνήσωμεν.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ανύστακτον λαμπάδα, τήν εαυτών τηρήσαντες οι θείοι Μάρτυρες, ηρδεύθησαν πλουσιώτατα, τοίς αίμασιν αυτών, καί τής θείας έτυχον, τού νυμφώνος εισόδου γηθόμενοι.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Υμνούμέν σε Πανύμνητε, ως Θεόν κυήσασαν, τόν υπερύμνητον, εν ξύλω τόν αρχέκακον δυνάμει τή αυτού, ολέσαντα τύραννον, εις ημών σωτηρίαν καί καύχημα.

Κανών τής Θεοτόκου

Ο Ειρμός

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Εν αβύσσω πταισμάτων κυκλούμενος, τήν ανεξιχνίαστον τής ευσπλαγχνίας σου, επικαλούμαι άβυσσον, εκ φθοράς ο Θεός με ανάγαγε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Μή με δείξης δαιμόνων επίχαρμα, εν τώ κριτηρίω τώ μέλλοντι Δέσποινα, αλλ' ευμενώς προσβλέψαι μοι, τόν Κριτήν καί Υιόν σου δυσώπησον.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Λογισμοίς παροργίζω σε Κύριε, καί ταίς πονηραίς καί αθέσμοις μου πράξεσιν, εις ιλασμόν προσάγω σοι, τήν Μητέρα σου, οίκτειρον, σώσόν με.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Κατακρίσεως ρύσαί με Δέσποινα, τόν αυτοκατάκριτον όντα τοίς πταίσμασιν, ως τόν Κριτήν κυήσασα, καί Θεόν τών απάντων καί Κύριον.

Ωδή ς'  Ο Ειρμός

Αντίθεον πρόσταγμα παρανομούντος, τυράννου, μετάρσιον, τήν φλόγα ανερρίπισε, Χριστός δέ εφήπλωσε, θεοσεβέσι Παισί, δρόσον τήν τού Πνεύματος, ο ών ευλογημένος καί υπερένδοξος.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ρομφαία τό πρότερον η στρεφομένη, τά νώτά μοι δίδωσιν, αφ' ού τή λόγχη τέτρωσαι, Σταυρώ ανυψούμενος, εύσπλαγχνε Κύριε, όθεν μεγαλύνω σε, τώ σώ τιμίω πάθει ευρών απάθειαν.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ο όφις υψούμενος υπό Μωσέως, τήν θείαν ανάρτησιν, εν ξύλω προεικόνιζε Χριστού, τού τόν δόλιον όφιν νεκρώσαντος, πάντας τε ζωώσαντος ημάς, τούς νεκρωθέντας ταίς παραβάσεσιν.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Υιοί χρηματίζετε θεία μεθέξει, ανάρχου Γεννήτορος, Υιού ανάρχου Άγιοι, τό πάθος τό άχραντον εκμιμησάμενοι, όθεν αδελφούς υμάς καλεί, καί κληρονόμους τής βασιλείας αυτού.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Σταυρώ αναρτώμενοι ως ο Δεσπότης, καί λόγχη νυττόμενοι, καί ξίφει συγκοπτόμενοι, πυρί τε καί ύδατι προμεριζόμενοι, καί κατατεμνόμενοι τροχοίς, οι θεοφόροι έχαιρον Μάρτυρες.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τόν βότρυν τόν πέπειρον αγεωργήτως, αγνή όν εβλάστησας, εν ξύλω ως εώρακας, κρεμάμενον έκραζες. Τέκνον μου γλυκύτατον, γλεύκος εναπόσταξον, δι' ού παθών η μέθη ανασταλήσεται.

Κανών τής Θεοτόκου

Ειρμός ο αυτός

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ισχύς μου καί ύμνησις καί σωτηρία, βεβαία αντίληψις, καί τείχος απροσμάχητον, υπάρχουσα Δέσποινα, τούς πολεμούντάς με δαίμονας πολέμησον αεί, επιζητούντας τού θανατώσαί με.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Θεόν σωματώσασα παρθενικών σου, αιμάτων εθέωσας, Παρθένε τό ανθρώπινον, διό με τοίς πάθεσι, καταρρυπούμενον, καί καταφθειρόμενον, εχθρού ταίς μεθοδείαις, ρύσαι πρεσβείαις σου.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Η κάμινος γέννησιν προδιετύπου, τήν σήν Παναμώμητε, τούς Παίδας γάρ ουκ έφλεξεν, ως ουδέ τήν μήτραν σου, τό πύρ τό άστεκτον, όθεν δυσωπούμέν σε, πυρός τού αιωνίου, ρύσαι τούς δούλους σου.

Ωδή η'  Ο Ειρμός

Κάμινος ποτέ, πυρός εν Βαβυλώνι, τάς ενεργείας διεμέριζε, τώ θείω προστάγματι, τούς Χαλδαίους καταφλέγουσα, τούς δέ πιστούς δροσίζουσα, ψάλλοντας. Ευλογείτε, πάντα τά έργα τόν Κύριον.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Αίματι τώ σώ, πλευράς εξ ακηράτου, εναποστάζοντι μακρόθυμε, η κτίσις ηγίασται, ποταμοί δέ εξηράνθησαν πολυθεϊας, όμβροι τε ώφθησαν ευσεβείας, πλάνης αυχμόν αναστέλλοντες.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Σταύρωσιν τήν σήν, ο Ήλιος ηδέσθη, καί τάς ακτίνας εναπέκρυψε, πέτραι δέ εσχίσθησαν, καί ο άδης κάτω έφριξε. Δικαίων δέ εσκίρτησαν πνεύματα, προσδοκώντα, τήν παντελή Λόγε λύτρωσιν.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ίαμα πιστοίς, η κόνις τών λειψάνων, τών Αθλοφόρων βρύει πάντοτε, ιχώρες δυσίατα θεραπεύουσι παθήματα. Ως θαυμαστός εί Κύριε, κράζομεν ευχαρίστως, εν τοίς αγίοις σου Μάρτυσιν.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Στόματα θηρών, καί βράσματα λεβήτων, πήξίν τε κρύους, βάρος καύσωνος, ονύχων σπαράγματα, υπεμείνατε στερρότατα, καί κάθειρξιν καί βίαιον θάνατον Αθλοφόροι, όθεν Χριστώ συνευφραίνεσθε.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σάρκα εκ τής σής, γαστρός λαμβάνει θέλων, καί καθοράται ο αόρατος, καί σταύρωσιν δέχεται, καί κατάρα ονομάζεται, κατάρας εξαιρούμενος, άπαντας ο Υιός σου, θεοχαρίτωτε Δέσποινα.

Κανών τής Θεοτόκου

Ειρμός ο αυτός

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ζήλου τά καλά, κακών μακρυνομένη, δι' εμμελείας θείων πράξεων, ψυχή μου πρεσβεύουσαν, υπέρ σού τήν θεομήτορα, καί πάντων ακαταίσχυντον, έχουσαπροστασίαν, ως συμπαθή καί φιλάγαθον.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Έλυσας δεσμού, τής πάλαι καταδίκης, Θεοκυήτορ τό ανθρώπινον, διό ικετεύω σε, διαλύσαι πάντα σύνδεσμον, κακίας τής καρδίας μου, άχραντε συνδεσμούσα, θεία στοργή με τού Κτίσαντος.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Δόξης του Πατρός, απαύγασμα τεκούσα, τήν αδοξία σκυθρωπάζουσαν, πταισμάτων καρδίαν μου, Θεοτόκε καταφαίδρυνον, καί δόξης με ανάδειξον, μέτοχον αϊδίου, ευλογημένη Πανάμωμε.

Ωδή θ' Ο Ειρμός

Ανάρχου γεννήτορος, Υιός Θεός καί Κύριος, σαρκωθείς εκ Παρθένου ημίν επέφανε, τά εσκοτισμένα φωτίσαι, συναγαγείν τά εσκορπισμένα, διό τήν Πανύμνητον, Θεοτόκον μεγαλύνομεν.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ιάσω τό σύντριμμα, καί τήν ταλαιπωρίαν μου, τώ σώ μώλωπι, Λόγε ανεξιχνίαστε, καί τήν συγχωσθείσαν εικόνα, τοίς πονηροίς πάθεσι, εκάθηρας τώ πάθει σου, Κύριε, ο Θεός τής σωτηρίας μου.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ωράθης υψούμενος, εν κυπαρίσσω Δέσποτα, καί τή πεύκη καί κέδρω δι' αγαθότητα, ο είς τής αγίας Τριάδος, μοναδικήν υπόστασιν έχων, εν δυσί θελήσεσιν ίνα σώσης τό ανθρώπινον.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Σταυρόν ώσπερ θώρακα, ενδεδυμενοι Μάρτυρες, απαράτρωτοι πάσι βέλεσιν ώφθητε, τού δημιουργού τής κακίας, όθεν αυτόν νύν καταπατείτε, τούτον καταπαίζοντες, ως οικτρόν στρουθίον πάντοτε.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Η γή μέν τά αίματα, υμών νύν υποδέχεται, ουρανός δέ τά θεία κέκτηται πνεύματα, μετά τών πυρίνων Ταγμάτων, τώ θεϊκώ θρόνω παρεστώτα, αθλοφόροι Μάρτυρες, Εκκλησίας πύργοι άσειστοι.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φθαρείσαν εκαίνισας, τήν φύσιν τού προπάτορος, υπέρ φύσιν τεκούσα, καί παρθενεύουσα, φύσεως απάσης τόν Πλάστην, όν εν Σταυρώ κρεμάμενον πάλαι, ηλάλαζες βλέπουσα, Παναγία Μητροπάρθενε.

Κανών τής Θεοτόκου

Ειρμός ο αυτός

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Γευσάμενος βρώσεως, μή προσηκούσης θάνατον, ο Αδάμ εκ τού ξύλου πικρώς ετρύγησε, ξύλω δέ παγείς ο Υιός σου, τόν γλυκασμόν τής αθανασίας, επήγασεν Άχραντε, διά τούτό σε γεραίρομεν.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Βασίλισσα πέφυκας, τόν Βασιλέα Κύριον, υπέρ λόγον τεκούσα, τόν διαλύσαντα, άδου τά βασίλεια Κόρη, όν εκτενώς δυσώπει τής άνω, Βασιλείας άπαντας, αξιώσαι τούς υμνούντάς σε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Αγάθυνον Δέσποινα, τήν ταπεινήν καρδίαν μου, ηδονών κακωθείσαν ταίς επικλύσεσιν, ως τόν Αγαθόν τετοκυία, καί αγαθή υπάρχουσα όλη, καί πρός μετανοίας με, αγαθάς πύλας εισάγαγε.

Απόστιχα τών Αίνων, Σταυρώσιμα

Σταυρωθήτω έκραζον, οι τών σών χαρισμάτων αεί εντρυφώντες, καί κακούργον αντ' ευεργέτου, ητούντο λαβείν οι τών δικαίων φονευταί, εσιώπας δέ Χριστέ, φέρων αυτών τήν προπέτειαν, παθείν θέλων, καί σώσαι ημάς ως φιλάνθρωπος.

Στίχ. α'. Ενεπλήσθημεν τό πρωϊ τού ελέους σου, Κύριε, καί ηγαλλιασάμεθα καί ηυφράνθημεν έν πάσαις ταίς ημέραις ημών. Ευφρανθείημεν, ανθών ημερών εταπείνωσας ημάς, ετών, ών είδομεν κακά, καί ίδε επί τούς δούλους σου καί επί τά έργα σου, καί οδήγησον τούς υιούς αυτών.

Εκουσίως πτωχεύσας, τήν πτωχείαν τού Αδάμ, Χριστέ ο Θεός, ήλθες επί γής, εκ Παρθένου σαρκωθείς, καί Σταυρόν κατεδέξω, ίνα ημάς ελευθερώσης, τής δουλείας τού εχθρού, Κύριε δόξα σοι.

Μαρτυρικόν

Στίχ. β'. Καί έστω η λαμπρότης Κυρίου τού Θεού ημών εφ' ημάς, καί τά έργα τών χειρών ημών κατεύθυνον εφ' ημάς, καί τό έργον τών χειρών ημών κατεύθυνον.

Τών Αγίων σου τά πλήθη, δυσωπούσί σε Χριστέ, ελέησον ημάς, ως φιλάνθρωπος.

Δόξα... Καί νύν... Σταυροθεοτοκίον

Ότε εκ τού ξύλου σε νεκρόν

Ότε σε ο άνομος λαός, Σώτερ, τήν ζωήν τών απάντων, ξύλω ανήρτησε, τότε η πανάμωμος, Αγνή καί Μήτηρ σου, παρεστώσα εκραύγαζεν, ολοφυρομένη. Τέκνον μου γλυκύτατον, φώς τών εμών οφθαλμών, οίμοι! πώς κακούργων εν μέσω, ξύλω προσπαγήναι ηνέσχου, ο τήν γήν κρεμάσας εν, τοίς ύδασιν;

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Οι Μακαρισμοί

Μακάριοι οι ειρηνοποιοί, ότι αυτοί υιοί Θεού κληθήσονται.

Τήν φωνήν σοι προσάγομεν, τού Ληστού καί βοώμέν σοι. Μνήσθητι ημών Σωτήρ, εν τή βασιλεία σου.

Μακάριοι οι δεδιωγμένοι ένεκεν δικαιοσύνης, ότι αυτών εστιν η βασιλεία τών ουρανών.

Εν σταυρώ ανυψούμενος, συνανύψωσας άπασαν, φύσιν Σωτήρ τών βροτών, απαύστως υμνούσάν σε.

Μακάριοί εστε όταν ονειδίσωσιν υμάς, καί διώξωσι, καί είπωσι πάν πονηρόν ρήμα καθυμών ψευδόμενοι ένεκεν εμού.

Τού Αδάμ τό χειρόγραφον, σού τή λόγχη διέρρηξας, γράφων εν βίβλω αυτόν, τών ζώντων Φιλάνθρωπε.

Μαρτυρικόν

Χαίρετε καί αγαλλιάσθε, ότι ο μισθός υμών πολύς εν τοίς ουρανοίς.

Μιμηταί χρηματίσαντες, τού Σταυρόν υπομείναντος, δόξης αυτώ κοινωνοί, γεγόνατε Μάρτυρες.

Δόξα...

Πατήρ ο προάναρχος, ο Υιός ο συνάναρχος, υμνείται μιά τιμή, καί δόξη σύν Πνεύματι.

Καί νύν... Σταυροθεοτοκίον

Εν Σταυρώ ως εώρακας, όν ασπόρως εκύησας, τούτου ανύμνεις Παρθένε, τό άφατον έλεος.

top

2-5

Στιχηρά Προσόμοια τών Αποστόλων

Ήχος β'

Ότε εκ τού ξύλου σε νεκρόν

Στίχ. α'. Εάν ανομίας παρατηρήσης, Κύριε, Κύριε τίς υποστήσεται; ότι παρά σοί ο ιλασμός εστιν.

Λόγου τού φανέντος επί γής, σάλπιγγες καθάπερ οφθέντες, θείοι Απόστολοι, τούτου τό σωτήριον πάσιν εφάνατε, καί λαούς συνηθροίσατε, πρός ένθεον πίστιν, πλάνης οχυρώματα καταστρεψάμενοι, όθεν καί αξίως τά γέρα, καί νικητικώς τούς στεφάνους, όντως εκομίσασθε μακάριοι.

Στίχ. β'. Ένεκεν τού ονόματός σου υπέμεινά σε, Κύριε, υπέμεινεν η ψυχή μου εις τόν λόγον σου, ήλπισεν η ψυχή μου επί τόν Κύριον.

Δήμοι τών Αγγέλων αληθώς, χαίροντες εκρότησαν άνω, τούς ιερούς Μαθητάς, βλέποντες κηρύττοντας, εν παρρησία πολλή, τού Κυρίου τήν σάρκωσιν, καί πάσι βοώντας. Ούτος ο Θεός ημών, ο πρό αιώνων εστί, σάρκα προσλαβών εκουσίως, σύνθρονος Πατρί δέ υπάρχων, καί τώ θείω Πνεύματι ομότιμος.

Στίχ. γ'. Από φυλακής πρωϊας μέχρι νυκτός, από φυλακής πρωϊας ελπισάτω Ισραήλ επί τόν Κύριον.

Πάσης οικουμένης αλιείς, τήν ηγκιστρωμένην ψυχήν μου, ταίς μεθοδείαις εχθρού, τάχος εκλυτρώσασθε, καί απογνώσει με νύν, κινδυνεύοντα σώσατε, καρπούς μετανοίας, φέρειν ενισχύοντες, θείοι Απόστολοι, όπως τού πυρός τής γεέννης, πείραν μή λαβών Βασιλείας, τής τών ουρανών αξιωθήσωμαι.

Έτερα, τού Αγίου Νικολάου, όμοια

Στίχ. δ'. Ότι παρά τώ Κυρίω τό έλεος, καί πολλή παρ' αυτώ, λύτρωσις. καί αυτός λυτρώσεται τόν Ισραήλ έκ πασών τών ανομιών αυτού.

Πλήθει πειρασμών περισχεθείς, καί ταίς τρικυμίαις τού βίου, περικυκλούμενος, σάλω τε ποντούμενος τών περιστάσεων, καί ταίς λύπαις βαλλόμενος, εν σοί τήν ελπίδα, πάσαν ανατίθημι, Πάτερ Νικόλαε, πάντων τών δεινών μοι παράσχου, λύσιν ταίς πρεσβείαις σου μάκαρ, ταίς πρός τόν Δεσπότην σου εντεύξεσιν.

Στίχ. ε'. Αινείτε τόν Κύριον πάντα τά έθνη, επαινέσατε αυτόν, πάντες οι λαοί.

Νέφει αθυμίας σκοτεινώ, καί στενοχωρίας ομίχλη, νυνί καλύπτομαι, θλίψεως αλλεπάλληλοι διαταράττουσιν, ο δέ φόβος κινδύνων με, δεινώς περιέχει, δέομαί σου σώσόν με, θεομακάριστε, σέ γάρ ονομάζω προστάτην, καί σού τήν βοήθειαν Πάτερ, επικαλουμένω μοι κατάπεμψον.

Στίχ. ς'. Ότι εκραταιώθη τό έλεος αυτού εφ' ημάς, καί η αλήθεια τού Κυρίου μένει εις τόν αιώνα.

Χάριν ειληφώς παρά Θεού, πάσι χορηγείς τας ιάσεις, υπό τήν σκέπην σου, άγιε Νικόλαε, τοίς σοί προστρέχουσι, φυγαδεύσεις δαιμόνων γάρ, ανίατα πάθη, πάντας θεραπεύεις δέ, τή προστασία σου, όθεν καί ημείς δυσωπούμεν, πρέσβευε πρός Κύριον πάσης, λυτρωθήναι βλάβης τούς υμνούντάς σε.

Δόξα... Καί νύν... Θεοτοκίον όμοιον

Πάσα τής ζωής ημών ισχύς, σύ υπάρχεις άχραντε Μήτηρ, καί καταφύγιον, πάντων τών υμνούντων σε, σύ εί αντίληψις, μή ούν μάτην λογίζοιντο, τήν σήν προστασίαν, οι κατακαυχώμενοι κατά τών δούλων σου, σύ γάρ πρός Θεόν προστασία, δέδοσαι, διό μή παρίδης, διασώσαι Δέσποινα τούς δούλους σου.

Απόστιχα Αποστολικά

Εμεγάλυνας Σωτήρ, εν τή οικουμένη τών Κορυφαίων Αποστόλων τά ονόματα, έμαθον τών ουρανών τά άρρητα, έδωκαν τοίς επί γής ιάματα, καί αι σκιαί αυτών μόναι τά πάθη εθεράπευον, ο εξ αλιέων εθαυματούργει καί ο εξ Ιουδαίων εθεολόγει, τής χάριτος τά δόγματα, δι' ών Εύσπλαγχνε, δός ημίν τό μέγα σου έλεος.

Στίχ. Α'. Πρός σέ ήρα τούς οφθαλμούς μου, τόν κατοικούντα εν τώ ουρανώ. Ιδού, ως οφθαλμοί δούλων εις χείρας τών κυρίων αυτών, ως οφθαλμοί παιδίσκης εις χείρας τής κυρίας αυτής, ούτως οι οφθαλμοί ημών πρός Κύριον τόν Θεόν ημών, έως ού οικτιρήσαι ημάς.

Οι εξ αδίκων πράξεων, πάντοθεν πολεμούμενοι, καί πρός σέ καταφεύγοντες, τόν όντως όντα Θεόν, τήν φωνήν τών σών Μαθητών, προσφέρομέν σοι, λέγοντες, Σώσον ημάς, Επιστάτα, απολλύμεθα, δείξον καί νύν τοίς εχθροίς ημών δεόμεθα, ότι σκέπεις λαόν, καί σώζεις εκ κινδύνων, τη πρεσβεία τών Αποστόλων, παρορών αμαρτίας διά πολλήν αγαθότητα, Κύριε δόξα σοι.

Μαρτυρικόν

Στίχ. Β'. Ελέησον ημάς, Κύριε, ελέησον ημάς, ότι επί πολύ επλήσθημεν εξουδενώσεως, επί πλείον επλ ήσθη η ψυχή ημών, τό όνειδος τοίς ευθηνούσι, καί η εξουδένωσις τοίς υπερηφάνοις.

Μεγάλη η δόξα, ήν εκτήσασθε Άγιοι, διά τής πίστεως! ου μόνον γάρ εν τώ πάσχειν, τόν εχθρόν ενικήσατε, αλλά καί μετά θάνατον πνεύματα απελαύνετε, ασθενούντας θεραπεύετε, ψυχών καί σωμάτων ιατροί, πρεσβεύσατε πρός Κύριον, ελεηθήναι τάς ψυχάς ημών.

Δόξα... Καί νύν... Θεοτοκίον

Ότε εκ τού ξύλου

Πάντων προστατεύεις Αγαθή, τών καταφευγόντων εν πίστει, τή κραταιά σου χειρί, άλλην γάρ ουκ έχομεν, αμαρτωλοί πρός Θεόν, εν κινδύνοις καί θλίψεσιν, αεί μεσιτείαν, οι κατακαμπτόμενοι, υπό πταισμάτων πολλών. Μήτερ τού Θεού τού Υψίστου, όθεν σοι προσπίπτομεν ρύσαι, πάσης περιστάσεως τούς δούλους σου.

Μετά τήν α' Στιχολογίαν

Καθίσματα Αποστολικά

Ήχος β'

Ο σοφίσας υπέρ ρήτορας τούς αλιείς, καί εκπέμψας ώσπερ κήρυκας πάση τή γή, αφάτω

φιλανθρωπία, Χριστέ ο Θεός, δι' αυτών κραταίωσον τήν Εκκλησίαν σου, καί τοίς πιστοίς κατάπεμψον τήν ευλογίαν σου, ο μόνος ελεήμων καί φιλάνθρωπος.

Σαγηνεύσαντες τά έθνη οι αλιείς, καί διδάξαντες τά πέρατα σέ προσκυνείν, σύν Πατρί καί Πνεύματι, Χριστέ ο Θεός, δι' αυτών στερέωσον Πίστιν τήν ένθεον, καί τοίς λαοίς κατάπεμψον νύν τά ελέη σου, ο μόνος εν Αγίοις αναπαυόμενος.

Δόξα... Καί νύν... Θεοτοκίον

Θείας γεγόναμεν κοινωνοί φύσεως, διά σού Αειπάρθενε, Θεόν γάρ ημίν σεσαρκωμένον έτεκες, διό κατά χρέος σε, πάντες ευσεβώς μεγαλύνομεν.

Μετά τήν β' Στιχλογίαν έτερα Αποστολικά

Ευσπλαγχνίας υπάρχουσα

Ευσπλαγχνία πτωχεύσας ο Θεός, πλουτιστάς εξαπέστειλεν υμάς εν τώ κόσμω, φαίνοντας πτωχεία τού κηρύγματος, πλούτον τόν ουράνιον τοίς πέρασι, δι' ών καί πλουτήσαντες, τήν πίστιν τήν ένθεον, ανυμνούμεν ευσεβώς, τήν θείαν υμών μνήμην Απόστολοι.

Τής σοφίας υπάρχοντες Θεού, Μαθηταί καί αυτόπται, τών σοφών καί ρητόρων, άσοφον σοφίαν εξεφαύλισαν, τή ιδιωτεία τού κηρύγματος, τά έθνη σοφίσαντες, οι θείοι Απόστολοι, ορθοδόξως ανυμνείν, τόν Δημιουργόν καί μόνον Κύριον.

Δόξα... Καί νύν... Θεοτοκίον

Βοηθός τοίς εν θλίψει θεοκυήτορ, καί προστάτις υπάρχεις τοίς εν ανάγκαις, απεγνωσμένοις ελπίδα παρέχουσα, καί ανιάτων τάς νόσους καθαίρουσα, Θεοτόκε Πανύμνητε, διό υπέρ ημών δυσώπει τόν Κύριον.

Μετά τήν γ' Στιχολογίαν

έτερα Καθίσματα τού Αγίου Νικολάου

Ταίς τών θαυμάτων ακτίσι Νικόλαε, καταφαιδρύνεις υφήλιον άπασαν, καί λύεις τόν ζόφον τών θλίψεων, καί τών κινδύνων ελαύνεις τήν έφοδον, προστάτης υπάρχων θερμότατος.

Μαρτυρικόν

Απόστολοι, Μάρτυρες, καί Προφήται, Ιεράρχαι, Όσιοι καί Δίκαιοι, οι καλώς τόν αγώνα τελέσαντες, καί τήν Πίστιν τηρήσαντες, παρρησίαν έχοντες πρός τόν Σωτήρα, υπέρ ημών αυτόν ως αγαθόν ικετεύσατε, σωθήναι δεόμεθα τάς ψυχάς ημών.

Δόξα... Καί νύν... Θεοτοκίον

Η μόνη Θεόν ασπόρως κυήσασα, καί μετά φρικτήν λοχείαν αγνεύουσα, σοί προσπίπτω Άχραντε, μετά φόβου κράζων καί πίστεως. Εκ παθών καί νόσων δεινών, καί πάσης ανάγκης με διάσωσον.

Ωδή α' Ήχος β' Ο Ειρμός

Εν βυθώ κατέστρωσέ ποτε, τήν Φαραωνίτιδα, πανστρατιάν η υπέροπλος δύναμις, σαρκωθείς ο Λόγος δέ, τήν παμμόχθηρον αμαρτίαν εξήλειψεν, ο δεδοξασμένος Κύριος, ενδόξως γάρ δεδόξασται.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Τού φωτός τού θείου αστραπαί, πίστει χρηματίσαντες, φωτοειδείς τού Σωτήρος Απόστολοι, όλον με φωτίσατε, σκοτιζόμενον ηδονών αμαυρότησι, καί εν αμελεία, πάντα μου τόν βίον διανύοντα.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Μαθηταί καί φίλοι τού Χριστού, φίλον με γενόμενον, τού δυσμενούς διά κακών οικείωσιν, τούτου εκλυτρώσασθε, συγκινούντές μου τήν ψυχήν εις αγάπησιν, τού πεφιληκότος, γένος τών βροτών δι' αγαθότητα.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Ταπεινή ψυχή μου πρό θανής, σπεύσον μετανόησον, καί σεαυτήν νενεκρωμένην πένθησον, όπως ο τόν Λάζαρον, τετραήμερον αναστήσας ως εύσπλαγχνος, καί σέ αναστήση, ταίς τών

Αποστόλων παρακλήσεσιν.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Αγαθόν κυήσασα Θεόν, πάντας αγαθύνοντα, τούς τή φθορά κεκρατημένους Πάναγνε, τούτον καθικέτευε, Παναμώμητε, σύν Προφήταις καί Μάρτυσι, καί τοίς Αποστόλοις, πάντας λυτρωθήναι παραβάσεως.

Κανών τού Αγίου Νικολάου, ού η Ακροστιχίς.
Σοί, Νικόλαε, θείον εξάδω μέλος.

Ειρμός ο αυτός

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Στεφηφόρος βήματι Χριστού, πάνσοφε Νικόλαε, παρεστηκώς σύν Αγγέλων στρατεύμασι, φωτισμόν μοι δώρησαι, καταυγάζοντα τής ψυχής μου τήν ζόφωσιν, όπως ευφημήσω, χαίρων σου παμμάκαρ τό μνημόσυνον.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Ο δοξάζων πάντας τούς αυτόν, Κύριος δοξάζοντας, σέ τοίς πιστοίς καταφύγιον δέδωκε, πειρασμών ρυόμενον, τούς προστρέχοντας τή σή σκέπη Νικόλαε, καί προσκαλουμένους, πίστει σε καί πόθω παναοίδιμε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ισωθήναι πόθον μοι ενθείς, όφις ο παμπόνηρος, τώ πλαστουργώ, ως αιχμάλωτον είλέ με, διά σού δέ Πάναγνε, ανακέκλημαι, θεωθείς αληθέστατα, σύ γάρ Θεομήτορ, τόν εμέ Θεώσαντα γεγέννηκας.

Ωδή γ'  Ο Ειρμός

Εξήνθησεν η έρημος, ωσεί κρίνον Κύριε, η τών εθνών, στειρεύουσα Εκκλησία, τή παρουσία σου, εν ή εστερεώθη η καρδία μου.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Διδάσκαλον κτησάμενοι, τήν σοφίαν ένδοξοι, τήν τού Πατρός εν Πνεύματι, τών Ελλήνων απεμωράνατε, τήν σοφίαν θεόπται αξιάγαστοι.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Τήν στείρωσιν πανεύφημοι, τής ψυχής μου λύσατε, καί ευτεκνίαν πράξεων, εναρέτων φέρειν, ποιήσατε, ως τού Λόγου αυτόπται πανσεβάσμιοι.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Δεινώς με φαρμαχθέντα νύν, τώ ιοβόλω δήγματι, τού δυσμενούς θεράπευσον, ικεσίαις τών Αποστόλων σου, Ευεργέτα τών όλων πολυέλεε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Χριστόν τόν υπεράγαθον, εκδυσώπει Πάναγνε, σύν Αποστόλοις άπασι, πάσης βλάβης καί περιστάσεως, καί κινδύνων ρυσθήναι τούς υμνούντάς σε.

Κανών τού Αγίου Νικολάου
Ειρμός ο αυτός

Νικόλαε μακάριε, τού Δεσπότου γνήσιος, σύ μαθητής γενόμενος, διασώζεις τούς σοί προστρέχοντας, χαλεπών εκ κινδύνων, καί θανάτου πικρού.

Ιλάσθητι τοίς δούλοις σου, τών πταισμάτων άφεσιν, ως αγαθός δωροϋμενος, Νικολάου τού σού θεράποντος, ταίς πρός σέ μεσιτείαις πολυέλεε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Κατεύνασον τόντάραχον, τών παθών μου Δέσποινα, καί τήν ζωήν κυβέρνησον, Παναγία Θεόν η τέξασα, εν ώ εστερεώθη η καρδία μου.

Ωδή δ'  Ο Ειρμός

Ελήλυθας εκ Παρθένου, ου πρέσβυς, ουκ Άγγελος, αλλ' αυτός ο Κύριος σεσαρκωμένος, καί έσωσας, όλον με τόν άνθρωπον, διό κραυγάζω σοι. Δόξα τή δυνάμει σου Κύριε, εινώντά με καί λιμώ, καθ' εκάστην τηκόμενον, σωτηρίου βρώσεως έμπλησον, μόνε Αθάνατε, θείαις παρακλήσεσι, τών εις τόν σύμπαντα κόσμον κηρυξάντων σε.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Εις θάλασσαν κοσμικήν, επεβίβασας άπαντας, ως ίππους φιλάνθρωπε, τούς ευκλεείς Αποστόλους σου, ταύτης συνταράσσοντας, τής αλμυράς απιστίας πικρά ύδατα.

Τόν Ήλιον τοίς εν σκότει, Χριστόν ανατείλαντες, εν σκότει με κείμενον, τής αμαρτίας φωτίσατε, είργοντες πανεύφημοι, τάς πονηράς ενθυμήσεις τής καρδίας μου.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Πανύμνητε η Θεόν, υπερύμνητον τέξασα, υπέρ τών υμνούντων σε, σύν Αποστόλοις ικέτευε, όπως λυτρωθείημεν, αμαρτιών καί κινδύνων καί κολάσεως.

Κανών τού Αγίου Νικολάου

Ειρμός ο αυτός

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Ομιλήσας καθαρώς, ταίς ακτίσι τού Πνεύματος, φωτοφόρος γέγονας, κόσμου φωτίζων τά πέρατα, πάσι προϊστάμενος, καί πάντας σώζων τούς πίστει σε δοξάζοντας.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Λυτρούμενος εκ θανάτου, ως ώφθης τό πρότερον, νεανίας όσιε, ούτω καί νύν με διάσωσον, πάσης περιστάσεως, καί πειρασμών καί κινδύνων παμμακάριστε.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Απήστραψας αρετών, λαμπηδόνας πανόλβιε, μιμητής πανάριστος, τού σού Δεσπότου γενόμενος, σώζεις δέ καλούμενος, τούς ευλαβεία καί πόθω σε δοξάζοντας.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ελήλυθεν επί σοί, ο Δεσπότης τής κτίσεως, σωματωθησόμενος, καί διασώζων ως εύσπλαγχνος, όλον με τόν άνθρωπον, διό σε πάντες Θεοτόκον πιστοί σέβομεν.

Ωδή ε'  Ο Ειρμός

Μεσίτης Θεού, καί ανθρώπων γέγονας, Χριστέ ο Θεός, διά σού τόν αρχίφω γάρ Δέσποτα, τήν πρός τόν Πατέρα σου, εκ νυκτός αγνωσίας, προσαγωγήν εσχήκαμεν.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Ο μέγας ποιμήν, μέσον λύκων έστειλεν ως πρόβατα, αυτούς μεταπλάττοντα, τή θεοσθενεία τού βαπτίσματος, καί τώ κάλλει τών λόγων, τούς θείους Μαθητάς αυτού.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Τώ θείω φωτί, τάς εν ζόφω πλάνης εφωτίσατε, καρδίας Απόστολοι, όθεν ικετεύω, σκοτισθέντα με ηδονών αμαυρώσει, φωτίσατε μακάριοι.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Αθλία ψυχή, πρό τού τέλους σπεύσον μετανόησον, Κυρίω κραυγάζουσα. Ήμαρτόν σοι Δέσποτα συγχώρησον, διά τών Αποστόλων, καί σώσόν με ως εύσπλαγχνος.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φωτί με τώ σώ, τόν εν σκότει κείμενον καταύγασον, Φωτός οικητήριον, καί σύν Αποστόλοις καθικέτευε, από πάσης ανάγκης, ρυσθήναι ταίς πρεσβείαις σου.

## Κανών τού Αγίου Νικολάου

### Ο Ειρμός

Ο φωτισμός, τών εν σκότει κειμένων, η σωτηρία, τών απεγνωσμένων Χριστέ Σωτήρ μου πρός σέ ορθρίζω, Βασιλεύ τής ειρήνης, φώτισόν με τή επιλάμψει σου, άλλον γάρ εκτός σου Θεόν ουκ επίσταμαι.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Θεοπρεπεί, πολιτεία, τρισμάκαρ λελαμπρυσμένος, τούς κατακριθέντας αδίκω ψήφω, θανατωθήναι παραστάς ελυτρώσω, τώ Δεσπότη Χριστώ κραυγάζοντας. Έτερον εκτός σου, Θεόν ου γινώσκομεν.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Εν ουρανοίς, την αϊδιον δόξαν νύν εποπτεύων, καί τής απορρήτου θείας αίγλης, ταίς φανοτάταις εντρυφών λαμπηδόσι, σκέπασόν με τή προστασία σου, όσιε θεράπον Χριστού πανσεβάσμιε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ίνα τήν σήν, εκζητήσης εικόνα συγκεχωσμένην, τοίς πάθεσι Σώτερ τάς ουρανίους, λαθών δυνάμεις, σαρκωθείς εκ Παρθένου, επεφάνης τοίς σοί κραυγάζουσιν. Έτερον εκτός σου Θεόν ου γινώσκομεν.

### Ωδή ς'  Ο Ειρμός

Εν αβύσσω πταισμάτων κυκλούμενος, τήν ανεξιχνίαστον τής ευσπλαχγνίας σου, επικαλούμαι άβυσσον. Εκ φθοράς ο Θεός με ανάγαγε.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Οι τό ύδωρ τό ζών ευπορήσαντες, τήν κατατακείσαν ψυχήν μου τώ καύσωνι, τής αμαρτίας δέομαι, μαθηταί τού Σωτήρος ποτίσατε.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Ουρανοί νοητοί χρηματίσαντες, δόξαν τού Θεού διηγείσθε τήν άρρητον, θεοφεγγείς Απόστολοι, ής τυχείν ημάς πάντας πρεσβεύσατε.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Εν πελάγει δεινώς κυματούμενος, σοί τώ τού παντός κυβερνήτη, προσέρχομαι, διά των Αποστόλων σου, σωτηρίας πρός όρμον με ίθυνον.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Μετά πασών τών άνω Δυνάμεων, μετά Προφητών, Αποστόλων, Μαρτύρων σου, εις ιλασμόν προσάγω σοι, τήν Μητέρα σου, οίκτειρον, σώσόν με.

Κανών τού Αγίου Νικολάου

Ειρμός ο αυτός

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Ο τής νίκης Νικόλαε στέφανος, τή σή κορυφή αξίως επιτίθεται, ως νικητής ούν άριστος, τούς σέ προσκαλουμένους διάσωσον.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Νεκρωθέντα με μάκαρ τοίς πταίσμασι, καί ταίς τών παθών τρικυμίαις ποντούμενον, επιφανείς διάσωσον, πρός λιμένα τού θείου θελήματος.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Επί σοί τάς ελπίδας ανέθηκα, Μήτερ αειπάρθενε τής σωτηρίας μου, καί σέ προστάτιν τίθημι, τής ζωής ασφαλή τε καί άσειστον.

Ωδή ζ'  Ο Ειρμός

Αντίθεον πρόσταγμα παρανομούντος, τυράννου μετάρσιον, τήν φλόγα ανερρίπισε, Χριστός δέ εφήπλωσε, θεοσεβέσι Παισί, δρόσον τήν τού Πνεύματος, ο ών ευλογημένος καί υπερένδοξος.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Πυρί θείου πνεύματος προσαναφθέντες, τής πλάνης τούς άνθρακας, Απόστολοι εσβέσατε, Θεού δέ τόν έρωτα, εν ταίς φρεσί τών πιστών, πάντων επανήψατε, διό μεγαλοφώνως υμάς γεραίρομεν.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Τόν κόσμον μισήσαντες καί τά εν κόσμω, Χριστόν ηγαπήσατε, εν κόσμω μετά σώματος, βροτοίς ομιλήσαντα, όν ικετεύσατε, πάντων τών εν βίω με δεινών, ελευθερώσαι, θείοι Απόστολοι.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Κριτά δικαιότατε καρδιογνώστα, ο μόνος τά κρύφια, ειδώς μου πλημμελήματα, εν ώρα τής κρίσεως μή κατακρίνης με, μηδέ πέμψης με εις πύρ, ταίς ικεσίαις τών Αποστόλων σου.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τό πύρ τής θεότητος ου κατεφλέχθης, αρρήτως κυήσασα, Παρθένε απειρόγαμε, διό καθικέτευε σύν Αποστόλοις αγνή, διαιωνιζούσης με φλογός, ελευθερώσαι τόν σέ δοξάζοντα.

Κανών τού Αγίου Νικολάου

Ο Ειρμός

Εικόνος χρυσής, εν πεδίω Δεειρά λατρευομένης, οι τρείς σου Παίδες κατεφρόνησαν, αθεωτάτου προστάγματος, μέσον δέ πυρός εμβληθέντες, δροσιζόμενοι έψαλλον, Ευλογητός εί ο Θεός ο τών

Πατέρων ημών.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Ξυρώ πειρασμώ περιπέπτωκα δεινώς κατακεντούμενος, καί πύλαις άδου προσεπέλασα, ταίς αθυμίαις βαλλόμενος, σώσόν με πρεσβείαις σου μάκαρ, καί ανάστησον ψάλλειν σοι. Σέ μακαρίζω ιερέ, Χριστού θεράπον αεί.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Αδύτου φωτός, ταίς αϋλοις αστραπαίς περιλαμπόμενος, τούς εν τώ σκότει τώ τών θλίψεων, κεκρατημένους εξάρπασον, καί πρός φωτισμόν ευσεβείας, καθοδήγησον ψάλλοντας. Σέ μακαρίζομεν αεί, θεράπον όντως Χριστού.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Δυσώπει Χριστόν, τόν Υιόν σου καί Θεόν θεογεννήτρια, τούς πεπραμένους δεινοίς πταίσμασι, καί ταίς απάταις τού όφεως, αίματι αυτού, τώ τιμίω, αναρρύσασθαι ψάλλοντας. Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

## Ωδή η'  Ο Ειρμός

Κάμινός ποτε, πυρός εν Βαβυλώνι, τάς ενεργείας διεμέριζε, τώ θείω προστάγματι, τούς Χαλδαίους καταφλέγουσα, τούς δέ πιστούς δροσίζουσα, ψάλλοντας, Ευλογείτε, πάντα τά έργα τόν Κύριον.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Σωματοειδώς, υμίν επιφοιτήσαν, πυρός εν είδει Παράκλητον, Πνεύμα απειργάσατο, ως λαμπάδας φλογιζούσας μέν αθέους, φωτιζούσας δέ, πάντας τούς ευσεβούντας, θείοι τού λόγου Απόστολοι.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Πάθει τά δεινώς, χειμάζοντα Οικτίρμον, τήν αδιόρθωτον καρδίαν μου, θεράπευσον δέομαι, τήν ψυχήν μου φωταγώγησον, τόν νούν μου καθοδήγησον, ρέποντα εις κακίαν, τών Μαθητών σου δεήσεσιν.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Στέναξον ψυχή, καί δάκρυσον συντόνως, καί σεαυτήν πρό τέλους πένθησον, πρό τού καταλάβη σε, ο κλαυθμός ο απαράκλητος, καί βόησον τώ Κτίστη σου. Δέσποτα οίκτειρόν με, τών Αποστόλων δεήσεσιν.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Κάμινός ποτε, μή φλέξασα τούς Παίδας, τήν σήν λοχείαν προεικόνιζε, Παρθένε Πανάχραντε, διά τούτο ικετεύω σε, σύν Αποστόλοις πρέσβευε, άπασι καί Προφήταις, πυρός γεέννης ρυσθήναί με.

## Κανών τού Αγίου Νικολάου
## Ο Ειρμός

Τόν εν καμίνω τού πυρός, τών Εβραίων τοίς Παισί συγκαταβάντα, καί τήν φλόγα εις δρόσον μεταβαλόντα Θεόν, υμνείτε τά έργα ως Κύριον, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Ως ευμενής καί συμπαθής, τούς εν βάθει πειρασμών περισχεθέντας, ελευθέρωσον μάκαρ, τών κατεχόντων δεινών, τήν λύσιν βραβεύων πρεσβείαις σου, ταίς πρός τόν Σωτήρα, Χριστόν

ιερομύστα.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Μυσταγωγός τών υπέρ νούν, τών αϋλων λειτουργός καί ουρανίων, χρηματίζων θεόφρον, Αρχιερεύς τε πιστός, πταισμάτων τήν άφεσιν αίτησαι, παρά τού Σωτήρος ημών ιερομύστα.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Εξασθενεί μου νύν ο νούς, εις τά βάθη εμπεσών τής ατιμίας, ως εντεύθεν ποικίλοις περιπαρήναι κακοίς, αλλά σύ Παρθένε θεράπευσον, τώ τής απαθείας φωτί περιβαλούσα.

## Ωδή θ'  Ο Ειρμός

Ανάρχου Γεννήτορος, Υιός Θεός καί Κύριος, σαρκωθείς εκ Παρθένου ημίν επέφανε, τά εσκοτισμένα φωτίσαι, συναγαγείν τά εσκορπισμένα, διό τήν Πανύμνητον, Θεοτόκον μεγαλύνομεν.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Εμέ τόν κατάκριτον, εμέ τόν αδιόρθωτον, τόν τών σών προσταγμάτων καταφρονήσαντα, καί ταίς τών δαιμόνων απάταις, φρενοβλαβώς εξακολουθούντα, επίστρεψον Κύριε, προσευχαίς τών Αποστόλων σου.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Απόστολοι ένδοξοι, Απόστολοι μακάριοι, μαθηταί τού Σωτήρος, κήρυκες πάνσοφοι, πάσης με λυτρώσασθε βλάβης, πάσης οργής, πάσης αμαρτίας, πάσης περιστάσεως, καί ποικίλης παραβάσεως.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Ψυχήν αδιόρθωτον, προσφέρων καί συνείδησιν, συγχωσθείσαν τή ύλη τών παραπτώσεων, καί μεμολυσμένην καρδίαν, καί λογισμόν κατεσπιλωμένον, βοώ σοι φιλάνθρωπε. Οίκτειρόν με τώ ελέει σου.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Απόστολοι Πάναγνε, τόν σόν Υιόν εκήρυξαν, εις τόν σύμπαντα κόσμον, Θεόν καί άνθρωπον, όθεν σύν αυτοίς εκδυσώπει, τή φοβερά ημέρα τής δίκης, ρυσθήναι κολάσεως, τούς πιστώς Σε μεγαλύνοντας.

## Κανών τού Αγίου Νικολάου

Ειρμός ο αυτός

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Λαμπάσι τής χάριτος, θεόφρον φωτιζόμενος, καί φωστήρ ευσεβείας σαφώς γενόμενος, τούς εν πειρασμοίς διασώζεις, τούς εν βυθώ θαλάσσης λυτρούσαι, καί τρέφεις λιμώττοντας, παραδόξως παμμακάριστε.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Ως εν Παραδείσω τής τρυφής, νύν αυλιζόμενος, καί την άφραστον δόξαν τρανώς Θεώμενος, εκ τών ουρανίων αψίδων, τούς υμνητάς τούς σούς εποπτεύεις, παθών εκλυτρούμενος, θεοφόρε πανσεβάσμιε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σοφίαν καί δύναμιν, καί Λόγον ενυπόστατον, τού Πατρός Θεομήτορ αγνή συνέλαβες, εκ τών σών αχράντων αιμάτων, τόν εαυτής ναόν προσλαβούσαν, καί τούτω καθ' ένωσιν, ενωθείσαν αδιάρρηκτον.

Απόστιχα τών Αίνων Αποστολικά

Εμεγάλυνας Χριστέ, εν τή οικουμένη τών κορυφαίων Αποστόλων τά ονόματα, έμαθον τών ουρανών τά άρρητα, έδωκαν τοίς επί γής ιάματα, καί αι σκιαί αυτών μόναι, τά πάθη εθεράπευον, ο εξ αλιέων εθαυματούργει, καί ο εξ Ιουδαίων εθεολόγει, τής χάριτος τά δόγματα, δι' ών Εύσπλαγχνε, δός ημίν τό μέγα σου έλεος.

Στίχ. α'. Ενεπλήσθημεν τό πρωϊ τού ελέους σου, Κύριε, καί ηγαλλιασάμεθα καί ηυφράνθημεν έν πάσαις ταίς ημέραις ημών. Ευφρανθείημεν, ανθών ημερών εταπείνωσας ημάς, ετών, ών είδομεν κακά, καί ίδε επί τούς δούλους σου καί επί τά έργα σου, καί οδήγησον τούς υιούς αυτών.

Οι εξ αδίκων πράξεων, πάντοθεν πολεμούμενοι, καί πρός σέ καταφεύγοντες, τόν όντως όντα Θεόν, τήν φωνήν τών σών Μαθητών, προσφερομέν σοι λέγοντες. Σώσον ημάς, Επιστάτα, απολλύμεθα, δείξον καί νύν τοίς εχθροίς ημών δεόμεθα, ότι σκέπεις λαόν, καί σώζεις εκ κινδύνων, τή πρεσβεία τών Αποστόλων, παρορών αμαρτίας, διά πολλήν αγαθότητα, Κύριε δόξα σοι.

Μαρτυρικόν

Στίχ. β'. Καί έστω η λαμπρότης Κυρίου τού Θεού ημών εφ' ημάς, καί τά έργα τών χειρών ημών κατεύθυνον εφ' ημάς, καί τό έργον τών χειρών ημών κατεύθυνον.

Πάσα πόλις καί χώρα, τιμά υμών τά λείψανα, ώ αθλοφόροι Μάρτυρες, υμείς γάρ νομίμως αθλήσαντες, στέφανον ουράνιον ελάβετε, καί διά τούτο Ιερέων εστέ τό καύχημα, Βασιλέων τό νίκος, Εκκλησιών η ευπρέπεια.

Δόξα... Καί νύν... Θεοτοκίον

Ότε εκ τού ξύλου σε νεκρόν

Πάντων θλιβομένων η χαρά, καί αδικουμένων προστάτις, καί τών πεινώντων τροφή, ξένων τε παράκλησις, χειμαζομένων λιμήν, ασθενούντων επίσκεψις, καταπονουμένων, σκέπη καί αντίληψις, καί βακτηρία τυφλών, Μήτηρ τού Θεού τού Υψίστου, όθεν σοι προσπίπτομεν πάντες, πάσης ημάς ρύσαι περιστάσεως.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

### Οι Μακαρισμοί

Μακάριοι οι ειρηνοποιοί, ότι αυτοί υιοί Θεού κληθήσονται.

Τήν φωνήν σοι προσάγομεν, τού ληστου καί βοώμέν σοι. Μνήσθητι ημών Σωτήρ, εν τή Βασιλεία σου.

Μακάριοι οι δεδιωγμένοι ένεκεν δικαιοσύνης, ότι αυτών εστιν η βασιλεία τών ουρανών.

Τά τού κόσμου πληρώματα, διελθόντες Απόστολοι, σκότους τού τής πλάνης βροτούς, ερρύσασθε Πάνσοφοι.

Μακάριοί εστε όταν ονειδίσωσιν υμάς, καί διώξωσι, καί είπωσι πάν πονηρόν ρήμα καθυμών ψευδόμενοι ένεκεν εμού.

Τή σαγήνη τής χάριτος, εκ βυθού ματαιότητος, ανθρώπους μύσται σοφοί, σαφώς ανειλκύσατε.

Μαρτυρικόν

Χαίρετε καί αγαλλιάσθε, ότι ο μισθός υμών πολύς εν τοίς ουρανοίς.

Τούς τόν δρόμον τελέσαντας, καί τήν πίστιν τηρήσαντας, τούς Αθλοφόρους Χριστού, συμφώνως υμνήσωμεν.

Δόξα...

Ισουργόν τώ Γεννήτορι, τόν Υιόν σύν τώ Πνεύματι, άπαντες νύν οι πιστοί, εν φόβω δοξάσωμεν.

Και νύν...

Αποστόλων τό καύχημα, Αθλητών εγκαλλώπισμα, σύ εί Παρθένε αγνή, καί κόσμου διάσωσμα.

top
2-6

Στιχηρά προσόμοια Σταυρώσιμα Δεσποτικά
Ήχος β'
Ότε εκ τού ξύλου σε νεκρόν

Στίχ. α'. Εάν ανομίας παρατηρήσης, Κύριε, Κύριε τίς υποστήσεται; ότι παρά σοί ο ιλασμός εστιν.

Σώτερ τώ Σταυρώ προσηλωθείς, ήλιος ιδών εσκοτίσθη, από τού φόβου σου, καί τό καταπέτασμα Ναού ερρήγνυτο, η δέ γή κατεσείετο, καί πέτραι ωσαύτως, τρόμω διεσχίζοντο, οράν μή σθένουσαι, κτίστην καί Θεόν επί ξύλου, πάσχοντα αδίκως βουλήσει, καί υπό ανόμων υβριζόμενον.

Στίχ. β'. Ένεκεν τού ονόματός σου υπέμεινά σε, Κύριε, υπέμεινεν η ψυχή μου εις τόν λόγον σου, ήλπισεν η ψυχή μου επί τόν Κύριον.

Όλος καταβέβληται εις γήν, όλος ανετράπη καί κείται, πτώμα εξαίσιον, όφις ο παμπόνηρος, ανυψωθέντος σου, επί ξύλου Φιλάνθρωπε, Αδάμ δέ κατάρας, λύεται καί σώζεται, ο πρίν κατάκριτος, όθεν καί ημείς δυσωπούμεν, σώσον ημάς, οίκτειρον πάντας, καί τής Βασιλείας σου αξίωσον.

Στίχ. γ'. Από φυλακής πρωϊας μέχρι νυκτός, από φυλακής πρωϊας ελπισάτω Ισραήλ επί τόν Κύριον.

Ότε σε ο άνομος λαός, Σώτερ τήν ζωήν τών απάντων, ξύλω ανήρτησε, τότε κτίσις άπασα, φόβω ετρόμαξε, τά τού άδου βασίλεια, και κράτος θανάτου, πάντα εξηφάνισται, θεία δυνάμει σου, τότε καί Αδάμ ο προπάτωρ, χαίρων ανεβόα σοι. Δόξα, τή συγκαταβάσει σου, Φιλάνθρωπε.

Έτερα τής Θεοτόκου, όμοια

Στίχ. δ'. Ότι παρά τώ Κυρίω τό έλεος, καί πολλή παρ' αυτώ, λύτρωσις. καί αυτός λυτρώσεται τόν Ισραήλ έκ πασών τών ανομιών αυτού.

Νεύσον ταίς δεήσεσιν Αγνή, τών σών οικετών, καί παράσχου, πηγάς δακρύων ημίν, ίνα αποπλύνωμεν τών εγκλημάτων ημών, τάς κηλίδας Πανάμωμε, καί σβέσωμεν φλόγα, τού διαιωνίζοντος, καί πικροτάτου πυρός, σύ γάρ τών εξ όλης καρδίας, Σέ τήν τού Δεσπότου Μητέρα, επικαλουμένων τάς δεήσεις πληροίς.

Στίχ. ε'. Αινείτε τόν Κύριον πάντα τά έθνη, επαινέσατε αυτόν, πάντες οι λαοί.

Ζάλη εναντίον λογισμών, καί ταίς τρικυμίαις τού βίου, κλυδωνιζόμενος, πνεύμασιν ατάκτοις τε περιφερόμενος, τού δεινού κοσμοκράτορος, βοώ σοι Παρθένε. Σπεύσον εξελέσθαι με, τών κατεχόντων δεινών, όπως ευχαρίστω καρδία, σού τά μεγαλεία κηρύττω, πάσι τοίς πιστοίς θεοχαρίτωτε.

Στίχ. ς'. Ότι εκραταιώθη τό έλεος αυτού εφ' ημάς, καί η αλήθεια τού Κυρίου μένει εις τόν αιώνα.

Ίδε τήν ασθένειαν εμήν, καί τήν τής αθλίας ψυχής μου, ταλαιπωρίαν Αγνή, καί τήν τής καρδίας μου, κάκωσιν Δέσποινα, καί βουλάς διασκέδασον, εχθρών αοράτων, τών επεμβαινόντων μοι, καί πολεμούντων δεινώς, σύ γάρ τόν Θεόν τετοκυία, τοίς εν τοίς κινδύνοις τελούσι, δύνασαι παρέχειν απολύτρωσιν.

Δόξα... Καί νύν... Σταυροθεοτοκίον

Ώ τής αγαθότητος τής σής! ώ τής υπέρ νούν ευσπλαγχνίας! ώ τής πολλής ανοχής, καί μακροθυμίας σου, Λόγε προάναρχε! η Παρθένος εκραύγαζεν, ολοφυρομένη, πώς ο ών αθάνατος, θανείν ηγάπησας; μέγα τό μυστήριον βλέπω, όμως προσκυνώ σου τά Πάθη, άπερ εκουσίως καθυπέμεινας.

### Απόστιχα Σταυρώσιμα

Σώσόν με Χριστέ Σωτήρ, τή δυνάμει τού Σταυρού, ο σώσας Πέτρον εν τή θαλάσση, καί ελέησόν με ο Θεός.

Στίχ. Α'. Πρός σέ ήρα τούς οφθαλμούς μου, τόν κατοικούντα εν τώ ουρανώ. Ιδού, ως οφθαλμοί δούλων εις χείρας τών κυρίων αυτών, ως οφθαλμοί παιδίσκης εις χείρας τής κυρίας αυτής, ούτως οι οφθαλμοί ημών πρός Κύριον τόν Θεόν ημών, έως ού οικτιρήσαι ημάς.

Τού Σταυρού σου τό ξύλον, Χριστέ ο Θεός, ξύλον ζωής ανέδειξας ημίν, τοίς πιστεύουσιν εις σε, καί δι' αυτού καταργήσας, τόν τό κράτος έχοντα τού θανάτου, εζωοποίησας ημάς, νεκρωθέντας τή αμαρτία, διό βοώμέν σοι. Ευεργέτα τών απάντων, Κύριε δόξα σοι.

### Μαρτυρικόν

Στίχ. Β'. Ελέησον ημάς, Κύριε, ελέησον ημάς, ότι επί πολύ επλήσθημεν εξουδενώσεως, επί πλείον επλ ήσθη η ψυχή ημών, τό όνειδος τοίς ευθηνούσι, καί η εξουδένωσις τοίς υπερηφάνοις.

Οι τήν επίγειον απόλαυσιν, μή ποθήσαντες Αθλοφόροι, ουρανίων αγαθών ηξιώθησαν, καί Αγγέλων συμπολίται γεγόνασι, Κύριε πρεσβείαις αυτών, ελέησον καί σώσον ημάς.

### Δόξα... Καί νύν... Σταυροθεοτοκίον

### Ότε εκ τού ξύλου σε νεκρόν

Βότρυν τόν παμπέπειρον Αγνή, όν αγεωργήτως εν μήτρα εκυοφόρησας, ξύλω ως εώρακας, τούτον κρεμάμενον, θρηνωδούσα ηλάλαζες, καί έκραζες. Τέκνον, γλεύκος εναπόσταξον, όπως η μέθη αρθή, πάσα τών παθών Ευεργέτα, δι' εμού τής σέ τετοκυϊας, σού τήν ευσπλαγχνίαν ενδεικνύμενος.

### Μετά τήν α' Στιχολογίαν

### Καθίσματα Σταυρώσιμα

### Ήχος β'

Σωτηρίαν ειργάσω εν μέσω τής γής, Χριστέ ο Θεός, επί Σταυρού τάς αχράντους σου χείρας εξέτεινας, επισυνάγων πάντα τά έθνη, κράζοντα, Κύριε δόξα σοι.

Τόν ζωοποιόν Σταυρόν, τής σής αγαθότητος, όν εδωρήσω ημίν τοίς αναξίοις Κύριε, σοί προσάγομεν εις πρεσβείαν, σώζε τούς Βασιλείς καί τήν πόλιν σου, ειρηνεύοντας διά τής Θεοτόκου, μόνε φιλάνθρωπε.

### Δόξα... Καί νύν... Σταυροθεοτοκίον

### Ευσπλαγχνίας

Καθορώσα νεκρούμενον Χριστόν, θρηνωδούσα εβόα η αμνάς καί Παρθένος. Ω μιαιφονίας τόλμημα! Κρύψον σου τό φέγγος νύν ο ήλιος, ο κτίσας γάρ άπαντα, νεκρούται βουλήματι, καί οράται ως κριτός, ο τών Ασωμάτων μόνος Κύριος.

### Μετά τήν β' Στιχολογίαν

### Καθίσματα Σταυρώσιμα

Τήν άχραντον Εικόνα σου, Προσκυνούμεν αγαθέ, αιτούμενοι συγχώρησιν τών πταισμάτων ημών, Χριστέ ο Θεός, βουλήσει γάρ ηυδόκησας σαρκί, ανελθείν εν τώ Σταυρώ, ίνα ρύση ούς έπλασας, εκ τής δουλείας τού εχθρού, όθεν ευχαρίστως βοώμέν σοι. Χαράς επλήρωσας τά πάντα ο Σωτήρ ημών, παραγενόμενος εις τό σώσαι τόν κόσμον.

Ο φωτίσας τά επίγεια διά Σταυρού, καί καλέσας εις μετάνοιαν αμαρτωλούς, μή χωρίσης με τής ποίμνης σου ο ποιμήν ο καλός, αλλά ζήτησόν με, Δέσποτα τόν πλανώμενον, καί τή αγία σου ποίμνη συναρίθμησον, ο μόνος αγαθός καί φιλάνθρωπος.

### Δόξα... Καί νύν... Σταυροθεοτοκίον

Υπερδεδοξασμένη υπάρχεις, θεοτόκε Παρθένε, υμνούμέν σε, διά γάρ τού Σταυρού τού Υιού σου, κατεβλήθη ο άδης, καί ο θάνατος τέθνηκε, νεκρωθέντες ανέστημεν, καί ζωής ηξιώθημεν, τόν Παράδεισον ελάβομεν, τήν αρχαίαν απόλαυσιν, διό ευχαριστούντες δοξολογούμεν, ως κραταιόν Χριστόν τόν Θεόν ημών, καί μόνον πολυέλεον.

Μετά τήν γ' Στιχολογίαν

Καθίσματα Σταυρώσιμα

Ως ο ληστής ομολογώ, καί βοώ σοι τώ αγαθώ. Μνήσθητί μου Κύριε, εν τή Βασιλεία σου, καί σύν αυτώ με συναρίθμησον, ο εκουσίως τά πάθη υπέρ ημών καταδεξάμενος.

Μαρτυρικόν

Σέ τόν περιβάλλοντα τόν ουρανόν εν νεφέλαις, έχοντες οι Άγιοι περιβολήν εν τώ κόσμω, τάς βασάνους τών ανόμων υπέμειναν, καί τήν πλάνην τών ειδώλων κατήργησαν. Αυτών ταίς ικεσίαις, ελευθέρωσον τού αοράτου εχθρού, καί σώσον ημάς.

Δόξα... Καί νύν... Σταυροθεοτοκίον

Παρεστώσα τώ Σταυρώ σου, η ασπόρως τεκούσά σε, Χριστέ, καί μή φέρουσα οράν αδίκως πάσχοντα, ωλοφύρετο κλαυθμώ, καί ανεβόα σοι. Πώς πάσχεις ο τή φύσει απαθής, γλυκύτατε Υιέ; υμνώ σου τήν άκραν αγαθότητα.

Κανών Σταυρώσιμος, ού η Ακροστιχίς.

Σταυρού παγέντος, δαιμόνων πίπτει πλάνη, Ιωσήφ.

Ωδή α'  Ήχος β'  Ο Ειρμός

Άτριπτον ασυνήθη, αβρόχως θαλαττίαν ανύσας τρίβον, ο εκλεκτός εβόα Ισραήλ. Τώ Κυρίω άσωμεν, ότι δεδόξασται.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Σταύρωσιν κατεδέξω, καί ήλοις προσεπάγης ατίμως Λόγε, πάντας τιμήσαι θέλων τούς βροτούς, τούς τά σά εκούσια, πάθη δοξάζοντας.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Τείνας Σταυρώ παλάμας, ο τείνας πόλον Σώτερ, καθάπερ δέρριν, ενηγκαλίσω έθνη καί λαούς, τούς τά σά εκούσια, πάθη δοξάζοντας.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Άραντες επί ώμων, Σταυρόν οι αθλοφόροι, τώ σταυρωθέντι, ακολουθήσαι είλοντο Χριστώ, τούτου συμμορφούμενοι, τοίς θείοις πάθεσιν.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ύμνησαν τών Αγγέλων, δυνάμεις κατιδούσαι υμών τούς άθλους, εθρήνησε δαιμόνων δέ πληθύς, νικηφόροι Μάρτυρες, θοειδέστατοι.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ρήσις σεπτού Προφήτου, πεπλήρωται, ρομφαία γάρ τήν καρδίαν τήν σήν διήλθεν, ότε εν Σταυρώ λογχευθέντα Δέσποινα, τόν σόν Υιόν έβλεψας.

Κανών τής Υπεραγίας Θεοτόκου, ού η Ακροστιχίς.

Τούς προστρέχοντας εις σέ σώζε, Παρθένε.

Ο Ειρμός

Δεύτε λαοί άσωμεν

Τόν ευσεβώς, σέ Θεοτόκον κυρίως αγνή, ομολογούντα Άχραντε, ψυχή καί στόματι, χαλεπών εκ κινδύνων, καί νόσων καί πταισμάτων, νύν με διάσωσον.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Όλην εν σοί, τών χαρισμάτων τήν άβυσσον, αποκειμένην έγνωμεν, διό προσφεύγοντες, Θεοτόκε

προθύμως, τή σκέπη σου τή θεία διασωζόμεθα.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Υπέρ ημών, τών σέ υμνούντων δυσώπησον, τόν σαρκωθέντα Πάναγνε, εκ τών αχράντων σου, καί τιμίων αιμάτων, ρυσθήναι εκ πταισμάτων, καί χαλεπών πειρασμών.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σέ οι πιστοί, καύχημα πάντες κεκτήμεθα, καταφυγήν καί στήριγμα, καί αγαλλίαμα, καί ψυχών σωτηρίαν, ελπίδα τε καί τείχος, θεοχαρίτωτε.

## Ωδή γ' Ο Ειρμός

Εν πέτρα με τής πίστεως στερεώσας, επλάτυνας τό στόμα μου επ' εχθρούς μου, ευφράνθη γάρ τό πνεύμα μου εν τώ ψάλλειν, ουκ έστιν Άγιος, ως ο Θεός ημών, καί ουκ έστι δίκαιος, πλήν σου Κύριε.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ο βότρυς επί ξύλου τής αφθαρσίας, κρεμάμενος, απέσταξε θείον γλεύκος, καρδίας κατευφραίνον τάς τών ανθρώπων, κακίας παύον δέ, τήν μέθην πάντοτε, Ιησούς η λύτρωσις τών ψυχών ημών.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Υψώθης επί ξύλου εθελουσίως, καί πάσαν διαβόλου κακοπραγίαν, κατέρραξας, πεσόντας δέ τούς ανθρώπους, εις τήν απώλειαν, γνώμης στρεβλότητι, Ιησού ανύψωσας, πολυέλεε.

## Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Πυρί τού θείου πόθου προσαναφθέντες, τό πύρ ουκ εδειλίασαν οι γενναίοι, ουκ έπτηξαν τόν θάνατον αθανάτους, αποσκοπούμενοι δωρεάς λήψεσθαι, καί χαράν μή λήγουσαν, καί φώς άδυτον.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Αιμάτων εξ οικείων οι Αθλοφόροι, υπέρλαμπρον επέχρωσαν πορφυρίδα, καί ταύτην στολισάμενοι δεξιά τε, ως σκήπτρον φέροντες, χειρί τόν τώ Κυρίω πάντοτε θείον Σταυρόν, συμβασιλεύουσιν.

## Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Γεραίρουσί σε τάξεις τών Ασωμάτων, τόν πάντων γάρ Δεσπότην σωματοφόρον, εκύησας τόν λύσαντα διά ξύλου, δεσμίους άπαντας, Κόρη Θεόνυμφε, καί πιστούς συνδήσαντα τή στοργή αυτού.

## Κανών τής Θεοτόκου
## Ο Ειρμός

Στερέωσον ημάς εν σοί Κύριε, ο ξύλω νεκρώσας τήν αμαρτίαν, καί τόν φόβον σου εμφύτευσον, εις τάς καρδίας ημών τών υμνούντων Σε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Πρεσβείαις σου Αγνή Θεόν όν έτεκες, παράσχου ευϊλατον σοίς ικέταις, τοίς προστρέχουσι τή σκέπη σου, καί πιστώς προσκυνούσί σου τήν κύησιν.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ρημάτων τής εμής ψυχής επάκουσον, Παρθένε δεινώς εκταραττομένης, ήν ειρήνευσον Πανύμνητε, αεί ταύτην κινδύνων διασώζουσα.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Όλην μου τήν ζωήν διακυβέρνησον, Παρθένε ελπίς μου καί προστασία, πειρασμών καί περιστάσεων, λυτρουμένη δεινών με Θεονύμφευτε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σοφίαν τού Θεού τήν ενυπόστατον, αγκάλαις ως φέρουσα Θεομήτορ, εξ αγνοίας καί πωρώσεως, λυτρωθήναι ημάς νύν καθικέτευε.

Ωδή δ' Ο Ειρμός

Ελήλυθας εκ Παρθένου, ου πρέσβυς, ουκ Άγγελος, αλλ' αυτός ο Κύριος σεσαρκωμένος, καί έσωσας, όλον με τόν άνθρωπον, διό κραυγάζω σοι. Δόξα τή δυνάμει σου Κύριε.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Εκρέμασο επί ξύλου, κρεμάσας εν ύδασι, τήν γήν Παντοδύναμε, λόγχη πλευράν ορυττόμενος, αίμά τε σύν ύδατι, εναποστάξας εις πάντων απολύτρωσιν.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Νυγείσης σου τής πλευράς, ιατρεύθη τό άλγος μου, χειρί ραπισθέντος σου, ελευθερίας επέτυχον, χολής γευσαμένου δέ, τής ενηδόνου ερρύσθην Χριστέ βρώσεως.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Τοίς τραύμασι τραυματίσαντες, όφιν τόν δόλιον, ιάσθαι τραύματα, τών καρδιών ημών πάντοτε, χάριν αναβλύζοντες, εκ τών πηγών τού Σωτήρος θείοι Μάρτυρες.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ολόσωμον τώ εχθρώ, τήν πληγήν προσηνέγκατε, πληγαίς αιματούμενοι, επί τροχού τε τεινόμενοι, καί τυμπανιζόμενοι, θεοειδείς Αθλόφοροι πανσεβάσμιοι.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σεσάρκωται, εξ αγνών σου αιμάτων ο Ύψιστος, όν βλέπουσα Πάναγνε, ξύλω αδίκως υψούμενον, έστενες δακρύουσα, καί τήν αυτού ευσπλαγχνίαν εμεγάλυνες.

Κανών τής Θεοτόκου

Ο Ειρμός

Εισακήκοα τήν ένδοξον οικονομίαν σου Χριστέ ο Θεός, ότι ετέχθης εκ τής Παρθένου, ίνα εκ πλάνης ρύση τούς κραυγάζοντας, Δόξα τή δυνάμει σου Κύριε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τών τραυμάτων μου Δέσποινα τών τής ψυχής, σαρκός τε νοσημάτων, η Θεόν τεκούσα, λύσιν παράσχου μοι.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ριπιζόμενον πάθεσι καί λογισμοίς, βίου τρικυμίαις, ελπίδι Παρθένε, καί πίστει βεβαίωσον.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Εκ περιστάσεως ρύσαί με, Μήτερ Θεού, καί ζάλης καί κινδύνων, ταίς σαίς ικεσίαις μόνη Πανύμνητε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Χειμαζόμενον κλύδωνι βιωτικώ, εξάρπασον Παρθένε, πρός τόν σόν λιμένα καθοδηγούσά με.

Ωδή ε'  Ο Ειρμός

Ο άνθραξ τώ Ησαϊα, προοφθείς, Ήλιος παρθενικής από γαστρός ανέτειλε, τοίς εν σκότει πεπλανημένοις, καί θεογνωσίας φωτισμόν δωρούμενος.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Δι' οίκτον προσομιλήσας τώ Σταυρώ, Δέσποτα εκ τού βυθού με, τών κακών ανέσπασας, καί ετίμησας συνεδρία τή πατρική, ατιμασθείς θελήματι.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ακάνθαις στεφανωθείς ο στεφανών, άνθεσι πάσα τήν γήν, τήν τών παθών μου άκανθαν, αποτέμνεις ριζόθεν Λόγε, καί εμφυτεύεις μοι τήν σήν επίγνωσιν.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ισχύϊ τού τήν ασθένειαν ημών Άγιοι, εθελοντί περιθεμένου Μάρτυρες, δυναμούμενοι, τών δαιμόνων, τήν δυναστείαν παντελώς ωλέσατε.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Μεγάλως αγωνισάμενοι εν γή Άγιοι, εν ουρανοίς μεγίστην δόξαν εύρατε, καί μεγίστων ημάς κινδύνων, απολυτρούσθε τούς υμάς γεραίροντας.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ο νώτοις Χερουβικοίς εν ουρανοίς, θεοπρεπώς ως αληθώς οχούμενος, ταίς αγκάλαις σου εποχείται, καί σταυρωθείς πάντας φθοράς διέσωσε.

Κανών τής Θεοτόκου

Ο Ειρμός

Ο τού φωτός χορηγός, καί τών αιώνων ποιητής Κύριος, εν τώ φωτί τών προσταγμάτων, οδήγησον ημάς, εκτός σου γάρ άλλον Θεόν ου γινώσκομεν.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Όπλον αήττητον, κατά ποικίλων πειρασμών έχοντες, τών δυσμενών πάσης επηρείας, λυτρούμεθα σαφώς, οι σέ Θεοτόκον αεί επιστάμενοι.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νόμου τό πλήρωμα, η ανωτέρα Χερουβείμ τέτοκας, τόν τού Θεού εκ σού σαρκωθέντα, Υιόν μονογενή, όν υπέρ τών δούλων τών σών εκδυσώπησον.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τόν τού παντός ποιητήν, εν ταίς αγκάλαις σου Αγνή φέρουσα, τούτον ημίν ταίς σαίς ικεσίαις,

ευϊλατον δίδου, τοίς νύν εκ καρδίας, πρός σέ καταφεύγουσιν.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Από στενώσεως, καί κατωδύνου μου ψυχής δέησιν, τών οικτιρμών μόνη τή τεκούση, τόν αίτιον Λόγον, προσφέρω ο τάλας, οικτείρασα σώσόν με.

Ωδή ς' Ο Ειρμός

Ήχου ρημάτων δεήσεως, εκ κατωδύνου Δέσποτα ψυχής, επακούσας, τών δεινών με λύτρωσαι, μόνος γάρ εί, τής ημών σωτηρίας αίτιος.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Νώτον παρέχων εις μάστιγας, καί σιαγόνας σου εις ραπισμόν, πρόσωπον δέ Σώτερ, εις εμπτύσματα, έσωσάς με τόν πολλά, αφρόνως σοι πταίσαντα.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ώσπερ αρνίον τού θύεσθαι, ήλθες Χριστέ μου, λύκου νοητού, ιοβόλω δήγματι, τούς θνήξαντας επανάγων πρός ζωήν. Δόξα τή σταυρώσει σου.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Νόμους τη ρούντες οι Μάρτυρες, τούς τού Δεσπότου, άνομον βουλήν, παρανόμων παντελώς εξέκλιναν, καί θανόντες, τής ζωής τής μελλούσης έτυχον.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Παραταξάμενοι Άγιοι, πρός εναντίας χαίροντες αρχάς, θείοις όπλοις, ταύτας ετροπώσασθε, καί στεφάνους εκ Θεού, νίκης εκομίσασθε.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ίνα Θεώση τόν άνθρωπον, εκ σού Παρθένε τίκτεται Θεός, καί σταυρούται, καί θανάτου γεύεται, αποκτείνων τόν εμέ, τό πρίν αποκτείναντα.

Κανών τής Θεοτόκου

Ο Ειρμός

Εν αβύσσω πταισμάτων κυκλούμενος, τήν ανεξιχνίαστον τής ευσπλαγχνίας σου, επικαλούμαι άβυσσον, Εκ φθοράς ο Θεός με ανάγαγε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σωτηρίας λιμένα γινώσκων σε, πλέων πολυφρόντιδος βίου τήν θάλασσαν, επικαλούμαι Δέσποινα, κυβερνήτιν ψυχής μου γενέσθαι σε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ενεδύθην στολήν κακουχούμενος, Μήτηρ Αειπάρθενε, τής αφροσύνης μου, αλλ' η Θεόν κυήσασα, τής χαράς τόν χιτώνα αντίδος μοι.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ιεράς πολιτείας εκπέπτωκα, αθυμών ο δείλαιος, αλλ' επανάγαγε, ευλογημένη Δέσποινα, προσταγαίς τού Υιού σου ρυθμίζουσα.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Συμπαθείας με θείας αξίωσον, η τόν συμπαθέστατον Λόγον κυήσασα, τόν τώ ιδίω αίματι, εκ φθοράς τούς ανθρώπους ρυσάμενον.

## Ωδή ζ'  Ο Ειρμός

Αντίθεον πρόσταγμα παρανομούντος, τυράννου μετάρσιον, τήν φλόγα ανερρίπισε, Χριστός δέ εφήπλωσε, θεοσεβέσι Παισί, δρόσον τήν τού Πνεύματος, ο ών ευλογημένος, καί υπερένδοξος.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Πτωθέντα με ήγειρας τή παραβάσει, Σταυρώ ανυψούμενος, η πάντων εξανάστασις, καί πτώσας τόν πτώσαντα, Λόγε πολέμιον, όλον ανενέργητον, νεκρόν υποδεικνύεις. Δόξα τώ κράτει σου.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Τοίς ήλοις εξήλωσας τήν αμαρτίαν, Χριστέ τού προπάτορος, καλάμω δέ τυπτόμενος, υπέγραψας άπασιν ελευθερίαν βροτοίς. Δόξα τοίς παθήμασι τοίς σοίς, δι' ών μυρίων παθών ερρύσθημεν.

## Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ετέμνοντο σώματα τών μιαιφόνων, χερσίν οι καλλίνικοι, Χριστού Μεγαλομάρτυρες, καί έμενον Πνεύματι Θεού, αχώριστοι, τέμνοντες τόν δόλιον εχθρόν, ανδρείας ξίφει, καί κατασφάττοντες.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ισχύν απροσμάχητον τόν σταυρωθέντα, Χριστόν επαγόμενος, στρατός ο ακατάπληκτος, ολέθριον στράτευμα κατεξωλόθρευσεν, έπαθλον ληψόμενος, ζωήν τήν μακαρίαν τε καί ανώλεθρον.

## Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Παλάτιον έμψυχον τού Βασιλέως, καί θρόνος πυρίμορφος, Παρθένε αναδέδειξαι, εν ώ καθεζόμενος πάντας εξήγειρε, τού προτέρου πτώματος βροτούς, καί συνεδρία Πατρός ετίμησε.

## Κανών τής Θεοτόκου

## Ο Ειρμός

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Εικόνος χρυσής, εν πεδίω Δεειρά λατρευομένης, οι τρείς σου Παίδες κατεφρόνησαν, αθεωτάτου προστάγματος, μέσον δέ πυρός εμβληθέντες, δροσιζόμενοι έψαλλον, Ευλογητός εί ο Θεός ο τών Πατέρων ημών.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σταυρώ προσπαγείς, ο εκ σού, σωματωθείς Θεογεννήτρια, Αδάμ διέρρηξε τό χειρόγραφον, όν νύν Παρθένε δυσώπησον, πάσης πονηρίας ρυσθήναι, τούς εν πίστει κραυγάζοντας. Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ελπίς αγαθή, προστασία φοβερά υπάρχεις Δέσποινα, καί νύν δεόμεθά σου δωρήσασθαι, τής συμπαθείας τό πέλαγος, πάσι τοίς εις σέ πεποιθόσι, καί τώ Υιώ σου κραυγάζουσιν. Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σκοτία δεινή, τή τού βίου συσχεθείς τόν συλλυπούμενον, καί συναλγούντα ου κατέλαβον, τή σή Παρθένε λαμπρότητι, λύσον τήν αχλύν τών πταισμάτων, καί καταύγασον ψάλλοντα. Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ωραίαν στολήν, σωτηρίων εντολών διά Βαπτίσματος, αμφιεσάμενος απημαύρωσα, δι' αμελείας ο δείλαιος, νύν δέ σοι προστρέχω Παρθένε, τόν χιτώνα αιτούμενος, τής σωφροσύνης διά σού, πάλιν ενδύσασθαι.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ζωής εκπεσών, ακηράτου μέν τό πρίν ο Αδάμ σέσωσται, δια τού Τόκου σου, νύν δέ Πάναγνε, τόν αρρωστία κρατούμενον, σώσον επιρρώσασα Κόρη, καί αξίωσον ψάλλειν σοι. Ευλογημένη η Θεόν, σαρκί κυήσασα.

### Ωδή η'  Ο Ειρμός

Ινδάλματος χρυσού, καταπτύσαντες τρισόλβιοι νεανίαι, τήν απαράλλακτον καί ζώσαν, Θεού εικόνα τεθεαμένοι, μέσον τού πυρός ανέμελπον. Η ουσιωθείσα υμνείτω, τόν Κύριον πάσα Κτίσις, καί υπερυψούτω, εις πάντας τούς αιώνας.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Λαός ο απειθής, αδεώς τε τά παράνομα πάντα πράττων, μέσον ανόμων Οικτίρμον, τόν δικαιούντά σε παρανομούντας, ξύλω ανυψοί σταυρούμενον, όν πάσα κτίσις δοξάζει ως Κύριον, ανυμνολογούσα τήν σήν μακροθυμίαν.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Αιματώσας Χριστέ, τούς δακτύλους σου εν ξύλω προσηλωμένος, τό δαίμοσιν αίμα προσαγόμενον τοις πάλαι, επ' απωλεία τών προσαγομένων έπαυσας, όθεν σε δοξάζει, η σύμπασα κτίσις, Θεέ τών όλων, ανυμνολογούσα τήν σήν μακροθυμίαν.

### Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ναμάτων ζωτικών, όντες έμπλεοι οι Μάρτυρες τούς χειμάρρους, τούς τής απάτης απεξήραναν, θείοις ρείθροις τοίς τών αιμάτων, πίστει ακλινεί κραυγάζοντες. Η ουσιωθείσα υμνείτω τόν Κύριον πάσα κτίσις, καί υπερυψούτω εις πάντας τούς αιώνας.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Η άπειρος πληθύς, τών αιμάτων υμών άγιοι, ασεβείας τό πύρ κατέσβεσε, καί Ελλήνων τήν πολύθεον έλυσε πλάνην, πάντας δέ πιστούς εφώτισε μελωδούντας. Υμνείτω τόν Κύριον πάσα κτίσις, καί υπερυψούτω εις πάντας τούς αιώνας.

### Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Η άμωμος αμνάς, Προφητών τε καί Μαρτύρων η ωραιότης, ώσπερ αμνόν σε αναρτώμενον επί ξύλου θεασαμένη, έκλαιε πικρώς καί έλεγεν. Η ουσιωθείσα υμνείτω τόν Κύριον πάσα κτίσις, καί υπερυψούτω εις πάντας τούς αιώνας.

### Κανών τής Θεοτόκου
### Ο Ειρμός

Τόν εν καμίνω τού πυρός, τών Εβραίων τοίς Παισί συγκαταβάντα, καί τήν φλόγα εις δρόσον, μεταβαλόντα, Θεόν, υμνείτε τά έργα ως Κύριον, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Εξασθενεί μου νύν ο νούς, εις τά βάθη εμπεσών τής ατιμίας, ως εντεύθεν ποικίλοις περιπαρήναι κακοίς, αλλά σύ με Παρθένε θεράπευσον, τώ τής απαθείας φωτί περιβαλούσα.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Πύργον ισχύος ασφαλή, καί κρηπίδα καί φρουράν καί προστασίαν, κεκτημένοι σε πάντες, διασωζόμεθα νύν, υμνούντες τόν τόκον, σου Πάναγνε, καί υπερυψούντες εις πάντας τούς αιώνας.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Αθανασίας διαυγή, επιστάμεθα πηγήν σε Θεοτόκε, ως τεκούσαν τόν Λόγον τού αθανάτου Πατρός, τόν πάντας θανάτου λυτρούμενον, τούς υπερυψούντας αυτόν εις τούς αιώνας.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ρείθρον ιάσεων ημίν, αενάως τοίς πιστοίς αγνή πηγάζεις, ού τήν άφθονον χάριν απαρυόμενοι, σού υμνούμεν τόν τόκον Πανάχραντε, καί υπερυψούμεν εις πάντας τούς αιώνας.

Ωδή θ'  Ο Ειρμός

Απορεί πάσα γλώσσα, ευφημείν πρός αξίαν, ιλιγγιά δέ νούς καί υπερκόσμιος, υμνείν σε Θεοτόκε, όμως αγαθή υπάρχουσα, τήν πίστιν δέχου, καί γάρ τόν πόθον οίδας, τόν ένθεον ημών, σύ γάρ Χριστιανών εί προστάτις, σέ μεγαλύνομεν.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ίνα τυπώση πάλαι, Ισαάκ σού τό πάθος, δεσμείται Λόγε, λύεται δεθέντος δέ, προβάτου αντιτύπου, εν φυτώ Σαβέκ αφέσεως, καί απελύθη, τής ακουσίως τότε, θυσίας αληθούς, σού δέ εθελουσίως τυθέντος, κακών ερρύσθημεν.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ωραίος κάλλει, παρά τούς υιούς τών ανθρώπων, Χριστέ υπάρχων, κάλλος ουκ εκέκτησο, ουδέ είδος εν τώ πάσχειν, ξύλω τού Σταυρού κρεμάμενος, καί καλλωπίζων, τήν αμορφίαν πάσαν τού γένους τών βροτών. Δόξα τή ευσπλαγχνία σου μόνε, εύσπλαγχνε Κύριε.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Σιών τής άνω ώφθητε, οικήτορες θείοι, καί τών Αγγέλων Μάρτυρες ισάγγελοι, ως όντες συμπολίται, καί τήν Εκκλησίαν Άγιοι τών πρωτοτόκων, περιφανώς φαιδρύνετε, λάμποντες φωτί θείω, καί μαρτυρίου στεφάνω, καλλωπιζόμενοι.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ηγαπημένοι φίλοι, τού ημάς παραδόξως πεφιληκότος, ρύσασθε φιλίας με δολίας, τής πρός σάρκα, άγιοι Κυρίου Μάρτυρες, αγιασμόν τε καί φωτισμόν, καί λύσιν πταισμάτων χαλεπών, πάσι τοίς εκτελούσι τήν μνήμην υμών αιτήσασθε.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φωστήρων κάλλος δρόμου, τού συνήθους απέστη, ότε σε είδεν Ήλιε τής δικαιοσύνης, επηρμένον επί τού Σταυρού θελήματι, η δέ Παρθένος, σύν μαθητή παρθένω, ηλάλαζε πικρώς. Οίμοι! αναβοώσα, τί τούτο τό ξένον θέαμα;

Κανών τής Θεοτόκου

## Ο Ειρμός

Τόν εκ Θεού Θεόν Λόγον, τόν αρρήτω σοφία, ήκοντα καινουργήσαι τόν Αδάμ, βρώσει φθορά πεπτωκότα δεινώς, εξ αγίας Παρθένου, αφράστως σαρκωθέντα δι' ημάς, οι πιστοί Ομοφρόνως, εν ύμνοις μεγαλύνομεν.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Θεομακάριστε Κόρη, τήν ελπίδα μου πάσαν, προθύμως ανατίθημι εν σοί, σώσόν με Μήτηρ τής όντως ζωής, καί τρυφής αϊδίου, πλησθήναι καθικέτευσον Αγνή, τόν εν πίστει καί πόθω, σέ ύμνοις μεγαλύνοντα.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Επιφανείσα Παρθένε, τής ψυχής μου τόν ζόφον, φωτός σου ταίς αϋλοις αστραπαίς, αύγασον, πύλη τού θείου φωτός, καί τρυφής αιωνίου, πλησθήναι καταξίωσον Αγνή, τόν εν πίστει καί πόθω, σέ ύμνοις μεγαλύνοντα.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νενοσηκότας ορώσα, καί ψυχήν καί τό σώμα, καί βεβλημένους πάθεσι δεινοίς, τή ευσπλαγχνία σου Δέσποινα, θεραπεύσασα λύσον, τών νύν παρενοχλούντων λυπηρών, ίνα πάντες σε ύμνοις, απαύστως μεγαλύνομεν.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Εν τή γαστρί σου σκηνώσας, εκ γαστρός πρό αιώνων, Πατήρ όνπερ εγέννησεν, Υιός τέλειος γέγονεν άνθρωπος, καί πηγήν χαρισμάτων, σέ Θεομήτορ, έδειξεν ημίν, τοίς πιστώς προσκυνούσι, τήν άφραστόν σου γέννησιν.

## Απόστιχα τών Αίνων Σταυρώσιμα

Σταυρωθήτω έκραζον, οι τών σών χαρισμάτων αεί εντρυφώντες, καί κακούργον αντ' ευεργέτου, ητούντο λαβείν οι τών δικαίων φονευταί, εσιώπας δέ Χριστέ φέρων αυτών τήν προπέτειαν, παθείν θέλων, καί σώσαι ημάς, ως φιλάνθρωπος.

Στίχ. α'. Ενεπλήσθημεν τό πρωϊ τού ελέους σου, Κύριε, καί ηγαλλιασάμεθα καί ηυφράνθημεν έν πάσαις ταίς ημέραις ημών. Ευφρανθείημεν, ανθών ημερών εταπείνωσας ημάς, ετών, ών είδομεν κακά, καί ίδε επί τούς δούλους σου καί επί τά έργα σου, καί οδήγησον τούς υιούς αυτών.

Εκουσίως πτωχεύσας, τήν πτωχείαν τού Αδάμ, Χριστέ ο Θεός, ήλθες επί γής, εκ Παρθένου σαρκωθείς, καί Σταυρόν κατεδέξω, ίνα ημάς ελευθερώσης, εκ τής δουλείας τού εχθρού, Κύριε δόξα σοι.

## Μαρτυρικόν

Στίχ. β'. Καί έστω η λαμπρότης Κυρίου τού Θεού ημών εφ' ημάς, καί τά έργα τών χειρών ημών κατεύθυνον εφ' ημάς, καί τό έργον τών χειρών ημών κατεύθυνον.

Υπέρ Χριστού παθόντες μέχρι θανάτου, ώ Αθλοφόροι Μάρτυρες, ψυχάς μέν έχετε εις ουρανούς εν χειρί Θεού, καί κατά κόσμον όλον, δορυφορείται υμών τά λείψανα. Ιερείς καί βασιλείς προσκυνούσι, καί λαοί πάντες επαγαλλόμενοι, συνηθως βοώμεν. Ύπνος τίμιος εναντίον Κυρίου, ο θάνατος τών Οσίων αυτού.

## Δόξα... Καί νύν... Σταυροθεοτοκίον

### Ότε εκ τού ξύλου σε νεκρόν

Ότε εν Σταυρώ σε η Αμνάς, άρνα τόν οικείον εώρα, κατακεντούμενον, ήλοις, ωλοφύρετο εκπληττομένη σφοδρώς, καί δακρύουσα έλεγε. Πώς θνήσκεις, Υιέ μου, θέλων τό χειρόγραφον τού πρωτοπλάστου Αδάμ, ρήξαι, καί θανάτου λυτρώσαι, άπαν τό ανθρώπινον, δόξα, τή οικονομία σου Φιλάνθρωπε.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

### Οι Μακαρισμοί

Μακάριοι οι ειρηνοποιοί, ότι αυτοί υιοί Θεού κληθήσονται.

Τήν φωνήν σοι προσάγομεν, τού Ληστού καί βοώμέν σοι. Μνήσθητι ημών Σωτήρ, εν τή Βασιλεία σου.

Μακάριοι οι δεδιωγμένοι ένεκεν δικαιοσύνης, ότι αυτών εστιν η βασιλεία τών ουρανών.

Σταυρωθείς Αναμάρτητε, εν Κρανίω συνέθλασας, κάραν τού δολίου εχθρού, καί κόσμον διέσωσας.

Μακάριοί εστε όταν ονειδίσωσιν υμάς, καί διώξωσι, καί είπωσι πάν πονηρόν ρήμα καθυμών ψευδόμενοι ένεκεν εμού.

Εξερρίζωσας Δέσποτα, τής κακίας τήν άκανθαν, στέφος εκών ακανθών, φορέσας Μακρόθυμε.

### Μαρτυρικόν

Συντριβόμενοι Μάρτυρες, τού εχθρού συνετρίψατε, πάσαν τήν πλάνην σαφώς, καί στέφος εδέξασθε.

### Δόξα...

Χαίρετε καί αγαλλιάσθε, ότι ο μισθός υμών πολύς εν τοίς ουρανοίς.

Ραντισμώ θείου αίματος, οι πιστοί φωτιζόμενοι, μίαν εν Προσώποις τρισί, θεότητα σέβομεν.

### Καί νύν... Σταυροθεοτοκίον

Ως αρνίον κρεμάμενον, επί ξύλου Πανάμωμε, βλέπουσα Χριστόν, εν κλαυθμώ, αυτόν εμεγάλυνες.

top

2-7

### Στιχηρά Δεσποτικα Προσόμοια

### Ήχος β

### Ότε εκ τού ξύλου σε νεκρόν

Στίχ. α'. Εάν ανομίας παρατηρήσης, Κύριε, Κύριε τίς υποστήσεται; ότι παρά σοί ο ιλασμός εστιν.

Όταν εν τή δόξη σου Χριστέ, έλθης μετ' Αγγέλων αγίων, κρίναι τά σύμπαντα, ότε παραστήσονται, γυμνοί σοι άπαντες, αποδούναι ών έπραξαν, τήν απολογίαν, τότε τοίς προβάτοις με, σύνταξον Λόγε τοίς σοίς, λύσιν παρασχών μοι ενταύθα, τών πλημμελημάτων μου πάντων, ών περ εν τώ βίω επλημμέλησα.

Στίχ. β'. Ένεκεν τού ονόματός σου υπέμεινά σε, Κύριε, υπέμεινεν η ψυχή μου εις τόν λόγον σου, ήλπισεν η ψυχή μου επί τόν Κύριον.

Ρήξον τάς σειράς μου τών παθών, ξήρανον ψυχής σηπεδόνας, μόνε φιλάνθρωπε, δώρησαί μοι δάκρυα τής κατανύξεως, τήν καρδίαν μου φώτισον, τήν εσκοτισμένην, λύτρωσαί με δέομαι εκ περιστάσεως, ζάλης, συμφορών εναντίων, καί εκ πειρασμών πολυτρόπων, τού δεινού εχθρού καί κοσμοκράτορος.

Στίχ. γ'. Από φυλακής πρωϊας μέχρι νυκτός, από φυλακής πρωϊας ελπισάτω Ισραήλ επί τόν Κύριον.

Λάβε ώ ψυχή μου κατά νούν, τήν φοβερωτάτην εκείνην, ώραν τής κρίσεως, ότε τρόμος λήψεται, τήν κτίσιν άπασαν, καί καθίση ο Ύψιστος εν θρόνω αστέκτω, λόγον εισπραξάμενος, τών πεπραγμένων ημίν, σπεύσον, διαλλάγηθι ένθεν τώ, κριτή τών όλων βοώσα. Ήμαρτόν σοι Κύριε, καί σώσόν με.

### Έτερα τής Θεοτόκου όμοια

Στίχ. δ'. Ότι παρά τώ Κυρίω τό έλεος, καί πολλή παρ' αυτώ, λύτρωσις. καί αυτός λυτρώσεται τόν Ισραήλ έκ πασών τών ανομιών αυτού.

Όλος εκ νεότητος εγώ, πάθεσιν αισχύνης δουλεύσας, καί ασωτία πολλή, τέλεον ημαύρωσα, τό κατ' εικόνα Θεού, καί πτοούμαι Πανύμνημνητε, τήν μέλλουσαν δίκην, ότε παραστήσομαι τώ σώ Υιώ καί Θεώ, νύν ούν, πρό τού τέλους μοι δίδου, κάθαρσιν Αγνή τών παθών μου, καί πλημμελημάτων απολύτρωσιν.

Στίχ. ε'. Αινείτε τόν Κύριον πάντα τά έθνη, επαινέσατε αυτόν, πάντες οι λαοί.

Φρίττω τό κριτήριον Αγνή, καί τήν τού πυρός τιμωρίαν, τήν αιωνίζουσαν, καί τήν απαραίτητον, όντως απόφασιν, τόν βρυγμόν τών οδόντων τε, καί τού ακοιμήτου, σκώληκος Πανάμωμε, τήν αγριότητα, όθεν, εν οδύνη καρδίας, σέ καθικετεύω Παρθένε, τής φρικτής με ρύσαι κατακρίσεως.

Στίχ. ς'. Ότι εκραταιώθη τό έλεος αυτού εφ' ημάς, καί η αλήθεια τού Κυρίου μένει εις τόν αιώνα.

Ότε τών τού σώματος μελών, μέλλη η ψυχή μου βιαίως, διαχωρίζεσθαι, τότε μοι παράστηθι, και τών ασάρκων εχθρών, τάς βουλάς διασκέδασον, καί τούτων τάς μύλας, σύντριψον ζητούντων με, καταπιείν αφειδώς, όπως ακωλύτως διέλθω, τούς εν τώ αέρι εστώτας, άρχοντας τού σκότους, Θεονύμφευτε.

Δόξα... Καί νύν... Θεοτοκίον

Παρήλθεν η σκιά τού νόμου, τής χάριτος ελθούσης, ως γάρ η βάτος ουκ εκαίετο καταφλεγομένη, ούτω Παρθένος έτεκες, καί Παρθένος έμεινας, αντί στύλου πυρός, δικαιοσύνης ανέτειλεν Ήλιος, αντί Μωϋσέως Χριστός, η σωτηρία τών ψυχών ημών.

Απόστιχα Μαρτυρικά

Τών αγίων μαρτύρων, πρεσβευόντων υπέρ ημών, καί τόν Χριστόν υμνούντων, πάσα πλάνη πέπαυται, καί τών ανθρώπων τό γένος, πίστει διασώζεται.

Στίχ. Θαυμαστός ο Θεός εν τοίς αγίοις αυτού ο Θεός Ισραήλ αυτός δώσει δύναμιν καί κραραίωσιν τώ λαώ αυτού ευλογητός ο Θεός.

Χοροί μαρτύρων αντέστησαν, τοίς τυράννοις λέγοντες. Ημείς στρατευόμεθα τώ Βασιλεί τών δυνάμεων, ει καί πυρί καί βασάνοις αναλώσητε ημάς, ουκ αρνούμεθα τής Τριάδος τήν δύναμιν.

Στίχ. Τοίς Αγίοις τοίς εν τή γή αυτού εθαυμάστωμεν πάντα τά θέλημα αυτού εν αυτοίς.

Μεγάλη η δόξα, ήν εκτήσασθε Άγιοι διά τής Πίστεως! ου μόνον γάρ εν τώ πάσχειν τόν εχθρόν ενικήσατε, αλλά καί μετά θάνατον πνεύματα απελαύνετε, ασθενούντας θεραπεύετε, ψυχών καί σωμάτων ιατροί, πρεσβεύσατε πρός Κύριον, ελεηθήναι τάς ψυχάς ημών.

Νεκρώσιμον

Στίχ. Μακάριοι ούς εξελέξω καί προσλάβω Κύριε.

Ως άνθος μαραίνεται, καί ως όναρ παρέρχεται, καί διαλύεται πάς άνθρωπος, πάλιν δέ ηχούσης τής σάλπιγγος, νεκροί ως εν συσσεισμώ, πάντες αναστήσονται, πρός τήν σήν υπάντησιν, Χριστέ ο Θεός, τότε Δέσποτα, ούς μετέστησας εξ ημών, εν ταίς τών αγίων σου κατάταξον σκηναίς, τά πνεύματα τών σών δούλων Χριστέ.

Δόξα... Καί νύν... Θεοτοκίον

Τήν πάσαν ελπίδα μου, εις σέ ανατίθημι, Μήτηρ τού φωτός, φύλαξόν με υπό τήν σκέπην σου.

Μετά τήν α' Στιχολογίαν

Καθίσματα Μαρτυρικά

Ο φαιδρύνας τούς Αγίους σου υπέρ χρυσόν, καί δοξάσας τούς Οσίους σου ως αγαθός, υπ' αυτών δυσωπούμενος Χριστέ ο Θεός, τήν ζωήν ημών ειρήνευσον ως φιλάνθρωπος, καί τήν ευχήν κατεύθυνον, ως θυμίαμα, ο μόνος εν Αγίοις αναπαυόμενος.

Αθλοφόροι Κυρίου, μακαρία η γή, η πιανθείσα τοίς αίμασιν υμών, καί άγιαι αι σκηναί, αι δεξάμεναι τά πνεύματα υμών, εν σταδίω γάρ τόν εχθρόν εθριαμβεύσατε καί Χριστόν μετά παρρησίας

εκηρύξατε. Αυτόν ως αγαθόν ικετεύσατε, σωθήναι δεόμεθα τάς ψυχάς ημών.

Απόστολοι Μάρτυρες, καί Προφήται, Ιεράρχαι, Όσιοι καί Δίκαιοι, οι καλώς τόν αγώνα τελέσαντες, καί τήν πίστιν τηρήσαντες, παρρησίαν έχοντες πρός τόν Σωτήρα, υπέρ ημών αυτόν ως αγαθόν ικετεύσατε, σωθήναι δεόμεθα τάς ψυχάς ημών.

Δόξα... Καί νύν... Θεοτοκίον

Πάντα υπέρ έννοιαν, πάντα υπερένδοξα, τά σά Θεοτόκε μυστήρια! τή αγνεία εσφραγισμένη, καί παρθενία φυλαττομένη, Μήτηρ εγνώσθης αψευδής, Θεόν τεκούσα αληθινόν, αυτόν ικέτευε σωθήναι τάς ψυχάς ημών.

## Μετά τόν Άμωμον

## Καθίσματα έτερα

Σέ τόν περιβάλλοντα, τόν ουρανόν εν νεφέλαις, έχοντες οι Άγιοι περιβολήν εν τώ κόσμω, τάς βασάνους τών ανόμων υπέμειναν, καί τήν πλάνην τών ειδώλων κατήργησαν. Αυτών ταίς ικεσίαις καί ημάς ελευθέρωσον, τού αοράτου εχθρού. Σωτήρ, καί σώσον ημάς.

Νεκρώσιμα

Ευσπλαγχνίας υπάρχουσα

Ο νεκρών καί τών ζώντων ως Θεός, εξουσίαν απάντων εσχηκώς Ζωοδότα, πρόσχες ταίς δεήσεσι τών δούλων σου, δείξόν σου τά σπλάγχνα τά φιλάνθρωπα, καί δίδου τήν άφεσιν ψυχαίς, άς μετέστησας, επ' ελπίδι τή εις σέ, ο δι' ευσπλαγχνίαν υπεράγαθος.

Μνήσθητι Κύριε, ως αγαθός τών δούλων σου, καί είτι εν βίω, ήμαρτον συγχώρησον, ουδείς γάρ αναμάρτητος, ειμή σύ ο δυνάμενος, καί τοίς μεταστάσι, δούναι τήν ανάπαυσιν.

Δόξα... Καί νύν... Θεοτοκίον

Μήτηρ αγία, η τού αφράστου φωτός, αγγελικοίς σε ύμνοις τιμώντες, ευσεβώς μεγαλύνομεν.

## Κανών εις πάντας τούς Αγίους

## Ωδή α'  Ήχος β'  Ο Ειρμός

Τήν Μωσέως ωδήν, αναλαβούσα βόησον ψυχή. Βοηθός καί σκεπαστής, εγένετό μοι εις σωτηρίαν, ούτός μου Θεός, καί δοξάσω αυτόν.

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Διωγμούς χαλεπούς, καί αικισμούς σφοδρούς καρτερικώς, ενεγκόντες Αθληταί, πάσαν τήν πλάνην εκ τών περάτων, σθένει θεϊκώ εδιώξατε.

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Οι Θεού λειτουργοί, καί Ιεράρχαι φέγγει νοητώ, απαστράπτοντες σαφώς, πρός φώς ωδήγησαν ευσεβείας, πάντων ευσεβών τά πληρώματα.

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Υπερήφανον νούν, ταπεινωθέντες Όσιοι καλώς, κατεκλίνατε εις γήν, καί υψωθέντες ενθέοις τρόποις, πάσι ταπεινοίς βοηθείτε αεί.

Νεκρώσιμον

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Λαμπροτάτου φωτός, καί αιωνίου δείξον κοινωνούς, ευφροσύνης ως Θεός, ούς περ μετέστησας τών προσκαίρων, δούλους σου πιστούς, ο Θεός ημών.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Αι ασκήσει στερρώς, ηγωνισμέναι καί αθλητικώς, καθελούσαι τόν εχθρόν, σεμναί Γυναίκες Θεοκυήτορ, σέ περιεστώσαι, ευφραίνονται.

Κανών εις Κοιμηθέντας ού η Ακροστιχίς.
Τοίς τεθνεώσι δεύτερον πλέκω μέλος.

Ο Ειρμός
Τώ τήν άβατον

Τώ θανάτω σου, καταπατήσας θάνατον, θείας ζωής ανέβλυσας αϊδιότητα, ήν παράσχου αγαθέ, ταίς τών κοιμηθέντων ψυχαίς, ταίς τών Μαρτύρων σου, πρεσβείαις άφεσιν, πταισμάτων χαριζόμενος.

Στίχ. Πρεσβείαις τών Μαρτύρων σου ανάπαυσον, Κύριε, τάς ψυχάς τών δούλων σου.

Ο τό πλούσιον, αεί πηγάζων έλεος, τοίς ευσεβώς φιλάνθρωπε προσδεχομένοις σε, εν τώ οίκω σου Χριστέ, εν τή θαυμαστή σου σκηνή, τόπον ανέσεως παράσχου Δέσποτα, τοίς δούλοις σου ως εύσπλαγχνος.

Στίχ. Αί ψυχαί αυτών εν αγαθοίς αυλισθήσονται.

Ισχυρότατος, κατά θανάτου γέγονας, όθεν αυτόν εδέσμευσας, ημάς ρυσάμενος, καί νύν ρύσαι τής αυτού, τούς κεκοιμημένους φθοράς ως υπεράγαθος, τής σής ελλάμψεως, τήν μέθεξιν δωρούμενος.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Στερεώσασα, τήν κλονουμένην φρένα μου, Μήτηρ Θεού βεβαίωσον, θείοις προστάγμασι, τού τεχθέντος εκ τής σής, καθηγιασμένης γαστρός, καί καταργήσαντος, τού άδου Δέσποινα, τό ζοφερόν βασίλειον.

Ωδή γ'  Ο Ειρμός

Στειρωθέντα μου τόν νούν, καρποφόρον ο Θεός ανάδειξόν με, γεωργέ τών καλών, φυτουργέ τών αγαθών, τή ευσπλαγχνία σου.

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Πυρωθέντες τώ πυρί, τής αγάπης τού Χριστού οι Αθλοφόροι, τών βασανων τήν πυράν, δροσισμώ τού παντουργού, έσβεσαν Πνεύματος.

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Αγιώτατοι Χριστού, Ιεράρχαι καί σεπτοί, Οσίων δήμοι, υπέρ πάντων ημών, τόν φιλάνθρωπον Θεόν, εκδυσωπήσατε.

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ιερώτατος χορός, τών ενθέων Προφητών εμεγαλύνθη, καί Γυναίων πληθύς, εναθλήσασα στερρώς, δόξης επέτυχον.

Νεκρώσιμον

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Νεκρωθείς επί Σταυρού, εδωρήσω τοίς θνητοίς αθανασίαν, ής τυχείν τούς πρός σέ, καταξίωσον Χριστέ, μεταχωρήσαντας.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Μετά πάντων Προφητών, καί Γυναίων ιερών, Θεόν Παρθένε, τόν τεχθέντα εκ σού, δυσώπει εκτενώς, τού οικτειρήσαι ημάς.

Κανών εις Κοιμηθέντας
Ο Ειρμός

Εν πέτρα με τής πίστεως στερέωσας, επλάτυνας τό στόμα μου επ' εχθρούς μου, ευφράνθη γάρ τό πνεύμα μου εν τώ ψάλλειν, ουκ έστιν Άγιος, ως ο Θεός ημών, καί ουκ έστι δίκαιος, πλήν σου Κύριε.

Στίχ. Πρεσβείαις τών Μαρτύρων σου ανάπαυσον, Κύριε, τάς ψυχάς τών δούλων σου.

Ταίς τής σής ωραιότητος λαμπηδόσιν, αυγάζεσθαι τούς πίστει κεκοιμημένους, ευδόκησον ο πλούσιος εν ελέει, μετά Μαρτύρων σου, σύ γάρ ο Θεός ημών, καί ουκ έστι δίκαιος, πλήν σου Κύριε.

Στίχ. Αί ψυχαί αυτών εν αγαθοίς αυλισθήσονται.

Εν τόποις αναψύξεως, ως οικτίρμων, εν χώρα Αβραάμ τε τού εκλεκτού σου, αξίωσον αυλίζεσθαι τούς σούς δούλους, τούς σοί κραυγάζοντας. Σύ εί ο Θεός ημών, καί ουκ έστι δίκαιος, πλήν σου Κύριε.

Στίχ. Μακάριοι ούς εξελέξω καί προσλάβω Κύριε.

Θαλάμοις ουρανίοις περιπολεύειν, φρονίμοις ταίς παρθένοις συνεισελθόντας, υπόδεξαι τούς δούλους σου λαμπαδούχους, ούς περ μετέστησας, τώ σώ βουλήματι, εκ τών προσκαίρων Δέσποτα, μόνε φιλάνθρωπε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νεκρωθέντα, καί πρός γήν με αποστραφέντα, ανέστησας τεκούσα τόν ζωοδότην, ανήγαγες εξ άδου με κατωτάτου, τόν Θεοτόκον σε πίστει δοξάζοντα, καί τιμώντα Πάναγνε, σέ τήν Πανύμνητον.

Ωδή δ'  Ο Ειρμός

Τήν εκ Παρθένου σου γέννησιν, ο Προφήτης προβλέπων, ανεκήρυττε βοών. Τήν ακοήν σου ακήκοα καί εφοβήθην, ότι από θαιμάν, καί εξ όρους αγίου, κατασκίου επεδήμησας Χριστέ.

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Οι τού Χριστού τά παθήματα, ευκλεείς Αθλοφόροι, μιμησάμενοι καλώς, κατατεινόμενοι έχαιρον, πολλαίς βασάνοις, τάς αιωνιζούσας αντιδόσεις σκοπούντες, ών τυχόντες, μακαρίζονται αεί.

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Νόμους τηρούντες τού Πνεύματος, Ιεράρχαι προφρόνως, επωκείλατε λαούς, ως κυβερνήται πανάριστοι, πρός θείον όρμον, καί μετατεθέντες εκ τών κάτω θορύβων, πρός γαλήνην μετηνέχθητε ζωής.

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Γής παρεπίδημοι ώφθητε, μεταθέντες Πατέρες, τό πολίτευμα υμών εν ουρανοίς, καθώς γέγραπται, ευσεβοφρόνως, καί σαρκός τά πάθη, χαλινώσαντες πόνοις εγκρατείας, τή δυνάμει τού Χριστού.

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Νέκρωσιν θείαν ποθήσασαι, τήν ζωήν τήν αγήρω, προξενούσαν αληθώς, διά βασάνων καί θλίψεων, καί εγκρατείας, τίμιαι Γυναίκες, ηξιώθητε ταύτης, δυσωπούσαι τόν Χριστόν υπέρ ημών.

Νεκρώσιμον

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ην μετεβίβασας Κύριε, τών προσκαίρων τού βίου, πολυάριθμον πληθύν, εν ορθοδόξω λατρεύσασαν, Λόγε τή πίστει, πάση σωζομένων, τή πληθύϊ συνάψας, αιωνίου καταξίωσον ζωής.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Όρος κατάσκιον βλέπει σε, αρεταίς ο Προφήτης, Θεοτόκε Αββακούμ, εξ ού επέφανεν ανθρώποις ο Θεός, αφράστως αρετή, καλύψας ουρανούς, καί τό γένος ανθρώπων, διασώσας εκ φθοράς.

Κανών εις Κοιμηθέντας

Ο Ειρμός

Υμνώ σε, ακοήν γάρ Κύριε, εισακήκοα καί εξέστην, έως εμού ήκεις γάρ, εμέ ζητών τόν πλανηθέντα, διό τήν πολλήν σου αγαθότητα, τήν εις εμέ δοξάζω πολυέλεε.

Στίχ. Πρεσβείαις τών Μαρτύρων σου ανάπαυσον, Κύριε, τάς ψυχάς τών δούλων σου.

Ελπίδι, καί αγάπη ζήσαντας, καί φρονήματι ορθοδόξω, τής υπέρ νούν δόξης σου αξίωσον τούς σούς οικέτας Χριστέ, τή πολλή φιλανθρωπία σου, τών ευκλεών Μαρτύρων ταίς δεήσεσιν.

Στίχ. Αί ψυχαί αυτών εν αγαθοίς αυλισθήσονται.

Ως έχων, τής τρυφής αέναον, τόν χειμάρρουν αεί ποτίζεις, τούς εκλεκτούς Κύριε, μεθ' ών καί νύν τούς μεταστάντας Χριστέ, τή αφάτω ευσπλαγχνία σου, παρά τό ύδωρ θρέψον τής αφέσεως.

Στίχ. Μακάριοι ούς εξελέξω καί προσλάβω Κύριε.

Σύ ζώντων, κυριεύεις Δέσποτα, καί θανάτου εξουσιάζεις. Σύ τούς εκ γής χώματι, δυνάμει σου εξανέστησας, διό τούς πρός σέ μεταφοιτήσαντας, εν ταίς αυλαίς σου Σώτερ κατασκήνωσον.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ιάσω, τό τής Εύας σύντριμμα, καί τήν πάλαι ταλαιπωρίαν, τόν κτίστην γάρ τέτοκας, τούς πτώματι καταρραγέντας ημάς, ανορθώσαι τόν δυνάμενον, Θεογεννήτορ μόνη Μητροπάρθενε.

Ωδή ε'  Ο Ειρμός

Τήν αχλύν τής ψυχής μου, Σωτήρ μου διασκεδάσας, τώ φωτί τών εντολών σου καταύγασόν με, ως μόνος τής ειρήνης Βασιλεύς.

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Σέ ποθούντες οικτίρμον, εμίσησαν πάντα κόσμον, οι γενναίοι Αθλοφόροι, προσομιλούντες βασάνοις, απαρνήσει τής σαρκός.

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ιεράρχαι Προφήται, καί Όσιοι θεοφόροι, ταίς τού Πνεύματος ακτίσι, φωταγωγούντες τήν κτίσιν, σκότος λύετε παθών.

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Οι όσιοι Πατέρες, Προφήται καί Ιεράρχαι, καί αοίδιμοι Γυναίκες, σοί τώ Δεσπότη τών όλων, ευηρέστησαν Χριστώ.

Νεκρώσιμον

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ικετεύομεν Σώτερ, ούς εξ ημών προσελάβου, εν τώ χορώ τών εκλεκτών σου κατασκηνώσας, μετόχους δείξον κρείττονος ζωής.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Παναγία Παρθένε, τό καύχημα τών Μαρτύρων, καί Οσίων καί Δικαίων, πάσης ημάς τυραννίδος, εξελού τών πειρασμών.

Κανών εις Κοιμηθέντας

Ο Ειρμός

Ο τού φωτός χορηγός, καί τών αιώνων ποιητής Κύριος, εν τώ φωτί τών σών προσταγμάτων, οδήγησον ημάς, εκτός σου γάρ άλλον Θεόν ού γινώσκομεν.

Στίχ. Πρεσβείαις τών Μαρτύρων σου ανάπαυσον, Κύριε, τάς ψυχάς τών δούλων σου.

Νενεκρωμένους ημάς, καί τεθειμένους εν φρουρά, ήγειρας εκ ζοφερών τού άδου κευθμώνων, αρπάσας αγαθέ, καί δείξας αγίων Μαρτύρων στρατεύματα.

Στίχ. Αί ψυχαί αυτών εν αγαθοίς αυλισθήσονται.

Διά τό σώσαι ημάς, ως παραγέγονας Χριστέ, δέξαι νύν, τούς ευσεβώς πρός σέ μεταστάντας, καί κόλποις Αβραάμ, καί μετά Λαζάρου αυτούς κατασκήνωσον.

Στίχ. Μακάριοι ούς εξελέξω καί προσλάβω Κύριε.

Έλυσας Δέσποτα, τόν χρόνιόν μου καί μακρόν πόλεμον, τόν πρίν πρός σέ, μεσίτης καί πρέσβυς ειρήνης γεγονώς, καί νύν τούς σούς δούλους, οικτείρας ανάπαυσον.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Υπό τήν σκέπην σου, οι πεποιθότες επί σοί, ζήσονται. Μήτηρ Θεού, τόν γάρ ζωοδότην εγέννησας ημίν, τόν ζωοποιούντα, τά πάντα βουλήματι.

Ωδή ς'  Ο Ειρμός

Βυθώ αμαρτημάτων, συνέχομαι Χριστέ, καί τρικυμία τού βίου χειμάζομαι, αλλ' ώσπερ τόν Ιωνάν εκ τού θηρός, καμέ τών παθών ανάγαγε, καί διάσωσον Σωτήρ.

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Στερρότητι καρδίας, εχθρόν οι αθληταί, καταπαλαίσαντες, τούτον κατέβαλον, καί έλαβον νίκης στέφος εκ Θεού, διό εκτενώς πρεσβεύουσι, τού σωθήναι νύν ημάς.

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Χριστού τούς Ιεράρχας, τιμήσωμεν πιστώς, καί τούς Οσίους αυτού μακαρίσωμεν, σωζόμενοι ταίς δεήσεσιν αυτών, εκ πάσης οργής καί θλίψεως, καί κακίας τού εχθρού.

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ενήθλησε Γυναίων, ο ένθεος χορός, καί εν ασκήσει Θεόν εθεράπευσε, καί έτυχε Βασιλείας ουρανών. Αυτών προσευχαίς τόν κόσμον σου, σώσον μόνε Ιησού.

Νεκρώσιμον

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ο πλάσας ζωοδότα, τόν άνθρωπον εκ γής, τούς εξ ημών μεταστάντας ανάπαυσον, τήν άφεσιν παρεχόμενος αυτοίς Χριστέ, τών κακών ως εύσπλαγχνος, καί οικτίρμων Ιησού.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Αγία Θεοτόκε, αγίασον ημών, τούς λογισμούς, καί τό φρόνημα στήριξον, καί σώσον εκ τών βελών τού πονηρού, ατρώτους ημάς δοξάζοντας, σού τό έλεος αγνή.

Κανών εις Κοιμηθέντας

Ο Ειρμός

Εν αβύσσω πταισμάτων κυκλούμενος, τήν ανεξιχνίαστον τής ευσπλαγχνίας σου, επικαλούμαι άβυσσον, εκ φθοράς ο Θεός με ανάγαγε.

Στίχ. Πρεσβείαις τών Μαρτύρων σου ανάπαυσον, Κύριε, τάς ψυχάς τών δούλων σου.

Τής αφράστου καί θείας λαμπρότητος, ένθα τών Μαρτύρων χοροί καταξίωσον, ούς από γής μετέστησας, παντουργώ σου βουλήσει φιλάνθρωπε.

Στίχ. Αί ψυχαί αυτών εν αγαθοίς αυλισθήσονται.

Ελλαμφθήναι τώ κάλλει τής δόξης σου, τούς καταλιπόντας τόν βίον αξίωσον, καί πρός τό φώς σου Δέσποτα, μετακεχωρηκότας τό άφραστον.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ρυομένη προθύμως επίφανον, τούς προσκαλουμένους σε, Πάναγνε Δέσποινα, η τόν Χριστόν γεννήσασα, τόν ζωής καί θανάτου δεσπόζοντα.

Ωδή ζ' Ο Ειρμός

Τά Χερουβείμ μιμούμενοι, Παίδες εν τή καμίνω, υπέψαλλον βοώντες. Ευλογητός εί ο Θεός, ότι εν αληθεία καί κρίσει επήγαγες, ταύτα πάντα, διά τάς αμαρτίας ημών, ο υπερύμνητος, καί δεδοξασμένος, εις πάντας τούς αιώνας.

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Υπομονή κατέβαλον, οι Άγιοι τόν Βελίαρ, υπενεγκόντες πάσαν πείραν βασάνων χαλεπών, ότι εν αληθεία τόν Θεόν ηγάπησαν, τόν παθόντα διά τάς αμαρτίας ημών. Αυτών προσευχαίς, σώσον πάντας Λόγε, πειρασμών καί κινδύνων.

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Φωτοειδείς Ιεράρχαι, καί Όσιοι καί Προφήται, καί Ιερομαρτύρων η αξιάγαστος πληθύς, καί Γυναικών αγίων, άγιος κατάλογος, εν ασκήσει καί αθλήσει λάμψας φαιδρώς, υπέρ ημών αεί, δέησιν ποιείσθε, όπως ελεηθώμεν.

Νεκρώσιμον

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ένθα οδύνη πέφευγε, στεναγμός τε καί λύπη, όπου τό φώς εκλάμπει, Χριστέ, τού σού προσώπου, ένθα αγίων δήμοι, νύν περιχορεύουσι, τάξον πάντας τούς μεταστάντας αφ' ημών, τά πταίσματα αυτών, πάντα παραβλέψας, ως μόνος ελεήμων.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Μετά μαρτύρων άχραντε, καί Οσίων Πατέρων, καί Προφητών πασών τε, τών οσίων Γυναικών, τόν εν αγίοις μόνον επαναπαυόμενον, εκδυσώπει ημάς καθαγιάσαι αγνή, αγίαις εν φωναίς, τούς δοξολογούντας, αυτόν εις τούς αιώνας.

Κανών εις Κοιμηθέντας

Ο Ειρμός

Αντίθεον πρόσταγμα παρανομούντος, τυράννου μετάρσιον, τήν φλόγα ανερρίπισε, Χριστός δέ εφήπλωσε, θεοσεβέσι Παισί, δρόσον τήν τού Πνεύματος, ο ών ευλογημένος, καί υπερένδοξος.

Στίχ. Πρεσβείαις τών Μαρτύρων σου ανάπαυσον, Κύριε, τάς ψυχάς τών δούλων σου.

Ο ών καταβέβηκας, επί τό σώσαι, τό πάλαι πλανώμενον, ανθρώπων γένος Κύριε, διό σε οι Μάρτυρες, αεί καθικετεύουσι, τούτους ούς μετέστησας εκ γής, εν γή πραέων, Σώτερ ανάπαυσον.

Στίχ. Αί ψυχαί αυτών εν αγαθοίς αυλισθήσονται.

Νεκρώσει τήν νέκρωσιν, απετινάξω, εν νεκροίς ελεύθερος, αυτός μόνος γενόμενος, καί νύν τής νεκρώσεως, τής αμαρτίας Δέσποτα, λύτρωσαι τούς δούλους σου, δεικνύς, καί κληρονόμους, τής Βασιλείας σου.

Στίχ. Μακάριοι ούς εξελέξω καί προσλάβω Κύριε.

Πολλή σου καί άφατος, η ευσπλαγχνία, αμέτρητος άβυσσος, η τής φιλανθρωπίας σου, πταισμάτων ούν άφεσιν, τοίς μεταστάσι Χριστέ δίδου, καί τή χάριτι τή σή κεκαθαρμένους, αυτούς ανάδειξον.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Λυχνία γεγένησαι, τής θείας δόξης, απαύγασμα φέρουσα, Παρθένε διά Πνεύματος, ημίν φανερούμενον, καί τήν τού άδου αχλύν, φέγγει τής θεότητος αυτού, εξαφανίζον θεοχαρίτωτε.

Ωδή η'  Ο Ειρμός

Τόν εν τή βάτω Μωσή, τής Παρθένου τό θαύμα, εν Σιναίω τώ όρει, προτυπώσαντα ποτέ, υμνείτε ευλογείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ρεύσαν τό αίμα υμών, καθηγίασε πάσαν, Αθλοφόροι τήν κτίσιν, καί εξήρανε σαφώς, τήν χύσιν τής απάτης, καί τών πιστών τάς ψυχάς, κατήρδευσε πλουσίως.

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ώφθη χορός Ασκητών, Ιερέων τε δήμος, καί Γυναίων αγίων, Προφητών τε ευκλεών, ομότιμος Αγγέλων, αγγελικώς επί γής, εν Πνεύματι βιώσας.

Νεκρώσιμον

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ούς εξ ημών Ιησού, προσελάβου εν κόλποις, Αβραάμ κατατάξας, μετά πάντων εκλεκτών, ανάπαυσον, παρέχων, αμαρτημάτων αυτοίς, ως πανοικτίρμων λύσιν.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Θεοκυήτορ αγνή, μετά πάντων Μαρτύρων, Προφητών καί οσίων, καί αγίων Γυναικών, καί Ιερομαρτύρων, κατοικτειρήσαι ημάς, τόν Σωτήρα δυσώπει.

Κανών εις Κοιμηθέντας

Ο Ειρμός

Κάμινος ποτέ, πυρός εν Βαβυλώνι, τάς ενεργείας διεμέριζε, τώ θείω προστάγματι, τούς Χαλδαίους καταφλέγουσα, τούς δέ πιστούς δροσίζουσα, ψάλλοντας, Ευλογείτε, πάντα τά έργα τόν Κύριον.

Στίχ. Πρεσβείαις τών Μαρτύρων σου ανάπαυσον, Κύριε, τάς ψυχάς τών δούλων σου.

Έδειξας ημίν, τού δυσμενούς θανάτου, τάς διεξόδους ως αθάνατος, τή θεία δυνάμει σου, τάς εισόδους δέ εγνώρισας, τάς τής ζωής αθάνατε, ής περ οι Μάρτυρές σου, νύν επαξίως επέτυχον.

Στίχ. Αί ψυχαί αυτών εν αγαθοίς αυλισθήσονται.

Κάλλους νοητού, τού σού κατατρυφήσαι, τούς μεταστάντας καταξίωσον, τό αίσχος τό δύσμορφον, εκκαθαίρων, ως φιλάνθρωπος, τής αμαρτίας Δέσποτα, μόνος γάρ ανεδείχθης, τής αμαρτίας ελεύθερος.

Στίχ. Μακάριοι ούς εξελέξω καί προσλάβω Κύριε.

Ώρθωσας ημάς, Χριστέ τούς πεπτωκότας, εις χούν θανάτου, τώ θανάτω σου ζωήν χαριζόμενος, καί τρυφήν τήν ατελεύτητον, καί χαρμονήν αϊδιον, ής νύν τούς μεταστάντας, ως ελεήμων αξίωσον.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Μέγα καί φρικτόν, υπάρχει Θεομήτορ, τής σής λοχείας τό μυστήριον, Θεόν γάρ εγέννησας, όν ο θάνατος ουκ έστεξε, καί τάφος ου διέλυσεν, όθεν σε Παναγία, πάντα τά έθνη δοξάζομεν.

### Ωδή θ' Ο Ειρμός

Τήν υπερφυώς σαρκί, συλλαβούσαν εν γαστρί, τόν εκ Πατρός αχρόνως, προεκλάμψαντα Λόγον, εν ύμνοις ασιγήτοις, μεγαλύνωμεν πιστοί.

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ισχυροί κατά παθών, δυνατοί κατά εχθρών, φανέντες Αθλοφόροι, απηνέγκατε νίκην, αθλήσαντες νομίμως, καί στεφθέντες εκ Θεού.

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ως Θεού Ιερουργοί, καί Ποιμένος τού καλού, μιμηταί γεγονότες, εποιμάνατε αυτού, τά θρέμματα οσίως, Ιεράρχαι ευκλεείς.

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Σύν οσίοις Ασκηταίς, καί Προφήταις ιεροίς, τιμήσωμεν Γυναίων, αθλησάντων τά πλήθη, καί τών εν ασκήσει, καθελόντων τόν εχθρόν.

Νεκρώσιμον

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Η πανένδοξος Χριστέ, τών Οσίων σου πληθύς, απαύστως δυσωπεί σε. Ούς μετέστησας πίστει, μετόχους αιωνίου, δείξον Κύριε ζωής.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φιλοικτίρμονα Θεόν, η κυήσασα σαρκί, μετά πάντων Αγίων, καθικέτευε αεί, κινδύνων ημάς σώσαι, Μητροπάρθενε αγνή.

### Κανών εις Κοιμηθέντας
### Ο Ειρμός

Η τόν πρό Ηλίου φωστήρα, τόν Θεόν εξανατείλαντα, σωματικώς ημίν επιδημήσαντα, εκ λαγόνων παρθενικών, αφράστως σωματώσασα, ευλογημένη πάναγνε, σέ Θεοτόκε μεγαλύνομεν.

Στίχ. Πρεσβείαις τών Μαρτύρων σου ανάπαυσον, Κύριε, τάς ψυχάς τών δούλων σου.

Έχων εξουσίαν καί ζώντων, καί νεκρών ζωαρχικώτατε, τοίς από γής πρός σέ μεταφοιτήσασι, κληρουχίαν εν ουρανοίς, παράσχου καί λαμπρότητα, τήν τών αγίων Δέσποτα, καί τών ενδόξων Αθλοφόρων σου.

Στίχ. Αί ψυχαί αυτών εν αγαθοίς αυλισθήσονται.

Λόγος ών ο πάλαι, τό είναί μοι διδούς ζωαρχικώτατε, καί τό εύ είναι πάλιν χαριζόμενος, εν τοίς κόλποις τοίς ορεκτοίς, Αβραάμ τού προπάτορος, τούς μεταστάντας δούλους σου, ως ελεήμων κατασκήνωσον.

Στίχ. Μακάριοι ούς εξελέξω καί προσλάβω Κύριε.

Όλος χρηματίζεις Σωτήρ μου, γλυκασμός φωτοειδέστατος, όλος υπάρχεις έφεσις ακόρεστος, τόν χειμάρρουν τόν τής τρυφής, καί ύδωρ τής αφέσεως, τούς κοιμηθέντας πότισον, ακαταπαύστως σέ δοξάζοντας.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σε τήν Θεοτόκον αξίως, οι πιστοί νύν μακαρίζομεν, τοίς θεοπνεύστοις λόγοις σου επόμενοι, σύ γάρ μόνη τοίς επί γής, Θεόν εκυοφόρησας, τόν τού θανάτου λύσαντα, τήν δυναστείαν Μητροπάρθενε.

Στιχηρά τών Αίνων Μαρτυρικά

Στίχ. Αινείτε αυτόν εν ήχω σάλπιγγος, αινείτε αυτόν εν ψαλτηρίω καί κιθάρα.

Τόν Σταυρόν τού Χριστού, λαβόντες οι άγιοι Μάρτυρες, όπλον ακαταγώνιστον, πάσαν τού διαβόλου τήν ισχύν κατήργησαν, καί λαβόντες στέφος ουράνιον, τείχος ημίν γεγόνασιν, υπέρ ημών αεί πρεσβεύοντες.

Στίχ. Αινείτε αυτόν εν τυμπάνω καί χορώ, αινείτε αυτόν εν χορδαίς καί οργάνω.

Τών αγίων σου τά πλήθη, δυσωπούσί σε Χριστέ, ελέησον Σωτήρ τάς ψυχάς ημών.

Στίχ. Αινείτε αυτόν εν κυμβάλοις ευήχοις, αινείτε αυτόν εν κυμβάλοις αλαλαγμού. Πάσα πνοή αινεσάτω τόν Κύριον.

Πάσα πόλις καί χώρα, τιμά υμών τά λείψανα, ώ αθλοφόροι Μάρτυρες, υμείς γάρ νομίμως αθλήσαντες, στέφανον ουράνιον ελάβετε, καί διά τούτο Ιερέων εστέ τό καύχημα, Βασιλέων τό νίκος, Εκκλησιών η ευπρέπεια.

Νεκρώσιμον

Στίχ. Μακάριοι ούς εξελέξω καί προσελάβου, Κύριε.

Οίμοι οίον αγώνα έχει η ψυχή, χωριζομένη εκ τού σώματος! οίμοι πόσα δακρύει τότε, καί ουχ υπάρχει ο ελεών αυτήν! πρός τούς Αγγέλους τά όμματα ρέπουσα, άπρακτα καθικετεύει, πρός τούς ανθρώπους τάς χείρας εκτείνουσα, ουκ έχει τόν βοηθούντα. Διό αγαπητοί μου αδελφοί, εννοήσαντες ημών τό βραχύ τής ζωής, τοίς μεταστάσι τήν ανάπαυσιν, παρά Χριστού αιτησώμεθα, καί ταίς ψυχαίς ημών τό μέγα έλεος.

Δόξα... Καί νύν... Θεοτοκίον

Ότε εκ τού ξύλου

Όλην τήν ζωήν μου εν κακοίς, καταδαπανήσας ο τάλας, νύν κατελείφθην Αγνή, πάσης όλος έρημος, αγαθής πράξεως, προσεγγίζοντα βλέπων δέ, τόν θάνατον, οίμοι! τρέμω τό τό κριτήριον τού σού Υιού καί Θεού, ού περ εξελού με Παρθένε, καί πρό τής ανάγκης εκείνης, Δέσποινα επίστρεψον, καί σώσόν με.

Απόστιχα τών Αίνων

Ότε εκ τού ξύλου σε νεκρόν

Ρύμην τού θανάτου καί φθοράν, σού τώ ζωηφόρω θανάτω, καθείλες Δέσποτα, πάσι δέ επήγασας, ζωήν αιώνιον, καί νεκροίς εξανάστασιν, Σωτήρ εδωρήσω, όθεν σου δεόμεθα, καί νύν ανάπαυσον, πίστει τούς πρός σέ μεταστάντας, καί τής αθανάτου σου δόξης, τούτους καταξίωσον, Φιλάνθρωπε.

Στίχ. Μακάριοι ούς εξελέξω καί προσλάβω Κύριε.

Ίνα τούς ανθρώπους κοινωνούς, θείας βασιλείας εργάση, Σταυρόν υπέμεινας, θάνατον εκούσιον, καταδεξάμενος, διά τούτο δεόμεθα, τή σή ευσπλαγχνία, μετόχους ανάδειξον τής βασιλείας σου, πίστει τούς πρός σέ μετασταντας, καί τού γλυκυτάτου σου κάλλους, τούτους καταξίωσον, Φιλάνθρωπε.

Στίχ. Αί ψυχαί αυτών εν αγαθοίς αυλισθήσονται.

Σώσαι τό σόν πλάσμα βουληθείς, τής οικονομίας τό όντως, βαθύ μυστήριον, χαίρων εξετέλεσας ως υπεράγαθος, καί τιμής εξηγόρασας, τόν σύμπαντα κόσμον, αίματι τιμίω σου, διό δεόμεθα, πίστει τούς πρός σέ μεταστάντας, μετά τών αγίων απάντων, τής απολυτρώσεως αξίωσον.

Στίχ. Καί τό μνημόσυνον αυτών, εις τόν αιώνα δοξάσαντα.

Τρόμω, τώ φρικτώ καί φοβερώ, θρόνω σου Χριστέ παρεστώτες, οι απ' αιώνος νεκροί, ψήφον αναμένουσι, τήν σήν δικαίαν Σωτήρ, καί τήν θείαν εκδέχονται δικαιοκρισίαν, τότε φείσαι Δέσποτα, Σώτερ τών δούλων σου, πίστει τών πρός σέ μεταστάντων, καί τής αϊδίου τρυφής σου, καί μακαριότητος αξίωσον.

Δόξα... Καί νύν... Θεοτοκίον

Δεύτε τήν Μητέρα τού φωτός, ύμνοις ασιγήτοις βοώντες, πάντες δοξάσωμεν, αύτη γάρ εκύησε τήν σωτηρίαν ημών, καί τό χαίρε προσάξωμεν, ως μόνη τεκούση, πάντων αρχαιότατον, τόν πρό αιώνων Θεόν. Χαίροις η τήν Εύαν τεκούσα, πάλιν αναπλάσαντα. Χαίροις, άχραντε Παρθένε απειρόγαμε.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

### Οι Μακαρισμοί

Μακάριοι οι ειρηνοποιοί, ότι αυτοί υιοί Θεού κληθήσονται.

Τήν φωνήν σοι προσάγομεν, τού Ληστού καί βοώμέν σοι. Μνήσθητι ημών Σωτήρ, εν τή Βασιλεία σου.

Μακάριοι οι δεδιωγμένοι ένεκεν δικαιοσύνης, ότι αυτών εστιν η βασιλεία τών ουρανών.

Τού Χριστού τά παθήματα, μιμησάμενοι Μάρτυρες, πάθη ποικίλα βροτών, αεί θεραπεύετε.

Μακάριοί εστε όταν ονειδίσωσιν υμάς, καί διώξωσι, καί είπωσι πάν πονηρόν ρήμα καθυμών ψευδόμενοι ένεκεν εμού.

Σύν Προφήταις Απόστολοι, σύν Οσίοις Διδάσκαλοι, τώ πάντων Δημιουργώ, καλώς ευηρέστησαν.

Χαίρετε καί αγαλλιάσθε, ότι ο μισθός υμών πολύς εν τοίς ουρανοίς.

Μετά πάντων ανάπαυσον, τών Αγίων σου Κύριε, ούς προσελάβου πιστούς, δεόμεθα δούλους σου.

Δόξα...

Ώ τριάς ομοούσιε, τούς υμνούντάς σε οίκτειρον, εκ τών σκανδάλων εχθρού, πάντας λυτρουμένη αεί.

Καί νύν... Θεοτοκίον

Τάς δεήσεις τών δούλων σου, μή παρίδης Πανάμωμε, σώζουσα ημάς εκ πολλών πταισμάτων καί

θλίψεων.

top
3-1

## ΤΩ ΣΑΒΒΑΤΩ ΕΣΠΕΡΑΣ

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

### Στιχηρά Αναστάσιμα τής Οκτωήχου

Ηχος γ'

Τώ σώ σταυρώ Χριστέ Σωτήρ, θανάτου κράτος λέλυται, καί διαβόλου η πλάνη κατήργηται, γένος δέ ανθρώπων πίστει σωζόμενον, ύμνον σοι καθ' εκάστην προσφέρει. (Δίς)

Πεφώτισται τά σύμπαντα, τή αναστάσει σου Κύριε, καί ο Παράδεισος πάλιν ηνέωκται, πάσα δέ η κτίσις ανευφημούσά σε, ύμνον σοι καθ' εκάστην προσφέρει.

Δοξάζω τού Πατρός, καί τού Υιού τήν δύναμιν, καί Πνεύματος αγίου, υμνώ τήν εξουσίαν, αδιαίρετον, άκτιστον θεότητα, Τριάδα ομοούσιον, τήν βασιλεύουσαν εις αιώνα αιώνος.

Δόξα... Καί νύν...

Θεοτοκίον τό Δογματικόν

Ήχος γ'

Μέγιστον θαύμα! παρθένος τεκούσα, καί τό τεχθέν Θεός πρό αιώνων, προφανής ο τόκος, καί τό τελούμενον υπέρ φύσιν. Ώ Μυστηρίου φρικώδους! ο καί νοούμενον, άφραστον μένει, καί θεωρούμενον, ου καταλαμβάνεται. Μακαρία σύ εί άχραντε Κόρη, Αδάμ τού γηγενούς θυγάτηρ, καί Θεού τού Υψίστου φανείσα μήτηρ. Αυτόν ικέτευε, σωθήναι τάς ψυχάς ημών.

### Απόστικα

Ήχος γ'

Τόν Σταυρόν σου προσκυνώ Χριστέ τόν τίμιον.

Στίχ. Μνήσθομαι τού ονόματός σου εν πάση γενεά καί γενεά.

Κιβωτόν σε νοητήν αγνή γινώσκομεν, ου φέρουσαν τάς Πλάκας τάς θεογράφους, τόν δέ νόμου ποιητήν, καί χάριτος τά δόγματα, τόν ουρανού καί γής κτίστην, ώ πρέσβευε σωθήναι τάς ψυχάς ημών.

Στίχ. Άκουσον, θύγατερ, καί ίδε, καί κλίνον το ούς σου, καί επιλάθου τού λαού σου, καί τού οίκου τού Πατρός σου.

Επί γής σέ ουρανόν αγνή ανέδειξεν, ο εν μήτρα τή σή, κατασκηνώσας Θεός Λόγος, σάρκα προσλαβών, ο φύσει αθεώρητος, καί επομβρίζεις τοίς πάσιν, αθάνατον δρόσον Απειρόγαμε.

Στίχ. Τό πρόσωπόν σου λιτανεύσουσιν οι πλούσιοι τού λαού.

Σωτηρίαν ταίς πρεσβείαις σου κεκτήμεθα, ότι δι' αυτών Παρθένε, εκ τών κινδύνων αεί καί τών πειρασμών, τήν ζάλην υπεκφεύγομεν, καί διά τούτο αιτούμεν, μή παύση υπέρ ημών τού πρεσβεύειν, σωθήναι τάς ψυχάς ημών.

Δόξα... Καί νύν... Θεοτοκίον

Ήχος γ'

Ανάπλασιν καί ζωήν, διά σού δευτέραν γινώσκομεν, άχραντε Μαρία, τής ανθρωπίνης φύσεως, εν τή γαστρί σου φυραθέντα τόν κτίστην τής κτίσεως, καί αναστήσαντα ημάς, εκ τού άδου καί τού θανάτου, καί ζωήν αιώνιον παρεσχηκότα ημίν, τού βοάν σοι Αειπάρθενε. Χαίρε η συνάψασα τά κάτω τοίς επουρανίοις. Χαίρε η ελπίς πάντων τών περάτων τής γής, καί προστασία καί αντίληψις. Χαίρε η τή Αναστάσει τού Υιού σου, φαιδρύνουσα τά σύμπαντα, καί παρέχουσα τώ κόσμω τό μέγα έλεος.

Απολυτίκιον Ήχος γ'

Ευφραινέσθω τά ουράνια, αγαλλιάσθω τά επίγεια, ότι εποίησε κράτος, εν βραχίονι αυτού, ο Κύριος, επάτησε τώ θανάτω τόν θάνατον, πρωτότοκος τών νεκρών εγένετο, εκ κοιλίας άδου ερρύσατο ημάς, καί παρέσχε κόσμω τό μέγα έλεος.

Δόξα... Καί νύν... Θεοτοκίον

Σε τήν μεσιτεύσασαν τήν σωτηρίαν τού γένους ημών, ανυμνούμεν Θεοτόκε Παρθένε, εν τή σαρκί γάρ τή εκ σού προσληφθείση, ο Υιός σου καί Θεός ημών τό διά Σταυρού καταδεξάμενος πάθος, ελυτρώσατο ημάς, εκ φθοράς ως φιλάνθρωπος.

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Ήχος γ'

Τώ σώ σταυρώ Χριστέ Σωτήρ, θανάτου κράτος λέλυται, καί διαβόλου η πλάνη κατήργηται, γένος δέ ανθρώπων πίστει σωζόμενον, ύμνον σοι καθ' εκάστην προσφέρει.

- εμέ υπομενούσι δίκαιοι, έως ου ανταποδώς μοι.

Πεφώτισται τά σύμπαντα, τή αναστάσει σου Κύριε, καί ο Παράδεισος πάλιν ηνέωκται, πάσα δέ η κτίσις ανευφημούσά σε, ύμνον σοι καθ' εκάστην προσφέρει.

- εκ βαθέων εκέκραξά σοι, Κύριε, Κύριε εισάκουσον τής φωνής μου.

Δοξάζω τού Πατρός, καί τού Υιού τήν δύναμιν, καί Πνεύματος αγίου, υμνώ τήν εξουσίαν, αδιαίρετον, άκτιστον θεότητα, Τριάδα ομοούσιον, τήν βασιλεύουσαν εις αιώνα αιώνος.

- γενηθήτω τά ώτά σου προσέχοντα εις τήν φωνήν τής δεήσεώς μου.

Τόν Σταυρόν σου τόν τίμιον, προσκυνούμεν Χριστέ, καί τήν ανάστασίν σου υμνούμεν καί δοξάζομεν, τώ γάρ μώλωπί σου, ημείς οι πάντες ιάθημεν.

- εάν ανομίας παρατηρήσης, Κύριε, Κύριε τίς υποστήσεται; ότι παρά σοί ο ιλασμός εστιν.

Υμνούμεν τόν Σωτήρα, τόν εκ τής Παρθένου σαρκωθέντα, δι' ημάς γάρ εσταυρώθη, καί τή τρίτη ημέρα ανέστη, δωρούμενος ημίν τό μέγα έλεος.

- ένεκεν τού ονόματός σου υπέμεινά σε, Κύριε, υπέμεινεν η ψυχή μου εις τόν λόγον σου, ήλπισεν η ψυχή μου επί τόν Κύριον.

Τοίς εν άδη καταβάς Χριστός ευηγγελίσατο, θαρσείτε λέγων, νύν νενίκηκα. Εγώ η Ανάστασις, εγώ υμάς ανάξω, λύσας θανάτου τάς πύλας.

- από φυλακής πρωίας μέχρι νυκτός, από φυλακής πρωίας, ελπισάτω Ισραηλ επί τόν Κύριον.

Οι αναξίως εστώτες, εν τώ αχράντω σου οίκω, εσπερινόν ύμνον αναμέλπομεν, εκ βαθέων κραυγάζοντες, Χριστέ ο Θεός, ο φωτίσας τόν κόσμον τή τριημέρω Αναστάσει σου, εξελού τόν λαόν σου, εκ χειρός τών σου Φιλάνθρωπε.

- ότι παρά τώ Κυρίω τό έλεος καί πολλή παρ' αυτώ λύτρωσις' καί αυτός λυτρώσεται τόν Ισραηλ εκ πασών τών ανομιών αυτού.

- αινείτε τόν κύριον πάντα τά έθνη επαινέσατε αυτόν πάντες οι λαοί.

- ότι εκραταιώθη τό έλεος αυτού εφ' ημάς, καί η αλήθεια τού κυρίου μένει εις τόν αιώνα.

Θεοτοκίον

Πώς μή θαυμάσωμεν, τόν θεανδρικόν σου Τόκον Πανσεβάσμιε; πείραν γάρ ανδρός μή δεξαμένη Πανάμωμε, έτεκες απάτορα Υιόν εν σαρκί, τόν πρό αιώνων εκ Πατρός γεννηθέντα αμήτορα, μηδαμώς υπομείναντα τροπήν, ή φυρμόν, ή διαίρεσιν, αλλ' εκατέρας ουσίας τήν ιδιότητα, σώαν φυλάξαντα. Διό Μητροπάρθενε Δέσποινα, αυτόν ικέτευε σωθήναι, τάς ψυχάς τών ορθοδόξως, Θεοτόκον ομολογούντων σε.

Ήχος γ'

Ο τώ πάθει σου Χριστέ, αμαυρώσας τόν ήλιον, καί τώ φωτί τής σής Αναστάσεως, φαιδρύνας τά σύμπαντα, πρόσδεξαι ημών, τόν εσπερινόν ύμνον Φιλάνθρωπε.

- ο Κύριος εβασίλευσεν, ευπρέπειαν ενεδύσατο, ενεδύσατο Κύριος δύναμιν καί περιεζώσατο.

Η ζωοδόχος σου Έγερσις Κύριε, τήν οικουμένην πάσαν εφώτισε, καί τό ίδιον πλάσμα, φθαρέν ανεκαλέσατο. Διό τής κατάρας τόν Αδάμ, απαλλαγέντες βοώμεν, Παντοδύναμε Κύριε δόξα σοι.

- καί γάρ εστερέωσεν τήν οικουμένην, ήτις ου σαλευθήσεται.

Θεός υπάρχων αναλλοίωτος, σαρκί πάσχων ηλλοίωσαι, όν η κτίσις μη φέρουσα, κρεμάμενον

οράν, τώ φόβω εκλονείτο, καί στένουσα ύμνει τήν σήν μακροθυμίαν, κατελθών εν άδη δέ, τριήμερος ανέστης, ζωήν τώ κόσμω δωρούμενος, καί τό μέγα έλεος.

- τώ οίκω σου πρέπει αγίασμα, Κύριε εις μακρότητα ημερών.

Ίνα τό γένος ημών, εκ τού θανάτου Χριστέ λυτρώσης, θάνατον υπήνεγκας, καί τριήμερος εκ νεκρών αναστάς, εαυτώ συνανέστησας, τούς σέ Θεόν επιγνόντας, καί κόσμον εφώτισας, Κύριε δόξα σοι.

Θεοτοκίον

Ασπόρως εκ θείου Πνεύματος, βουλήσει δέ Πατρός, συνείληφας Υιόν τόν τού Θεού, εκ Πατρός αμήτορα, πρό τών αιώνων υπάρχοντα, δι' ημάς δέ εκ σού απάτορα γεγονότα, σαρκί απεκύησας, καί βρέφος εγαλούχησας. Διό μή παύση πρεσβεύειν, τού λυτρωθήναι κινδύνων τάς ψυχάς ημων.

Απολυτίκιον Ήχος γ'

Ευφραινέσθω τά ουράνια, αγαλλιάσθω τά επίγεια, ότι εποίησε κράτος, εν βραχίονι αυτού, ο Κύριος, επάτησε τώ θανάτω τόν θάνατον, πρωτότοκος τών νεκρών εγένετο, εκ κοιλίας άδου ερρύσατο ημάς, καί παρέσχε κόσμω τό μέγα έλεος.

Θεοτοκίον

Σε τήν μεσιτεύσασαν τήν σωτηρίαν τού γένους ημών, ανυμνούμεν Θεοτόκε Παρθένε, εν τή σαρκί γάρ τή εκ σού προσληφθείση, ο Υιός σου καί Θεός ημών τό διά Σταυρού καταδεξάμενος πάθος, ελυτρώσατο ημάς, εκ φθοράς ως φιλάνθρωπος.

## ΕΝ ΤΩ ΜΕΣΟΝΥΚΤΙΚΩ

Ωδή α' Ήχος γ' Ο Ειρμός

Ο τά ύδατα

Ακατάληπτε μόνη Κυριαρχία, καί μία τριαδική θεαρχία, τριλαμπούς αίγλης με τής σής αξίωσον νύν, όπως ανυμνήσω σε, τήν υμνουμένην απαύστως, τρισαγίοις άσμασιν, Αγγέλων στόμασιν.

Ιερώς τών Αϋλων πάσαι, αι τάξεις υμνούσι, ποιητικήν ως αιτίαν, ενικήν τρίφωτον, αρχικωτάτην σαφώς, αίς συμφώνως μέλψωμεν, καί τών ανθρώπων τά πλήθη, καί πιστώς δοξάσωμεν, πηλίνοις στόμασι.

Νούν καί Λόγον καί Πνεύμα, οι θεολόγοι προσφόρως, συμβολικώς σε καλούσιν, απαθή γέννησιν, εξ αγεννήτου Πατρός, τού Υιού σημαίνοντες, Θεέ μονάρχα τών όλων, άμα καί τού Πνεύματος, θείαν εκπόρευσιν.

Θεοτοκίον

Ως φιλάνθρωπος φύσει, τήν τών ανθρώπων ουσίαν, προσειληφώς Θεού Λόγε, τό τρισσόν έλαμψας, μοναρχικώτατον φώς, τής μιάς θεότητος, δεδοξασμένην τοίς πάσι, δείξας τήν τεκούσάν σε, Παρθένον άχραντον.

Ωδή γ'

Ο εκ μή όντων τά πάντα

Τρισσεύσαι πάλαι τό ύδωρ προστεταχώς, Ηλίας ταίς σχίδαξι, τυπικώς παρενέφηνε, τήν τριττήν υπόστασιν τής ενιαίας Θεού Κυριαρχίας.

Ζοώδης φύσις υμνεί σε τών γηγενών, τόν ένα καί τρίφωτον, Πλαστουργόν, αναλλοίωτον, καί βοά σοι, Δέσποτα, παντοδαπής με τροπής ρύσαι, καί σώσόν με.

Ισηγορούντες τοίς Λόγοις τών Προφητών, κλεινών Αποστόλων τε, καί κηρύκων τής Πίστεως, ισουργόν Τριάδα σε, δοξολογούμεν Πιστοί, Θεέ τών όλων.

Θεοτοκίον

Από τού θρόνου κατήλθε τού υψηλού, ο Χριστός τόν άνθρωπον, ανυψών ως φιλάνθρωπος, διά σού Πανάχραντε, καί τό τρισήλιον φώς έλαμψε πάσι.

Κάθισμα

Τήν ωραιότητα

Ουπερούσιος, καί μόνος Κύριος, Χριστός απαύγασμα, τού προανάρχου Πατρός, καί Πνευμα τό

θειότατον, ελέησον τούς δούλους σου, πάντες γάρ ημάρτομεν, αλλά σού ουκ απέστημεν, όθεν δυσωπούμέν σε, Τρισυπόστατε Κύριε, ως έχων εξουσίαν, τό πλάσμα σου, σώσον εκ πάσης περιστάσεως.

Δόξα... Καί νύν... Θεοτοκίον

Ουπερούσιος, Θεός καί Κύριος, εκ σού σεσάρκωται, δι' αγαθότητα, τό καθ' ημάς ουσιωθείς, καί μείνας όπερ πέφυκεν, όθεν καί θεάνθρωπον, τούτον σέβοντες Πάναγνε, σέ τήν Απειρόγαμον, Θεοτόκον κηρύττομεν, δοξάζοντες τό μέγιστον θαύμα, τής σής ασπόρου κυήσεως.

## Ωδή δ'

Έθου πρός ημάς

Στέλεχος διττόν, εκ Πατρός ως ρίζης εβλάστησεν, ο Υιός καί Πνεύμα τό ευθές, οι συμφυείς βλαστοί καί θεόφυτοι, καί άνθη συνάναρχα, ως τρία είναι φώτα τής θεότητος. (Δίς)

Στίφη νοερών, ουσιών απαύστως υμνούσί σε, τόν απερινόητον Θεόν, μεθ' ών ημείς δοξάζομεν λέγοντες. Τριάς υπερούσιε, τούς σούς οικέτας σώσον ως φιλάνθρωπος.

Θεοτοκίον

Έθελξας ημάς, εις αγάπην σήν, πολυέλεε, Λόγε τού Θεού, ο δι' ημάς σωματωθείς ατρέπτως, καί τρίφωτον τήν μίαν θεότητα, μυσταγωγήσας, όθεν σέ δοξάζομεν.

## Ωδή έ

Ως είδεν Ησαϊας

Τόν ένα Κυριάρχην εικονικώς, ως είδεν Ησαϊας Θεόν, εν τρισί προσώποις δοξολογούμενον, αχράντοις φωναίς Σεραφείμ, απεστάλη τού κηρύξαι παρευθύς, τρίφωτον ουσίαν, καί Μονάδα τρισήλιον. (Δίς)

Απάντων αοράτων καί ορατών, τήν φύσιν εξ ουκ όντων τό πρίν, υποστησαμένη, Μονάς τρισήλιε, τούς ενα Θεόν σε πιστώς, ευφημούντας, εκ παντοίων πειρασμών, εκλυτρωσαμένη, τής σής δόξης αξίωσον.

Θεοτοκίον

Νυμφώνα φωτοφόρον καί καθαρόν, Παρθένε γεγονυίαν Θεού, σέ υμνούμεν πόθω καί μακαρίζομεν, εκ σού γάρ ετέχθη Χριστός, εν ουσίαις καί θελήσεσι διτταίς, ο είς τής Τριάδος, καί τής δόξης ών Κύριος.

## Ωδή ς'

Άβυσσος εσχάτη

Μέτοικος υπάρχων ο Αβραάμ, κατηξιώθη τυπικώς υποδέξασθαι, ενικόν μέν Κύριον, εν τρισίν υποστάσεσιν, υπερούσιον, ανδρικαίς δέ μορφώσεσιν. (Δίς)

Ίθυνον καρδίας σών οικετών, πρός φώς τό απρόσιτον, ώ τρισήλιε Κύριε, καί σής δόξης έλλαμψιν, παράσχου ταίς ψυχαίς ημών, τού φαντάζεσθαι, τό σόν κάλλος τό άρρητον.

Θεοτοκίον

Άνοιξον τάς πύλας μοι τού φωτός, τού κυηθέντος εκ νηδύος σου, Άχραντε, ίνα βλέπω τρίφωτον, ακτίνα τής θεότητος, καί δοξάζω σε, τήν ολόφωτον Δέσποιναν.

## Κάθισμα

Θείας πίστεως

Θείας φύσεως ομοουσίου, τό τρισήλιον υμνούμεν κράτος, καί τρισαγίαις φωναίς εκβοήσωμεν. Άγιος εί, ο Πατήρ ο προάναρχος, Άγιος εί, ο Υιός ο συνάναρχος, Πνεύμα Άγιον, ο είς αμερής Θεός ημών, καί πάντων ποιητής καί φιλάνθρωπος.

Δόξα... Καί νύν... Θεοτοκίον

Θαύμα μέγιστον! πώς συνεσχέθη, ο αχώρητος, εν τή γαστρί σου, καί εσαρκώθη, καί εφάνη ώς άνθρωπος, μή υπομείνας φυρμόν, ή διαίρεσιν, τής θεϊκής καί ατρέπτου θεότητος, Κόρη πάναγνε, διό Θεοτόκον σε πιστώς, κηρύττομεν αεί καί δοξάζομεν.

## Ωδή ζ'

Ως πάλαι τούς ευσεβείς

Ναόν με δείξον τής σής, θεότητος Δέσποτα, τής τριλαμπούς, όλον φωτεινόν, αμαρτητικής αμαυρώσεως δεινής, καί παθών ανώτερον, ταίς φωτουργαίς σου λάμψεσιν, ο Θεός ο τών Πατέρων ημών.

Θεότητος τήν μορφήν, μίαν καταγγέλλομεν, εν τρισίν υποστατικαίς, καί διαιρεταίς ιδιότησι, Πατρός καί Υιού καί Πνεύματος, Ευλογητός εί κράζοντες, ο Θεός ο τών Πατέρων ημών.

Εφάνη τώ Αβραάμ, Θεός τρισυπόστατος, εν τή δρυΐ πάλαι τή Μαμβρή, τής φιλοξενίας μισθόν, τόν Ισαάκ αντιδούς δι' έλεον, όν περ νύν δοξάζομεν, ως Θεόν τών Πατέρων ημών.

Θεοτοκίον

Εφάνη επί τής γής, γενόμενος άνθρωπος, ο Παντουργός αγαθοπρεπώς, εκ παρθενικής καί αχράντου σου γαστρός, καί ημάς εθέωσεν, ευλογημένη Πάναγνε, Θεοτόκε πανάχραντε.

Ωδή η'

Αστέκτω πυρί ενωθέντες

Ανάρχου Πατρός ως εκ ρίζης, Λόγος καί τό Πνεύμα συνανάρχως πεφυκότες, ως βλαστοί τής υπερουσίου θεαρχίας, έδειξαν τής Τριάδος, δόξαν μίαν τε καί δύναμιν, ήν υμνούμεν πάντες, πιστοί εις τούς αιώνας. (Δίς)

Ρυθμίζεις ταίς σαίς φρυκτωρίαις, Τάξεις ουρανίους, αναμέλπειν ασιγήτως, τρισαγίοις, άσμασι θείοις, Πάτερ Λόγε σύμμορφε, καί τό Πνεύμα τρίφωτον, κράτος καί ισόρροπον, όθεν σε υμνούμεν, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Χρησμοί Προφητών τόν σόν τόκον, πόρρωθεν ιδόντες, Θεοτόκε ανευφήμουν, ως ασπόρως καί υπερφυώς, γεννηθέντα Δέσποινα, καί συμφώνως τούτον υμνούμεν, ως Κύριον, καί υπερυψούμεν, εις πάντας τούς αιώνας.

Ωδή θ'

Καινόν τό θαύμα

Ιδείν τήν δόξαν τήν τρισσολαμπή, αι θεοειδείς τών Ασωμάτων τάξεις, σαφώς ανιέναι, πτέρυξιν εφίενται άνω, αλλ' ευλαβούνται σφόδρα, τό απρόσιτον φώς, καί ύμνον απαύστως εκβοώσι, ταύταις συμφώνως, μοναδική Τριάς, σέ δοξάζομεν. (Δίς)

Απλέτω πόθω καί οι επί γής, νοεράν ψυχήν εκ σού λαβόντες καί λογικήν, σέ υμνούμεν Δέσποτα Θεέ τών απάντων, τήν ενιαίαν φύσιν αληθώς, καί τριττήν προσώποις, εξ όλης τής καρδίας, διό Οικτίρμον, ως πολυέλεος ημάς οίκτειρον.

Θεοτοκίον

Ναόν με δείξον τής μοναρχικής, καί τριφεγγούς σου θεαρχίας φωτοειδή, καθαρώς λατρεύειν σοι τώ Κτίστη τών όλων, καί τής αφράστου δόξης νοερόν θεωρόν, πρεσβείαις τής μόνης Θεοτόκου, ήν επαξίως, ως υπερένδοξον μεγαλύνομεν.

Η Υπακοή

Εκπλήττων τή οράσει, δροσίζων τοίς ρήμασιν, ο αστράπτων Άγγελος, ταίς μυροφόροις έλεγε. Τόν ζώντα τί ζητείτε εν μνήματι; ηγέρθη κενώσας τά μνήματα τής φθοράς αλλοιωτήν, γνώτε τόν αναλλοίωτον, είπατε τώ Θεώ, Ως φοβερά τά έργα σου! ότι τό γένος έσωσας τών ανθρώπων.

ΕΝ ΤΩ ΟΡΘΡΩ

Απολυτίκιον  Ήχος γ'

Ευφραινέσθω τά ουράνια, αγαλλιάσθω τά επίγεια, ότι εποίησε κράτος, εν βραχίονι αυτού, ο Κύριος, επάτησε τώ θανάτω τόν θάνατον, πρωτότοκος τών νεκρών εγένετο, εκ κοιλίας άδου ερρύσατο ημάς, καί παρέσχε κόσμω τό μέγα έλεος.

Δόξα... Καί νύν... Θεοτοκίον

Σε τήν μεσιτεύσασαν τήν σωτηρίαν τού γένους ημών, ανυμνούμεν Θεοτόκε Παρθένε, εν τή σαρκί γάρ τή εκ σού προσληφθείση, ο Υιός σου καί Θεός ημών τό διά Σταυρού καταδεξάμενος πάθος, ελυτρώσατο ημάς, εκ φθοράς ως φιλάνθρωπος.

Καθίσματα Ήχος γ'

Χριστός εκ νεκρών εγήγερται, η απαρχή τών κεκοιμημένων. Ο Πρωτότοκος τής κτίσεως, καί Δημιουργός πάντων τών γεγονότων, τήν καταφθαρείσαν φύσιν τού γένους ημών, εν εαυτώ ανεκαίνισεν. Ουκ έτι θάνατε κυριεύεις. Ο γάρ τών όλων Δεσπότης, τό κράτος σου κατέλυσε.

Δόξα...

Σαρκί τού θανάτου γευσάμενος Κύριε, τό πικρόν τού θανάτου εξέτεμες τή Εγέρσει σου, καί τόν άνθρωπον κατ' αυτού ενισχύσας, τής αρχαίας κατάρας τήν ήτταν ανακαλούμενος, ο υπερασπιστής τής ζωής ημών, Κύριε δόξα σοι.

Καί νύν... Θεοτοκίον

Τήν ωραιότητα τής παρθενίας σου, καί τό υπέρλαμπρον τό τής αγνείας σου, ο Γαβριήλ καταπλαγείς εβόα σοι Θεοτόκε, Ποιόν σοι εγκώμιον, προσαγάγω επάξιον, τί δέ ονομάσω σε; απορώ καί εξίσταμαι, διό ως προσετάγην βοώ σοι. Χαίρε η Κεχαριτωμένη.

Τήν ωραιότητα τής παρθενίας σου

Τό αναλλοίωτον τό τής θεότητος, καί τό εκούσιον πάθος σου Κύριε, εις εαυτόν καταπλαγείς, ο Άδης επωδύρετο. Τρέμω τήν τού σώματος, μή φθαρείσαν υπόστασιν, βλέπω τόν αόρατον, μυστικώς πολεμούντά με, διό καί ούς κατέχω κραυγάζουσι, Δόξα Χριστέ τή Αναστάσει σου.

Δόξα...

Τό ακατάληπτον τό τής Σταυρώσεως, καί ανερμήνευτον τό τής Εγέρσεως, θεολογούμεν οι πιστοί, απόρρητον Μυστήριον σήμερον γάρ θάνατος, καί ο Άδης εσκύλευται, γένος δέ ανθρώπινον αφθαρσίαν ενδέδυται, διό καί ευχαρίστως κραυγάζομεν. Δόξα Χριστέ τή Αναστάσει σου.

Καί νύν... Θεοτοκίον

Τόν ακατάληπτον καί απερίγραπτον, τόν ομοούσιον Πατρί καί Πνεύματι, εν τή γαστρί σου μυστικώς, εχώρησας Θεομήτορ, μίαν καί ασύγχυτον, τής Τριάδος ενέργειαν, έγνωμεν τώ Τόκω σου, εν τώ κόσμω, δοξάζεσθαι, διό καί ευχαρίστως βοώμέν σοι. Χαίρε η Κεχαριτωμένη.

Η Υπακοή Ήχος γ'

Εκπλήττων τή οράσει, δροσίζων τοίς ρήμασιν, ο αστράπτων Άγγελος, ταίς μυροφόροις έλεγε. Τόν ζώντα τί ζητείτε εν μνήματι; ηγέρθη κενώσας τά μνήματα τής φθοράς αλλοιωτήν, γνώτε τόν αναλλοίωτον, είπατε τώ Θεώ, Ως φοβερά τά έργα σου! ότι τό γένος έσωσας τών ανθρώπων.

Οι Αναβαθμοί Αντίφωνον Α'

- Τήν αιχμαλωσίαν Σιών, σύ εξείλου εκ Βαβυλώνος καμέ εκ τών παθών, πρόςζωήν έλκυσον Λόγε.
- Εν τώ Νότω οι σπείροντες δάκρυσιν ενθέοις, θεριούσι στάχυας, εν χαρά αειζωίας.

Δόξα... Καί νύν...

Αγίω Πνεύματι, πάσα αγαθοδωρία, ως Πατρί και Υιώ συναστράπτει, εν ώ τά πάντα ζή καί κινείται.

Αντίφωνον Β'

- Εάν μή Κύριος οικοδομήση οίκον τών αρετών, μάτην κοπιώμεν, τήν δέ ψυχήν σκέποντος, ουδείς ημών πορθείται τήν πόλιν.
- Τού καρπού τής γαστρός, τώ Πνεύματι υιοποιητώς σοι τώ Χριστώ, ως Πατρί οι Άγιοι πάντοτέ εισι.

Δόξα... Καί νύν...

Αγίω Πνεύματι, ενθεωρείται πάσα αγιότης σοφία, ουσιοί πάσαν γάρ κτίσιν, αυτώ λατρεύσωμεν. Θεός γάρ, ως Πατρί τε καί Λόγω.

Αντίφωνον Γ'

- Οι φοβούμενοι τόν Κύριον, μακάριοι τρίβους βαδιούνται, τών εντολών φάγονται, ζωηράν γάρ παγκαρπίαν.
- Κύκλω τής τραπέζης σου ευφράνθητι, καθορών σου Ποιμενάρχα, τά έκγονα φέροντα, κλάδους αγαθοεργίας.

Δόξα... Καί νύν...

Αγίω Πνεύματι, ο πάς πλούτος τής δόξης, εξ ού χάρις καί ζωή πάση τή κτίσει, σύν Πατρί γάρ, ανυμνείται καί τώ Λόγω.

Προκείμενον

Είπατε εν τοίς έθνεσιν, ότι Κύριος εβασίλευσε, καί γάρ κατώρθωσε τήν οικουμένην, ήτις ου σαλευθήσεται.

Στίχ. Άσατε τώ Κυρίω άσμα καινόν.

Κανών Αναστάσιμος
Ωδή α'  Ήχος γ'
Ο Ειρμός

Ο τά ύδατα πάλαι, νεύματι θείω, εις μίαν συναγωγήν συναθροίσας, καί τεμών θάλασσαν Ισραηλίτη λαώ, ούτος ο Θεός ημών, δεδοξασμένος υπάρχει, αυτώ μόνω άσωμεν, ότι δεδόξασται.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Ο τήν γήν κατακρίνας, τώ παραβάντι, ιδρώτος φέρειν καρπόν τάς ακάνθας, ακανθών στέφανον εκ παρανόμου χειρός, ούτος ο Θεός ημών, σωματικώς δεδεγμένος, τήν κατάραν έλυσεν, ότι δεδόξασται.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Νικητής τροπαιούχος, κατά θανάτου, ο θάνατος δεδοικώς ανεδείχθη, παθητήν σάρκα γάρ, εμψυχωμένην λαβών, ούτος ο Θεός ημών, καί συμπλακείς τώ τυράννω, πάντας συνανέστησεν, ότι δεδόξασται.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Αληθή Θεοτόκον, πάντα τά έθνη, δοξάζει σε τήν ασπόρως τεκούσαν, υποδύς μήτραν γάρ ηγιασμένην τήν σήν, ούτος ο Θεός ημών, τό καθ' ημάς ουσιώθη, καί Θεός καί άνθρωπος, εκ σού γεγέννηται.

Κανών Σταυροαναστάσιμος ού η ακροστιχίς σύν τοίς Ειρμοίς.
Άγω τρίτον μέλισμα σοί, Θεού Λόγε.
Ο Ειρμός
Άσμα καινόν

Γένος βροτών, αίματι θείω, δεδουλωμένον τυράννω φιλαμαρτήμονι, Χριστός εξηγόρασε, καί θεοποιήσας ανεκαίνισεν, ότι δεδόξασται.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ως μέν θνητός, θανάτου θέλων, ο τής ζωής ταμιούχος, Χριστός εγεύσατο, ως ών δέ αθάνατος φύσει, τούς νεκρούς εζωοποίησεν, ότι δεδόξασται.

Κανών τής Θεοτόκου, ού η Ακροστιχίς, σύν τοίς Ειρμοίς :
Άγω τρίτον μέλισμα σοί, Θεοτόκε.
Ειρμός ο αυτός

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Γόνυ κάμπτει, άπασα φύσις, επουρανίων Παρθένε, τώ σαρκωθέντι εκ σού, σύν τοίς επιγείοις τε, αξιοπρεπώς τά καταχθόνια, ότι δεδόξασται.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ώ συναλλαγμάτων, τών εν σοί! αγαθών γάρ αφθόνως, παρεκτικός ών Θεός, Πνεύμα θείον δούς ημίν, σάρκα εκ σού Κόρη προσελάβετο, ότι δεδόξασται.

Ωδή γ'
Ο Ειρμός

Ο εκ μή όντων τά πάντα παραγαγών, τώ Λόγω κτιζόμενα, τελειούμενα Πνεύματι, Παντοκράτορ Δέσποτα, εν τή αγάπη τή σή στερέωσόν με.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Διά Σταυρού σου ησχύνθη ο ασεβής, ειργάσατο βόθρον γάρ, όν ορύξας εισπέπτωκε, ταπεινών υψώθη δέ Χριστέ, τό κέρας εν τή σή Αναστάσει.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Τής ευσεβείας τό κήρυγμα τών εθνών, ως ύδωρ εκάλυψε τάς θαλάσσας φιλάνθρωπε, αναστάς εκ τάφου γάρ, τό τής Τριάδος απεκάλυψας φέγγος.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Δεδοξασμένα λελάληνται περί σού, η πόλις η έμψυχος, τού αεί βασιλεύοντος, διά σού γάρ Δέσποινα, τοίς επί γής Θεός συνανεστράφη.

Κανών Σταυροαναστάσιμος

Ο Ειρμός

Τόξον έθραυσας εχθρών, καί θυρεούς συνέτιψας εν ισχύϊ, Δέσποτα Χριστέ, τό στερέωμα ημών, άγιος εί Κύριε.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ρύψις άχραντε Σταυρέ, ειδωλικών εδείχθης σύ καθαρμάτων, ότι Ιησούς ο υπέρθεος, εν σοί χείρας εξεπέτασεν.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ίνα πάντες οι πιστοί, τό ζωοδόχον μνήμα σέ προσκυνώμεν, τέθαπται εν σοί, καί εγήγερται Χριστός, όντως ο Θεός ημών.

Κανών τής Θεοτόκου

Ειρμός ο αυτός

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ράβδος ρίζης Ιεσσαί, προφητικώς βλαστήσασα, η Παρθένος άνθος σε Χριστέ, εξανέτειλεν ημίν, Άγιος εί Κύριε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ίνα θείας κοινωνούς, τούς γηγενείς εργάση εκ τής Παρθένου, σάρκα τήν ημών, σύ επτώχευσας λαβών, Άγιος εί Κύριε.

Ωδή δ'

Ο Ειρμός

Έθου πρός ημάς, κραταιάν αγάπησιν Κύριε, τόν μονογενή γάρ σου Υιόν, υπέρ ημών εις θάνατον δέδωκας, διό σοι κραυγάζομεν, ευχαριστούντες. Δόξα τή δυνάμει σου Κύριε.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Στίγματα Χριστέ, συμπαθώς καί μώλωπας ήνεγκας, ύβριν ραπισμάτων καρτερών, καί μακροθύμως φέρων εμπτύσματα, δι' ών κατειργάσω μοι τήν σωτηρίαν. Δόξα τή δυνάμει σου Κύριε.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Σώματι θνητώ, η ζωή θανάτω ωμίλησας, τής ταλαιπωρίας τών πτωχών, καί στεναγμού πενήτων σου ένεκεν, καί φθείρας τόν φθείραντα δεδοξασμένε, πάντας συνανέστησας, μόνε φιλάνθρωπε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Μνήσθητι Χριστέ, ής εκτησω ποίμνης τώ πάθει σου, τής δεδοξασμένης σου Μητρός, τάς συμπαθείς εντεύξεις δεξάμενος, καί επισκεψάμενος, κεκακωμένην ρύσαι, τή δυνάμει σου Κύριε.

Κανών Σταυροαναστάσιμος

Ο Ειρμός

Τό ξένον καί απόρρητον.

(Τό ξένον καί απόρρητον, τού αχράντου σου τόκου, θεοπρεπές μυστήριον, καταπλήττει Αγγέλους, καί τών βροτών τάς χορείας, Μητροπάρθενε Κόρη, καί γάρ Θεός εν μήτρα σου, σαρκωθείς ασυγχύτως, άνευ σποράς, ώφθης ο απρόσιτος προσιτός μοι, ενώσας με θεότητι, τή αυτού παραδόξως.)

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ο πλάσας κατ' εικόνα σου, φιλάνθρωπε τόν άνθρωπον, καί νεκρωθέντα τή αμαρτία, διά τής παραβάσεως, σταυρωθείς εν Κρανίω διέσωσας.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Νεκρούς μέν ούς κατέπιεν, ο θάνατος απέδωκε, κατελύθη δέ, καί τό τού άδου φθοροποιόν βασίλειον, αναστάντος εκ τάφου σου Κύριε.

Κανών τής Θεοτόκου

Ειρμός ο αυτός

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ο στήσας όρη Δέσποτα, ζυγώ τής θείας γνώσεως, λελατόμησαι εκ τής Παρθένου, λίθος χειρών άνευθεν. Τή δυνάμει σου δόξα φιλάνθρωπε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νοσούσαν εθεράπευσας, ημών τήν φύσιν Δέσποτα, δραστικώτατον εν τή Παρθένω, ταύτη ενώσας φάρμακον, τήν σήν άχραντον Λόγε θεότητα.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Μερίς μου εί ο Κύριος, καί κλήρος επιπόθητος, ο ενώσας με εκ τής Παρθένου, Λόγε τή υποστάσει σου, τή σαρκί χρηματίσας υπόστασις.

Ωδή ε'

Ο Ειρμός

Πρός σέ ορθρίζω, τόν τού παντός Δημιουργόν, τήν υπερέχουσαν πάντανούν ειρήνην, διότι φώς τά προστάγματά σου, εν οίς με καθοδήγησον.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Κριτή αδίκω, Εβραίων φθόνω προδοθείς ο παντεπόπτης, καί άπασαν δικαίως, κρίνων τήν γήν, τόν Αδάμ τής πάλαι, ερρύσω κατακρίσεως.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Τήν σήν ειρήνην, ταίς Εκκλησίαις σου Χριστέ, τή αηττήτω δυνάμει τού Σταυρού σου, ο εκ νεκρών αναστάς παράσχου, καί σώσον τάς ψυχάς ημών.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σκηνή αγία, καί πλατυτέρα ουρανών, ως τόν εν πάση αχώρητον τή κτίσει, Λόγον Θεού δεξαμένη, μόνη εδείχθης Αειπάρθενος.

Κανών Σταυροαναστάσιμος

Ο Ειρμός

Επί τής γής ο αόρατος ώφθης, καί τοίς βροτοίς εκών συνανεστράφης, ο ακατάληπτος, πρός σέ ούν ορθρίζοντες, ανυμνούμέν σε Φιλάνθρωπε.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Λόγχη πλευράν, ώ Χριστέ μου νυγείς σου, τήν εκ πλευράς ανθρωπίνης κτισθείσαν, ολέθρου πάσι βροτοίς, γεγονυίαν πρόξενον, τής κατάρας ηλευθέρωσας.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ίσος Πατρί, κατ' ουσίαν υπάρχων, τόν ιερόν εξανέστησας δόμον, τού παναχράντου σου, καί πανσέπτου σώματος, εκ νεκρών, Χριστέ Σωτήρ ημών.

Κανών τής Θεοτόκου

Ειρμός ο αυτός

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Λόγος Θεού, ο Υιός σου Παρθένε, Δημιουργός Αδάμ τού πρωτοπλάστου, ου δημιούργημα, ει καί σάρκα έμψυχον, εαυτώ εκ σού διέπλασεν.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ίσος Πατρί, ο Υιός τής Παρθένου, Λόγος Θεού, υπόστασις τελεία, εν δύω φύσεσιν, Ιησούς ο Κύριος, Θεός τέλειος καί άνθρωπος.

Ωδή ς'

Ο Ειρμός

Άβυσσος εσχάτη αμαρτιών εκύκλωσέ με, καί εκλείπει τό πνεύμά μου, αλλ' εκτείνας Δέσποτα, σόν υψηλόν βραχίονα, ως τόν Πέτρον με, κυβερνήτα διάσωσον.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Άβυσσος ελέους καί οικτιρμών, εκύκλωσέ με, τή ευσπλάγχνω καθόδω σου, σαρκωθείς γάρ Δέσποτα, καί γεγονώς εν δούλου μορφή, εΘεούργησας, καί σεαυτώ συνεδόξασας.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Νέκρωσιν υπέστη ο νεκρωτής, τόν νεκρωθέντα ζωωθέντα Θεώμενος, τής σής Αναστάσεως, ταύτα Χριστέ τά σύμβολα, καί τού Πάθους σου, τού αχράντου τά έπαθλα.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Πάναγνε η μόνη τώ πλαστουργώ, καί τοίς ανθρώποις, υπέρ νούν μεσιτεύσασα, τόν Υιόν σου ίλεων, τοίς επταικόσι δούλοις σου, καί υπέρμαχον, χρηματίσαι δυσώπησον.

Κανών Σταυροαναστάσιμος

Ο Ειρμός

Σκηνώσεως Ιωνάς, τής εν κατωτάτω άδου τής φύσεως, σύμβολον γεγονώς εβόα, ανάγαγε εκ

φθοράς, τήν ζωήν μου Φιλάνθρωπε.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Μωλώπων σύ πειραθείς, άδου τραυματίας, πάθει Σταυρού συνανέστησας, όθεν σοί κραυγάζω. Ανάγαγε, εκ φθοράς τήν ζωήν μου φιλάνθρωπε.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ανοίγονταί σοι Χριστέ, φόβω πύλαι άδου, σκεύη εχθρού δέ αρπάζονται, όθεν σοι Γυναίκες υπήντησαν, αντί λύπης χαράν κομισάμεναι.

Κανών τής Θεοτόκου

Ειρμός ο αυτός

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Μορφούται τό καθ' ημάς, εκ τής ακηράτου Κόρης, ο σχήματι άμοιρος, σχήματι υπάρξας καί πράγματι, μή τραπείς τήν θεότητα άνθρωπος.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Αβύσσου αμαρτιών, καί τής καταιγίδος, Πάναγνε τών παθών ρύσαί με, πέφυκας λιμήν γάρ καί άβυσσος, τών θαυμάτων τοίς πίστει σοι προστρέχουσι.

Κοντάκιον  Ήχος γ'

Η Παρθένος Εξανέστης σήμερον, από τού τάφου Οικτίρμον, καί ημάς εξήγαγες, εκ τών πυλών τού θανάτου, σήμερον Αδάμ χορεύει, καί χαίρει Εύα, άμα δέ, καί οι Προφήται, σύν Πατριάρχαις, ανυμνούσιν ακαταπαύστως, τό θείον κράτος τής εξουσίας σου.

Ο Οίκος

Ο ουρανός καί η γή σήμερον χορευέτωσαν, καί Χριστόν τόν Θεόν ομοφρόνως υμνείτωσαν, ότι τούς δεσμίους εκ τών τάφων ανέστησε. Συγχαίρει πάσα η κτίσις, προσφέρουσα επάξια άσματα, τώ πάντων Κτίστη καί Λυτρωτή ημών, ότι τούς βροτούς εξ άδου σήμερον, ω Ζωοδότης συνανελκύσας, πρός ουρανούς συνανυψοί, καί καταράσσει τού εχθρού τάς επάρσεις, καί πύλας τού άδου διαθλάττει, τώ θείω κράτει τής εξουσίας αυτού.

Ωδή ζ'

Ο Ειρμός

Ως πάλαι τούς ευσεβείς, τρείς Παίδας εδρόσισας, εν τή φλογί τή Χαλδαϊκή, τώ φωτιστικώ τής θεότητος πυρί, καί ημάς καταύγασον, Ευλογητός εί κράζοντας, ο Θεός ο τών Πατέρων ημών.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Ερράγη τό τού Ναού, φαιδρόν καταπέτασμα, εν τώ Σταυρώ τού Δημιουργού, τήν εγκεκρυμμένην τώ γράμματι δηλούν, τοίς πιστοίς αλήθειαν. Ευλογητός εί κράζουσιν, ο Θεός ο τών Πατέρων ημών.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Νυγείσης σου τής πλευράς, ρανίδες θεόρρυτοι, ζωοποιού αίματος Χριστέ, οικονομικώς αποστάζουσαι εις γήν, τούς εκ γής ανέπλασαν. Ευλογητός εί κράζοντας, ο Θεός ο τών Πατέρων ημών.

Τριαδικόν

Τό Πνεύμα τό αγαθόν, Πατρί συνδοξάσωμεν, καί τώ Υιώ τώ μονογενεί, μίαν εν τρισί, πιστοί σέβοντες αρχήν, καί μίαν θεότητα. Ευλογητός εί κράζοντες, ο Θεός ο τών Πατέρων ημών.

Κανών Σταυροαναστάσιμος

O Ειρμός

Σοβαρός ο τύραννος.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ου ψιλόν ο ήλιος, εν Σταυρώκρεμάμενον άνθρωπον, αλλά Θεόν σκοτίζεται, σεσαρκωμένον ορών, ώ καί ψάλλομεν. Ευλογητός εί Κύριε, ο Θεός ο τών Πατέρων ημών.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ισχυρόν θεότητι, δεδεγμένος άδης ο δείλαιος, τόν αφθαρσίας πάροχον, ψυχάς δικαίων βοώσας ήμεσεν. Ευλογητός εί Κύριε, ο Θεός ο τών Πατέρων ημών.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Θησαυρός πολύτιμος, ευλογίας Πάναγνε πέφυκας, τοίς καθαρά καρδία, σέ ομολογούσι Θεογεννήτριαν, καί γάρ εκ σού σεσάρκωται, ο Θεός ο τών Πατέρων ημών.

Κανών τής Θεοτόκου

Ειρμός ο αυτός

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ο τής δόξης Κύριος, καί κρατών τών άνω Δυνάμεων, ο σύν Πατρί καθήμενος, παρθενικαίς ταίς χερσί φερόμενος, Ευλογητός εί Κύριε, ο Θεός ο τών Πατέρων ημών.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ιταμός ο θάνατος, αλλά τούτον σοί ομιλήσαντα, εκ τής Παρθένου ώλεσας, θεοϋπόστατος, σάρξ γενόμενος. Ευλογητός εί Κύριε, ο Θεός ο τών Πατέρων ημών.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Θεοτόκον πάντες σε, τόν Θεόν κυήσασαν έγνωμεν, τόν τής Τριάδος ένα γάρ, σεσαρκωμένον αγνή γεγέννηκας. Ευλογημένος Πάναγνε, ο καρπός τής κοιλίας σου.

Ωδή η'

Ο Ειρμός

Αστέκτω πυρί ενωθέντες, οι θεοσεβεία προεστώτες νεανίαι, τή φλογί δέ μή λωβηθέντες, θείον ύμνον έμελπον. Ευλογείτεπάντα τά έργα τόν Κύριον, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Ερράγη ναού η φαιδρότης, ότε ο Σταυρός σου επάγη εν Κρανίω, καί η κτίσις συνεκλονείτο, φόβω αναμέλπουσα. Ευλογείτε πάντα τά έργα τόν Κύριον, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Ανέστης Χριστέ εκ τού τάφου, καί τόν πεπτωκότα τή απάτη, διά ξύλου ανωρθώσω θεία δυνάμει, κράζοντα καί λέγοντα. Ευλογείτε πάντα τά έργα τόν Κύριον, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ναός τού Θεού ανεδείχθης, έμψυχον χωρίον κιβωτός τε, τόν Ποιητήν, τοίς βροτοίς γάρ Θεογεννήτορ, άχραντε κατήλλαξας, καί αξίως πάντα τά έργα υμνούμέν σε, καί υπερυψούμεν εις πάντας τούς αιώνας.

Κανών Σταυροαναστάσιμος

Ο Ειρμός

Ενύλου φλόγα πυρός, δί' Αϋλου κατεμάραναν, θεοφορούμενοι Παίδες, καί έψαλλον, ευλογείτε πάντα τά έργα τόν Κύριον, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ο Λόγος ου παθητός, απαθής γάρ τή θεότητι, πάσχει σαρκί δέ Θεός, ώ καί ψάλλομεν. Ευλογείτε πάντα τά έργα Κυρίου τόν Κύριον, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Υπνώσας μέν ως θνητός, εξ ηγέρθης ως αθάνατος Σώτερ, καί σώζεις θανάτου τούς μέλποντας. Ευλογείτε πάντα τά έργα Κυρίου τόν Κύριον, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Τριαδικόν

Στίχ. Αγία Τριάς ο Θεός ελέησον καί σώσον ημάς.

Λατρεύομεν ευσεβώς, τρισυπόστατον θεότητα, ενιζομένην απαύστως καί ψάλλομεν. Ευλογείτε πάντα τά έργα Κυρίου τόν Κύριον, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Κανών τής Θεοτόκου

Ειρμός ο αυτός

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Η τάξεις τάς νοεράς, οία Μήτηρ υπεράρασα, καί πλησίον Θεού χρηματίσασα, ευλογούμεν ευλογημένη, παρθένε τόν τόκον σου, καί υπερυψούμεν εις πάντας τούς αιώνας.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τό κάλλος τό φυσικόν, ωραιότερον ανέδειξας, εξαστράψασα σάρκα θεότητος. Ευλογούμεν ευλογημένη, Παρθένε τόν τόκον σου, καί υπερυψούμεν εις πάντας τούς αιώνας.

Ωδή θ'

Ο Ειρμός

Καινόν τό θαύμα καί θεοπρεπές! τής Παρθένου γάρ τήν κεκλεισμένην πύλην, σαφώς διοδεύει Κύριος, γυμνός εν εισόδω, καί σαρκοφόρος ώφθη εν εξόδω Θεός, καί μένει η πύλη κεκλεισμένη, ταύτην αφράστως, ως Θεομήτορα μεγαλύνομεν.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Φρικτόν ιδέσθαι σέ τόν ποιητήν, επί ξύλου αναρτηθέντα Λόγε Θεού, σαρκικώς δέ πάσχοντα, Θεόν υπέρ δούλων, καί εν μνημείω άπνουν κατακείμενον, νεκρούς δέ τού άδου λελυκότα, όθεν Χριστέ σε, ως παντοδύναμον μεγαλύνομεν.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Φθοράς θανάτου έσωσας Χριστέ, τούς προπάτορας, κατατεθείς εν τάφω νεκρός, καί ζωήν εξήνθησας, νεκρούς αναστήσας, χειραγωγήσας φύσιν τήν βροτείαν πρός φώς, καί θείαν ενδύσας αφθαρσίαν, όθεν πηγήν σε, φωτός αειζώου μεγαλύνομεν.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ναός καίθρόνος ώφθης τού Θεού, εν ώ ώκησεν ο εν υψίστοις πέλων, τεχθείς απειράνδρως Πάναγνε, σαρκός μή ανοίξας όλως σου πύλας, όθεν ταίς αλήκτοις, σεμνή λιταίς σου, τά φύλα τών βαρβάρων, θάττον εις τέλος, τώ Βασιλεί ημών καθυπόταξον.

## Κανών Σταυροαναστάσιμος
## Ο Ειρμός

Οι τώ γλυκεί τού Αχράντου σου Τόκου, Βέλει τρωθέντες Αγνή, σού τό αξιέραστον κάλλος θαυμάζοντες, άμα σύν Αγγέλοις επαξίως σε, ως μητέρα Θεού μεγαλύνομεν.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Γέρας βροτοίς εξ ατίμου θανάτου, πάσιν επήγασας, ού διά σταυρώσεως Σώτερ γευσάμενος, τή ουσία τή θνητή, αφθαρσίαν μοι, εδωρήσω Χριστέ ως φιλάνθρωπος.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Εσωσάς με αναστάς εκ τού τάφου, Χριστέ καί ύψωσας, καί Πατρί προσήγαγες τώ σω Γεννήτορι, δεξιά τε τή αυτού συνεκάθισας, διά σπλάγχνα ελέους σου Κύριε.

## Κανών τής Θεοτόκου
## Ειρμός ο αυτός

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Κόρος τών σών εφυμνίων Παρθένε, τοίς ευαγέσι πιστοίς, όλως ου προσγίνεται, πόθω γάρ πόθον αεί θείον, καί πνευματικόν προσλαμβάνοντες, ως μητέρα Θεού μεγαλύνουσιν.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Έθου ημίν ακαταίσχυντον πρέσβιν, τήν σέ τεκούσαν Χριστέ, ταύτης ταίς εντεύξεσιν, ίλεων νέμοις ημίν, Πνεύμα μεταδοτικόν αγαθότητος, εκ Πατρός διά σού προερχόμενον.

## Αίνοι  Ήχος γ'

1. Τού ποιήσαι εν αυτοίς κρίμα έγγραπτον. Δόξα αύτη έσται πάσι τοίς οσίοις αυτού.
-- Δεύτε πάντα τά έθνη, γνώτε τού φρικτού μυστηρίου τήν δύναμιν, Χριστός γάρ ο Σωτήρ ημών, ο εν αρχή Λόγος, εσταυρώθη δι' ημάς, καί εκών ετάφη, καί ανέστη εκ νεκρών, τού σώσαι τά σύμπαντα. Αυτόν προσκυνήσωμεν.
2. Αινείτε τόν Θεόν εν τοίς Αγίοις αυτού, αινείτε αυτόν εν στερεώματι τής δυνάμεως αυτού.
-- Διηγήσαντο πάντα τά θαυμάσια, οι φύλακές σου Κύριε, αλλά τό συνέδριον τής ματαιότητος, πληρώσαν δώρων τήν δεξιάν αυτών, κρύπτειν ενόμιζον τήν ανάστασίν σου, ήν ο κόσμος δοξάζει. Ελέησον ημάς.
3. Αινείτε αυτόν επί ταίς δυναστείαις αυτού, αινείτε αυτόν κατά τό πλήθος τής μεγαλωσύνης αυτού.
-- Χαράς τά πάντα πεπλήρωται, τής Αναστάσεως τήν πείραν ειληφότα. Μαρία γάρ η Μαγδαληνή, επί τό μνήμα ήλθεν, εύρεν Άγγελον επί τόν λίθον καθήμενον, τοίς ιματίοις εξαστράπτοντα καί λέγοντα. Τί ζητείτε τόν ζώντα μετά τών νεκρών, ούκ έστιν ώδε, αλλ' εγήγερται, καθώς είπε, προάγων εν τή Γαλιλαία.
4. Αινείτε αυτόν εν ήχω, σάλπιγγος, αινείτε αυτόν εν ψαλτηρίω καί κιθάρα.
-- Εν τώ φωτί σου Δέσποτα, οψόμεθα φώς φιλάνθρωπε, ανέστης γάρ εκ τών νεκρών, σωτηρίαν τώ γένει τών ανθρώπων δωρούμενος, ίνα σε πάσα κτίσις δοξολογή, τόν μόνον αναμάρτητον. Ελέησον ημάς.
5. Αινείτε αυτόν εν τυμπάνω καί χορώ, αινείτε αυτόν εν χορδαίς καί οργάνω,
-- Ύμνον εωθινόν, αι Μυροφόροι Γυναίκες, τά δάκρυα προσέφερον Κύριε, ευωδίας γάρ αρώματα κατέχουσαι, τό μνήμά σου κατέλαβον, τό άχραντόν σου Σώμα, μυρίσαι σπουδάζουσαι, Άγγελος καθήμενος επί τόν λίθον, αυταίς ευηγγελίσατο, Τί ζητείτε τόν ζώντα μετά τών νεκρών; τόν θάνατον γάρ πατήσας, ανέστη ως Θεός, παρέχων πάσι τό μέγα έλεος.
6. Αινείτε αυτόν εν κυμβάλοις ευήχοις, αινείτε αυτόν εν κυμβάλοις αλαλαγμού. Πάσα πνοή αινεσάτω τόν Κύριον.
-- Εξαστράπτων Άγγελος, επί το μνήμά σου τό ζωοποιόν, ταίς Μυροφόροις έλεγεν, Εκένωσε τούς τάφους ο Λυτρωτής, εσκύλευσε τόν άδην, καί ανέστη τριήμερος, ως μόνος Θεός καί

παντοδύναμος.
7. Ανάστηθι, Κύριε, ο Θεός μου, υψωθήτω η χείρ σου, μή επιλάθη τών πενήτων σου εις τέλος.
-- Εις τό μνήμά σε επεζήτησεν, ελθούσα τή μιά τών Σαββάτων, Μαρία η Μαγδαληνή μή, ευρούσα δέ ωλοφύρετο, κλαυθώ βοώσα, οίμοι Σωτήρ μου, πώς εκλάπης πάντων Βασιλεύ; Ζεύγος δέ ζωηφόρων Αγγέλων, ένδοθεν τού μνημείου εβόα. Τί κλαίεις ώ Γύναι; Κλαίω φησίν, ότι ήραν τόν Κύριόν μου τού τάφου, καί ούκ οίδα πού έθηκαν αυτόν. Αυτή δέ στραφείσα οπίσω, ως κατείδέ σε, ευθέως εβόα, ο Κύριός μου, καί ο Θεός μου, δόξα σοι.
8. Εξομολογήσομαί σοι, Κύριε, εν όλη καρδία μου, διηγήσομαι πάντα τά θαυμάσιά σου.
-- Εβραίοι συνέκλεισαν, εν τώ τάφω τήν ζωήν, Ληστής δέ ανέωξεν εν τή γλώσση τήν τρυφήν, κραυγάζων καί λέγων, ο μετ' εμού δι' εμέ σταυρωθείς, συνεκρέματό μοι επί τού ξύλου, καί εφαίνετό μοι επί τού θρόνου, τώ Πατρί συγκαθήμενος, αυτός γάρ εστι Χριστός ο Θεός ημών, ο έχων τό μέγα έλεος.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

### Οι Μακαρισμοί

Μακάριοι οι ελεήμονες, ότι αυτοί ελεηθήσονται.

Αθετήσαντα Χριστέ, τήν εντολήν σου, τόν προπάτορα Αδάμ, τού Παραδείσου εξώρισας, τόν δέ Ληστήν Οικτίρμον, ομολογήσαντα σε εν Σταυρώ, εν αυτώ εισώκισας κράζοντα. Μνήσθητί μου Σωτήρ, εν τή Βασιλεία σου.

Μακάριοι οι καθαροί τή καρδία ότι αυ τοί τόν Θεόν όψονται.

Αμαρτήσαντας ημάς, τή τού θανάτου, κατεδίκασας αρά, ο Ζωοδότης καί Κύριος, εν δέ τώ σώματί σου, αναμαρτήτως Δέσποτα παθών, τούς θνητούς εζώωσας κράζοντας. Μνήσθητι καί ημών, εν τή Βασιλεία σου.

Μακάριοι οι ειρηνοποιοί, ότι αυτοί υιοί Θεού κληθήσονται.

Αναστάς εκ τών νεκρών, συνεξανέστησας, ημάς εκ τών παθών, τή Αναστάσει σου Κύριε, τού δέ θανάτου πάσαν, τήν δυναστείαν ώλεσας Σωτήρ, διά τούτο πίστει σοι κράζομεν. Μνήσθητι καί ημών, εν τή Βασιλεία σου.

Μακάριοι οι δεδιωγμένοι ένεκεν δικαιοσύνης, ότι αυτών εστιν η βασιλεία τών ουρανών.

Τή τριημέρω σου ταφή, τούς εν τώ άδη νεκρωθέντας ως Θεός, ζωοποιήσας συνήγειρας, καί αφθαρσίαν πάσιν, ως αγαθός επήγασας ημίν, τοις εν πίστει κράζουσι πάντοτε. Μνήσθητι καί ημών, εν τή Βασιλεία σου.

Μακάριοί εστε όταν ονειδίσωσιν υμάς, καί διώξωσι, καί είπωσι πάν πονηρόν ρήμα καθυμών ψευδόμενοι ένεκεν εμού.

Ταίς Μυροφόροις Γυναιξί, πρώταις εφάνης, αναστάς εκ τών νεκρών, Σωτήρ βοήσας τό, Χαίρετε, καί δι' αυτών τοίς φίλοις, τήν σήν μηνύεις έγερσιν Χριστέ, διά τούτο πίστει σοι κράζομεν. Μνήσθητι καί ημών, εν τή Βασιλεία σου.

Χαίρετε καί αγαλλιάσθε, ότι ο μισθός υμών πολύς εν τοίς ουρανοίς.

Εν τώ όρει Μωϋσής, χείρας απλώσας, προετύπου τόν Σταυρόν, τόν Αμαλήκ τροπωσάμενος, ημείς δέ πίστει τούτον, κατά δαιμόνων όπλον κραταιόν, ειληφότες πάντες κραυγάζομεν. Μνήσθητι καί ημών, εν τή Βασιλεία σου.

Δόξα...

Τόν Πατέρα καί Υιόν, καί Πνεύμα άγιον, υμνήσωμεν πιστοί, ένα Θεόν, ένα Κύριον, ως εξ ενός Ηλίου, τρισσολαμπής γάρ εστινη Τριάς, καί φωτίζει πάντας τούς κράζοντας. Μνήσθητι καί ημών, εν τή Βασιλεία σου.

Καί νύν... Θεοτοκίον

Χαίρε η πύλη τού Θεού, δι'  Ής διήλθε, σαρκωθείς ο Πλαστουργός, εσφραγισμένην φυλάξας σε, Χαίρε νεφέλη κούφη, τόν θείον όμβρον φέρουσα Χριστόν. Χαίρε κλίμαξ καί θρόνε ουράνιε. Χαίρε όρος σεπτόν, πίον αλατόμητον.

top
3-2

Στιχηρά Προσόμοια Δεσποτικά
Ήχος γ'
Σώσόν με Κύριε ο Θεός μου

Στίχ. α'. Εάν ανομίας παρατηρήσης, Κύριε, Κύριε τίς υποστήσεται; ότι παρά σοί ο ιλασμός εστιν.

Ήμαρτον Κύριε ο Θεός μου, ήμαρτόν σοι, ιλάσθητί μοι, μή απώση με, μή βδελύξη με Λόγε, αλλ' ως μόνος συμπαθής τε καί ελεήμων, πρόσδεξαί με μεταγνόντα, καί τά σά ποιείν με Σώτερ δικαιώματα, ως μόνος εύσπλαγχνος ενδυνάμωσον.

Στίχ. β'. Ένεκεν τού ονόματός σου υπέμεινά σε, Κύριε, υπέμεινεν η ψυχή μου εις τόν λόγον σου, ήλπισεν η ψυχή μου επί τόν Κύριον.

Πρόφθασον Κύριε εξελού με, εκ χειρός τού αντικειμένου, καί γάρ θέλων εδουλώθην τώ πλάνω, καί απέστην εκ τών εντολών σου οικτίρμον, δός μοι χρόνον μετανοίας, καί πρός φώς εισάγαγέ με κατανύξεως, όπως πενθήσω μου τήν απόπτωσιν Σώτερ.

Στίχ. γ'. Από φυλακής πρωϊας μέχρι νυκτός, από φυλακής πρωϊας ελπισάτω Ισραήλ επί τόν Κύριον.

Λύτρωσαι Κύριε ο Θεός μου, εκ πωρώσεως τήν ψυχήν μου, καί παράσχου τών δακρύων μοι όμβρους, ίναπλύνω τών ανομιών μου τά αίσχη, αυγασόν με τόν εν τώ σκότει, φώς τής σής δώρησαι Σώτερ επιγνώσεως, όπως πορεύσωμαι, εν σεπταίς εντολαίς σου.

Έτερα Στιχηρά τών Ασωμάτων
Μεγάλη τού Σταυρού σου

Στίχ. δ'. Ότι παρά τώ Κυρίω τό έλεος, καί πολλή παρ' αυτώ, λύτρωσις. καί αυτός λυτρώσεται τόν Ισραήλ έκ πασών τών ανομιών αυτού.

Χορείας Ασωμάτων, Κύριε υπέστησας, τόν πλούτόν σου δεικνύων, πάσι τής αγαθότητος, καί παρήγαγες εκ τού μή όντος εις τό είναι, τής υπέρ νούν δόξης σου, τού νύν δοξάζειν σε, εν φωναίς ασιγήτοις.

Στίχ. ε'. Αινείτε τόν Κύριον πάντα τά έθνη, επαινέσατε αυτόν, πάντες οι λαοί.

Μεγάλη τών Αγγέλων σου, Χριστέ η δύναμις, ασώματοι γάρ όντες, τόν κόσμον διατρέχουσι, περιέποντες τάς Εκκλησίας εν ισχύϊ, τή παρά σού Δέσποτα, καί πρεσβεύουσιν, υπέρ τής οικουμένης.

Στίχ. ς'. Ότι εκραταιώθη τό έλεος αυτού εφ' ημάς, καί η αλήθεια τού Κυρίου μένει εις τόν αιώνα.

Δυνάμεις, Εξουσίαι, Άγγελοι, Αρχάγγελοι, καί Σεραφείμ καί θρόνοι, Αρχαί καί Κυριότητες, Χερουβείμ δόξης τής ανεκφράστου καί τελείας, σοφίας τε τής όντως, νύν ικετεύσατε, υπέρ τής οικουμένης.

Δόξα... Καί νύν... Θεοτοκίον

Μεγάλης διά σού, ευεργεσίας Άχραντε, τυχόντες σύν Αγγέλοις, γεραίρομεν τόν τόκον σου, τόν καταξιώσαντα εκ μήτρας σου τεχθήναι, δι' άκραν ευσπλαγχνίαν, καί αναπλάσαντα, τών ανθρώπων τό γένος.

Απόστιχα Κατανυκτικά

Εσπερινόν ύμνον προσφερομέν σοι Χριστέ, μετά θυμιάματος καί ώδών πνευματικών. Ελέησον Σωτήρ τάς ψυχάς ημών.

Στίχ. Α'. Πρός σέ ήρα τούς οφθαλμούς μου, τόν κατοικούντα εν τώ ουρανώ. Ιδού, ως οφθαλμοί δούλων εις χείρας τών κυρίων αυτών, ως οφθαλμοί παιδίσκης εις χείρας τής κυρίας αυτής, ούτως οι οφθαλμοί ημών πρός Κύριον τόν Θεόν ημών, έως ού οικτιρήσαι ημάς.

Σώσόν με Κύριε ο Θεός μου, σύ γάρ πάντων η σωτηρία, ο κλύδων με τών παθών εκταράττει, καί τό βάρος τών ανομιών με βυθίζει, δός μοι χείρα βοηθείας, καί πρός φώς ανάγαγέ με κατανύξεως, ως μόνος εύσπλαγχνος καί φιλάνθρωπος.

Μαρτυρικόν

Στίχ. Β'. Ελέησον ημάς, Κύριε, ελέησον ημάς, ότι επί πολύ επλήσθημεν εξουδενώσεως, επί πλείον επλ ήσθη η ψυχή ημών, τό όνειδος τοίς ευθηνούσι, καί η εξουδένωσις τοίς υπερηφάνοις.

Μεγάλη τού σταυρού σου Κύριε η δύναμις, επάγη γάρ εν τόπω, καί ενεργεί εν κόσμω, καί ανέδειξεν εξ αλιέων Αποστόλους, καί εξ εθνών Μάρτυρας, ίνα πρεσβεύωσιν υπέρ τών ψυχών ημών.

Δόξα... Καί νύν... Θεοτοκίον

Αγιόπρωτε Σεμνή, εγκώμιον ούσα, τών ουρανίων Ταγμάτων, Αποστόλων υμνωδία, Προφητών περιοχή, Δέσποινα, πρόσδεξαι, καί ημών τάς δεήσεις.

Μετά τήν α' Στιχολογίαν

Καθίσματα Κατανυκτικά

Ήχος γ'

Παροικούσα εν τή γή, ψυχή μου μετανόησον, χούς εν τάφω ουχ υμνεί, πταισμάτων ου λυτρούται, βόησον Χριστώ τώ Θεώ. Καρδιογνώστα ήμαρτον, πρίν με καταδικάσης, φείσαί μου ο Θεός, καί ελέησόν με.

Έως πότε ψυχή μου, επιμένεις τοίς πταίσμασιν, εως τίνος λαμβάνεις, μετανοίας υπέρθεσιν, λάβε κατά νούν τήν κρίσιν τήν μέλλουσαν, καί βόησον Χριστώ τώ Θεώ, Καρδιογνώστα ήμαρτον, αναμάρτητε Κύριε, ελέησόν με.

Δόξα... Καί νύν... Θεοτοκίον

Χαίρε Μαρία Μήτηρ καί Παρθένε, τό όρος τό άγιον, ο εν Εδέμ Παράδεισος, εξ ής ετέχθη Χριστός ο Θεός άνευ σποράς ο μόνος, δι' ού ζωή τώ κόσμω εβλάστησε.

Μετά τήν β' Στιχολογίαν

Καθίσματα

Επί τής δίκης τής φοβεράς άνευ κατηγόρων ελέγχομαι, άνευ μαρτύρων κατακρίνομαι, αι γάρ βίβλοι τού συνειδότος αναπτύσσονται, καί τά έργα τά κεκρυμμένα ανακαλύπτονται, πρίν ούν εν εκείνω τώ πανδήμω θεάτρω, μέλλης ερευνήσαι τά εμοί πεπραγμένα, ο Θεός ιλάσθητί μοι, καί σώσόν με.

Φοβερόν δικαστήριον περιμένει με Κύριε, εμού γάρ σιωπώντος, βοώσι τά έργα μου, αλλά προφθάσας, πεπλανημένον ζήτησον Χριστέ ο Θεός, διά τής μετανοίας, καί σώσόν με.

Δόξα... Καί νύν... Θεοτοκίον

Θείας πίστεως

Θεία γέγονας, σκηνή τού Λόγου, μόνη πάναγνε, Παρθενομήτορ, τή καθαρότητι Αγγέλους υπεράρασα, τόν υπέρ πάντας εμέ ούν γενόμενον ρερυπωμένον, σαρκός πλημμελήμασιν, αποκάθαρον, πρεσβειών σου ενθέοις νάμασι παρέχουσα σεμνή τό μέγα έλεος.

Μετά τήν γ' Στιχολογίαν

Καθίσματα

Τήν ωραιότητα τής παρθενίας σου

Τά επουράνια, καί τά επίγεια, λόγω παρήγαγες, ως παντοδύναμος, οι τών Αγγέλων δέ χοροί, σύν τρόμω παρεστηκότες, άπαυστον τήν αίνεσιν σοί προσφέρουσι Δέσποτα, πάντα καταυγάζοντες, τώ φωτί σου τά πέρατα, δι' ών σοί καί ημείς εκβοώμεν. Σώσον ημάς τή ευσπλαγχνία σου.

Μαρτυρικόν

Τό εύψυχον τής καρτερίας υμών, ενίκησε τά μηχανήματα τού αρχεκάκου εχθρού, Αθλοφόροι

πανεύφημοι, διά τούτο τής αιωνίου κατηξιώθητε μακαριότητος, αλλά πρεσβεύσατε τώ Κυρίω, τού φιλοχρίστου λαού σώσαι τό ποίμνιον, Μάρτυρες υπάρχοντες τής αληθείας.

Δόξα... Καί νύν... Θεοτοκίον

Τήν ωραιότητα

Τά επουράνια, φόβω ηγάλλοντο καί τά επίγεια τρόμω ηυφραίνοντο, ότε η άχραντος φωνή, υπήλθέ σοι Θεοτόκε, μία γάρ πανήγυρις, αμφοτέροις επέλαμψεν, ότε τόν πρωτόπλαστον, ο Δεσπότης ερρύσατο, διό σύν τώ Αγγέλω βοώμέν σοι. Χαίρε η Κεχαριτωμένη.

Κανών Κατανυκτικός

Ωδή α'  Ήχος γ'

Ο Ειρμός

Φαραώ τά άρματα, βυθώ καλύψας Κύριε τήν θάλασσαν διέρρηξας, καί έσωσας άσμασιν υμνούντά σε, λαόν Ισραηλίτην.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Εγκλημάτων ρύσαί με, μυρίων αναμάρτητε αφρόνως ών περ έπραξα, παρέχων μοι δάκρυα κατανύξεως, καθώς ποτε τή Πόρνη.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Γεγονότα σπήλαιον, ληστών ατόποις πράξεσι, δι' αρετών ανάδειξον φιλάνθρωπε, οίκόν σου ο θελήματι, τεχθείς εν τώ σπηλαίω.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Κυβερνήσει Πνεύματος, τού θείου παρεδράμετε, βασάνων τό κλυδώνιον, θεόπνευστοι μάρτυρες, καί πρός ένθεον, εφθάσατε λιμένα.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Λαμπρυνθέντες μάρτυρες, τού Πνεύματος τή χάριτι, τό σκότος τό βαθύτατον, εξέφυγον χαίροντες, οι πανεύφημοι, τής ειδωλομανίας.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Παναγία άχραντε, αμαρτωλών βοήθεια, πιπτόντων επανόρθωσις, μετάνοιαν δίδου μοι, κατανύξεως, πολλά ημαρτηκότι.

Κανών τών Ασωμάτων, ού η Ακροστιχίς :

Άγω τρίτον μέλισμα τοίς Ασωμάτοις.

Ο Ειρμός

Άσμα καινόν.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Άναρχον φώς καί περιεκτικόν, φάους υπάρχων παντός Χριστέ ο Θεός, τήν εμήν διάνοιαν, τή επιστασία φωταγώγησον, τών σών Δυνάμεων.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Γεγηθότες αγγελοπρεπώς, τή πανολβίω μεθέξει, οι τών Αγγέλων χοροί, τής σής κρυφιότητος, τοίς ωραιοτάτοις εναστράπτονται, θείοις χαρίσμασιν.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Ως αγαθόν καί ζωοποιόν, αγαθοδότως τό Πνεύμα, πανσθενές τού Πατρός, ουρανών τήν δύναμιν, εν αμεταπτώτοις εστερέωσε, θείαις λαμπρότησι.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ταξιαρχών θείε Γαβριήλ, ταίς Ασωμάτοις χορείαις, καί νύν πανόλβιε, φωνήν τήν χαρμόσυνον, τή Κεχαριτωμένη αναβόησον. Χαίρε Πανάμωμε.

Ωδή γ'

Ο Ειρμός

Στερέωσον Κύριε, τάς καρδίας ημών, καί φώτισον εις τήν σήν υμνωδίαν, τού δοξάζειν σε Σωτήρ εις αιώνα αιώνος.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ως Πέτρον βυθιζόμενον, διέσωσας φιλάνθρωπε, ούτως εκ τού βυθού με, τών κακών μου επανάγαγε.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Νεκρώσας με ο δόλιος, τοίς πάθεσιν απέκτεινεν, αυτός με ζωοδότα, μετανοίας τρόποις ζώωσον.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Πυρί ενύλω μάρτυρες, αδίκως φλογιζόμενοι, αϋλως τού αϋλου, ανεφλέξασθε τώ έρωτι.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Οι μάρτυρες στρεβλούμενοι, τάς στρέβλας καί τά ένεδρα, ηφάνισαν τού πλάνου, καί στεφάνων ηξιώθησαν.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Μαρία κυριώνυμε, πολλοίς κυριευθέντα με, πάθεσι ψυχοφθόροις, ελευθέρωσον πρεσβείαις σου.

Κανών τών Ασωμάτων

Ο Ειρμός

Τόξον έθραυσας εχθρών, καί θυρεούς συνέτιψας εν ισχύϊ, Δέσποτα Χριστέ, τό στερέωμα ημών, άγιος εί Κύριε.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Ρείθρα βλύζων αγαθέ, καί ποταμούς χρηστότητος, τούς Αγγέλων έδειξας χορούς, κρυφιότητος τής σής, αίγλη διαλάμποντας.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Ίνα δείξης εμφανώς, τούς θησαυρούς τού πλούτου σου, καί ισχύος Δέσποτα Χριστέ, τής σής δόξης κοινωνούς, τούς νόας παρήγαγες, ρόμω σοι λειτουργικώς, Αγγελικαί λαμπρότητες, παρεστώσαι μέλπουσιν αει, τήν σήν δύναμιν, Χριστέ, τήν απειροδύναμον.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Όλον είληφεν εκ σού, ανελλιπώς τόν άνθρωπον, ο Δεσπότης τούδε τού παντός, Θεομήτορ καί πηγήν, χάριτός σε έδειξεν.

## Ωδή δ'

### Ο Ειρμός

Μή εν ποταμοίς, οργισθής Κύριε, μή εν ποταμοίς ο θυμός σου, ή εν θαλάσση τό όρμημά σου.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Λύσον τούς δεσμούς, τών παθών μου Κύριε, καί τή μετανοία συνδήσας, μέτοχον ποίησον τών αγαθών σου.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Λάμψον φωταυγείς, μετανοίας τρόπους μοι, Ήλιε Χριστέ, τών κακών μου, αποδιώκων νύκτα βαθείαν.

### Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ώφθητε σοφοί, αθληταί ως άνθρακες, ύλην αθεϊας τεφρούντες, καί τούς εν σκότει φωταγωγούντες.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Νέκρωσιν Χριστού, εκμιμούμενοι μάρτυρες, πόνοις ωμιλείτε ποικίλοις, όθεν τήν θείαν ζωήν κληρούσθε.

### Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Δίδου μοι αγνή, αληθή μετάνοιαν, παύσον τών παθών μου τόν σάλον, αμαρτανόντων η προστασία.

## Κανών τών Ασωμάτων

### Ο Ειρμός

Τό ξένον καί απόρρητον.
(Τό ξένον καί απόρρητον, τού αχράντου σου τόκου, θεοπρεπές μυστήριον, καταπλήττει Αγγέλους, καί τών βροτών τάς χορείας, Μητροπάρθενε Κόρη, καί γάρ Θεός εν μήτρα σου, σαρκωθείς ασυγχύτως, άνευ σποράς, ώφθης ο απρόσιτος προσιτός μοι, ενώσας με θεότητι, τή αυτού παραδόξως.)

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Νεφέλαι τήν τρισήλιον, φωταυγίαν δεχόμεναι, παρηνέχθητε θεία βουλήσει, τριαδικοί διάκοσμοι, κυβερνώμενοι σθένει τού Πνεύματος.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Μυούνται κρυφιότητα, τήν άϋλον οι Άγγελοι, τή εγγύτητι τής θεαρχίας, τής σής Χριστέ λαμπόμενοι. Τή δυνάμει σου δόξα κραυγάζοντες.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Εν κόσμω πρός τούς μέλλοντας, πιστεύειν σοι εκπέμπονται, ώσπερ φύλακες τής σωτηρίας, τών ευσεβών οι Άγγελοι, περιέποντες Σώτερ τούς δούλους σου.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Λαμπάδες συστρεφόμεναι, τήν άδυτον λαμπρότητα, τής θεότητος τής υπερθέου, πρωτοφανώς πλουτίσασαι, τών Αγγέλων αι τάξεις κηρύττονται.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ικέτης νύν προσέρχομαι, τή σκέπη σου Πανάμωμε, αλλά ρύσαί με Θεογεννήτορ, τής τών παθών συγχύσεως, απαθείας ως αίτιον τέξασα.

Ωδή ε'

Ο Ειρμός

Τό φώς σου τό ανέσπερον Χριστέ, καταύγασον ο Θεός τή ταπεινή μου ψυχή, καί οδήγησον εις τόν φόβον σου, διότι φώς τά προστάγματά σου.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Μή στήσης με γυμνόν έργων καλών, επί τού βήματός σου φιλάνθρωπε Χριστέ, αλλ' αμφίασον θείων πράξεων, καταστολαίς, διά μετανοίας.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Επλήγην τή ρομφαία τών παθών, καί απογνώσεως βόθρω εμπέπτωκα βαθεί, μή παρίδης με, αλλ' ίασαι, επιστροφής Δέσποτα φαρμάκω.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Καί όνυξι ξεόμενοι δεινώς, καί ξίφεσιν αθληταί τυμπανιζόμενοι, καί ταίς μάστιξι δαπανώμενοι, ου τοίς γλυπτοίς εκάμψατε γόνυ.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ο κόσμος τοίς παθήμασιν υμών, κατακοσμείται σύμπας άγιοι Μάρτυρες, καί γάρ υπερκόσμιον εύρατε, διαγωγήν μετά τών Αγγέλων.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Η μόνη διά λόγου επί γής, τόν Λόγον τέξασα, καί παρθενεύουσα, τών αλόγων με ρύσαι πράξεων, λόγοις σεπτοίς, όπως ανυμνώ σε.

Κανών τών Ασωμάτων

Ο Ειρμός

Επί τής γής ο αόρατος ώφθης, καί τοίς βροτοίς εκών συνανεστράφης, ο ακατάληπτος, πρός σέ ούν ορθρίζοντες, ανυμνούμέν σε Φιλανθρωπε.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Σύν τώ Πατρί τόν Υιόν καί τό Πνεύμα, τρισσοφεγγεί φωτί λελαμπρυσμένοι, πιστοί υμνήσωμεν, τήν μία θεότητα, σύν Αγγέλων τοίς στρατεύμασιν.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Μίαν αρχήν υπεράρχιον σέβειν, οι Σεραφείμ διδάσκουσι βοώντες, φωνήν τήν τρισάγιον, εμφανώς τώ Πνεύματι, φωτιζόμενοι οι Άγγελοι.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Άνευ σποράς ο Αρχάγγελος Κόρη, σοί Γαβριήλ τεκείν τόν ζωοδότην, ευηγγελίσατο Θεοτόκε Πάνσεμνε, ουρανόθεν αφικόμενος.

Ωδή ς'
Ο Ειρμός
Τούς εις τά τέλη τών αιώνων, καταντήσαντας φιλάνθρωπε, καί τρικυμίαις πειρασμών, απολέσθαι κινδυνεύοντας, βοώντας, μή παρίδης. Σώσον Σωτήρ ως έσωσας, τού θηρός τόν προφήτην.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Υπεραρθείς τή διανοία, ως ο πάλαι Φαρισαίος πρίν, πτώμα κατέπεσα δεινόν, καί ορών ο πλάνος τέρπεται Χριστέ, ο ταπεινώσας τούτον Σταυρώ, ταπεινωθέντα δεινώς οίκτειρόν με.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Φιλαμαρτήμων εγενόμην, ως ουδείς εν βίω πώποτε, καί εδαπάνησα τήν σήν, μακροθυμίαν ο ταλαίπωρος, καί έτι δέ υπάρχω αναισθητών, επίστρεψόν με τή σή ευσπλαγχνία.

Μαρτυρικά
Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ιταμωτάτη προαιρέσει, οι παράνομοι τούς εύφρονας, καταδικάζοντες πυρί, καί πριστήρσι καί στρεβλώσεσι, χρυσίου λαμπροτέρους, ως αληθώς απέδειξαν, καί Χριστού κληρονόμους.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Στάδιον πλήρες παλαισμάτων, καί αγώνων παμμεγίστων, καί υπέρ φύσιν αικισμών, υπελθόντες ενικήσατε, τόν άρχοντα τού σκότους, καί εκ Θεούεδέξασθε, Αθληταί τούς στεφάνους.

Θεοτοκίον
Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τήν κιβωτόν τής Διαθήκης, τήν αγίαν όντως τράπεζαν, τό ιλαστήριον ημών, τόν ναόν Θεού τόν έμψυχον, τήν πάγχρυσον λυχνίαν, τήν αληθή Μητέρα σε, τού Πλαστουργού ανυμνούμεν.

Κανών τών Ασωμάτων
Ο Ειρμός
Σκηνώσεως Ιωνάς, τής εν κατωτάτω άδου τής φύσεως, σύμβολον γεγονώς εβόα, ανάγαγε εκ φθοράς, τήν ζωήν μου Φιλάνθρωπε.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Τό πρώτον καί παντουργόν, τής αγαθαρχίας φέγγος, Αρχάγγελοι, Άγγελοι, δυνατώς υμνείτε, κραυγάζοντες, σύν Αρχαίς, Εξουσίαις, Δυνάμεσιν.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Ο κόσμον τόν νοητόν, εν παναρμονίω τάξει, κοσμήσας αόρατε, τούτου εκμιμείσθαι τό εύτακτον, τήν σεπτήν Εκκλησίαν ευδόκησον.

Θεοτοκίον
Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ιάσεών σε πηγήν, ο εν σοί σκηνώσας Λόγος, αέναον έδειξε, τής εμής ψυχής ούν τά τραύματα, Θεοτόκε Παρθένε θεράπευσον.

Ωδή ζ'
Ο Ειρμός
Τρείς Παίδες εν καμίνω, τήν Τριάδα τυπώσαντες, τού πυρός τήν απειλήν κατεπάτησαν, καί υμνούντες εβόων. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ο χρόνος μου πληρούται, επί θύραις η έξοδος, μετανοίας ώ ψυχή, καρπούς επίδειξαι, πρίν άν κλεισθώσιν αι θύραι, αναβοώσα τώ Χριστώ. Κύριε σώσόν με.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Νεώσωμεν αρότρω, αληθούς επιγνώσεως τάς καρδίας, μετανοίας σίτον φέροντες, όπως θερίσωμεν στάχυν δικαιοσύνης, εν Χριστώ τώ γεωργώ τών ψυχών ημών.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Λαμπτήρες ευσεβείας, ασεβείας αντίπαλοι, τών απόρων πλουτισταί, Κυρίου μάρτυρες, τήν αθλίαν μου ψυχήν, στερουμένην αρετών καταπλουτίσατε.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ο σώσας τόν Τελώνην, από βάθους στενάξαντα, τόν μικρόν μου στεναγμόν δέξαι καί σώσόν με, διά τών αθλοφόρων, τών δοξασάντων σε Χριστέ οικείοις μέλεσι.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Η κρήνη η τό ύδωρ, τής αφέσεως βρύουσα, τάς εκβλύσεις τών εμών πταισμάτων ξήρανον, παρεχομένη μοι όμβρους δακρύων, όπως σε αεί ως Θεοτόκον υμνώ.

Κανών τών Ασωμάτων

Ο Ειρμός

Σοβαρός ο τύραννος.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Σταθερώ φρονήματι, καί ευτόνω βλέμματι βλέποντες, τήν αρχικήν λαμπρότητα, μεθέξει γίνεσθε φώτα δευτέρα. Ευλογητός εί κράζοντες, ο Θεός, οι τών Αγγέλων χοροί.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Ακλινεί τώ έρωτι, ανενδότω σχέσει τε νεύοντες, ταίς καλλοναίς τού κτίσαντος, τή θέσει γίνεσθε φώτα δεύτερα. Ευλογητός εί κράζοντες, ο Θεός, οι τών Αγγέλων χοροί.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σαρκωθέντα τέτοκας, Θεοτόκε, Λόγον τόν άναρχον, τόν εκ Πατρός αμήτορα, τήν πρό αιώνων θείαν γέννησιν. Ευλογημένος Δέσποινα, ο καρπός τής κοιλίας σου.

## Ωδή η'

Ο Ειρμός

Τόν εν φλογί τοίς Παισί τών Εβραίων, συγκαταβάντα θεϊκή τή δυνάμει, καί οφθέντα Κύριον, ιερείς ευλογείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Γέλωτι Χάμ πατρική αποφάσει, δούλος γεγένηται, τί ποιήσεις ψυχή μου, δουλωθείσα πάθεσι, καί ατάκτως γελώσα, καί μή αιδουμένη, τόν ουράνιον Πατέρα;

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Επιμανείς Κάϊν αδελφοκτόνος, αφρόνως γέγονε, τούτου ώφθης Ομοία, ουκ άλλον φονεύσασα,

εαυτήν δέ ψυχή μου, ταίς φιληδονίαις, καί απάταις τού βίου.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Τούς εκλεκτούς μαργαρίτας Κυρίου, σκεύη τά τιμία, τάς λαμπούσας λαμπάδας, αίγλην θείας χάριτος, τούς Χριστού αθλοφόρους, πίστει συνελθόντες, τιμήσωμεν αξίως.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ο τών σοφών αθλοφόρων τό αίμα, υπέρ θυμίαμα προσδεξάμενος Λόγε, ταίς αυτών δεήσεσι, τούς εν μετανοία σοι, προσπίπτοντας, σώσον, ως μόνος ελεήμων.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νόσω πληγείς αμαρτίας τώ άδη, νυνί προσήγγισα, υπερβάλλουσαν Κόρη, ευσπλαγχνίαν έχουσα, ως Θεόν τόν εύσπλαγχνον, αρρήτως τεκούσα, οικτείρασά με σώσον.

## Κανών τών Ασωμάτων

### Ο Ειρμός

Ενύλου φλόγα πυρός, δί' Αϋλου κατεμάραναν, θεοφορούμενοι Παίδες, καί έψαλλον, ευλογείτε πάντα τά έργα τόν Κύριον, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Ως πάντων Δημιουργός, τούς Αγγέλους ενενόησας, τού παρειστήκειν καί φόβω κραυγάζειν σοι. Ευλογείτε πάντα τά έργα τόν Κύριον, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Μεθέξει θείου πυρός, ώσπερ φλόγες χρηματίζοντες, επουράνιοι Νόες κραυγάζουσιν. Ευλογείτε πάντα τά έργα τόν Κύριον, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Αϋλους καί νοερούς, τούς Αγγέλους προϋπέστησας, τών ορωμένων απάντων σοί κράζοντας. Ευλογείτε πάντα τά έργα τόν Κύριον, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τόν Λόγον τόν τού Πατρός, υπέρ λόγον σωματούμενον, Θεογεννήτορ Παρθένε γεγέννηκας, όν υμνούμεν πάντα τά έργα ως Κύριον, καί υπερυψούμεν, εις πάντας τούς αιώνας.

## Ωδή θ'

### Ο Ειρμός

Εν Σιναίω τώ όρει κατείδέ σε, εν τή βάτω Μωϋσής, τήν αφλέκτως τό πύρ τής θεότητος, συλλαβούσαν εν γαστρί. Δανιήλ δέ σε είδεν, όρος αλατόμητον, ράβδον βλαστήσασαν, Ησαϊας κέκραγε, τήν εκ ρίζης Δαυϊδ,

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ιακώβ πρωτοτόκια είληφε, δι' εγκράτειαν ποτέ, καί Ησαύ τά πρωτεία απέδοτο, μή κρατήσας τής γαστρός. Ως κακόν ακρασία! Ως μέγα εγκράτεια! Φεύγε τήν μίμησιν τών κακών, στέργε ώ ψυχή τών καλών τήν επίδοσιν.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ως πολλά υπομείνας ο άμεμπτος, εστεφάνωται Ιώβ, πειρασμών γάρ συρρεύσαντες χείμαρροι, ουκ εσάλευσαν αυτού, τής καρδίας τόν πύργον, τούτον ζήλου πάντοτε, άτρωτος μένουσα, τοίς τού πονηρού, ώ ψυχή μηχανήμασι.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Στομωθέντες πυρί θείου Πνεύματος, ξίφη ώφθητε σαφώς, εναντίας συγκόπτοντες φάλαγγας, αθλοφόροι τού Χριστού, καί μεγάλως ταίς νίκαις κατακλεϊζόμενοι, εστεφανώθητε, τή παντοδυνάμω χειρί τού Παντάνακτος.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Η πληθύς τών Μαρτύρων η άμεμπτος, τών αμέτρων μου κακών τήν πληθύν, εξαλείψαι ικέτευε, τόν Δεσπότην καί Θεόν, τών υμών τούς απείρους, καμάτους δεξάμενον, καί τοίς στρατεύμασι, τοίς τών Ασωμάτων υμάς αριθμήσαντα.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φωτεινόν τού Δεσπότου Παλάτιον, οίκον δείξόν με φωτός, αδιόδευτε Πύλη, υπάνοιξον μετανοίας μοι οδούς. Γή αγία πρός γήν με, πραέων οδήγησον Δέσποινα, πάσης με δείξον, δεσποτείας παθών απελεύθερον.

Κανών τών Ασωμάτων

Ο Ειρμός

Οι τώ γλυκεί τού Αχράντου σου Τόκου, Βέλει τρωθέντες Αγνή, σού τό αξιέραστον κάλλος θαυμάζοντες, άμα σύν Αγγέλοις επαξίως σε, ως μητέρα Θεού μεγαλύνομεν.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Οι τώ φωτί τώ μεγάλω καί πρώτω, νύν παρεστώτες χοροί, πρέσβεις δυνατώτατοι γίνεσθε πάσιν ημίν, τοίς υμάς ως εφικτόν, ώ θειότατοι, ως Αγγέλους Θεού μεγαλύνουσιν.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Ισοσθενή τήν Τριάδα δοξάζειν, αξιωθέντες τρανώς, ταύτης ταίς ελλάμψεσι, πρώτως πυρσούμενοι, λάμπειν δευτεροφανώς αξιώσατε, τούς υμάς ευσεβώς μεγαλύνοντας.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σέ τής ημών σωτηρίας κρηπίδα, πάντες γινώσκομεν, σού γάρ ο πανάχραντος τόκος διέσωσεν, αίματι θεουργικώ τούς υμνούντάς σε, Θεοτόκε πιστώς καί δοξάζοντας.

Απόστιχα τών Αίνων τά Κατανυκτικά

Τόν διεσπαρμένον μου νούν συνάγαγε Κύριε, καί τήν χερσωθείσαν μου καρδίαν καθάρισον, ως τώ Πέτρω διδούς μοι μετάνοιαν, ως τώ Τελώνη στεναγμόν, καί ως τή πόρνη δάκρυα, ίνα μεγάλη τή φωνή κραυγάζω σοι, ο Θεός σώσόν με, ως μόνος εύσπλαγχνος καί φιλάνθρωπος.

Στίχ. α'. Ενεπλήσθημεν τό πρωϊ τού ελέους σου, Κύριε, καί ηγαλλιασάμεθα καί ηυφράνθημεν έν πάσαις ταίς ημέραις ημών. Ευφρανθείημεν, ανθών ημερών εταπείνωσας ημάς, ετών, ών είδομεν κακά, καί ίδε επί τούς δούλους σου καί επί τά έργα σου, καί οδήγησον τούς υιούς αυτών.

Πολλάκις τήν υμνωδίαν εκτελών, ευρέθην τήν αμαρτίαν εκπληρών, τή μέν γλώττη άσματα φθεγγόμενος, τή δέ ψυχή άτοπα λογιζόμενος, αλλ' εκάτερα διόρθωσον, Χριστέ ο Θεός, διά τής μετανοίας καί σώσόν με.

Μαρτυρικά

Στίχ. β'. Καί έστω η λαμπρότης Κυρίου τού Θεού ημών εφ' ημάς, καί τά έργα τών χειρών ημών

κατεύθυνον εφ' ημάς, καί τό έργον τών χειρών ημών κατεύθυνον.

Τών αγίων Αθλοφόρων τήν μνήμην, δεύτε λαοί άπαντες τιμήσωμεν, ότι θέατρον γενόμενοι Αγγέλοις καί ανθρώποις, τόν τής νίκης στέφανον παρά Χριστού εκομίσαντο, καί πρεσβεύουσιν υπέρ τών ψυχών ημών.

Δόξα... Καί νύν... Θεοτοκίον

Μεγάλη τού Σταυρού σου

Αγγέλων ουρανίων όντως υπερέχουσα, τών επί γής ανθρώπων, προσάγαγε τήν δέησιν, Παναγία τώ Δεσπότη τών απάντων, σωθήναι τούς εν πίστει, ομολογούντας σε, αληθή Θεοτόκον.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Οι Μακαρισμοί

Μακάριοι οι ειρηνοποιοί, ότι αυτοί υιοί Θεού κληθήσονται.

Αθετήσαντα Χριστέ, τήν εντολήν σου, τόν προπάτορα Αδάμ, τού Παραδείσου εξώρισας, τόν δέ Ληστήν οικτίρμον, ομολογήσαντά σε εν Σταυρώ, εν αυτώ εισώκισας κράζοντα. Μνήσθητί μου Σωτήρ, εν τή Βασιλεία σου.

Μακάριοι οι δεδιωγμένοι ένεκεν δικαιοσύνης, ότι αυτών εστιν η βασιλεία τών ουρανών.

Τών κακών μου τήν πληθύν, κατά τό πλήθος τού ελέους σου Χριστέ, παραβλεψάμενος σώσόν με, καί εν ημέρα δίκης, τής καταδίκης ρύσαί με Σωτήρ, καί τής αιωνίου κολάσεως, όπως υμνολογώ, σού τήν αγαθότητα.

Μακάριοί εστε όταν ονειδίσωσιν υμάς, καί διώξωσι, καί είπωσι πάν πονηρόν ρήμα καθυμών ψευδόμενοι ένεκεν εμού.

Χερουβείμ, καί Σεραφείμ, θρόνοι, Αρχάγγελοι, Δυνάμεις καί Αρχαί, καί Κυριότητες, Άγγελοι καί Εξουσίαι πάσαι, εκδυσωπείτε τόν Δημιουργόν, παριδείν μου τότε τά σφάλματα, όταν μέλλη τήν γήν κρίναι, ως φιλάνθρωπος.

Μαρτυρικόν

Χαίρετε καί αγαλλιάσθε, ότι ο μισθός υμών πολύς εν τοίς ουρανοίς.

Εξ αιμάτων ιερών, πορφύραν βάψαντες, Χριστού οι Αθληταί, τώ Βασιλεί τών δυνάμεων, συμβασιλεύειν όντως, κατηξιώθησαν θεοπρεπώς, καί ημίν αιτούνται πταισμάτων άφεσιν, τοίς αξίως αυτούς, πάντοτε γεραίρουσι.

Δόξα...

Τρισυπόστατον πιστοί, μίαν θεότητα, υμνούντες ευσεβώς, Πατέρα, Λόγον, σύν Πνεύματι, τώ Παρακλήτω πάντες, αγγελικαίς βοήσωμεν φωναίς, ασιγήτως. Άγιος, άγιος, άγιος εί ο Θεός, σώσον τάς ψυχάς ημών.

Καί νύν Θεοτοκίον

Η τό Φώς τό εκ Φωτός, κυοφορήσασα, Νεφέλη φωτεινή, εσκοτισμένον με πάθεσι, καί ηδοναίς τού βίου, τή μετανοία φώτισον Αγνή, καί τυχείν τής δόξης ικέτευε, ής επέτυχον οι καλώς βιώσαντες.

top

3-3

Στιχηρά Προσόμοια Δεσποτικά

Ήχος γ

Μεγάλη τού Σταυρού σου

Στίχ. α'. Εάν ανομίας παρατηρήσης, Κύριε, Κύριε τίς υποστήσεται; ότι παρά σοί ο ιλασμός εστιν.

Τά πάθη τής ψυχής Σωτήρ μου καί τού σώματος, δεινώς επαναστάντα, βυθίζουσί με άμφω, καί πρός βάθος απογνώσεώς με έλκουσιν, αλλ' ώς ποτε θάλασσαν, ταύτα κατεύνασον, καί γαλήνην μοι δίδου.

Στίχ. β'. Ένεκεν τού ονόματός σου υπέμεινά σε, Κύριε, υπέμεινεν η ψυχή μου εις τόν λόγον σου,

ήλπισεν η ψυχή μου επί τόν Κύριον.

Ουκ έχω παρρησίαν όλως ο κατάκρι τος, εις ύψος ατενίσαι, τού ουρανού καί βλέψαι, από πλήθους καθελκόμενος πταισμάτων μου, λοιπόν ως ο Τελώνης, βοώ, Ιλάσθητι, τώ αθλίω μοι Σώτερ.

Στίχ. γ'. Από φυλακής πρωϊας μέχρι νυκτός, από φυλακής πρωϊας ελπισάτω Ισραήλ επί τόν Κύριον.

Μεγάλη καί φρικτή σου Δέσποτα η έλευσις, εν ή καθίσης κρίσιν, δικαίαν εκτελέσαι, μή ούν κρίνης με τόν κατακεκριμένον, αλλ' ως Θεός φείσαί μου, καί ελευθέρωσον, τής μελλούσης ανάγκης.

Έτερα, τού Προδρόμου, όμοια

Στίχ. δ'. Ότι παρά τώ Κυρίω τό έλεος, καί πολλή παρ' αυτώ, λύτρωσις. καί αυτός λυτρώσεται τόν Ισραήλ έκ πασών τών ανομιών αυτού.

Ως όρθρος εξανέτειλας πάσι τοίς πέρασι, φωτίζων τάς καρδίας, τών σέ υμνούντων ένδοξε, διό φώτισον ημών τάς διανοίας, καί τάς ψυχάς Προφήτα, τού γεραίρειν σε, Βαπτιστά τού Σωτήρος.

Στίχ. ε'. Αινείτε τόν Κύριον πάντα τά έθνη, επαινέσατε αυτόν, πάντες οι λαοί.

Μή παύση ικετεύειν Πρόδρομε μακάριε, υπέρ παντός τού κόσμου, δεόμεθά σου πάντες, όπως λάβωμεν εξ ύψους θείαν χάριν, καταπατείν τήν κάραν, τού κακογνώμονος, οι πλουτούντές σε πρέσβυν.

Στίχ. ς'. Ότι εκραταιώθη τό έλεος αυτού εφ' ημάς, καί η αλήθεια τού Κυρίου μένει εις τόν αιώνα.

Η νίκα τού φθαρτού με μέλλει Κύριος, χωρίζειν τότε σκήνους, προστάτην εύροιμί σε, καί αντίληψιν καί σκέπην, Ιωάννη Πρόδρομε καί Προφήτα, καθοδηγούντά με, πρός ανέσπερον φέγγος.

Δόξα... Καί νύν... Θεοτοκίον Όμοιον

Μή παύση ικετεύουσα υπέρ τής ποίμνης σου, αλλά ταίς σαίς πρεσβείαις, μελλούσης ημάς λύτρωσαι, απειλής καί ενεστώσης, πάσης βλάβης, καί τής οργής Κυρίου, πάντας εξάρπασον, Θεοτόκε σούς δούλους.

Απόστιχα Κατανυκτικά

Εσπερινόν ύμνον προσφέρομέν σοι, Χριστέ, μετά θυμιάματος, καί ωδών Πνευματικών. Ελέησον Σωτήρ τάς ψυχάς ημών.

Στίχ. Α'. Πρός σέ ήρα τούς οφθαλμούς μου, τόν κατοικούντα εν τώ ουρανώ. Ιδού, ως οφθαλμοί δούλων εις χείρας τών κυρίων αυτών, ως οφθαλμοί παιδίσκης εις χείρας τής κυρίας αυτής, ούτως οι οφθαλμοί ημών πρός Κύριον τόν Θεόν ημών, έως ού οικτιρήσαι ημάς.

Σώσόν με Κύριε ο Θεός μου, σύ γάρ πάντων η σωτηρία, ο κλύδων με τών παθών εκταράττει, καί τό βάρος τών ανομιών με βυθίζει, δός μοι χείρα βοηθείας, καί πρός φώς ανάγαγέ με κατανύξεως, ο μόνος εύσπλαγχνος καί φιλάνθρωπος.

Μαρτυρικόν

Στίχ. Β'. Ελέησον ημάς, Κύριε, ελέησον ημάς, ότι επί πολύ επλήσθημεν εξουδενώσεως, επί πλείον επλ ήσθη η ψυχή ημών, τό όνειδος τοίς ευθηνούσι, καί η εξουδένωσις τοίς υπερηφάνοις.

Μεγάλη τών Μαρτύρων σου Χριστέ η δύναμις, εν μνήμασι γάρ κείνται, καί πνεύματα διώκουσι, καί κατήργησαν εχθρού τήν εξουσίαν, τή πίστει τής Τριάδος, αγωνισάμενοι, υπέρ τής ευσεβείας.

Δόξα... Καί νύν... Θεοτοκίον

Θεοτόκε η προστασία πάντων τών δεομένων, εις σέ θαρρούμεν, εις σέ καυχώμεθα, εν σοί πάσα η ελπίς ημών εστι, πρέσβευε τώ εκ σού τεχθέντι, υπέρ αχρείων δούλων σου.

Μετά τήν α' Στιχολογίαν

Καθίσματα Κατανυκτικά

Παροικούσα εν τή γή, ψυχή μου μετανόησον, χούς εν τάφω ουχ υμνεί, πταισμάτων ου λυτρούται, βόησον Χριστώ τώ Θεώ. Καρδιογνώστα ήμαρτον, πρίν με καταδικάσης, φείσαί μου ο Θεός, καί ελέησόν με.

Έως πότε ψυχή μου, επιμένεις τοίς πταίσμασιν; εως τίνος λαμβάνεις μετανοίας υπέρθεσιν, λάβε κατά νούν τήν κρίσιν τήν μέλλουσαν, καί βόησον Χριστώ τώ Θεώ. Καρδιογνώστα ήμαρτον, αναμάρτητε Κύριε ελέησόν με.

Δόξα... Καί νύν... Θεοτοκίον

Καταφυγή καί δύναμις ημών Θεοτόκε, η κραταιά βοήθεια τού κόσμου, ταίς πρεσβείαις σου σκέπε τούς δούλους σου, από πάσης ανάγκης, μόνη ευλογημένη.

Μετά τήν β' Στιχολογίαν

Καθίσματα

Τόν βυθόν τών πταισμάτων μου, σύ γινώσκεις Κύριε, δός μοι χείρα ως τώ Πέτρω, καί σώσόν με.

Δικαίας κρίσεως επερχομένης, καί τού Κριτού τών όλων δικάζοντος, ποίαν απολογίαν δώσεις ψυχή μου; ειμή πρό τού τέλους βοήσης. Ήμαρτον ο Θεός, καί ελέησόν με.

Δόξα... Καί νύν... Θεοτοκίον

Τήν ωραιότητα

Θεομακάριστε, Μήτηρ ανύμφευτε, τήν ασθενούσαν μου, ψυχήν θεράπευσον, ότι συνέχομαι δεινώς, τοίς πταίσμασιν ο άθλιος, όθεν καί κραυγάζω σοι, στεναγμώ τής καρδίας μου. Δέξαι με Πανάμωμε, τόν πολλά πλημμελήσαντα, ίνα εν παρρησία βοώ σοι. Χαίρε η Κεχαριτωμένη.

Μετά τήν γ' Στιχολογίαν Καθίσματα

Θείας πίστεως

Εν τη σκέπη σου, προσπεφευγότες, πίστει κράζομεν, ψυχής εκ βάθους, θεομακάριστε Προφήτα καί Πρόδρομε, τών πειρασμών καί κινδύνων τόν τάραχον, καί νοσημάτων τόν σάλον κατεύνασον, καί ματαίωσον εχθρών δυσμενών βουλεύματα, αιτούμενος ημίν τό μέγα έλεος.

Μαρτυρικόν

Τήν ωραιότητα

Τών αθλοφόρων σου, τήν μνήμην Κύριε, υπερεφαίδρυνας, ως παντοδύναμος, ότι ενίσχυσας αυτούς, τά πάθη σου μιμήσασθαι, ενίκησαν ανδρεία δέ, τού Βελίαρ τήν δύναμιν, όθεν καί απέλαβον, ιαμάτων χαρίσματα. Αυτών ταίς ικεσίαις οικτίρμον, ειρήνην παράσχου τώ λαώ σου.

Δόξα... Καί νύν... Θεοτοκίον

Έκαστος όπου σώζεται, εκεί δικαίως καί προστρέχει, καί ποία άλλη τοιαύτη καταφυγή, ως σύ Θεοτόκε, σκέπουσα τάς ψυχάς ημών.

Κανών κατανυκτικός, φέρων ακροστιχίδα, άνευ τών Θεοτοκίων.

Εμοίς στεναγμοίς πρόσχες, ώ Θεού Λόγε. Ιωσήφ.

Ωδή α'  Ήχος γ'

Ο Ειρμός

Θαυμαστός ενδόξως ποιών τέρατα, σύ εί ο Θεός, ο άβυσσον γεώσας, καί άρματα καλύψας, καί λαόν διασώσας, άδοντά σοι ως λυτρωτή ημών Θεώ.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Εαυτούς θερμώς αδελφοί κλαύσωμεν, όλη τή ψυχή, εγγίζει ο Νυμφίος, ανάψωμεν τάς πράξεις, ώσπερ φαιδράς λαμπάδας, όπως θείου νυμφώνος τύχωμεν εκεί.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Μεταγνούς εξ όλης ψυχής, σέσωσται, πάλαι Μανασσής, εβόησε γάρ μέσον, δεσμών κατειλημμένος, πρός μόνον τόν Δεσπότην, τούτον ζήλου ψυχή, καί σώζη ευχερώς.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Οφθαλμών πηρώσεις, χειρών στέρησιν, γλώσσης εκκοπήν, ποδών τε αφαιρέσεις, μηρών καί βραχιόνων, υπήνεγκαν οι θείοι Αθλοφόροι, ευχαριστούντες Ιησού Χριστώ.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ιατρείον ώφθη ημίν Μάρτυρες, πάσι τοίς πιστοίς, η θήκη τών λειψάνων, εξ ής αντλούμεν ρώσιν, ψυχών τε καί σωμάτων, κατά χρέος υμάς γεραίροντες αεί.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Αθανασίας μάννα Χριστόν φέρουσα, στάμνε λογική, πικρίας ψυχοφθόρων, παθών εκλύτρωσαί με, Παρθένε Παναγία, όπως πίστει δοξολογώ σε ευσεβώς.

## Κανών τού τιμίου Προδρόμου

### Ο Ειρμός

Ο τά ύδατα πάλαι, νευματι Θείω εις μίαν, συναγωγήν συναθροίσας, καί τεμών θάλασσαν, Ισραηλίτη λαώ, ούτος ο Θεός ημών, δεδοξασμένος υπάρχει, αυτώ μόνω άσωμεν, ότι δεδόξασται.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Στειρευούσης νηδύος βλάστημα θείον, καρπούς με τών αρετών εκβλαστάνειν, τώ Θεώ πρέσβευε, τής ακαρπίας μου, λύων τήν κατήφειαν, καί απελαύνων τόν ζόφον, εκ τής διανοίας μου, Κυρίου Πρόδρομε.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Τού Ηλίου τής δόξης μέγιστος, ώσπερ προτρέχων αστήρ εν γή σύ εφάνης, τού τήν γήν άπασαν, καταφαιδρύνοντος, τούτον ούν ικέτευε, τήν σκοτισθείσαν ψυχήν μου, φαύλαις ενθυμήσεσι, φωτίσαι Πρόδρομε.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Τήν ζωήν τοίς εν άδη, Πνεύματι θείω εγγίζουσαν, προμηνύσας Προφήτα, τήν εμήν ζώωσον νενεκρωμένην ψυχήν, σού ταίς παρακλήσεσι, καί ως εκ τάφου πταισμάτων, ανάστησον δέομαι, ένδοξε Πρόδρομε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Μετά τών Αρχαγγέλων, μετά τών Αγγέλων Παρθένε, μετά Αγίων απάντων, τόν εκ σού Κύριον επιφανέντα ημίν, αίτησαι δεόμεθα, τούς αληθή Θεοτόκον, καθομολογούντάς σε, κινδύνων ρύσασθαι.

## Ωδή γ'

### Ο Ειρμός

Στείρα ψυχή καί άγονε, κτήσαι καρπόν ευκλεή, ευτεκνουμένη βόησον. Εστερεώθην διά σού ο Θεός, ουκ έστιν άγιος, ουκ έστι δίκαιος, πλήν σου Κύριε.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Νόμον Θεού ηθέτησα, ο ασυνείδητος, καί μέλλω κατακρίνεσθαι, καί τί ποιήσω ουκ επίσταμαι. Κριτά δικαιότατε, οίκτειρον σώσόν με, τή ευσπλαγχνία σου.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ανατολή φιλάνθρωπε, υπάρχων ανατολών, ανάτειλόν μοι δέομαι, δικαιοσύνης φώς, εξαίρων με

παθών αμαυρώσεως, καί σκότους κολάσεως, Πολυέλεε.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Τής νοητής οικήτορες, ξύλα κατάκαρπα, τού Παραδείσου Μάρτυρες, πηγαί τό θείον ύδωρ έχουσαι, κρατήρες προχέοντες, τό πόμα τό άγιον, ανεδείχθητε.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Μίαν εν πλείστοις σώμασι, γνώμην περιφέροντες, οι αθλοφόροι Μάρτυρες, τάς μυριάδας ετροπώσαντο, εχθρού κοσμοκράτορος, Τριάδα αμέριστον, καταγγέλλοντες.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Παρθενομήτορ άχραντε, μετανοούσιν ημίν, καί τώ Χριστώ προστρέχουσι, καί τών πταισμάτων λύσιν θέλουσι λαβείν, τούτον ίλεων, τοίς πάσιν απέργασαι, πάντων Δέσποινα.

Κανών τού Προδρόμου

Ο Ειρμός

Ο εκ μή όντων τά πάντα παραγαγών, τώ Λόγω κτιζόμενα, τελειούμενα Πνεύματι, Παντοκράτορ Ύψιστε, εν τή αγάπη τή σή στερέωσόν με.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Φωνή τού Λόγου γενόμενος, Βαπτιστά, φωνάς τών τιμώντων σε, πρός αυτόν νύν κατεύθυνον, καί πταισμάτων άφεσιν, τή μεσιτεία ημίν τή σή παράσχου.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Ημάρτηκά σοι, ηνόμησα, καί δεινώς Σωτήρ επλημμέλησα, καί ψυχήν κατερρύπωσα, διά τούτο δέομαι, διά τού σού Βαπτιστού οικτείρησόν με.

Εν ερημία πλανώμενον ηδονών, ερήμου τό θρέμμα σε, οδηγόν τε τού νέου λαού, ικετεύω Πρόδρομε, πρός μετανοίας οδόν οδήγησόν με.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σύν Αποστόλοις, Προφήταις, Ιερουργοίς, σύν Μάρτυσιν Άχραντε, σύν ταίς άνω Δυνάμεσι, τώ Υιώ σου πρέσβευε, τού οικτειρήσαι ημάς τούς σέ υμνούντας.

Ωδή δ'

Ο Ειρμός

Τό κατάσκιον όρος, ο Αββακούμ προεώρα, τήν άχραντόν σου μήτραν Αγνή, διό καί ανεκραύγαζεν. Από Θαιμάν ήξει ο Θεός ο Άγιος, καί εξ όρους κατασκίου δασέος.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ο πηγάσας εκ πέτρας ύδωρ, πάλαι λαώ απειθούντι Χριστέ, καί αντιλέγοντι, ύδωρ τής δίψης ίαμα, εκ τής ανίκμου ψυχής μου ο Θεός, κατανύξεως σταγόνας, εκπλύνουσάς με βλύσον.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ιατρέ τών νοσούντων, τά τής καρδίας μου πάθη, ιάτρευσον ευσπλάγχνω ροπή, τής μετανοίας φάρμακα, προσεπιπλάττων ως αγαθός, δωρούμενός μοι ρώσιν, τήν ψυχικήν ως οικτίρμων.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Συμπαθούς αθλοφόροι, τής πρός τό σώμα φιλίας, αποζευγνύντες τόν λογισμόν, τοίς τιμωρείν εθέλουσι, παραδεδώκατε εαυτούς, όπως γνήσιοι τού Κτίστου, χρηματίζητε φίλοι.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Πολυώδυνα άλγη, πολυειδών εκ βασάνων υπέστητε, οπλίται τού Χριστού, καί χάριν εκομίσασθε, εκ τών τού Πνεύματος δωρεών, τών παθών ημών διώκειν, τας χρονίους Οδύνας.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Πολυώνυμε Κόρη, χαίρε εξ ής ο Λόγος ετέχθη, αλογίας ημάς, λύων ατόπων πράξεων. Χαίρε νεφέλη φωτεινή, η σκεδάζουσα τά νέφη, τής ημών αθυμίας.

## Κανών τού Προδρόμου

### Ο Ειρμός

Έθου πρός ημάς, κραταιάν αγάπησιν Κύριε, τόν μονογενή γάρ σου Υιόν, υπέρ ημών εις θάνατον δέδωκας. Διό σοι κραυγάζομεν ευχαριστούντες. Δόξα τή δυνάμει σου Κύριε.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Λόγου σε φωνήν, τού σαρκί φανέντος υπάρχουσαν, Πρόδρομε Κυρίου δυσωπώ, αλογωτάτων ρύσαί με πράξεων, τών λόγοις τιμώντά σε, καί κατά χρέος πίστει μακαρίζοντα.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Στέναξον ψυχή, καί Θεώ τώ κτίστη σου βόησον. Ήμαρτον, ιλάσθητι Χριστέ, καί φοβεράς με ρύσαι κολάσεως, κινδύνων καί θλίψεων, ταίς τού Προδρόμου θείαις παρακλήσεσιν.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Κύμασι πολλοίς, χαλεπών παθών βυθιζόμενον, καί κλυδωνιζόμενον δεινώς, καί συνεχώς αεί βυθιζόμενον, Βαπτιστά εξάρπασον, καί σωτηρίας όρμω καθοδήγησον.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Μήτηρ τού Θεού, Σεραφείμ υπέρτερον όχημα, μετά τών αϋλων Λειτουργών, μετά αγίων απάντων, Ικέτευε Χριστόν, όν εκύησας, απεγνωσμένον σώσαί με Πανάμωμε.

## Ωδή ε'

### Ο Ειρμός

Ορθρίζοντες ανυμνούμέν σε Λόγε, Υιέ Θεού Μονογενές, τήν σήν ειρήνην δός ημίν, καί ελέησον ημάς τούς ανυμνούντάς σε, καί πιστώς προσκυνούντας.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ραντίσας με μετανοίας υσσώπω, κάθαρον ρύπου τών παθών, ίνα οφθώ σοι καθαρός, όταν μέλλης Ιησού κρίναι τά σύμπαντα, τή δικαία σου κρίσει.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Οι μόλωπες συνεσάπησαν Λόγε, τής παναθλίας μου ψυχής, ιατρέ τών ασθενών, καί δοτήρ τών αγαθών, ίασαι σώσόν με, διά πλήθος ελέους.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Συντέτριπται τά οστράκινα σκεύη, τών Αθλοφόρων επί γής, αλλ'  ο τόνος τής ψυχής εκρατύνετο πλέον, καί ελαμπρύνετο, τού Χριστού τή δυνάμει.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Χεόμενον τών Αγίων τό αίμα, πάσαν ηγίασε τήν γήν, καί κατήρδευσε ψυχάς, καί εξήρανε σαφώς τής ματαιότητος, θολερούς τούς χειμάρρους.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τώ τόκω σου απεστείρωσας Κόρη, τήν τού προπάτορος αράν, καί επήγασας ημίν, ευλογίας ποταμούς, τοίς ευλογούσί σε, καί δοξάζουσι πίστει.

Κανών τού Προδρόμου

Ο Ειρμός

Επί τής γής ο αόρατος ώφθης, καί τοίς βροτοίς εκών συνανεστράφης, ο ακατάληπτος, διό πρός σέ ορθρίζοντες, ανυμνούμέν σε φιλάνθρωπε.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Επί τής γής, ώσπερ Άγγελος μάκαρ, επολιτεύσω σαφώς μετά σαρκός, διό σου δέομαι, σαρκικού φρονήματος, τήν ψυχήν μου ελευθέρωσον.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Τόν εις βυθόν αμαρτίας πεσόντα, καί ηδοναίς τήν ψυχήν μολυνθέντα, καί κινδυνεύοντα, τού Κυρίου Πρόδρομε, προσφυγόντα σοι διάσωσον.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Σύν Προφητών περισσότερος ώφθης, καί γάρ αυτόν εθεάσω, Προφήτα τόν κηρυττόμενον, όν απαύστως αίτησαι, τού φωτίσαι τάς ψυχάς ημών.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τών ουρανών πλατυτέρα, σύ ώφθης ως αληθώς, Θεοτόκε Παρθένε θεοχαρίτωτε, τής στενοχωρούσης με, αμαρτίας ελευθέρωσον.

Ωδή ς'

Ο Ειρμός

Βυθός μοι τών παθών επανέστη, καί ζάλη εναντίων ανέμων, αλλά προφθάσας με σύ, σώσον Σωτήρ, καί ρύσαι φθοράς, ως έσωσας, τού θηρός τόν Προφήτην.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Επλήγην αμαρτιών τή ρομφαία, καί κείμαι ανενέργητος όλος, ο πληγωθείς δι' εμέ λόγχη ποτέ, Χριστέ ο Θεός, οικτείρησον με τή σή ευσπλαγχνία.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Στενάζω καί κακοίς επιμένω, δακρύω, καί τήν κρίσιν ου φρίττω, αναισθησίαν νοσών. Λόγε Θεού, οικτείρησόν με, καί σώσον τοίς αγαθοίς κρίμασί σου.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ως άρνες ουκ ερίζοντες όλως, ου λόγον, ου φωνήν αφιέντες, πανευκλεείς αθληταί, πρός τήν

σφαγήν, καί τούς αικισμούς, προσήγεσθε, τόν Χριστόν ανυμνούντες.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Θηρίοις παρεδίδοσθε βρώμα, θαλάσσης τοίς βυθοίς ωμιλείτε, αγαλλομένη ψυχή, όθεν υμάς Χριστός, Αθληταί, νίκης στεφάνοις, τοίς αφθάρτοις εκόσμει.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Η θύρα τών πιστώς σωζομένων, η πύλη ήν διώδευσε μόνος, ο σαρκωθείς δι' ημάς, πύλας ημίν δικαιοσύνης, υπάνοιξον, τοίς πιστώς σε υμνούσι.

Κανών τού Προδρόμου

Ο Ειρμός

Άβυσσος εσχάτη αμαρτιών, εκύκλωσέ με, καί εκλείπει τό πνεύμά μου, αλλ' εκτείνας Δέσποτα, σόν υψηλόν βραχίονα, ως τόν Πέτρον με, κυβερνήτα διάσωσον.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Ύδατι χειμάρρουν τόν τής τρυφής, υποκλιθέντα, τή χειρί σου εβάπτισας, αλλ' αυτόν ικέτευε, καταπέμψαι μοι ύδωρ, σοφέ κατανύξεως, τώ πολλά πλημμελήσαντι.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Άβυσσον ελέους έν ποταμώ, Προφήτα λούεις, υπερώα τοίς ύδασιν, ουρανούς στεγάζοντα, Ιησούν τόν φιλάνθρωπον, όν δυσώπησον, επομβρήσαί μοι άφεσιν.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Ήγγικενη βασιλεία τών ουρανών, μετανοείτε, ανεκραύγαζες Πρόδρομε, ής τυχείν αξίωσον, τούς πόθω σε γεραίροντας, καί τή σκέπη σου, τή σεπτή καταφεύγοντας.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Άχραντε η σάρκα τώ πλαστουργώ, δανεισαμένη, σύν ταίς άνω Δυνάμεσι, σύν Προφήταις άπασιν, Αποστόλοις καί Μάρτυσι, τούτον πρέσβευε, οικτειρήσαι καί σώσαί με.

Ωδή ζ'

Ο Ειρμός

Ο τήν φλόγα δροσίσας τής καμίνου, καί τούς Παίδας αφλέκτους διασώσας, ευλογητός εί εις τούς αιώνας Κύριε, ο Θεός ο τών Πατέρων ημών.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Εγυμνώθην χιτώνα αφθαρσίας, ενεδύθην δέ έργα ατιμίας, διό βοώ σοι οικτίρμον Θεέ. Αρετών στολαίς με καταφαίδρυνον.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Οφθαλμοίς ακολάστοις εσπιλώθην, επαφή ακρασίας ερρυπώθην, καί εβδελύχθην ενώπιόν σου Ιησού, ως τόν Άσωτον δέξαι με.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Υπερτέραν ζωήν ηγαπηκότες, υπερτέρους ηνέγκατε τούς πόνους, Χριστούοπλίται, φωστήρες θείοι, διά τούτο πιστώς μακαρίζεσθε.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Λαμπρυνθέντες τή αίγλη τών βασάνων, απηστράψατε πλέον τού ηλίου, καί πάντα ζόφον τής αθεϊας εδιώξατε, άγιοι Μάρτυρες.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ως τόν πάντων τεκούσα συνοχέα, τού συνέχοντος ζόφου τής αγνοίας, καί αμαρτίας απάλλαξόν με, Δέσποινα, Θεοτόκε Αειπάρθενε.

Κανών τού Προδρόμου

Ο Ειρμός

Τρείς Παίδες εν καμίνω, τήν Τριάδα τυπώσαντες, τού πυρός τήν απειλήν κατεπάτησαν, καί υμνούντες εβόων. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Ως λύχνος τού Ηλίου, τήν ψυχήν μου καταύγασον, εσβεσμένην ραθυμία καί τυφλώττουσαν, μετανοίας πρός τρίβους καθοδηγών με, Βαπτιστά Κυρίου Πρόδρομε.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Τής κρίσεως τήν ώραν εννοών, όλος δέδοικα, περικείμενος πληθύν ατόπων πράξεων. Βαπτιστά τού Σωτήρος, πρόστηθι ρύσαί με, πυρός αποκειμένου μοι.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Προστάτα τής ζωής μου, αντιλήπτόρ μου Πρόδρομε, εξ εχθρών μου αοράτων ορωμένων τε, περιφύλαττε σκέπε, καί Βασιλείας ουρανών, μέτοχον ποίησον.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Παρθένε Θεοτόκε, τόν Υιόν σου ικέτευε, σύν Προφήταις, Αποστόλοις τε καί Μάρτυσι, τής μελλούσης ανάγκης, απολυτρώσασθαι ημάς, τούς σέ τιμώντας αεί.

Ωδή η'

Ο Ειρμός

Τόν υπ' Αγγέλων ασιγήτως, εν υψίστοις δοξαζόμενον Θεόν, οι ουρανοί τών ουρανών, γή καί όρη καί βουνοί, καί βυθός καί πάν γένος ανθρώπων, ύμνοις αυτόν ως Κτίστην, καί Λυτρωτήν ευλογείτε.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ότι τόν φόβον σου ουκ έχω, ενοικούντα τή καρδία τή εμή, πάσαν ετέλεσα σαρκός, αμαρτίαν ο ασυνείδητος, καί τρέμω σου τήν δίκην, παμβασιλεύ, μή με βδελύξη, νυνί μεταγνόντα.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Γής τής αγίας επιβήναι, Πολυέλεε αξίωσον καμέ, ήν κατοικούσιν οι πραείς, μετανοία αποπλύνας με, γηϊνης αμαρτίας, ο επί γής αναμαρτήτως, γεννηθείς εκ Παρθένου.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Εν τώ οικείω υμών αίματι, κατεβάφησαν οι πόδες υμών, υποσκελίζοντες εχθρούς, καί πορείαν τήν ουράνιον, ποιούμενοι οσίως, πανευκλεείς Χριστού, τού πάντων Θεού Αθλοφόροι.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Εναπεδύσασθε προθύμως, πρός τά μέγιστα παλαίσματα υμείς, απογυμνώσαντες εχθρόν, καί αισχύνην επενδύσαντες, διό στεφανηφόροι εν ουρανοίς χορεύετε, ευκλεείς Χριστού Αθλοφόροι.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τού Ιακώβ τήν καλλονήν σε, ο ωραίος κάλλει Κύριος αγνή, ηγαπηκώς τήν σήν νηδύν, Παναμώμητε κατώκησεν, ανθρώπων τήν ουσίαν ταίς καλλοναίς, φαιδρύνων τών υπέρ νούν δωρημάτων.

## Κανών τού Προδρόμου

### Ο Ειρμός

Αστέκτω πυρί ενωθέντες, οι θεοσεβεία προστώτες Νεανίαι, τή φλογί δέ μή λωβηθέντες, θείον ύμνον έμελπον. Ευλογείτε πάντα τά έργα Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Αμνόν τού Θεού ο κηρύξας, τόν τάς αμαρτίας τών ανθρώπων αφαιρούντα, Ιωάννη θείε Προφήτα, τούτον εκδυσώπησον, τό φορτίον λύσαι τών αμαρτημάτων μου, καί τών σωζομένων μερίδος αξιώσαι.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Καμίνου φλογός καιομένης, σκότους αφεγγούς τε εξωτέρου λύτρωσαί με, τόν εν σκότει πονηρών έργων, όλον συνεχόμενον, δυσωπώ σε Λόγε τού Θεού προάναρχε, διά τού ενδόξου καί θείου Βαπτιστού σου.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Ερήμοις ψυχαίς χερσωθείσαις, διά μετανοίας ευκαρπίαν ο κηρύξας, τού Κυρίου θείε Προφήτα, ακανθηφορήσασαν τήν ψυχήν μου, πάσαις ηδοναίς καθάρισον, όπως εκβλαστήσω αγαθών έργων στάχυν.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ως Μήτηρ Θεού εκδυσώπει, μετά τών αγίων Αγγέλων, Προφητών τε, Αποστόλων καί τών Μαρτύρων, κινδύνων καί θλίψεων, καί μελλούσης πάντας κολάσεως ρύσασθαι, τούς σέ Θεοτόκον αεί ομολογούντας.

## Ωδή θ'

### Ο Ειρμός

Ευλογητός Κύριος, ο Θεός τού Ισραήλ, ο εγείρας κέρας σωτηρίας ημίν, εν οίκω Δαυϊδ τού παιδός αυτού, διά σπλάγχνα ελέους, εν οίς επεσκέψατο ημάς, ανατολή εξ ύψους, καί κατηύθυνεν ημάς, εις οδόν ειρήνης.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ιδού καιρός ευπρόσδεκτος, καί ημέρα ιλασμού, επιστρέψαι θέλησον λοιπόν, ώ ψυχή, ποιούσα καρπόν μετανοίας, μή άκαρπόν σε εύρη, θανάτου αξίνη φοβερά, καί ως συκήν τήν πάλαι εκτεμούσα, τώ πυρί τώ εκείθεν πέμψη.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ως ο ποτέ πλούσιος, επαγάλλομαι τρυφαίς, ασπλαγχνίαν έχων πρός τόν πέλας πολλήν, καί πύρ δειλιώ τό ακοίμητον, διό μου τήν λιθώδη, απόπλυνον Δέσποτα ψυχήν, όπως κάν επι τέλους, ευσπλαγχνία λαμπρυνθώ ο εσκοτισμένος.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Σημειωθέντες αίματι, θείοι Μάρτυρες Χριστού, εν σημείοις πίστει εναθλούντες στερρώς, απίστους εχθρούς ετροπώσασθε, καί πλάνης ανιέρου πολλούς, αφηρπάσατε λαούς, μεταβολαίς ενθέοις, λαμπρυθέντας τώ φωτί τής θεογνωσίας.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ηκονημένα ώφθητε, ξίφη τέμνοντα εχθρού, παρατάξεις θείοι Αθλοφόροι Χριστού, καί σκεύη τήν αίγλην χωρήσαντα, τής αγίας Τριάδος, καί λύχνοι πυρσεύοντες τό φώς, τής ευσεβείας πίστει, καί δόξης τής νοητής, αληθείς οπλίται.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φωτοειδή νεφέλην σε, ο Προφήτης προορά, εξ ής μέγας Ήλιος επέφανεν ημίν, Χριστός ο Θεός, καί εφώτισε τά πρίν εσκοτισμένα, αυτόν ούν δυσώπει αγαθή, τά τών παθών μου νέφη εκδιώξαι, καί φωτί θείω φαιδρυνθήναι.

Κανών τού Προδρόμου

Ο Ειρμός

Εν νόμω σκιά καί γράμματι, τύπον κατίδωμεν οι πιστοί πάν άρσεν τό τήν μήτραν διανοίγον Άγιον Θεώ διό πρωτότοκον Λόγον, πατρός ανάρχον Υιόν, πρωτοτοκούμενον Μητρί, απειράνδρως μεγαλύνομεν.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Εκ νόμου σκιάς προκύψας, τήν αίγλην τής θείας χάριτος, πλουσίως εθεάσω, τά τής γής πληρώματα σοφέ φωταγωγούσαν, καί σκότος αποδιώκουσαν, τής αγνωσίας Προφήτα, διά τούτό σε γεραίρομεν.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Ως μάρτυς Χριστού, ως θείος Βαπτιστής, ως μετανοίας λαμπτήρ, ως όρθρος ευσεβείας, παλαιάς μεσίτης καί καινής, παλαιωθείσαν κακία, τήν ταπεινήν μου ψυχήν, δι' επι γνώσεως θείας, καινουργήσας φωταγώγησον.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Εν ώρα φρικτή, εν ώρα φοβερά, εν ώρα δίκης σοφέ, κρινόμενόν με ρύσαι, απειλής μενούσης με εκεί, καθυπακούοντα έχων, τών σών δεήσεων, οία περ φίλος νυμφίον, τόν Σωτήρα τών ψυχών ημών.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ως Μήτηρ Θεού, ως Μήτηρ τού εκ σού τεχθέντος Λόγου Θεού, μετά τών Ασωμάτων Αποστόλων τε καί Προφητών, Ιεραρχών καί Μαρτύρων, τούτον δυσώπει αεί, τού ειρηνεύσαι τόν κόσμον, Παναγία Μητροπάρθενε.

Απόστιχα τών Αίνων, Κατανυκτικά

Τόν διεσπαρμένον μου νούν συνάγαγε Κύριε, καί τήν χερσωθείσάν μου καρδίαν καθάρισον, ως τώ Πέτρω διδούς μοι μετάνοιαν, ως τώ Τελώνη στεναγμόν, καί ως τή πόρνη δάκρυα, ίνα μεγάλη τή φωνή κραυγάζω σοι, ο Θεός σώσόν με, ως μόνος εύσπλαγχνος καί φιλάνθρωπος.

Στίχ. α'. Ενεπλήσθημεν τό πρωϊ τού ελέους σου, Κύριε, καί ηγαλλιασάμεθα καί ηυφράνθημεν έν πάσαις ταίς ημέραις ημών. Ευφρανθείημεν, ανθών ημερών εταπείνωσας ημάς, ετών, ών είδομεν κακά, καί ίδε επί τούς δούλους σου καί επί τά έργα σου, καί οδήγησον τούς υιούς αυτών.

Πολλάκις τήν υμνωδίαν εκτελών, ευρέθην τήν αμαρτίαν εκπληρών, τή μέν γλώττη άσματα φθεγγόμενος, τή δέ ψυχή άτοπα λογιζόμενος, αλλ' εκάτερα διόρθωσον, Χριστέ ο Θεός, διά τής μετανοίας, καί σώσόν με.

Μαρτυρικόν

Στίχ. β'. Καί έστω η λαμπρότης Κυρίου τού Θεού ημών εφ' ημάς, καί τά έργα τών χειρών ημών κατεύθυνον εφ' ημάς, καί τό έργον τών χειρών ημών κατεύθυνον.

Βασιλέων καί τυράννων τόν φόβον, απώσαντο οι Χριστού Στρατιώται, καί ευθαρσώς καί ανδρείως αυτόν ωμολόγησαν, τών απάντων Κύριον, Θεόν καί Βασιλέα, καί πρεσβεύουσιν υπέρ τών ψυχών ημών.

Δόξα... Καί νύν... Θεοτοκίον

Ασπόρως συνέλαβες εκ Πνεύματος Αγίου, καί δοξολογούντες εκβοώμεν σοι. Χαίρε Παναγία Παρθένε.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

### Οι Μακαρισμοί

Μακάριοι οι ειρηνοποιοί, ότι αυτοί υιοί Θεού κληθήσονται.

Αθετήσαντα Χριστέ, τήν εντολήν σου, τόν προπάτορα Αδάμ, τού Παραδείσου εξώρισας, τόν δέ Ληστήν Οικτίρμον, ομολογήσαντά σε εν Σταυρώ, εν αυτώ εισώκισας κράζοντα. Μνήσθητί μου Σωτήρ, εν τή Βασιλεία σου.

Μακάριοι οι δεδιωγμένοι ένεκεν δικαιοσύνης, ότι αυτών εστιν η βασιλεία τών ουρανών.

Ταίς τού βίου ηδοναίς, εσπιλωμένην, κεκτημένος τήν ψυχήν, τοίς οικτιρμοίς σου προσέρχομαι, κατεγνωσμένος όλος, καί ηττημένος κράζω σοι Σωτήρ, τώ ειδότι μόνω τά κρύφια. Κάθαρόν με τή σή, ευσπλαγχνία Χριστέ.

Μακάριοί εστε όταν ονειδίσωσιν υμάς, καί διώξωσι, καί είπωσι πάν πονηρόν ρήμα καθυμών ψευδόμενοι ένεκεν εμού.

Ως μεσίτης παλαιάς, καί τής καινής γινόμενος, θείε Βαπτιστά, παλαιωθέντα με πταίσμασιν, ανακαινίσας δίδου, σαίς ικεσίαις βαίνειν ασφαλώς, πρός, μετανοίας τρίβους Πανεύφημε, εισαγούσας, καλώς, πρός Βασιλείαν Χριστού.

Μαρτυρικόν

Χαίρετε καί αγαλλιάσθε, ότι ο μισθός υμών πολύς εν τοίς ουρανοίς.

Τόν αγώνα τόν καλόν, αγωνισάμενοι, γενναίοι Αθληταί, μυρίους πόνους ηνέγκατε, καί διά τούτο πάντα πόνον κουφίζετε δι' ηνεκώς, καί πνευμάτων λώβην διώκετε, όθεν πίστει υμάς Άγιοι δοξάζομεν.

Δόξα...

Φώς καί ζωή καί παντουργός, η τρισυπόστατος, Μονάς ως αληθώς υπάρχει, ήν περ δοξάζομεν. Πατήρ γάρ, Υιός καί Πνεύμα, ο ενιαίος καί συνεκτικός, τών απάντων Δεσπότης καί Κύριος, είς Θεός εν τρισί, Προσώποις γνωρίζεται.

Καί νύν, Θεοτοκίον

Αμαρτάνοντα αεί, καί παροργίζοντα Θεόν τόν αγαθόν, Παρθενομήτορ οικτείρησον, καί μετανοίας τρόποις, ως αγαθή βελτίωσον Αγνή, όπως τάς μελλούσας κολάσεις φύγω, υμνών εκτενώς, Κόρη τήν πρεσβείαν σου.

top

Στιχηρά Προσόμοια Σταυρώσιμα
Ήχος γ'
Μεγάλη τού Σταυρού σου Κύριε

Στίχ. α'. Εάν ανομίας παρατηρήσης, Κύριε, Κύριε τίς υποστήσεται; ότι παρά σοί ο ιλασμός εστιν.

Η Κτίσις ηλλοιώθη Λόγε τή Σταυρώσει σου, ο ήλιος ακτίνας, συνέστειλε τώ φόβω, καί ναού τό καταπέτασμα εσχίσθη, καί πάς πιστός σέσωσται, όθεν δοξάζομεν, σού τόν άμετρον πλούτον.

Στίχ. β'. Ένεκεν τού ονόματός σου υπέμεινά σε, Κύριε, υπέμεινεν η ψυχή μου εις τόν λόγον σου, ήλπισεν η ψυχή μου επί τόν Κύριον.

Ο σάρκα τήν ημών δι' οίκτον προσλαβόμενος, Θεός τε καί Δεσπότης, τώ ξύλω προσεπάγη, καί ανύψωσεν ημάς κατερραγμένους, ανυψωθείς σώματι, ώσπερ ηυδόκησε, διά σπλάγχνα ελέους.

Στίχ. γ'. Από φυλακής πρωϊας μέχρι νυκτός, από φυλακής πρωϊας ελπισάτω Ισραήλ επί τόν Κύριον.

Ρανίδες θεορρύτου αίματος καί ύδατος, ανε πλασαν τόν κόσμον, χυθείσαι εκ πλευράς σου, τώ μέν ύδατι εκπλύνεις, ως οικτίρμων, πάντων τάς αμαρτίας Κύριε, τώ δέ αίματι, τήν συγχώρησιν γράφεις.

Στιχηρά τής Θεοτόκου όμοια

Στίχ. δ'. Ότι παρά τώ Κυρίω τό έλεος, καί πολλή παρ' αυτώ, λύτρωσις. καί αυτός λυτρώσεται τόν Ισραήλ έκ πασών τών ανομιών αυτού.

Εν κλίνη κατακείμενος τής άμελείας μου, τόν τής ζωής μου χρόνον, ραθύμως εξετέλεσα, καί πτοούμαι τής εξόδου μου τήν ώραν, αλλά τή σή πρεσβεία εγείρασα, σώσόν με πρός μετάνοιαν Κόρη.

Στίχ. ε'. Αινείτε τόν Κύριον πάντα τά έθνη, επαινέσατε αυτόν, πάντες οι λαοί.

Τό άλγος τής, καρδίας μου Αγνή θεράπευσον, καί στήσον τού νοός μου, τήν πλάνην καί αξίωσον, καθαρά σε ανυμνείν καρδία, καί εξαιτείσθαι χάριν, ευρείν καί έλεος, εν ημέρα τής δίκης.

Στίχ. ς'. Ότι εκραταιώθη τό έλεος αυτού εφ' ημάς, καί η αλήθεια τού Κυρίου μένει εις τόν αιώνα.

Απόθου ταπεινή ψυχή μου τά δυσβάστακτα, φορτία τής κακίας, καί πρόσελθε δακρύουσα, καί βοώσα. Τόν ζυγόν αγνή Παρθένε με αξίωσον, τόν ελαφρόν βαστάζειν, τού Υιού καί Θεού σου.

Δόξα... Καί νύν...

Σταυροθεοτοκίον όμοιον

Ρομφαία τήν καρδίαν σου, διήλθε Πάναγνε, ηνίκα τόν Υιόν σου, επί σταυρού προσέβλεψας, καί εβόας. Μή άτεκνόν με δείξης, Υιέ μου καί Θεέ μου, ο συντηρήσας μετά τόκον παρθένον.

Απόστιχα Σταυρώσιμα

Τόν Σταυρόν σου προσκυνώ, Χριστέ τόν τίμιον, τόν φύλακα τού κόσμου, τήν σωτηρίαν ημών τών αμαρτωλών, τό μέγα ιλαστήριον, τού Βασιλέως τό νίκος, τό καύχημα πάσης τής οικουμένης.

Στίχ. Α'. Πρός σέ ήρα τούς οφθαλμούς μου, τόν κατοικούντα εν τώ ουρανώ. Ιδού, ως οφθαλμοί δούλων εις χείρας τών κυρίων αυτών, ως οφθαλμοί παιδίσκης εις χείρας τής κυρίας αυτής, ούτως οι οφθαλμοί ημών πρός Κύριον τόν Θεόν ημών, έως ού οικτιρήσαι ημάς.

Ξύλον παρακοής τώ κόσμω θάνατον εβλάστησε, τό δέ ξύλον τού Σταυρού, ζωήν καί αφθαρσίαν, διό σε προσκυνούμεν, τόν σταυρωθέντα Κύριον, σημειωθήτω εφ' ημάς τό φώς τού προσώπου σου.

Μαρτυρικόν

Στίχ. Β'. Ελέησον ημάς, Κύριε, ελέησον ημάς, ότι επί πολύ επλήσθημεν εξουδενώσεως, επί πλείον επλ ήσθη η ψυχή ημών, τό όνειδος τοίς ευθηνούσι, καί η εξουδένωσις τοίς υπερηφάνοις.

Προφήται καί Απόστολοι Χριστού, καί Μάρτυρες, εδίδαξαν υμνείσθαι, Τριάδα ομοούσιον, καί εφώτισαν τά έθνη τά πεπλανημένα, καί κοινωνούς Αγγέλων εποίησαν, τούς υιούς τών ανθρώπων.

Δόξα... Καί νύν... Σταυροθεοτοκίον

Μεγάλη τού Σταυρού σου

Σταυρώ σε αναρτώμενον, Χριστέ μου ως εώρακεν, Αμνάς η σέ τεκούσα, η άμωμος καί Μήτηρ σου, ωλοφύρετο κλαυθμώ καί ανεβόα. Μή με δείξης άτεκνον, ήν εφύλαξας αγνήνκαί μετά τόκον.

Μετά τήν α' Στιχολογίαν

Καθίσματα Σταυρώσιμα

Ήχος γ'

Σταυρός επάγη επί γής, καί ήψατο τών ουρανών, ουχ ως τού ξύλου φθάσαντος τό ύψος, αλλά σού τού εν αυτώ πληρούντος τά σύμπαντα, Κύριε δόξα σοι.

Εν κυπαρίσσω καί πεύκη καί κέδρω, υψώθης ο Αμνός τού Θεού, ίνα σώσης τούς εν πίστει προσκυνούντας, τήν εκούσιόν σου Σταύρωσιν. Χριστέ ο Θεός, δόξα σοι.

Δόξα... Καί νύν... Σταυροθεοτοκίον

Ράβδον δυνάμεως κεκτημένοι, τόν Σταυρόν τού Υιού σου Θεοτόκε, εν αυτώ καταβαλούμεν, τών εχθρών τά φρυάγματα, οι πόθω σε απαύστως μεγαλύνοντες.

Μετά τήν β' Στιχολογίαν

Καθίσματα έτερα

Ο ραπισθείς υπέρ γένους ανθρώπων, καί μή οργισθείς, ελευθέρωσον εκ φθοράς, τήν ζωήν ημών Κύριε, καί σώσον ημάς.

Τήν ωραιότητα

Τό αναρίθμητον, τής εξουσίας σου, καί τό εκούσιον, τό τής σταυρώσεως, αι τών Αγγέλων στρατιαί, εξίσταντο καθορώσαι. Πώς ο αθεώρητος, εν σαρκί εμαστίζετο; θέλων εκλυτρώσασθαι, τής φθοράς τό ανθρώπινον, διό ως ζωοδότη βοώμέν σοι. Δόξα Χριστέ τή ευσπλαγχνία σου.

Δόξα... Καί νύν... Σταυροθεοτοκίον

Η απειρόγαμος, αγνή καί Μήτηρ σου, Χριστέ ορώσά σε, νεκρόν κρεμάμενον, επί τού ξύλου μητρικώς, θρηνολογούσα έλεγε. Τί σοι ανταπέδωκε, τών Εβραίων ο άνομος, δήμος καί αχάριστος, ο πολλών καί μεγάλων σου, Υιέ μου, δωρεών απολαύσας; Υμνώ σου τήν θείαν συγκατάβασιν.

Μετά τήν γ' Στιχολογίαν

Καθίσματα έτερα

Τήν ώραιότητα

Σταυρόν υπέμεινας, ατίμως Δέσποτα, ο υπερέκεινα, πάσης τής κτίσεως, όπως τιμήσης με τόν πρίν, δεινώς ατιμασθέντα, λόγχη τήν πλευράν σου δέ, εκεντήθης μακρόθυμε, θέλων εκλυτρώσασθαι, τής φθοράς με τό πλάσμα σου. Υμνώ σου τήν πολλήν ευσπλαγχνίαν, καί τήν αγαθότητα φιλάνθρωπε.

Μαρτυρικόν  όμοιον

Θωρακισάμενοι, τήν πανοπλίαν Χριστού, καί ενδυσάμενοι, όπλα τής Πίστεως, τάς παρατάξεις τού εχθρού, αθλητικώς κατεβάλετε, προθύμως τή ελπίδι γάρ, τής ζωής υπεμείνατε, πάσας τών τυράννων πρίν, απειλάς τε καί μάστιγας, διό καί τούς στεφάνους εδέξασθε, Μάρτυρες Χριστού οι καρτερόψυχοι.

Δόξα... Καί νύν...

Σταυροθεοτοκίον  όμοιον

Αναρτηθέντα σε, ως εθεάσατο, εν ξύλω Δέσποτα, η απειρόγαμος, καί Παναμώμητος αγνή, Παρθένος τε καί Μήτηρ σου. Οίμοι! ανεβόα σοι, ώ Υιέ μου γλυκύτατε, πώς σε ανομώτατος, δήμος ξύλω κατέκρινε, τόν πάντων ποιητήν καί Δεσπότην! Υμνώ σου τήν άκραν αγαθότητα.

Κανών Σταυρώσιμος, ού η Ακροστιχίς.

Πόνους έπαυσας τών βροτών πόνοις, Λόγε Ιωσήφ.

Ωδή α'  Ήχος γ'

Ο Ειρμός

Ο τά ύδατα πάλαι νεύματι θείω, εις μίαν συναγωγήν συναθροίσας, καί τεμών θάλασσαν, Ισραηλίτη λαώ, ούτος ο Θεός ημών, δεδοξασμένος υπάρχει, αυτώ μόνω άσωμεν, ότι δεδόξασται.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Πολυώδυνα πάθη έπαυσας Λόγε, τοίς πάθεσι τής τιμίας σαρκός σου, καί βροτούς έσωσας, ούς ετραυμάτισε, πάλαι ο αντίπαλος, τούς ευσεβώς προσκυνούντας, τήν απερινόητον οικονομίαν σου.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ο δεσμεύσας απάτη εν Παραδείσω, τόν άνθρωπον εντολής παραβάσει, σοίς δεσμοίς δέδεται αλύτοις Κύριε, οίς περ σωματούμενος, εθελουσίως εδέθης, λύων το παράπτωμα ημών φιλάνθρωπε.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ναυαγούσαν Ορώντες οι Αθλοφόροι, τήν κτίσιν ταίς τών δαιμόνων απάταις, τών πιστών ώφθησαν λιμένες εύδιοι, πάσαν τού αλάστορος, χύσει οικείων αιμάτων, δύναμιν βυθίζοντες οι μεγαλώνυμοι.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ο χορός τών μαρτύρων χοροστασίαις, ταίς άνω περιφανώς συνημμένος, αστραπαίς πάντοτε, περιαυγάζεται ακτίστου θεότητος, καί τούς εν γή καταυγάζει, τούτου τά τεράστια πίστει δοξάζοντας.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Υπερτέρα τών άνω ώφθης Ταγμάτων, τεκούσα επί τής γής Θεόν Λόγον, τόν ημάς άχραντε πρός τά ουράνια, τοίς αυτού παθήμασι, καί τώ Σταυρώ τώ τιμίω, επαναβιβάσαντα δι' αγαθότητα.

Κανών τής Υπεραγίας Θεοτόκου, ού η Ακροστιχίς:
Τρίτον μέλισμα τή Θεοτόκω φέρω.

Ο Ειρμός

Τό κατάσκιον όρος, σέ προείδεν εν Πνεύματι Αββακούμ ο Προφήτης, δυσωπώ Άχραντε, επισκιάσαι με πάθει κεντούμενον, καί εν σκιά τού Θανάτου, τών παρενοχλούντων με, παθών λυτρώσασθαι.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ραντισμώ θείου ρείθρου, τού κενωθέντος εκ θείας αγνή, πλευράς τού Υιού σου, τούς εμούς έκπλυνον, καρδίας μώλωπας, όπως μεγαλύνω σε, καί καταχρέως δοξάζω, τήν Αειμακάριστον καί Παναμώμητον.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ισουργόν τώ τεκόντι, έτεκες Λόγον, Θεώσαντα, τών βροτών τήν ουσίαν, αλλ' αυτόν αίτησαι, ηπορημένον με, καί εξασθενήσαντα, ταίς τού εχθρού μεθοδείαις, θείας παρακλήσεως καταξιώσαι αγνή.

Ωδή γ'

Ο Ειρμός

Ο εκ μή όντων τά πάντα παραγαγών, τώ Λόγω κτιζόμενα, τελειούμενα Πνεύματι, παντοκράτορ Δέσποτα, έν τή αγάπη τή σή στερέωσόν με.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Σέ τόν τή φύσει θεότητος απαθή, παθητόν γενόμενον, σαρκί δι' αγαθότητα, ξύλω εθανάτωσεν, Εβραίων δήμος, ημάς αθανατούντα.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Επί υδάτων κρεμάσας Λόγε τήν γήν, εν ξύλω θελήματι, εκρεμάσθης, ανάγων με εις τά επουράνια, πρός τής κακίας τά βάραθρα πεσόντα.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Πεποικιλμένοι τοίς στίγμασι τού Χριστού, πανεύφημοι Μάρτυρες, τώ Κυρίω παρίστασθε, παρ αυτού δεχόμενοι, πλουσιωτάτη χειρί τάς αντιδόσεις.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Αγαλλομένη ψυχή πρός τούς αικισμούς, εχώρουν οι Άγιοι, τήν εσχάτην τώ δράκοντι, λύπην εμποιούμενοι, καί τούς Αγγέλων χορούς χαράς πληρούντες.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Αναρτηθέντα ορώσα εν τώ Σταυρώ, Χριστόν απειρόγαμε, οδυρομένη έλεγες. Έδυς δόξης Ήλιε, έξ οφθαλμών μου, φωτίζων τούς έν σκότει.

Κανών τής Θεοτόκου

Ειρμός ο αυτός

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τόν εν ελέει αφάτω καί οικτιρμοίς, υπάρχοντα πλούσιον, ελεήμων υπάρχουσα, Παναγία αίτησαι, τού οικτειρήσαι ημάς κεκακωμένους.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Οίκος τού πάντων υπάρχουσα ποιητού, οικήσαι δυσώπησον, έν εμοί τόν Παράκλητον, γεγονότι σπήλαιον, τών ψυχοφθόρων ληστών αγνή Παρθένε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νεύματι πάντα τόν φέροντα θεϊκώ, αγκάλαις ως φέρουσα, Θεοτόκε επίνευσον, επ' εμέ, καί ρύσαί με, τής πρός τά πάθη συννεύσεως ατόπου.

Ωδή δ'

Ο Ειρμός

Έθου πρός ημάς, κραταιάν αγάπησιν Κύριε, τόν μονογενή γάρ σου Υιόν, υπέρ ημών εις θάνατον δέδωκας. Διό σοι κραυγάζομεν ευχαριστούντες. Δόξα τή δυνάμει σου Κύριε.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ύβριν αληθώς, ο τιμής απάσης επέκεινα, Δέσποτα υπέμεινας Χριστέ, τήν κεφαλήν καλάμω τυπτόμενος, όπως παραβάσει με ατιμασθέντα, τιμήσης φιλάνθρωπε.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Στέφος ακανθών, ανεδήσω θέλων μακρόθυμε, οία βασιλεύς αληθινός, καί τήν ακανθηφόρον

προθέλυμνον, αμαρτίαν έπαυσας, υμνολογώ σου Σώτερ τά παθήματα.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Άθραυστοι ποιναίς, αικισμών εμείνατε Μάρτυρες, θραύοντες τήν πλάνην τού εχθρού, καί τοίς ποσίν υμών υποτάττοντες, άμετρα καυχώμενον, καί απονοία όλον μαραινόμενον.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Σώμασι φθαρτοίς, αφθαρσίαν θείαν εκτήσασθε, πάθεσι τό πάθος τό σεπτόν, τού απαθούς στερρώς μιμησάμενοι, πανεύφημοι Μάρτυρες, τών Ασωμάτων πάντων συνάριθμοι.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τόμον σε ποτέ, ο Προφήτης Κόρη τεθέαται, εν ώ τώ δακτύλω τού Πατρός, εναπεγράφη Λόγος σαρκούμενος, καί τό τού προπάτορος, λόγχη ρηγνύει, άχραντε χειρόγραφον.

Κανών τής Θεοτόκου

Ειρμός ο αυτός

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Μώλωπας Χριστέ, καί σφαγήν εκών ως υπέμεινας, τήν μωλωπισθείσάν μου ψυχήν, ταίς ληστρικαίς δαιμόνων κακώσεσι, πρεσβείαις θεράπευσον, τής σέ Τεκούσης, μόνε πολυέλεε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Έργον σών χειρών, πλαστουργέ υπάρχω καί ποίημα, κακία δέ όφεως Χριστέ, υφηδονών τού βίου συντέτριμμαι, διό με ανάπλασον, τής σέ Τεκούσης, θείαις παρακλήσεσιν.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Λόγον τού Πατρός, υπέρ λόγον τέτοκας, λύσαντα πάσης αλογίας τούς βροτούς, όν εκτενώς δυσώπει, αλόγοις με πάθεσι δουλούμενον, ελευθερώσαι, μόνη αειπάρθενε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ίαμα ημίν, εκ παλάμης βρύεις εκάστοτε, όλη αγιάσματος σκηνή, όλη φωτός υπάρχουσα έμπλεως, όλη αποστάζουσα, μύρον ευωδίας, Πάναγνε Θεόνυμφε.

Ωδή ε'

Ο Ειρμος

Επί τής γής ο αόρατος ώφθης, καί τοίς βροτοίς εκών συνανεστράφης, ο ακατάληπτος, διό πρός σέ ορθρίζοντες, ανυμνούμέν σε φιλάνθρωπε.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ώσπερ αμνός ανηρτήθης εν ξύλω, καί τώ Πατρί θυσία προσηνέχθης, υπέρ ημών αγαθέ, καί θυσίας έπαυσας, τών ειδώλων παντοδύναμε.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Νυγείς πλευράν ζωοδότα τή λόγχη, δύο κρουνούς σωτηρίας προχέεις, τοίς τής Τριάδος, σέ ένα καταγγέλουσιν, ενεργείας δύο φέροντα.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Βάσιν στερράν καί ασάλευτον πέτραν, σέ Ιησού οι στερροί Αθλοφόροι, πίστει ευράμενοι, ώσπερ λίθοι τίμιοι, εαυτούς επω κοδόμησαν.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ρώμη Θεού δυναμούμενοι πίστει, πάσαν δεινήν, δυναστείαν τού πλάνου κατεπαλαίσατε, αθλοφόροι Μάρτυρες, καί λαμπρώς εστεφανώθητε.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ρεύσασαν πρίν παραβάσει, τήν φύσιν τήν καθ' ημάς, ως αρρεύστως τεκούσα Χριστόν, ανέπλασας, Παναγία Δέσποινα, προστασία τών ψυχών ημών.

Κανών τής Θεοτόκου

Ο Ειρμός

Ως είδεν Ησαϊας συμβολικώς, εν θρόνω επηρμένω Θεόν, υπ' Αγγέλων δόξης δορυφορούμενον, ώ τάλας, εβόα εγώ! πρό γάρ είδον σωματούμενον Θεόν, φωτός ανεσπέρου, καί ειρήνης δεσπόζοντα.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σαρκός μου τάς οδύνας καί τής ψυχής, τόν πόνον μεταποίησον, καί τής ραθυμίας τά νέφη δίωξον Παρθένε, φωτός νεφέλη, καί υγείαν, καί δεινών απαλλαγήν, δίδου μοι αιτούντι, καί πόθω σε δοξάζοντι.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Μεσίτίν σε καί πρέσβιν, πρός τόν εκ σού τεχθέντα, νύν προβάλλομαι, πάσης αμαρτίας υπάρχων έμπλεως. Παρθένε εγγυητής μοι, καί βίου επανόρθωσις γενού, καί χειραγωγία, πρός τρίβους θείας γνώσεως.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Αγίασον τόν νούν μου, καί τήν ψυχήν, Παρθένε φωταγώγησον, καί τής θείας δόξης μέτοχον ποίησον, ιδού γάρ κακών επλήσθην, καί παντοίαις εδουλώθην ηδοναίς, καί μεμολυσμένην, προσφέρω τήν συνείδησιν.

Ωδή ς'

Ο Ειρμός

Άβυσσος εσχάτη αμαρτιών, εκύκλωσέ με, καί εκλείπει τό πνεύμά μου, αλλ' εκτείνας Δέσποτα, σόν υψηλόν βραχίονα, ως τόν Πέτρον με, κυβερνήτα διάσωσον.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Όφις με εξήγαγε τής Εδέμ, δολία βρώσει δελεάσας ο δόλιος, ο Χριστός εν ξύλω δέ, αναρτηθείς θελήματι, τήν αρχαίαν μοι, πάλιν δίδωσιν είσοδον.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Τέτρωται τρωθείσης σου τής πλευράς, ημάς ο τρώσας, καί ανίατος έμεινεν, ευεργέτα Κύριε, οι δέ πιστοί ιάθημεν, σού τοίς μώλωψιν, οίς εκών τετραυμάτισαι.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ώφθητε πυρός εν μέσω, σοφοί Χριστού Οπλίται, ώσπερ άρνες Οπτώμενοι, καί Θεού παντάνακτος, τραπέζη προσαγόμενοι, καί τήν άφραστον, ευφροσύνην κληρούμενοι.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Νέμετε ιάσεων ποταμούς, εξ ακενώτων θησαυρών αρυόμενοι, καί παθών επήρειαν, Αθλοφόροι ξηραίνετε, καί αρδεύετε, τών πιστών τά συστήματα.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νέκρωσιν ορώσα τού εκ τών σών, αιμάτων Λόγου σαρκωθέντος Πανάμωμε, μητρικώς ηλάλαζες, καί ζωής όντα αίτιον, εμεγάλυνες, Μητροπάρθενε Δέσποινα.

Κανών τής Θεοτόκου

Ο Ειρμός

Τούς εις τά τέλη τών αιώνων, καταντήσαντας φιλάνθρωπε, καί τρικυμίαις πειρασμών, απολέσθαι κινδυνεύοντας, βοώντας, μή παρίδης. Σώσον Σωτήρ ως έσωσας, τού θηρός τόν προφήτην.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τόν Φαρισαίον επηρμένη, διανοία υπερβέβηκα, σοβαρευόμενος αεί, καί βαράθροις συνωθούμενος, αμέτρων συμπτωμάτων, μόνη αγνή, ταπεινωθέντα δεινώς οίκτειρόν με.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Η υπερθαύμαστον τήν σύλληψιν, εσχηκυία καί τήν γέννησιν, τά σά ελέη επ' εμοί, τώ αθλίω νύν θαυμάστωσον, καί γάρ εν ανομίαις, καί συλληφθείς καί γεννηθείς, ηδοναίς εδουλώθην.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Θρηνώ καί κλαίω καί οδύρομαι, οπηνίκα τό κριτήριον, τό φοβερόν ενθυμηθώ, πονηρά γάρ έργα κέκτημαι, απείρανδρε Παρθένε Μήτηρ Θεού, εν ώρα τή φοβερά πρόστηθί μοι.

Ωδή ζ'

Ο Ειρμός

Τό πρίν εικόνι τή χρυσή, Περσικώ σεβάσματι, Παίδες ου προσεκύνησαν τρείς, υμνούντες εν μέσω τής καμίνου. Ο τών Πατέρων Θεός ευλογητός εί.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Πόνοις σου έπαυσας ημών, τούς πόνους φιλάνθρωπε, καί νύν ζωήν πρός άπονον μετηγάγου, τούς τά σεπτά σου Πάθη, προσκυνούντας ευσεβώς, Θεέ τών όλων.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ότε σε έβλεψε Χριστέ, η κτίσις σταυρούμενον, ηλλοιούτο καί έτρεμε, γή εσείσθη, ερράγησαν δέ πέτραι, καί περιέστειλε, τό φώς ηλίου δρόμος.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Νόμοις πειθόμενοι Χριστού, ανόμων εξέκλιναν, τάς θωπείας οι Μάρτυρες, καί νομίμως εν μέσω, τού σταδίου εναθλούντες, ευκλεώς εστεφανούντο.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ου καταφλέχθητε φλογί, πυρός τήν προαίρεσιν, θερμοτέραν κτησάμενοι, Αθλοφόροι Χριστού στεφανηφόροι, εκβοώντες, ο Θεός ευλογητός εί.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ίστασο βλέπουσα Χριστόν, Σταυρώ ανυψούμενον, όν εκύησας άχραντε, καί εβόας. Μή άτεκνόν με δείξης, ήν ετήρησας, αγνήν καί μετά τόκον

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Επί τού βήματος Χριστού, όταν μέλλω κρίνεσθαι, ως υπεύθυνος άχραντε, φάνηθί μοι, εκ πάσης με βασάνου, ρυομένη τή θερμή σου προστασία.

Κανών τής Θεοτόκου

Ο Ειρμός

Τρείς Παίδες εν καμίνω, τήν Τριάδα τυπώσαντες, τού πυρός τήν απειλήν κατεπάτησαν, καί υμνούντες εβόων. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Εξ έργων σωτηρία, ουχ υπάρχει μοι Δέσποινα, αμαρτίας γάρ αμαρτίαις προστίθημι, καί κακίαν κακία, τή ούν πρεσβεία σου αγνή, οίκτειρον σώσόν με.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Η κρίσις επί θύραις, τό κριτήριον έτοιμον, ετοιμάζου ώ ψυχή μου, καί βόησον. Εν τώ κρίνειν σε Λόγε, μή κατακρίνης με, ευχαίς τής κυησάσης σε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τρυγήσας αμαρτίας, τούς καρπούς τεθανάτωμαι, καί προσφέρων τήν ψυχήν άκαρπον, κράζω σοι. Καρποφόρον με δείξον, η τώ καρπώ σου, τήν φθοράν εξαφανίσασα.

Ωδή η'

Ο Ειρμός

Βαβυλωνία κάμινος, τούς παίδας ουκ έφλεξεν, ουδέ τής θεότητος τό πύρ, τήν Παρθένον διέφθειρε, διό μετά τών Παίδων πιστοί βοήσωμεν. Ευλογείτε τά έργα, Κυρίου τόν Κύριον.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Σού σταυρωθέντος ήνοικται, πάλιν ο Παράδεισος, καί η στρεφομένη καθ' ημών, ρομφαία νώτα δίδωσι, τήν λόγχην αιδεσθείσα, τήν εκκεντήσασαν, τήν αγίαν πλευράν σου, Χριστέ πολυέλεε.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Λόγχη σου ο πολέμιος, τέτρωται καί πέπτωκεν, ο παραπεσών δέ πρός ζωήν, Αδάμ ανακομίζεται, βοών σοι τώ τυθέντι, εθελουσίως Χριστέ. Ευλογών σε δοξάζω, Θεέ πολυέλεε.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ο κόσμος τοίς παλαίσμασιν, υμών καταλάμπεται, καί ταίς αριστείαις Αθληταί, καί τοίς απείροις θαύμασι, καί σκότους νοσημάτων λυτρούται πίστει, βοών. Ευλογείτε τά έργα, Κυρίου τόν Κύριον.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Γέλως οράται κείμενος, ποσίν υμών Άγιοι, ο πρίν εγκαυχώμενος τήν γήν, εξαλείφειν καί θάλασσαν, Χριστός δέ ζωηφόρω, κατακοσμεί δεξιά, αμαράντοις στεφάνοις, υμάς παναοίδιμοι.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Εν χρόνω απεκύησας, τόν χρόνων επέκεινα, λύοντα τά χρόνια δεσμά, τοίς δεσμοίς αυτού Άχραντε, Αδάμ τού πρωτοπλάστου, καί συνδεσμούντα αυτόν, τοίς δεσμοίς τής γλυκείας αυτού αγαπήσεως.

Κανών τής Θεοτόκου

Ο Ειρμός

Αστέκτω πυρί ενωθέντες, οι θεοσεβεία προεστώτες Νεανίαι, τή φλογί δέ μή λωβηθέντες, θείον ύμνον έμελπον. Ευλογείτε πάντα τά έργα τόν Κύριον, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Όλη ως καλή καί πλησίον, τού παμβασιλέως, γεγονυία Θεοτόκε, πλήρωσόν με αγαθών έργων, κακία συζήσαντα, καί ραθύμως πάντα τόν βίον τελέσαντα, όπως σε δοξάζω, εις πάντας τούς αιώνας.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Κητώας γαστρός ως ερρύσω, πάλαι τόν Προφήτην, Θεού Λόγε παραδόξως, ούτω ρύσαι μου τήν ψυχήν, βυθώ ολισθήσασαν απωλείας, έχων Σώτερ δυσωπούσάν σε, τήν απειρογάμως, τεκούσάν σε Παρθένον.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ωραίαν στολήν ενδυθέντα, θεογενεσία, ευρηκότες Θεοτόκε, οι κακίαν δημιουργούντες, ταύτης απεγύμνωσαν, αλλ' αυτή με θείαις στολαίς καταφαίδρυνον, διά μετανοίας, πρεσβείαις σου Παρθένε.

Ωδή θ'

Ο Ειρμός

Τήν εν βάτω καί πυρί, προγραφείσαν εν Σινά, τώ νομοθέτη Μωσή, καί τό θείον εν γαστρί, αφλέκτως συλλαβούσαν πύρ, τήν ολόφωτον καί άσβεστον λαμπάδα, τήν όντως Θεοτόκον, εν ύμνοις τιμώντες σέ μεγαλύνομεν.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ίνα εύρης τήν δραχμήν, ήν απώλεσας Χριστέ, ανήψας εν τώ Σταυρώ σου τήν σάρκα Αγαθέ, καί κοινωνούς ποιείς τής χαράς, τάς Δυνάμεις σου, τάς άνω ζωοδότα, μεθ' ών σε ευεργέτα, υμνούντες εν άσμασι μεγαλύνομεν.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ως ανύψωσας Χριστέ, σού τάς χείρας εν Σταυρώ, τάς παρειμένας μου πρίν, χείρας πάθεσι πολλοίς, εκίνησας δυνάμει τή σή, καί τά γόνατα πρός θείον δρόμον όντως, τά παραλελυμένα ενίσχυσας, όθεν σέ μεγαλύνομεν.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Συγκαιόμενοι φλογμώ, τών απείρων αικισμών, δρόσον σε εύρον Χριστέ, αναψύξεως οι σοί, στερροί καί θαυμαστοί Αθληταί, όθεν χαίροντες δι' Ήνυον τόν δρόμον, εφέσει τών βραβείων, εν ύμνοις απαύστως σέ μεγαλύνοντες.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Η πληθύς τών αθλητών, τών αγίων ο χορός, εκδυσωπεί σε Χριστέ, υπέρ δήμου καί λαού, πολλά παραπικραινοντος, εν τώ πλήθει σου, οικτίρμον τού ελέους, εξαλείψαι τά πλήθη, τών ανομιών

ημών, ως φιλάνθρωπος.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φέρον βρότειον μορφήν, τό απαύγασμα Πατρός, Παρθένε τέτοκας, όν υψούμενον Σταυρώ, ο ήλιος μή φέρων οράν εμελαίνετο, καί ζόφος εμειούτο τής ειδωλομανίας, διό σύν εκείνω σέ μεγαλύνομεν.

Κανών τής Θεοτόκου

Ο Ειρμός

Εν νόμω σκιά καί γράμματι, τύπον κατίδωμεν οι πιστοί πάν άρσεν τό τήν μήτραν διανοίγον Άγιον Θεώ διό πρωτότοκον Λόγον, πατρός ανάρχον Υιόν, πρωτοτοκούμενον Μητρί, απειράνδρως μεγαλύνομεν.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φθαρέντα τόν νούν, φθαρέντα τήν ψυχήν καί τήν συνείδησιν, κακία μολυνθέντα, καί γυμνόν παντοίων αγαθών αποδειχθέντα, Παρθένε άφθορε άμωμε, μή με παρίδης, αλλ' έργοις, ευσεβείας κατακόσμησον.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Επλήσθην κακών, επλήσθην λογισμών αλλοτριούντων με, εκ σού τού φιλανθρώπου, διά τούτο καί στένω καί βοώ. Μετανοούντά με δέξαι, καί μή απώση με τής σέ τεκούσης πρεσβείαις, ευεργέτα πολυέλεε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ρυσθείην ταίς σαίς, Πανάμωμε Κόρη πρεσβείαις πάσης οργής, παθών θανατηφόρων, χαλεπής γεέννης καί πυρός, από ανθρώπων αδίκων, από εχθρών πονηρών, ο προσφυγών σου τή σκέπη, καί καλών σε εις βοήθειαν.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ως μήτηρ Θεού δυσώπει, τόν εκ σού τεχθέντα Κύριον, Θεόν καί Βασιλέα, τού ρυσθήναι πάσης απειλής, καί πονηράς συνηθείας, τόν σόν ικέτην Αγνή, τόν επί σοί πεποιθότα, εκ γαστρός μητρός μου, Δέσποινα.

Αποστίχα τών Αίνων Σταυρώσιμα

Φθόνω τρυφής εκβέβλημαι, πτώμα πεσών χαλεπόν, αλλ' ου παρείδες Δέσποτα, αναλαβών δι' εμέ τό κατ' εμέ, σταυρούσαι, καί σώζεις με, εις δόξαν εισάγεις με. Λυτρωτά μου, δόξα σοι.

Στίχ. α'. Ενεπλήσθημεν τό πρωϊ τού ελέους σου, Κύριε, καί ηγαλλιασάμεθα καί ηυφράνθημεν έν πάσαις ταίς ημέραις ημών. Ευφρανθείημεν, ανθών ημερών εταπείνωσας ημάς, ετών, ών είδομεν κακά, καί ίδε επί τούς δούλους σου καί επί τά έργα σου, καί οδήγησον τούς υιούς αυτών.

Σταυροφανώς Μωϋσής, εν τώ όρει, χείρας εκτείνας πρός ύψος, τόν Αμαλήκ ετροπούτο, σύ δέ Σωτήρ τάς παλάμας απλώσας, εν τώ Σταυρώ τώ τιμίω, ενηγκαλίσω με σώσας, τής δουλείας τού εχθρού, καί έδωκάς μοι σημείωσιν ζωής, από τόξου φυγείν τών εναντίων μου. Διά τούτο, Λόγε, προσκυνώ τόν Σταυρόν σου τόν τίμιον.

Μαρτυρικόν

Στίχ. β'. Καί έστω η λαμπρότης Κυρίου τού Θεού ημών εφ' ημάς, καί τά έργα τών χειρών ημών κατεύθυνον εφ' ημάς, καί τό έργον τών χειρών ημών κατεύθυνον.

Ως φωστήρες εν κόσμω λάμπετε, καί μετά θάνατον άγιοι Μάρτυρες, τόν αγώνα τόν καλόν αγωνισάμενοι, διό έχοντες παρρησίαν, Χριστόν ικετεύσατε, ελεηθήναι τάς ψυχάς ημών.

Δόξα... Καί νύν... Σταυροθεοτοκίον

Ορώσά σε κρεμάμενον, εν ξύλω η Πανάμωμος, Χριστέ μου υπεράγαθε, οδυρομένη εβόα μητρικώς. Υιέ μου παμφίλτατε, πώς δήμος ο άνομος, ξύλω σε κατέκρινε;

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Οι Μακαρισμοί

Μακάριοι οι ειρηνοποιοί, ότι αυτοί υιοί Θεού κληθήσονται.

Αθετήσαντα Χριστέ, τήν εντολήν σου, τόν προπάτορα Αδάμ, τού Παραδείσου εξώρισας, τόν δέ ληστήν οικτίρμον, ομολογήσαντα σε εν Σταυρώ, εν αυτώ εισώκισας κράζοντα. Μνήσθητί μου Σωτήρ, εν τή Βασιλεία σου.

Μακάριοι οι δεδιωγμένοι ένεκεν δικαιοσύνης, ότι αυτών εστιν η βασιλεία τών ουρανών.

Εσταυρώθης δι' εμέ, καί ελογχεύθης Ιησού μου τήν πλευράν, δύο κρουνούς αναβλύσας μοι, σωτηριώδεις, όθεν, διασωθείς τώ πάθει σου Χριστέ, ανυμνώ τήν ευσπλαγχνίαν τήν σήν, Μνήσθητί μου βοών, εν τή Βασιλεία σου.

Μακάριοί εστε όταν ονειδίσωσιν υμάς, καί διώξωσι, καί είπωσι πάν πονηρόν ρήμα καθυμών ψευδόμενοι ένεκεν εμού.

Μετ' ανόμων λογισθείς, τάς ανομίας πάντων ήρας Ιησού, καί ταίς ακάνθαις στεφόμενος, ως Βασιλεύς τών όλων, τής αμαρτίας πρόρριζον Χριστέ, τέμνεις άκανθαν τού Προπάτορος, όθεν πίστει τό σόν, Πάθος νύν δοξάζομεν.

Μαρτυρικόν

Χαίρετε καί αγαλλιάσθε, ότι ο μισθός υμών πολύς εν τοίς ουρανοίς.

Οι τά παθήματα Χριστού, εκμιμησάμενοι, γενναίοι Αθληταί, πανευκλεέστατοι Μάρτυρες, καί τού εχθρού τήν πλάνην, καταβαλόντες σθένει θεϊκώ, ουρανίου δόξης ετύχετε, υπέρ πάντων ημών, Άγιοι πρεσβεύοντες.

Δόξα...

Τρισυπόστατε Μονάς, καί αδιαίρετε Τριάς, η παντουργός ουσία, μία καί δύναμις, τούς υμνητάς σου σκέπε, από παντοίας βλάβης τού εχθρού, καί τής Βασιλείας σου αξίωσον, ής καί επέτυ χον, οι καλώς βιώσαντες.

Καί νύν... Σταυροθεοτοκίον

Καθορώσα εν Σταυρώ, όν εξ αιμάτων, εσωμάτωσας αγνών, οδυρομένη εκραύγαζες, Θεογεννήτορ Κόρη. Τί ταύτα Τέκνον, δήμος πονηρός, ανταπέδωκέ σοι, θανατώσας σε, τήν ζωήν τών πιστών, πάντων καί ανάστασιν.

top

3-5

Προσόμοια Αποστολικά

Ήχος γ

Μεγάλη τών Μαρτύρων σου

Στίχ. α'. Εάν ανομίας παρατηρήσης, Κύριε, Κύριε τίς υποστήσεται; ότι παρά σοί ο ιλασμός εστιν.

Πρεσβείαις τών σεπτών καί θείων Αποστόλων σου, φιλάνθρωπε Οικτίρμον, καί μόνε ελεήμον, τήν ειρήνην σου παράσχου τώ λαώ σου, καί τών δεινών λύτρωσαι, τούς ανυμνούντάς σε, καί πιστώς προσκυνούντας.

Στίχ. β'. Ένεκεν τού ονόματός σου υπέμεινά σε, Κύριε, υπέμεινεν η ψυχή μου εις τόν λόγον σου, ήλπισεν η ψυχή μου επί τόν Κύριον.

Βελών με ως Θεού αυτόπται τού αλάστορος, λυτρώσασθε σβεννύντες, αυτού τάς πανουργίας, καί δροσίσατέ με πνεύματος τή δρόσω, αμαρτιών τώ καύσωνι, εκτηκόμενον, ευεργέται μοι θείοι.

Στίχ. γ'. Από φυλακής πρωϊας μέχρι νυκτός, από φυλακής πρωϊας ελπισάτω Ισραήλ επί τόν Κύριον.

Εις πάσαν οικουμένην όντως εξελήλυθεν, ο θείος υμών φθόγγος, Απόστολοι Κυρίου, καί εφώτισεν εν σκότει τούς κειμένους, καί τώ Θεώ προσήγαγεν, ως θυμίαμα, τούς αυτόν εγνωκότας.

Έτερα τού αγίου Νικολάου όμοια

Στίχ. δ'. Ότι παρά τώ Κυρίω τό έλεος, καί πολλή παρ' αυτώ, λύτρωσις. καί αυτός λυτρώσεται τόν Ισραήλ έκ πασών τών ανομιών αυτού.

Μεγίστη σωτηρία πάσιν ανεδείχθης ημίν, Νικόλαε τρισμάκαρ, λυτρούσαι γάρ παντοιων, τούς οικέτας σου κινδύνων, καί ανάγκης καί πειρασμών, καί νόσων, καί περιστάσεων, καί εχθρών αοράτων.

Στίχ. ε'. Αινείτε τόν Κύριον πάντα τά έθνη, επαινέσατε αυτόν, πάντες οι λαοί.

Επλήγην ιοβόλω δήγματι ο άσωτος, καί κείμαι ερριμμένος καί εξηπορημένος, τή αγρύπνω σου δεήσει Ιεράρχα, εν τάχει ανάστησον, ίνα δοξάζω σου, τήν ταχύκοον χάριν.

Στίχ. ς'. Ότι εκραταιώθη τό έλεος αυτού εφ' ημάς, καί η αλήθεια τού Κυρίου μένει εις τόν αιώνα.

Εν νώρα τή φρικτή, εν ή μέλλω παρίστασθαι, τό βήμα τό φρικώδες, καί πέμπεσθαι κολάσει, βοηθόν σε εύροιμι Ιερομύστα, ρυόμενόν με σκότους, καθικετεύω σε, παρρησίαν ως έχεις.

Δόξα... Καί νύν... Θεοτοκίον όμοιον

Απάντων κυριεύουσα τών κτισμάτων Δέσποινα, δεινώς κυριευθείσαν, τοίς πάθεσι Θεόνυμφε, τήν ψυχήν μου ελευθέρωσον εν τάχει, φαρμάκω σής πρεσβείας, καί καταδούλωσον τώ Υιώ καί Θεώ σου.

Απόστιχα Αποστολικά

Εις πάσαν τήν γήν εξήλθεν ο φθόγγος υμών, άγιοι Απόστολοι, ειδώλων πλάνην ελύσατε, θεογνωσίαν κηρύξαντες, ούτος ο καλός αγών υμών υπάρχει Μακάριοι, διό υμνούμεν καί δοξολογούμεν, υμών τά μνημόσυνα.

Στίχ. Α'. Πρός σέ ήρα τούς οφθαλμούς μου, τόν κατοικούντα εν τώ ουρανώ. Ιδού, ως οφθαλμοί δούλων εις χείρας τών κυρίων αυτών, ως οφθαλμοί παιδίσκης εις χείρας τής κυρίας αυτής, ούτως οι οφθαλμοί ημών πρός Κύριον τόν Θεόν ημών, έως ού οικτιρήσαι ημάς.

Τάς τού Χριστού παραγγελίας, αμέμπτως φυλάξαντες; άγιοι Απόστολοι, δωρεάν ελάβετε, δωρεάν παρέχετε, ιατρεύοντες τά πάθη, τών ψυχών καί τών σωμάτων ημών, διό έχοντες παρρησίαν, αυτόν ικετεύσατε, ελεηθήναι τάς ψυχάς ημών.

Μαρτυρικόν

Στίχ. Β'. Ελέησον ημάς, Κύριε, ελέησον ημάς, ότι επί πολύ επλήσθημεν εξουδενώσεως, επί πλείον επλ ήσθη η ψυχή ημών, τό όνειδος τοίς ευθηνούσι, καί η εξουδένωσις τοίς υπερηφάνοις.

Οι Μάρτυρες σου Κύριε, πίστει στηριχθέντες, ελπίδι βεβαιωθέντες, τή αγάπη τού Σταυρού σου, ψυχικώς ενωθέντες, τού εχθρού τήν τυραννίδα ώλεσαν, καί τυχόντες τών στεφάνων, μετά τών Ασωμάτων πρεσβεύουσιν, υπέρ τών ψυχών ημών.

Δόξα... Καί νύν... Θεοτοκίον

Μεγάλη τού Σταυρού σου

Αγγέλων χαρμονή, τών θείων Κόρη πέφυκας, τών Αποστόλων δόξα, καί προφητών εκσφράγισμα, τών ανθρώπων τε πιστών η προστασία, καί οδηγός σωτήριος, διά τούτο σε, προσκυνούμεν Παρθένε.

Μετά τήν α' Στιχολογίαν

Καθίσματα Αποστολικά

Ήχος γ' Τήν ωραιότητα

Τών Αποστόλων σου, τήν μνήμην Κύριε, υπερεφαίδρυνας, ως παντοδύναμος, ότι ενίσχυσας

αυτούς, τά πάθη σου μιμήσασθαι, ενίκησαν ανδρείως γάρ, τού Βελίαρ τήν δύναμιν, όθεν καί απέλαβον, ιαμάτων χαρίσματα. Αυτών ταίς ικεσίαις φιλάνθρωπε, ειρήνην παράσχου τώ λαώ σου.

Θείας πίστεως

Πάσαν ήρδευσαν, τήν γήν τοίς ρείθροις, οι Απόστολοι, τού Θεού Λόγου, καί ανεβλάστησεν ο στάχυς τής πίστεως, καί επληρώθη τού κόσμου τά πέρατα, τά γάρ ζιζάνια πάντα εξέκοψαν, όθεν άπαντας Χριστώ τώ Θεώ προσήγαγον, βαπτίζοντες αυτούς, εις Τριάδα τήν άκτιστον.

Δόξα... Καί νύν... Θεοτοκίον

Τήν ωραιότητα

Τής συμπαθείας σου, πλούτον τόν άμετρον, καί δυναστείας σου, κράτος τό άμαχον, αναλαβόμενος εις νούν, προσέδραμον τή σκέπη σου, θλίψει συνεχόμενος, καί δεινώς απορούμενος, κράζων εκ βαθέων μου, τής καρδίας τοίς δάκρυσι, Παρθένε Θεοτόκε βοώ σοι, Σώσόν με, σώσον τόν ανάξιον.

Μετά τήν β' Στιχολογίαν έτερα

Θείας πίστεως

Δεύτε άπαντες, τούς Αποστόλους, ευφημήσωμεν, άσμασι θείοις, τών ειδώλων γάρ τήν πλάνην βυθίσαντες, πρός θείον φώς τούς βροτούς επανήγαγον, καί τή Τριάδι πιστεύειν εδίδαξαν, όθεν σήμερον, αυτούς ευσεβώς γεραίροντες, δοξάσωμεν Χριστόν τόν Θεόν ημών.

Έργοις λάμψαντες, ορθοδοξίας, πλάνην έσβεσαν κακοδοξίας, οι ευκλεείς καί θεόπται Απόστολοι, καί ευσεβεία τόν κόσμον πλουτίσαντες, τάς Εκκλησίας φαιδρώς κατεκόσμησαν, εξαιτούμενοι, Χριστώ τώ Θεώ, δωρήσασθαι, ειρήνην τοίς πιστοίς, καί μέγα έλεος.

Δόξα... Καί νύν... Θεοτοκίον όμοιον

Βυθιζόμενος, παθών θαλάσση, εις τό πέλαγος τών οικτιρμών σου, καταφεύγω, Θεοτόκε βοήθει μοι, έκτεινον Πανάχραντε, δεξιάν μοι τώ δούλω σου, σώσον ως τόν Πέτρον πρίν, ο Υιός σου διέσωσεν, ελέησον ψυχήν ποντουμένην, σάλω πολλών παραπτώσεων.

Μετά τήν γ' Στιχολογίαν

Καθίσματα Θείας πίστεως

Σέ τόν κήρυκα, τής αληθείας, καί υπέρλαμπρον, φωστήρα κόσμου, ευφημούντες ανυμνούμεν Νικόλαε, καί εκβοώμεν εν πίστει δεόμενοι. Ως τούς αθώους θανάτου εξήρπασας, ούτως Άγιε, κινδύνων ημάς καί θλίψεων, καί πάσης εξελού δεινής κακώσεως.

Μαρτυρικόν Ιδιόμελον

Εκλάμπετε διά τής πίστεως, υπέρλαμπροι φωστήρες Άγιοι, τών ασθενούντων ιατροί, Αθλοφόροι πανεύφημοι, τών τυράννων γάρ τάς αικίσεις μή δειλανδρήσαντες, τών ειδώλων τάς δυσφημίας κατηδαφίσατε, τρόπαιον έχοντες αήττητον, τόν Σταυρόν τής αληθείας.

Δόξα... Καί νύν... Θεοτοκίον

Θείας πίστεως

Θρόνος πάγχρυσος, τού Βασιλέως, καί Παράδεισος, διηνθισμένος, ανεδείχθης Θεοτόκε Πανάχραντε, τόν γάρ Θεόν εν γαστρί σου βαστάσασα, ευωδιάζεις ημάς θείαις χάρισιν, όθεν άπαντες, Θεού αληθώς Μητέρα σε, κηρύττομεν αεί καί μεγαλύνομεν.

Κανών τών Αγίων Αποστόλων

Ωδή α' Ήχος γ'

Ο Ειρμός

Ο τά ύδατα πάλαι, νεύματι θείω, εις μίαν συναγωγήν συναθροίσας, καί τεμών θάλασσαν, Ισραηλίτη λαώ, ούτος ο Θεός ημών, δεδοξασμένος υπάρχει, αυτώ μόνω άσωμεν, ότι δεδόξασται.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Εκκλησίας τούς πύργους, τώ θεμελίω, τής Πίστεως ευσεβώς ηδρασμένους, καί πιστούς άπαντας επιστηρίζοντας, δεύτε μακαρίσωμεν, τούς ιερούς Αποστόλους, όπως ταίς δεήσεσι, τούτων σωθείημεν.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Απερίτρεπτοι στύλοι, τής ευσεβείας, τή πλάνη με τού εχθρού σκελισθέντα, καί εις γήν κείμενον, κινδυνεύοντα, καί εξαπορούμενον, επανορθώσατε, όπως εύροιμι τήν άφεσιν, ών επλημμέλησα.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Εμαυτόν πρό τής δίκης, δικαιοκρίτα, ο άσωτος δεδοικώς κατακρίνω, πονηρά έργα γάρ, άμετρα κέκτημαι, όθεν ικετεύω σε, απεγνωσμένον με σώσον, θείαις παρακλήσεσι, τών Αποστόλων σου.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σύν αγίοις Προφήταις, σύν Αποστόλοις, σύν Μάρτυσι, τόν εκ σού σαρκωθέντα, εκτενώς Κύριον, αγνή ικέτευε, όπως τής σαρκός ημών, πάντα τά πάθη νεκρώση, καί ζωήν αιώνιον, ημίν δωρήσηται.

Κανών τού Αγίου Νικολάου φέρων ακροστιχίδα.
Τρίτην δέησιν προσφέρω Νικολάω εγώ ο Ιωσήφ.

Ο Ειρμός

Άσωμεν τώ Κυρίω άσμα.
(Άσωμεν τώ Κυρίω, τώ ποιήσαντι θαυμαστά τέρατα, εν ερυθρά θαλάσση, πόντω γάρ εκάλυψε τούς υπεναντίους, καί έσωσε τόν Ισραήλ, αυτώ μόνω άσωμεν, ότι δεδόξασται.)

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Τόν φαεινόν λαμπτήρα, καί ακοίμητον, επί γής υπάρχοντα πυρσόν, καί πρός λιμένας θείους εμβιβάζοντα, τοίς κύμασι τού βίου, αεί τούς θαλαττεύοντας, Νικόλαον τιμήσωμεν, καί πόθω μακαρίσωμεν.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Ρώμη Θεού παμμάκαρ, δυναμούμενος, ζήλον κατ' επίγνωσιν, εκτήσω ευσεβείας, όθεν θνήσκειν μέλλοντας, αδίκως ελυτρώσω, διό σε ικετεύομεν, αδίκου πάσης ρύσαι ημάς, κακώσεως Νικόλαε.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Ικετηρίαν Πάτερ, αδιάλειπτον τώ Κυρίω πρόσφερε, όπως αμαρτημάτων, καί φλογός κολάσεως, διαιωνιζούσης, καί πειρασμών καί θλίψεων, ημάς απολυτρώσηται, ως μόνος υπεράγαθος.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τήν κιβωτόν τήν θείαν, τήν χωρήσασαν τόν τού νόμου πάροχον, ημών τάς ανομίας, πάσας αφαιρούμενον, δι' ευσπλαγχνίας θείας, αδιήγητον πέλαγος, Μαρίαν τήν Πανάχραντον, συμφώνως μακαρίσωμεν.

Ωδή γ'

Ο Ειρμός

Ο εκ μή όντων τά πάντα παραγαγών, τώ Λόγω κτιζόμενα, τελειούμενα Πνεύματι, Παντοκράτορ Ύψιστε, εν τή αγάπη τή σή στερέωσόν με.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Οι τά τού κόσμου πληρώματα, διδαχής ενθέου πληρώσαντες, τήν ψυχήν μου πληρώσατε, εναρέτων πράξεων, καί λογισμών αγαθών, Χριστού αυτόπται.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Από σκανδάλων μυρίων τού πονηρού, από πάσης θλίψεως, από πάσης στενώσεως, από

περιστάσεως, ώ Μαθηταί Χριστού, λυτρώσασθέ με.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Οίμοι ψυχή μου αθλία καί ταπεινή, συχνώς αμαρτάνουσα, καί Θεόν παροργίζουσα! πώς αιτείς συγχώρησιν, τήν αποχήν τών κακών, μή ποιουμένη;

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Η θεία κλίμαξ ήν είδεν ο Ιακώβ, δι' Ής καταβέβηκεν, ο Θεός ανυψών ημάς, εκτενώς ικέτευε, σύν Αποστόλοις, ημάς οικτειρηθήναι.

## Κανών τού Αγίου Νικολάου

### Ο Ειρμός

Στείρα ψυχή καί άγονε, κτήσαι καρπόν ευκλεή, ευτεκνουμένη βόησον, εστερεώθη διά σού ο Θεός, ουκ έστιν Άγιος, ουκ έστι δίκαιος, πλήν σου Κύριε.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Ηκονημένη μάχαιρα, Πνεύματος ώφθης σοφέ, τά πονηρά ζιζάνια, διακόπτουσα αιρετιζόντων, καί τρίβον σωτήριον, πιστοίς ομαλίζουσα, Πάτερ Νικόλαε.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Σέ τήν πηγήν τήν βρύουσαν, τών ιαμάτων κρουνούς, εκδυσωπούμεν Άγιε, τά βορβορώδη πάθη πάντων ημών, ευχαίς σου απέλασον, κινδύνων καί θλίψεων, απολυτρούμενος.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Ισχυροτάτοις πόνοις σου, καταβαλών τόν εχθρόν, νύν καταυτού ενίσχυσον, τούς ασθενούντας λογισμούς ημών, παθών επικλύσεσιν, αγίαις πρεσβείαις σου, Πάτερ Νικόλαε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νούς εννοείν ου δύναται, τόν υπέρ νούν τοκετόν θαυμαστής λοχείας σου, Θεογεννήτορ Μητροπάρθενε, διό ικετεύω σε, τόν νούν μου χαρίτωσον, τού αεί δοξάζειν σε.

## Ωδή δ'

### Ο Ειρμός

Έθου πρός ημάς, κραταιάν αγάπησιν Κύριε, τόν Μονογενή γάρ σου Υιόν, υπέρ ημών εις θάνατον δέδωκας, διό σοι κραυγάζομεν, ευχαριστούντες. Δόξα τή δυνάμει σου Κύριε.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Ώσπερ αστραπάς, ως ακτίνας άδυτε Ήλιε, σού τούς Αποστόλους εφαπλών, εις τά τού κόσμου Λόγε πληρώματα, πάντας κατεφώτισας, καί αγνωσίας ζόφον απεδίωξας.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Θάλασσα δεινής, αμαρτίας Λόγε χειμάζει με, κύματα ατάκτων λογισμών, τήν ταπεινήν ψυχήν μου ταράττουσι. Κυβερνήτα Κύριε, τών Μαθητών σου, σώσόν με δεήσεσιν.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Φρίττω εννοών, τήν φρικτήν σου Δέσποτα έλευσιν, έχω γάρ πρό δίκης τήν εμήν, κατηγορούσαν ένδον συνείδησιν, καί προβασανίζουσαν, πρό τής βασάνου, τήν αναισθησίαν μου.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Λόγε τού Θεού, ο τεχθείς εκ Κόρης θεόπαιδος, ταύτης μεσιτείαις ιεραίς, καί τών σοφών Σωτήρ Αποστόλων σου, πάσης περιστάσεως, πάσης ανάγκης, λύτρωσαι τούς δούλους σου.

Κανών τού Αγίου Νικολάου

Ο Ειρμός

Τό κατάσκιον όρος, ο Αββακούμ προεώρα, τήν άχραντόν σου μήτραν Αγνή, διό καί ανεκραύγαζεν. Από θαιμάν ήξει ο Θεός, καί ο Άγιος εξ όρους, κατασκίου δασέος.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Πρός Θεόν σε μεσίτην, άπας πιστός καθ' εκάστην, Νικόλαε προβάλλεται, διό σε ικετεύομεν, εκ περιστάσεως χαλεπής, καί συμπτώσεως πταισμάτων, ημάς λύτρωσαι Πάτερ.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Ρείθρον ζών εν καρδία, Κυρίου έχων τήν χάριν, δροσίζεις αενάως σοφέ, τούς καύσωνι τών θλίψεων, καί τώ αυχμώ τών αμαρτιών, κινδυνεύοντας αθλίως, απολέσθαι παμμάκαρ.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Ο ρυσάμενος πάλαι, απαγομένους θανάτου, αδίκου παμμακάριστε, καί νύν ημάς περίσωζε, από ανθρώπων φθοροποιών, ενοχλήσεως καί πάσης, τών δαιμόνων απάτης.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σαρκωθέντα τόν Λόγον, υπερβολή ευσπλαγχνίας, αρρήτως απεκύησας. Αυτόν δυσώπει Άχραντε, τών σαρκικών πάντας μολυσμών, εκλυτρώσασθαι, καί πάντων, δυσχερών τών τού βίου.

Ωδή ε'

Ο Ειρμός

Επί τής γής ο αόρατος ώφθης, καί τοίς βροτοίς εκών, συνανεστράφης ο ακατάληπτος, διό πρός σέ ορθρίζοντες, ανυμνούμέν σε φιλάνθρωπε.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Επί τής γής σαρκωθείς, απειργάσω τούς Μαθητάς, ουρανούς φθεγγομένους, Χριστέ τήν δόξαν σου, δι' αυτών ούν Κύριε, τάς ψυχάς ημών ελέησον.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Από παθών, από πάσης ανάγκης, από δεινής περιστάσεως Λόγε, ρύσαι τούς δούλους σου, ταίς τών Αποστόλων σου, ευπροσδέκτοις παρακλήσεσιν.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Οίμοι ψυχή παναθλία! πώς μέλλεις, τώ φοβερώ δικαστή παραστήναι, άκαρπος μένουσα; σπεύσον μετανόησον, αρετών καρπούς βλαστάνουσα.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Επί τής γής, τόν οφθέντα, αφράστως, μετά σαρκός εξ αγνών σου αιμάτων, αγνή ικέτευε, ως Υιόν σου πάντοτε, ιλασμόν ημίν δωρήσασθαι.

Κανών τού Αγίου Νικολάου
Ο Ειρμός
Τό φώς σου τό ανέσπερον Χριστέ, καταύγασον ως Θεός, τή ταπεινή μου ψυχή, καί οδήγησον εις τόν φόβον σου, διότι φώς τά προστάγματά σου.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Φωτί τώ καθαρώ παρεστηκώς, καί ταίς εκείθεν αεί εκδιδομέναις, αυγαίς πυρσευόμενος, πάσιν αίτησαι τόν φωτισμόν, Πάτερ καί ειρήνην.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Εμέ τόν υπέρ πάντας τούς βροτούς, σέ παροργίσαντα, φρενί αγνώμονι, υπεράγαθε κατοικτείρησον, ταίς Νικολάου θερμαίς πρεσβείαις.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Ραθύμως δαπανών μου τήν ζωήν, καθικετεύω σε, Πάτερ Νικόλαε, διέγειρόν μου πρός μετάνοιαν, τόν λογισμόν κατεσπιλωμένον.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ως μόνη τών Αγγέλων χαρμονή, χαράς μου πλήρωσον, θεοχαρίτωτε, τήν διάνοιαν σκυθρωπάζουσαν, καί αμελεία βεβυθισμένην.

Ωδή ς'
Ο Ειρμός
Άβυσσος εσχάτη αμαρτιών, εκύκλωσέ με, καί εκλείπει τό πνεύμά μου, αλλ' εκτείνας Δέσποτα, σόν υψηλόν βραχίονα, ως τόν Πέτρον με, κυβερνήτα διάσωσον.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Άβυσσον σοφίας πνευματικής, αναπηγάσας, Αποστόλων ο σύλλογος, κοσμικής εξήρανε, σοφίας πάντα ρεύματα, καί κατήρδευσεν, ευσεβών τά συστήματα.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Στέναξον καί δάκρυσον ταπεινή, ψυχή βοώσα, καί πρός Κύριον λέγουσα. Ήμαρτόν σοι Δέσποτα, Ιλάσθητί μοι εύσπλαγχνε, ταίς δεήσεσι, τών σοφών Αποστόλων σου.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Ρεύσαντες οι χείμαρροι τών παθών, κατέπτωσάν μου, τής καρδίας τό οίκημα, ποταμοί τού Πνεύματος, πεφυκότες Απόστολοι, συντριβέντα με, πρός ζωήν αναπλάσατε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Δήμός σε τών Αποστόλων, Χριστέ, καθικετεύει, μετά τής κυησάσης σε, ιλασμόν κατάπεμψον, καί ειρήνην τοίς δούλοις σου, ως φιλάνθρωπος, καί Θεός ευδιάλλακτος.

Κανών τού Αγίου Νικολάου
Ο Ειρμός
Βυθός μοι τών παθών επανέστη, καί ζάλη εναντίον ανέμων, αλλά προφθάσας με σύ σώσον Σωτήρ, καί ρύσαι φθοράς, ως έσωσας, τού θηρός τόν Προφήτην.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Νεκρώσας εγκρατεία τά μέλη, εκτήσω τήν ζωήν τήν αγήρω, ής καί ημάς κοινωνούς, σού ταίς ευχαίς εργάζου σοφέ, εκφεύξει τής πονηράς εργασίας.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Ιστίω ιερών πρεσβειών σου, πελάγους πειρασμών πολυτρόπων, καί αμαρτίας βυθού ρύσαι ημάς, πρός τόν όρμον τής ζωής, διαβιβάζων σοφέ Ιεράρχα.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Κοσμήσας τήν τών Μύρων καθέδραν, εδείχθης κόσμος Αρχιερέων, αλλά πρεσβείαις ταίς σαίς, τών κοσμικών ημάς πειρασμών, διάσωζε αβλαβείς Ιεράρχα.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Οικήσας ο Λόγος εν γαστρί σου, τήν πάλαι εν ανθρώποις οικούσαν, τή παραβάσει φθοράν, Μήτηρ αγνή ως μόνος Θεός, εξώκισε διά σπλάγχνα ελέους.

## Ωδή ζ'

### Ο Ειρμός

Τό πρίν εικόνι τή χρυσή, Περσικώ σεβάσματι, Παίδες ου προσεκύνησαν, τρείς ανυμνούντες, εν μέσω τής καμίνου, ο τών Πατέρων Θεός ευλογητός εί.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Τό φώς τού κόσμου ο Χριστός, φώς υμάς ανέδειξε, φωτοφόροι Απόστολοι, εκμειούντας τό σκότος τής απάτης, καί φωτίζοντας πιστών τάς διανοίας.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Τάς καθ' ημών τού δυσμενούς, παγίδας συντρίψατε, φωτοφόροι Απόστολοι, καί τάς τρίβους ημίν τής μετανοίας, ομαλίσατε υμίν προσπεφευγόσι.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Τήν μωρανθείσάν μου ψυχήν, σαρκικοίς παθήμασιν, άλας θείον υπάρχοντες, θεηγόροι Απόστολοι Κυρίου, εκκαθάρατε, πιστούς ζωογονούντες.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Η καλλονή τού Ιακώβ, καλών ταίς ιδέαις με, δέομαι καταφαίδρυνον, δυσωπούσα νύν σύν τοίς Αποστόλοις, τόν τεχθέντα εκ τών σών αγνών αιμάτων.

### Κανών τού Αγίου Νικολάου

### Ο Ειρμός

Τρείς Παίδες εν καμίνω, τήν Τριάδα τυπώσαντες, τού πυρός τήν απειλήν κατεπάτησαν, καί υμνούντες εβόων. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Λυμαινόμενον πάλαι, τόν παράφρονα Άρειον, τού Κυρίου τόν λαόν εναπηγχόνισας, ταίς νευραίς σου τών λόγων, ως ποιμενάρχης αληθής, Πάτερ Νικόλαε.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Αγίως διανύσας, τόν πανάγιον βίον σου, σύν Αποστόλοις κατοικείς, Πάτερ Νικόλαε, αγιασμόν επιπέμπων, καί φωτισμόν τοίς ευσεβώς σε μακαρίζουσιν.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Ως έτοιμόν σε ρύστην, ως θερμόν αντιλήπτορα, προσκαλούμεθα αεί Πάτερ Νικόλαε, τών παθών ημάς ρύσαι, καί αδοκήτων πειρασμών επερχομένων ημίν.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Εμέ τόν αμελεία, τήν ψυχήν σκοτιζόμενον, φωταγώγησον Αγνή, τόν τής καρδίας μου, προσεπανάπτουσα λύχνον, εν προθυμία αγαθή, όπως δοξάζω σε.

## Ωδή η'

### Ο Ειρμός

Αστέκτω πυρί ενωθέντες, οι θεοσεβεία προεστώτες Νεανίαι, τή φλογί δέ μή λωβηθέντες, θείον ύμνον έμελπον. Ευλογείτε πάντα τά έργα τόν Κύριον, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Επλήγην παθών τή ρομφαία, καί ετραυματίσθην τήν καρδίαν απονοία, τού κακίαν δημιουργούντος. Απόστολοι ένδοξοι, ιάσασθε όλον εξηπορημένον με, ψυχών καί σωμάτων, ιατροί πεφυκότες.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Εις πάσαν τήν γήν τών κηρύκων, φθόγγος εξεχύθη ο θείος, εκδιδάσκων, παραδόξως μίαν ουσίαν, μίαν φύσιν σέβεσθαι, τής Τριάδος μίαν όντως κυριότητα, μίαν Βασιλείαν, εις πάντας τούς αιώνας.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Εμέ τόν πολλά επταικότα, καί μακροθυμίαν σου τήν θείαν δαπανώντα, τή επιμόνω πλημμελεία, επίστρεψον Δέσποτα, ο ειδώς μου Λόγε τήν πολλήν ασθένειαν, καί τήν ραθυμίαν, καί τήν κακοφροσύνην.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Η θεία λαβίς η τόν θείον, άνθρακα αρρήτως δεξαμένη Θεοτόκε, τών παθών μου πεπυρωμένους, άνθρακας κατάσβεσον Παναγία, δρόσω σου τών παρακλήσεων, καί τών πανενδόξων, καί θείων Αποστόλων.

## Κανών του Αγίου Νικολάου

### Ο Ειρμός

Τών υπ' Αγγέλων ασιγήτως, εν υψίστους δοξαζόμενον Θεόν, οι ουρανοί τών Ουρανών, γή καί όρη καί βουνοί, καί βυθός, καί πάν γένος ανθρώπων, ύμνοις αυτόν ως Κτίσην, καί Ποιητήν ευλογείτε.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Γήν τών πραέων εκληρώσω, πράος Όσιε γενόμενος, διό σου δέομαι πιστώς, καταπράϋνον πρεσβείαις σου, τάς επεγειρομένας διηνεκώς, τού πονηρού κατ' εμού τρικυμίας.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Ως ελυτρώσω στρατηλάτας, τούς αδίκως θνήσκειν μέλλοντας, ούτως ανθρώπων πονηρών, τής

κακίας ημάς λύτρωσαι, καί πάσης τών δαιμόνων, επιβουλής Νικόλαε, δυσωπών τόν Σωτήρα.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Οδόν υπέδειξας ευθείαν, τοίς ανθρώποις καί σωτήριον, εν ή οδήγησον ημάς, εν τώ βίω παροδεύοντας, Νικόλαε τρισμάκαρ, όπως ομού εισέλθομεν, τής ζωής πρός τήν πόλιν.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ισχύς καί ύμνησις υπάρχει, ο εκ σού τεχθείς Πανάμωμε, όν εκδυσώπει εκτενώς, παρειμένον με τοίς πάθεσι, Παρθένε ενισχύσαι, τού εκτελείν τάς σωτηρίους αυτού διατάξεις.

## Ωδή θ'

### Ο Ειρμός

Εν νόμω, σκιά καί γράμματι, τύπον κατίδωμεν οι πιστοί, πάν άρσεν τό τήν μήτραν διανοίγον, άγιον Θεώ, διό πρωτότοκον Λόγον, Πατρός ανάρχου Υιόν, πρωτοτοκούμενον μητρί, απειράνδρω μεγαλύνομεν.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Ο λόγω τών σών στηρίξας, Μαθητών τής γής τά πέρατα, Πατρός ανάρχου Λόγε, ταίς αυτών δεήσεσι καμέ, τόν πρός τά πάθη αλόγως, κατολισθήσαντα, καί τών δαιμόνων τή πλάνη, υπαχθέντα κατοικτείρησον.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Ψυχή μου παθών δουλεύουσα, ορμαίς τώ παθητώ διά σέ, προσάγαγε δεήσεις, όπως ρύσηταί σε εκ παθών, ικετευόντων προδήλως, τών ιερών Μαθητών, μιμησαμένων τά τούτου, τή σαρκί αυτών παθήματα.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Χριστού Μαθηταί ηνίκα, σύν αυτώ κρίναι καθίσητε, τούς κρίσει υπευθύνους, ακατάκριτόν μου τήν ψυχήν, τήν μολυνθείσαν ατόποις έργοις τηρήσατε, ως αγαθοί μου προστάται, ως τού κόσμου αντιλήπτορες.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Παρθένε αγνή Θεόνυμφε, καθαρόν Χριστού παλάτιον, Παρθένε Παναγία τών αγίων άγιον Θεόν, υπέρ αιτίαν καί λόγον κυοφορήσασα, σύν Αποστόλοις αγίοις, υπέρ πάντων καθικέτευε.

## Κανών τού Αγίου Νικολάου

### Ο Ειρμός

Εν Σιναίω τώ όρει κατείδέ σε, εν τή βάτω Μωϋσής, τήν αφλέκτως τό πύρ τής Θεότητος, συλλαβούσαν εν Γαστρί, Δανιήλ δέ σε είδε, όρος αλατόμητον, ράβδον Βλαστήσασαν Ησαϊας κέκραγε, τήν εκ ρίζης Δαυϊδ.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Ως χαράκωμα θείον καί στήριγμα, καί καλήν καταφυγήν, ο περίγειος κόσμος σε κέκτηται, μεσιτείαις σου αεί, εκλυτρούμενον πάσης πειρασμών στενώσεως, Πάτερ Νικόλαε, όθεν εν αινέσει, πιστώς μακαρίζει σε.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Στενωθείς ταίς πολλαίς περιστάσεσι, πρός τό πλάτος τής θερμής, καταφεύγω παμμάκαρ

πρεσβείας σου, μεταποίησον βοώ, τής ψυχής μου τόν πόνον, τά κύματα πράϋνον, τής απογνώσεως, καί ειρήνευσόν μου, τόν νούν ταραττόμενον.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Η τού Κτίστου εφέστηκεν έλευσις, κρίναι άπασαν τήν γήν, καί υπάρχων ο τάλας ανέτοιμος, όλως φρίττω εννοών, τήν πληθύν τών κακών μου, Κύριε μακρόθυμε, οίκτειρον σώσόν με, θείαις Νικολάου, ευχαίς τού οσίου σου.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φωτισμός μου σωτήριος φάνηθι, η κυήσασα τό φώς, τής ψυχής μου τά νέφη διώκουσα, τά πολλά καί χαλεπά, όπως υιός ημέρας, ευχαίς σου γενήσωμαι, πράττων τά όσια, καί υμνολογίαις, αεί μακαρίζω σε.

Απόστιχα τών Αίνων, Αποστολικά

Εις πάσαν τήν γήν εξήλθεν ο φθόγγος υμών, άγιοι, Απόστολοι, ειδώλων πλάνην ελύσατε, θεογνωσίαν κηρύξαντες, ούτος ο καλός αγών υμών, υπάρχει Μακάριοι, διό υμνούμεν, καί δοξολογούμεν, υμών τά μνημόσυνα.

Στίχ. α'. Ενεπλήσθημεν τό πρωϊ τού ελέους σου, Κύριε, καί ηγαλλιασάμεθα καί ηυφράνθημεν έν πάσαις ταίς ημέραις ημών. Ευφρανθείημεν, ανθών ημερών εταπείνωσας ημάς, ετών, ών είδομεν κακά, καί ίδε επί τούς δούλους σου καί επί τά έργα σου, καί οδήγησον τούς υιούς αυτών.

Τάς τού Χριστού παραγγελίας, αμέμπτως φυλάξαντες άγιοι Απόστολοι, δωρεάν ελάβετε, δωρεάν παρέχετε, ιατρεύοντες τά πάθη τών ψυχών καί τών σωμάτων ημών, διό έχοντες παρρησίαν, αυτόν ικετεύσατε, ελεηθήναι τάς ψυχάς ημών.

Μαρτυρικόν

Στίχ. β'. Καί έστω η λαμπρότης Κυρίου τού Θεού ημών εφ' ημάς, καί τά έργα τών χειρών ημών κατεύθυνον εφ' ημάς, καί τό έργον τών χειρών ημών κατεύθυνον.

Αι δυνάμεις τών Αγίων Αγγέλων, εθαύμασαν τών Μαρτύρων τούς άθλους, ότι σώμα θνητόν περικείμενοι, βασάνων κατεφρόνησαν, μιμηταί γενόμενοι, τού Πάθους τού Σωτήρος ημών, καί πρεσβεύουσιν υπέρ τών ψυχών υμών.

Δόξα... Καί νύν... Θεοτοκίον

Αγιόπρωτε σεμνή, εγκώμιον ούσα τών ουρανίων Ταγμάτων, Αποστόλων υμνωδία, Προφητών περιοχή, Δέσποινα πρόσδεξαι, καί ημών τάς δεήσεις.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

### Οι Μακαρισμοί

Μακάριοι οι ειρηνοποιοί, ότι αυτοί υιοί Θεού κληθήσονται.

Αθετήσαντα Χριστέ, τήν εντολήν σου, τόν προπάτορα Αδάμ, τού Παραδείσου εξώρισας, τόν δέ Ληστήν Οικτίρμον, ομολογήσαντά σε εν Σταυρώ, εν αυτώ εισώκισας κράζοντα. Μνήσθητί μου Σωτήρ, εν τή Βασιλεία σου.

Μακάριοι οι δεδιωγμένοι ένεκεν δικαιοσύνης, ότι αυτών εστιν η βασιλεία τών ουρανών.

Οι καλάμω τού Σταυρού, εκ τού βυθού, τής αγνωσίας τούς λαούς, αναγαγόντες Απόστολοι, τήν τών Ελλήνων πλάνην, απεμειώσατε από τής γής, απλανείς σωτήρες γενόμενοι, τών πιστών αληθώς, όθεν μακαρίζεσθε.

Μακάριοί εστε όταν ονειδίσωσιν υμάς, καί διώξωσι, καί είπωσι πάν πονηρόν ρήμα καθυμών ψευδόμενοι ένεκεν εμού.

Ως ακτίνες μυστικαί, καί λαμπηδόνες, τού Ηλίου ευκλεείς, γεγενημένοι Απόστολοι, τής δυσσεβείας

σκότος, απεμειώσατε, καί πρός φώς, τής θεογνωσίας ωδηγήσατε, άπαντας τούς λαούς, όθεν υμάς σέβομεν.

Μαρτυρικόν

Χαίρετε καί αγαλλιάσθε, ότι ο μισθός υμών πολύς εν τοίς ουρανοίς.

Τών βασάνων τήν πυράν, καθυπομείναντες, εξ ύψους Αθληταί, χάριτος δρόσον εδέξασθε, καί τών βροτών τά πάθη, ως τού Χριστού θεράποντες αεί, ευσθενώς σοφοί θεραπεύετε, όθεν πίστει υμάς, Άγιοι γεραίρομεν.

Δόξα...

Τής Τριάδος ιεροί, κήρυκες, Πέτρε, Παύλε, Μάρκε, καί Λουκά, Ματθαίε, Σίμων, Ιάκωβε, Ανδρέα, Ιωάννη, Βαρθολομαίε, Φίλιππε, Θωμά, εκτενώς αυτήν ικετεύσατε, λυτρωθήναι ημάς, πάσης περιστάσεως.

Καί νύν... Θεοτοκίον

Αποστόλων καλλονή, καί τών αγίων Αθλοφορων χαρμονή, θεοχαρίτωτε Δέσποινα, υπέρ ημών δυσώπει, τόν τού παντός Σωτήρα καί Θεόν, εγκλημάτων όπως λάβωμεν άφεσιν, καί τής θείας ζωής, πάντες επιτύχωμεν.

top

3-6

Στιχηρά προσόμοια Σταυρώσιμα

Ήχος γ'

Μεγάλη τών Μαρτύρων σου

Στίχ. α'. Εάν ανομίας παρατηρήσης, Κύριε, Κύριε τίς υποστήσεται; ότι παρά σοί ο ιλασμός εστιν.

Η κτίσις καθηγίασται μόνε Μακρόθυμε, τιμίω Αίματί σου, καί ύδατι αγίω, ποταμοί δέ εξηράνθησαν πολυθεϊας, καί ο Αδάμ σέσωσται, τής καταπτώσεως, τή Σταυρώσει σου Λόγε.

Στίχ. β'. Ένεκεν τού ονόματός σου υπέμεινά σε, Κύριε, υπέμεινεν η ψυχή μου εις τόν λόγον σου, ήλπισεν η ψυχή μου επί τόν Κύριον.

Ο πάσης ών τιμής επέκεινα Φιλάνθρωπε, υπέρ ημών υβρίσθης, καί όξος εποτίσθης, καί υπέμεινας Σταυρόν εθελουσίως, όπως φθοράς άπαντας, τώ θανάτω σου, Ευεργέτα λυτρώσης.

Στίχ. γ'. Από φυλακής πρωϊας μέχρι νυκτός, από φυλακής πρωϊας ελπισάτω Ισραήλ επί τόν Κύριον.

Εν ξύλω ανηρτήθης θέλων Υπεράγαθε, καί τώ Πατρί θυσία, υπέρ ημών ανήχθης, καί κατέπαυσας θυσίας τών ειδώλων, καί τό κράτος έλυσας, τού κακογνώμονος, Βασιλεύ τών αιώνων.

Έτερα Προσόμοια τής Θεοτόκου

Σταυροφανώς Μωϋσής

Στίχ. δ'. Ότι παρά τώ Κυρίω τό έλεος, καί πολλή παρ' αυτώ, λύτρωσις. καί αυτός λυτρώσεται τόν Ισραήλ έκ πασών τών ανομιών αυτού.

Η τού φωτός τού αδύτου νεφέλη, θεοχαρίτωτε Κόρη, ευλογημένη Μαρία, λάμψον μοι φώς μετανοίας, τώ σκότει τής αμαρτίας αφρόνως συνεχομένω, καί ρύσαι ταίς δεήσεσι ταίς σαίς, πυρός γεέννης καί σκότους αφεγγούς, καί ημέρας δείξον τής ανεσπέρου, κοινωνόν, προσφυγόντα με τή σκέπη σου Πανάχραντε.

Στίχ. ε'. Αινείτε τόν Κύριον πάντα τά έθνη, επαινέσατε αυτόν, πάντες οι λαοί.

Τόν θελητήν τού ελέους τεκούσα, παντελεήμον Παρθένε, αυτόν αεί εκδυσώπει, τήν ταπεινήν ελεήσαι ψυχήν μου, τήν εις βυθόν απωλείας κατολισθήσασαν, όντως επηρείαις τού εχθρού, μήν ούν βδελύξη τήν δέησίν μου νύν, μηδέ αποστρέψης από τού δούλου σου, τούς αμέτρους Κόρη οικτιρμούς σου, δι' οίκτον αμέτρητον.

Στίχ. ς'. Ότι εκραταιώθη τό έλεος αυτού εφ' ημάς, καί η αλήθεια τού Κυρίου μένει εις τόν αιώνα.

Ο εν Εδέμ τόν Αδάμ απατήσας, ίνα Θεού παρακούση, ούτος καμέ δελεάσας, εκ τής οδού τής ευθείας εκκλίνας, εις ανοδίας έρριψε βόθρον, πολλών αμαρτιών, καί κομπάζει ο δεινός, καταπτωθέντα ιδών με παντελώς, πρεσβειών σου ξίφει, τούτον ούν πάταξον Παρθένε, καί ρύσαι τών αυτού με, παγίδων ως εύσπλαγχνος.

Δόξα... Καί νύν... Σταυροθεοτοκίον

Μεγάλη τού Σταυρού σου Κύριε

Ορώσα τόν εκ σού τεχθέντα Παναμώμητε, κρεμάμενον εν ξύλω, ηλάλαζες βοώσα. Ποθεινότατόν μου Τέκνον, πού σου έδυ τό κάλλος τό φωσφόρον, τού καλλωπίσαντος, τών ανθρώπων τό γένος;

Απόστιχα Σταυρώσιμα

Ήχος γ'

Τόν Σταυρόν σου προσκυνώ, Χριστέ τόν τίμιον, τόν φύλακα τού κόσμου, τήν σωτηρίαν ημών τών αμαρτωλών, τό μέγα ιλαστήριον, τού βασιλέως τό νίκος, τό καύχημα πάσης τής οικουμένης.

Στίχ. Α'. Πρός σέ ήρα τούς οφθαλμούς μου, τόν κατοικούντα εν τώ ουρανώ. Ιδού, ως οφθαλμοί δούλων εις χείρας τών κυρίων αυτών, ως οφθαλμοί παιδίσκης εις χείρας τής κυρίας αυτής, ούτως οι οφθαλμοί ημών πρός Κύριον τόν Θεόν ημών, έως ού οικτιρήσαι ημάς.

Ξύλον παρακοής τώ κόσμω θάνατον εβλάστησε, τό δέ ξύλον τού Σταυρού, ζωήν καί αφθαρσίαν, διό σε προσκυνούμεν, τόν σταυρωθέντα Κύριον, σημειωθήτω εφ' ημάς τό φώς τού προσώπου σου.

Μαρτυρικόν

Στίχ. Β'. Ελέησον ημάς, Κύριε, ελέησον ημάς, ότι επί πολύ επλήσθημεν εξουδενώσεως, επί πλείον επλ ήσθη η ψυχή ημών, τό όνειδος τοίς ευθηνούσι, καί η εξουδένωσις τοίς υπερηφάνοις.

Μεγάλη τού Σταυρού σου Κύριε η δύναμις, επάγη γάρ εν τόπω, καί ενεργεί εν κόσμω, καί ανέδειξεν εξ αλιέων Αποστόλους, καί εξ εθνών Μάρτυρας, ίνα πρεσβεύωσιν υπέρ τών ψυχών ημών.

Δόξα... Καί νύν... Σταυροθεοτοκίον

Ο κόσμος ηλεήθη Λόγε τή Σταυρώσει σου, η κτίσις εφωτίσθη, τά έθνη σωτηρίαν εύρον Δέσποτα, η Πάναγνος εβόα, εγώ δέ νύν τέτρωμαι, καθορώσά σου τό εκούσιον πάθος.

Μετά τήν α' Στιχολογίαν

Καθίσματα Σταυρώσιμα

Ήχος γ'

Σταυρός επάγη επί γής, καί ήψατο τών ουρανών, ουχ ως τού ξύλου φθάσαντος τό ύψος, αλλά σού τού εν αυτώ πληρούντος τά σύμπαντα, Κύριε δόξα σοι.

Εν κυπαρίσσω καί πεύκη καί κέδρω, υψώθης ο Αμνός τού Θεού, ίνα σώσης τούς εν πίστει προσκυνούντας, τήν εκούσιόν σου σταύρωσιν, Χριστέ ο Θεός, δόξα σοι.

Δόξα... Καί νύν... Σταυροθεοτοκίον

Τήν ωραιότητα

Χαράν η σύμπασα, κτίσις ορώσά σε, χαίρει μακρόθυμε, Σταυρώ υψούμενον, η πανακήρατος Αγνή, εβόα καί πανάμωμος, λύτρωσιν γάρ εύρατο, διά σού τέκνον φίλτατον, ξύλω γάρ ιάτρευσας, τήν τού ξύλου κατάκρισιν, εγώ δέ νύν τα σπλάγχνα δονούμαι, μή φέρουσα οράν σε θανατούμενον.

Μετά τήν β' Στιχολογίαν

Καθίσματα Σταυρώσιμα  όμοια

Τήν ωραιότητα

Τό αναρίθμητον, τής εξουσίας σου, καί τό εκούσιον, τό τής σταυρώσεως, αι τών Αγγέλων στρατιαί, εξίσταντο καθορώσαι, πώς ο αθεώρητος, εν σαρκί εμαστίζετο, θέλων εκλυτρώσασθαι, τής φθοράς τό ανθρώπινον; διό ως ζωοδότη βοώμέν σοι. Δόξα Χριστέ τή ευσπλαγχνία σου.

Σταυρόν καί θάνατον, παθείν ελόμενος, μέσον τής κτίσεως, ταύτα υπέμεινας, ότε ηυδόκησας Σωτήρ, τό σώμά σου προσηλώσαι, τότε καί ο ήλιος, τάς ακτίνας απέκρυψε, τότε καί Ληστής ιδών, εν Σταυρώ σε ανύμνησε, βοών σοι ευλαβώς, Μνήσθητί μου, καί έλαβε πιστεύσας τόν Παράδεισον.

Δόξα... Καί νύν... Σταυροθεοτοκίον

Η απειρόζυγος, καί θεία δάμαλις, κατανοήσασα, μόσχον τόν ίδιον, εθελουσίως εν Σταυρώ, τό πάθος υπομένοντα, οίμοι τέκνον! έλεγε, τί τό ξένον μυστήριον; πώς ο ών αθάνατος, κατεδέξω τόν θάνατον, υμνώ σου τό, μακρόθυμον Λόγε, δοξάζω τό αμέτρητον έλεος.

Μετά τήν γ' Στιχολογίαν

Καθίσματα Σταυρώσιμα

Ο ραπισθείς υπέρ γένους ανθρώπων, καί μή οργισθείς, ελευθέρωσον εκ φθοράς, τήν ζωήν ημών Κύριε, καί σώσον ημάς.

Μαρτυρικόν

Τό εύψυχον τής καρτερίας υμών, ενίκησε τά μηχανήματα τού αρχεκάκου εχθρού, Αθλοφόροι πανεύφημοι, διά τούτο τής αιωνίου κατηξιώθητε μακαριότητος, αλλά πρεσβεύσατε τώ Κυρίω τού φιλοχρίστου λαού σώσαι τό ποίμνιον, Μάρτυρες υπάρχοντες τής αληθείας.

Δόξα... Καί νύν... Σταυροθεοτοκίον

Τήν ωραιότητα

Τά επουράνια, ιδόντα έφριξαν, καί τά επίγεια, φόβω ετρόμαξαν, ότε υψώθης εν Σταυρώ, εκών ο αναμάρτητος, ήλιος εσκότασε, καί σελήνη ημαύρωται, τότε καί η Μήτηρ σου, θρηνωδούσα εφθέγγετο. Υιέ μου, τί τό όραμα τούτο; πώς υπέρ πάντων μόνος πέπονθας;

Κανών Σταυρώσιμος, ού η Ακροστιχίς,

Καύχημα πιστών Σταυρός εστι καί κλέος. Ιωσήφ.

Ωδή α'  Ήχος γ'

Ο Ειρμός

Χέρσον αβυσσοτόκον, πέδον ήλιος, επεπόλευσέ ποτε, ωσεί τείχος γάρ επάγη, εκατέρωθεν ύδωρ, λαώ πεζοποντοπορούντι, καί θεαρέστως μέλποντι Άσωμεν τώ Κυρίω, ενδόξως γάρ δεδόξασται.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Κύματα θαλάσσης, τή ράβδω έπηξας, καί διήγαγες λαόν, προμηνύων τόν Σταυρόν σου, δι' ού έτεμες ύδωρ τής πλάνης, καί πρός γήν Οικτίρμον, θεογνωσίας έσωσας, άπαντας τούς εν πίστει, υμνούντάς σου τήν δύναμιν.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Άβυσσον ο ποιήσας, τή προστάξει σου, υπερώα δυνατέ, ο στεγάζων εφ' υδάτων, ο τήν γαίαν κρεμάσας, κρεμάσαι επί ξύλου, καί σαλεύεις, πάσαν τήν κτίσιν νεύματι, πάντων δέ τάς καρδίας, στηρίζεις εν φόβω σου.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Υιοί κατά μέθεξιν, θείοι Μάρτυρες, χρηματίζετε Θεού, καί οικήτορες τής άνω Σιών, καί κληρονόμοι, εν ή καί στεφανηφορούντες, περιφανώς κραυγάζετε. Άσωμεν τώ Κυρίω, ενδόξως γάρ δεδόξασται.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Χείρας εκτμηθέντες, καί πόδας Μάρτυρες, καί ξεόμενοι δεινώς, καί πυρί προσομιλούντες, ουκ ηρνήσασθε όλως, Χριστόν τόν Θεόν όντα τών όλων, αλλά θερμώς εκράζετε Άσωμεν τώ Κυρίω, ενδόξως γάρ δεδόξασται.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Η περικαλλής καί Παρθένος Δέσποινα, όν εκύησεν Υιόν, θεωρήσασα εν ξύλω υψωθέντα βουλήσει, ηλάλαζε βοώσα εν οδύνη, Θεέ τών όλων εύσπλαγχνε, Κύριος ών τής δόξης, πώς ταύτα πάσχεις Δέσποτα;

Κανών τής Υπεραγίας Θεοτόκου
Ο Ειρμός

Άσωμεν τώ Κυρίω, τώ ποιήσαν τι θαυμαστά τέρατα, εν ερυθρά θαλάσση, πόντω γάρ εκάλυψε τούς υπεναντίους, καί έσωσε τόν Ισραήλ, αυτώ μόνω άσωμεν, ότι δεδόξασται.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Η νοερά νεφέλη, τής ουρανίου αίγλης, ακτίνα ανατείλασα αρρήτως, θείας επιγνώσεως φώς, καί μετανοίας, κατέλαμψε πάσιν ημίν η μόνη Θεοτόκος, καί σωτηρία ημών.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Καταφυγήν ταχείαν, καί οχύρωμα, τείχος, καί προπύργιον, καί ασφαλή λιμένα, σέ τήν Θεομήτορα πάντες κεκτημένοι, οι εν πελάγει τών δυσχερών καί θλίψεων σαλεύοντες, κινδύνων λυτρούμεθα.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Χαίρε αρρήτου, δόξης οικητήριον. Χαίρε ενδιαίτημα, τού νοητού Ηλίου. Χαίρε τό κειμήλιον, τό τής παρθενίας. Χαίρε τό θείον όχημα, τού Λόγου τής θεότητος. Χαίρε τροφέ τής πάντων ζωής.

Ωδή γ'
Ο Ειρμός

Τό στερέωμα, τών επί σοί πεποιθότων, στερέωσον Κύριε τήν Εκκλησίαν, ήν εκτήσω, τώ τιμίω σου αίματι.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Μίαν σύνθετον, φέρων υπόστασιν Λόγε, υπέμεινας σταύρωσιν ατιμοτάτην, τοίς τιμώσί σε, τιμής ούσαν πρόξενον.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Απελύθησαν, οι γηγενείς τής κατάρας, κατάρα σου Δέσποτα γεγενημένου, καί Σταυρώ, τήν ευλογίαν πηγάσαντος.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Παρεπίδημοι, πάσης τής γής γεγονότες, ουράνιοι ώφθητε όντως πολίται, καί Χριστού, συγκληρονόμοι πανεύφημοι.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ισχυρότατον, όπλον Σταυρόν κεκτημένοι, οι Άγιοι άπασαν τήν δυναστείαν, τού αλάστορος, εχθρού ετροπώσαντο.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Συντετήρηται, καί μετά τόκον παρθένος, η Θεόν αγνή τέξασα σεσαρκωμένον, τόν Σταυρώ, προσηλωθέντα βουλήματι.

Κανών τής Θεοτόκου
Ο Ειρμός

Εστερεώθη η καρδία μου εν Κυρίω, υψώθη κέρας μου εν Θεώ μου, ότι ουκ έστιν Άγιος, πλήν σου Κύριε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Η ακηλίδωτος Αμνάς καί Παρθένος, τόν αμνόν τόν αίροντα πάσαν νόσον, Θεοτόκε κυήσασα, σώζε τήν ποίμνην σου.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σύ τόν ουράνιον καρποφορήσασα βότρυν, καί κρατήρα πλήσασα τής μετανοίας, αμαρτωλοίς τήν συγχώρησιν εγεώργησας.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Οι εν πελάγει θαλαττεύοντες αμαρτίας, καί πταισμάτων άλμη καταποθέντες, τώ γλυκασμώ σής πρεσβείας, συγκαταφεύγομεν.

## Ωδή δ'

### Ο Ειρμός

Εκάλυψεν ουρανούς, η αρετή σου, Χριστέ, τής κιβωτού γάρ προελθών, τού αγιάσματός σου, τής αφθόρου Μητρός, εν τώ Ναώ τής δόξης σου, ώφθης ως βρέφος αγκαλοφορούμενος, καί επληρώθη τά πάντα τής σής αινέσεως.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Τήν έκπτωσιν τού Αδάμ, νέος Αδάμ γεγονώς, μόνος ανέστησας Χριστέ, επί Σταυρού τάς χείρας προσηλούμενος, καλάμω τε τυπτόμενος θέλων, καί όξους καί χολής γευόμενος, υπερυψούμεν τό ύψος τής μεγίστης ευσπλαγχνίας σου.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ως πρόβατον εις σφαγήν σε, ο Προφήτης ορά, καί ως αμνόν σε, Λόγε Θεού ερίζοντα ουδόλως, ουδέ κράζοντα, καί γάρ εθελουσίως, ηνέσχου σταυρούσθαι, τούς θελήσει πταίσαντας, όπως λυτρώσης τούτους ως πολυεύσπλαγχνος.

### Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Νεώσαντες τήν ψυχήν, αρότρω πίστεως, σπόρον οι Μάρτυρες Χριστού, υπομονή βασάνων κατεβάλοντο, καί στάχυν μαρτυρίου, πολύχουν εδρέψαντο, πιστών συστήματα, τόν διατρέφοντα, όθεν αεί δοξάζονται.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Στενούμενοι συνοχή, τών ανυποίστων δεινών, τή προσδοκία τών τερπνών, πρός πλατυσμόν τής άνω, Βασιλείας Χριστού οι Μάρτυρες κατήντησαν, όθεν πλατύνουσιν, ημών τά στόματα, τού τά αυτών ανενδότως υμνείν παλαίσματα.

### Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τόν άνθρακα ως λαβίς, τόν θείον δέδεξαι, ου καταφλέγοντα όλως, δροσίζοντα δέ μάλλον, Μητροπάρθενε τήν άφθορον καί θείαν νηδύν σου, όν βλέπουσα σαρκί υψούμενον, εθελουσίως εν ξύλω, ύμνοις εδόξαζες.

## Κανών τής Θεοτόκου

### Ο Ειρμός

Εισακήκοα τήν ακοήν

Πολυέλεον, τήν εις εμέ δείξον ευσπλαγχνίαν σου, τού γάρ πάντων Ελεήμονος, εχρημάτισας Μήτηρ.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φωταγώγησον, τόν εν νυκτί με, τής αμαρτίας Αειπάρθενε πλανώμενον, ως φωστήρα τεκούσα.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Υπέρ δούλων σου, τόν τών απάντων, Δεσπότην δυσωπούσα, εξιλέωσαι, προστασία τού κόσμου.

Ωδή ε'

Ο Ειρμός

Ως είδεν Ησαΐας συμβολικώς, εν θρόνω επηρμένω Θεόν, υπ' Αγγέλων δόξης δορυφορούμενον, ώ τάλας, εβόα εγώ! πρό γάρ είδον σωματούμενον Θεόν, φωτός ανεσπέρου, καί ειρήνης δεσπόζοντα.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ανέπαυσάς με Λόγε τόν κεκμηκότα, κόπω παραπτώσεων, αναπεπαυμένος εν ξύλω Δέσποτα, καί ήρας όνειδός μου, οίς υπέστης Ιησού ονειδισμοίς. Υμνώ σου τό κράτος, καί τά θεία παθήματα.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Υφήψας ώσπερ λύχνον εν τώ Σταυρώ, τήν σάρκα καί εζήτησας, τήν απολλυμένην δραχμήν φιλάνθρωπε, καί πάσας καλείς τάς φίλας σου δυνάμεις, εν τή ταύτης ευρέσει, υμνήσαι τό κράτος, Χριστέ τής δυναστείας σου.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ρηγνύμενος ο πλάνος τών απλανών, πρός πόδας Αθλοφόρων Χριστού, νεκρός καθοράται καί ανενέργητος, αυτοί δέ τοίς απλανέσι, συναρίθμιοι υπάρχουσιν, Αγγέλοις νύν, τής αρρήτου χαράς αποπληρούμενοι.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Οι Άγιοι τώ κρύει τών χαλεπών, βασάνων καί τών θλίψεων, καί τών αλγηδόνων σφοδρώς πηγνύμενοι, πρός θάλψιν μετήλθον θείαν, ουρανίου Βασιλείας αληθώς, καί θερμοί προστάται, τών πιστών αεί δείκνυνται.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σταυρούμενον εν ξύλω, καί τήν πλευράν, τή λόγχη ορυττόμενον, τόν εκ πλευράς πάλαι δημιουργήσαντα, τήν Εύαν, αγνή Παρθένε, θεωρούσα ανεβόας μητρικώς. Πώς θνησκεις Υιέ μου, η ζωή η αθάνατος;

Κανών τής Θεοτόκου

Ο Ειρμός

Τήν σήν ειρήνην

Η τού Υψίστου δύναμις επισκιάσασα, τήν σήν γαστέρα αγνή, χωρίον έδειξε Θεού τού αχωρήτου, καί μητέρα σε ζωής, καί σωτηρίαν πάντων ημών.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Πηγήν σε θείαν κτώμενον, τής σωτηρίας μου, μη καταιγίς πονηρά καταποντίσαι με, μηδέ

καταπιέτω αμαρτίας με βυθός, υπεραγία Δέσποινα.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τής παρθενίας άρουρα, η αγεώργητος γή, ανεδείχθης τώ κόσμω Αειπάρθενε, εξ ής αρρήτω λόγω εγεννήθη γεωργός, ο πλαστουργός πάντων ημών.

Ωδή ς'
Ο Ειρμός
Εβόησέ σοι, ιδών ο πρέσβυς, τοίς οφθαλμοίς τό σωτήριον, ο λαοίς επέστη, εκ Θεού, Χριστέ σύ Θεός μου.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Εκών ετύθης, ώσπερ αρνίον, τόν βρώσει ξύλου τεθνήξαντα, εκουσίως πάλαι, πρός ζωήν, Χριστέ επανάγων.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Σταυρώ υψώθης, καί κατεπτώθη, δαιμόνων πλάνη, υψώθη δέ, τών πιστών τά πλήθη, ανυμνούντά σε ζωοδότα.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Τή πορφυρίδι, τή εξ αιμάτων, πεποικιλμένοι οι Μάρτυρες, Βασιλεί τών όλων, νύν παρίστανται στεφηφόροι.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ιάσεις πάσι, τοίς ασθενούσιν, αναπηγάζει τά λείψανα, τών σεπτών Μαρτύρων, καί παθών εσμόν κατακλύζει.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νοείν ου σθένει, τό υπέρ φύσιν, τού τοκετού σου Πανύμνητε, νούς ανθρώπων Κόρη, υπέρ νούν δέ σύ αποτίκτεις.

Κανών τής Θεοτόκου
Ο Ειρμός
Εβόησα εν στεναγμοίς
Τά έργα μου καταδίκης μοι δίκη, γεγόνασι Δέσποτα, αλλά σύ τώ ξύλω τώ τού Σταυρού προσηλωθείς, δικαιώσεως προεξένησας πλούτον.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Καθαίρεται τή πρεσβεία σου πάσα, τής αμαρτίας η αχλύς, τό γάρ φώς εκλάμψαν εκ σού τό άχρονον Χριστός, διεσκέδασε τών πταισμάτων τόν ζόφον.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σοί τήν εμήν ανεθέμην ελπίδα, καί αναμένω Αγαθή, τήν εκ σού πρός τόν εκ σού ιλαστήριον χάριν, δι' ής με οίκτειρον, Παναγία Παρθένε.

Ωδή ζ'
Ο Ειρμός
Σέ τόν εν πυρί δροσίσαντα, Παίδας θεολογήσαντας, καί Παρθένω ακηράτω ενοικήσαντα, Θεόν

Λόγον υμνούμεν, ευσεβώς μελωδούντες. Ευλογητός ο Θεός ο τών Πατέρων ημών.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Κέδρω ανυψώθης, πεύκη τε, καί κυπαρίσσω Δέσποτα, τής Τριάδος είς υπάρχων, καί ανύψωσας, τούς εις βάθη μυρίων, ηδονών συμπτωθέντας. Ευλογητός ο Θεός ο τών Πατέρων ημών.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Αίματι τιμίω Κύριε, τήν κτίσιν ανεκάθηρας, εξ αιμάτων φερομένων αισχροίς δαίμοσι, καί έπαυσας θυσίας, εναγείς Θεού Λόγε, τυθείς ως άκακος αμνός. Δόξα τώ κράτει σου.

Μαρτυρικόν

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ίσταντο τυράννων εμπροσθεν, ως στύλοι απερίτρεπτοι, περιτρέποντες τήν πλάνην καί στηρίζοντες, τών πιστών τάς καρδίας, οι αθληταί μελωδούντες. Ευλογητός ο Θεός ο τών Πατέρων ημών.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Κύησιν Αγνή ασύγκριτον, καί τόκον ανερμήνευτον, μόνη έσχες τόν Δεσπότην σωματώσασα, τόν σαρκί σταυρωθέντα, όν υμνούντες βοώμεν. Ευλογητός ο Θεός ο τών Πατέρων ημών.

Κανών τής Θεοτόκου

Ο Ειρμός

Τρείς Παίδες εν καμίνω

Εκ σού Παρθενομήτορ, ο υπέρφωτος Ήλιος, ανατείλας, καί φωτίσας τάς καρδίας ημών, αναμέλπειν διδάσκει. Ευλογητός ο Θεός ο τών Πατέρων ημών.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φαιδρύνεται η κτίσις, τή ασπόρω συλλήψει σου, καί μεγαλύνει σου τόν τόκον, καί δοξάζει αυτόν, ευσεβώς μελωδούσα. Ευλογητός ο Θεός ο τών Πατέρων ημών.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ο κτίστης τών απάντων, καί υπέρθεος Κύριος, προσλαβών τό καθ' ημάς εκ σού Πανύμνητε, καί Θεώσας πρός ύψος, συνεδριάζει τώ Πατρί, καί θείω Πνεύματι.

Ωδή η'

Ο Ειρμός

Αστέκτω πυρί ενωθέντες, οι θεοσεβεία προεστώτες Νεανίαι, τή φλογί δέ μή λωβηθέντες, θείον ύμνον έμελπον. Ευλογείτε πάντα τά έργα τόν Κύριον, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Λαός απειθής καί αγνώμων, γνώμη ευπειθεί σε βουληθέντα, σταυρωθήναι καταδικάζει τεθνάναι, όπως τούς θελήματι, νεκρωθέντας Λόγε ζωώσης, υμνούντάς σε, καί δοξολογούντας εις πάντας τούς αιώνας.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Εκτείνας Σταυρώ τάς παλάμας, ξύλω ακρατώς τάς εκταθείσας, πρός τό ξύλον τής βρώσεως, τού πρωτοπλάστου ιώμενος Δέσποτα, καί ορών σε, φόβω ακτίνας συνέστειλεν ήλιος, καί πάσα η κτίσις εσαλεύθη.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Όμβροις ιερών παλαισμάτων, ρείθρα ασεβείας, προχοάς τε αθεΐας, εξήραναν οι Αθλοφόροι, καί πηγήν ανέβλυσαν ιαμάτων, ρύπον παθημάτων πλύνουσαν, καί πιστών καρδίας, αρδεύουσαν πλουσίως.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Σύμμορφοι σεπτών παθημάτων, θείων πληρωταί παραγγελμάτων, Αθλοφόροι, τών ασωμάτων συμπολίται, πολιτογραφείσθαι νύν, εν τή άνω πόλει, Θεόν δυσωπήσατε, τούς υμάς τιμώντας, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Στάμνον σε, χρυσήν καί λυχνίαν, τράπεζαν καί ράβδον, θείον όρος καί νεφέλην, παλάτιον τού Βασιλέως, καί θρόνον πυρίμορφον Θεοτόκε, πάντες πιστοί ονομάζομεν, τήν καί μετά τόκον, Παρθένον φυλαχθείσαν.

Κανών τής Θεοτόκου

Ο Ειρμός

Τόν εν φλογί τοίς Παισί τών Εβραίων, συγκαταβάντα θεϊκή διαδικασία, καί οφθέντα Κύριον, Ιερείς ευλογείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Εν τώ Σταυρώ τήν ημών σωτηρίαν, κατεργασάμενος ο Υιός σου Παρθένε, κραυγάζειν προτρέπεται, Ιερείς ευλογείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Καταπιείν ο εχθρός με πειράται, ταίς αμαρτίαις, αλλά σύ Θεοτόκε, εξελού καί ρύσαί με, τής αυτού τυραννίδος, όπως σε δοξάζω, εις πάντας τούς αιώνας.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Δεινή με νύξ συγκαλύπτει πταισμάτων, Παρθένε άχραντε, ου γάρ έχω λαμπάδα, τήν ψυχήν μου φωτίζουσαν, ευποιΐας ελαίω, διό καί τής άνω απερρίφην παστάδος.

Ωδή θ'

Ο Ειρμός

Εν νόμω, σκιά καί γράμματι, τύπον κατίδωμεν οι πιστοί, πάν άρσεν τό τήν μήτραν διανοίγον, άγιον Θεώ, διό πρωτότοκον Λόγον, Πατρός ανάρχου Υιόν, πρωτοτοκούμενον μητρί, απειράνδρω, μεγαλύνομεν.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ικρίω παγείς, ο πήξας Ιησού, επ' ουδενός πάσαν γήν, ιλΰϊ με παγέντα, αμαρτίας γνώμη πονηρά, ως αγαθός καί οικτίρμων, Χριστέ ανείλκυσας, καί δι' ατίμου θανάτου, πολυέλεε ετίμησας.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ωράθης Θεός αόρατος φύσει, σαρκί υψούμενος, εχθρών τών αοράτων, όπως ρύση κόσμον ορατόν, καί ουρανίους τούς κάτω, αποτελέσης Χριστέ. Δοξολογούμεν τό κράτος, τής μεγίστης εξουσίας σου.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Στρατός ιερών Αγίων, αγία παρεμβολή εκλεκτή, παράδεισος εν μέσω ζωής, ξύλον έχων τόν Χριστόν, Θεοτερπής Εκκλησία, σύλλογος τίμιος, πανευκλεείς, Αθλοφόροι, τού Σωτήρος ανεδείχθητε.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ημών τών εν γή υμών μεμνημένων, μέμνησθε Άγιοι, τώ θρόνω τού Δεσπότου, παρεστώτες νύν περιφανώς, και ταίς εκείθεν πλουσίαις, μαρμαρυγαίς, ιερώς καταλαμπόμενοι, όπως, οφλημάτων λύσιν εύρωμεν.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φωστήρες τήν σήν ορώντες, Υιέ μου σταύρωσιν έδυσαν, καί πώς Εβραίων δήμος, ου κατέδυσεν ο απειθής, παραδούς σε θανάτω, τόν Αρχηγόν τής ζωής; η Θεοτόκος εβόα, ήν απαύστως μεγαλύνομεν.

Κανών τής Θεοτόκου

Ο Ειρμός

Σέ τήν ακατάφλεκτον Βάτον, καί αγίαν Παρθένον, τήν Μητέρα τού Φωτός, καί Θεοτόκον, τήν ελπίδα πάντων ημών μεγαλύνομεν.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Χείρας εκουσίως απλώσας, εν τώ θείω Σταυρώ σου, τήν εκταθείσαν εν Εδέμ τή παραβάσει, εν ξύλω χείρα ιάσω τού Προπάτορος.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Όλην ταίς δειναίς αμαρτίαις, τήν ψυχήν μου τρωθείσαν, καί ανίατον άλγος νενοσηκυίαν, τή μοτώσει τής πρεσβείας σου, ταύτην ίασαι.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Χαίρε ο τής δόξης Κυρίου, θείος έμψυχος οίκος, Χαίρε όπλον νοητόν, τής μετανοίας. Χαίρε πύλη, δι' Ής αμαρτωλοί σωζόμεθα.

Απόστιχα τών Αίνων Σταυρώσιμα

Σταυροφανώς Μωϋσής έν τώ όρει, χείρας εκτείνας πρός ύψος, τόν Αμαλήκ ετροπούτο, σύ δέ Σωτήρ τάς παλάμας απλώσας, εν τώ Σταυρώ τώ τιμίω, ενηγκαλίσω με σώσας, τής δουλείας τού εχθρού, καί έδωκάς μοι σημείωσιν ζωής, από τόξου φυγείν τών εναντίων μου, διά τούτο Λόγε, προσκυνώ, τόν Σταυρόν σου τόν τίμιον.

Στίχ. α'. Ενεπλήσθημεν τό πρωϊ τού ελέους σου, Κύριε, καί ηγαλλιασάμεθα καί ηυφράνθημεν έν πάσαις ταίς ημέραις ημών. Ευφρανθείημεν, ανθών ημερών εταπείνωσας ημάς, ετών, ών είδομεν κακά, καί ίδε επί τούς δούλους σου καί επί τά έργα σου, καί οδήγησον τούς υιούς αυτών.

Φθόνω τρυφής εκβέβλημαι, πτώμα πεσόν χαλεπόν, αλλ' ου παρείδες Δέσποτα, αναλαβών δι' εμέ τό κατ' εμέ, σταυρούσαι καί σώζεις με, εις δόξαν εισάγεις με. Λυτρωτά μου δόξα σοι.

Μαρτυρικόν

Στίχ. β'. Καί έστω η λαμπρότης Κυρίου τού Θεού ημών εφ' ημάς, καί τά έργα τών χειρών ημών κατεύθυνον εφ' ημάς, καί τό έργον τών χειρών ημών κατεύθυνον.

Τών αγίων Αθλοφόρων τήν μνήμην, δεύτε λαοί άπαντες τιμήσωμεν, ότι θέατρον γενόμενοι, Αγγέλοις καί ανθρώποις, τόν τής νίκης στέφανον παρά Χριστού εκομίσαντο, καί πρεσβεύουσιν, υπέρ τών ψυχών ημών.

Δόξα... Καί νύν... Σταυροθεοτοκίον
Μεγάλη τού Σταυρού σου

Δακρύων προχοάς κενούσα η Πανάμωμος, εστέναζεν, εθρήνει, βοώσα εκ βαθέων ψυχής. Φώς γλυκύτατον, πώς έδυς Ιησού μου; ο κτίσας λόγω πάντα, πώς νεκρός άφωνος εν Σταυρώ νύν οράσαι;

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ
Οι Μακαρισμοί

Μακάριοι οι ειρηνοποιοί, ότι αυτοί υιοί Θεού κληθήσονται.

Αθετήσαντα Χριστέ, τήν εντολήν σου, τόν προπάτορα Αδάμ, τού Παραδείσου εξώρισας, τόν δέ Ληστήν Οικτίρμον, ομολογήσαντά σε εν Σταυρώ, εν αυτώ εισώκισας κράζοντα. Μνήσθητί μου Σωτήρ, εν τή Βασιλεία σου.

Μακάριοι οι δεδιωγμένοι ένεκεν δικαιοσύνης, ότι αυτών εστιν η βασιλεία τών ουρανών.

Καθορών σε εν σταυρώ, ήλιος Κύριε, εσκότασε τό φώς, πέτραι εσχίσθησαν Δέσποτα, γή εσαλεύθη πάσα, τό καταπέτασμα δέ τού ναού, διερράγη μέσον, αδίκως πάσχοντα, βλέψαντά σε Σωτήρ, τόν ακατανόητον.

Μακάριοί εστε όταν ονειδίσωσιν υμάς, καί διώξωσι, καί είπωσι πάν πονηρόν ρήμα καθυμών ψευδόμενοι ένεκεν εμού.

Υπέρ πάντων Ιησού, ήχθης εις θάνατον, τών ζώντων η ζωή, όπως τοίς θείοις σου πάθεσι, τούς τή τού ξύλου βρώσει, θανατωθέντας σώσης ως Θεός, καί Παραδείσου δείξης οικήτορας, όθεν πίστει τά σά, Πάθη μεγαλύνομεν.

Μαρτυρικόν

Χαίρετε καί αγαλλιάσθε, ότι ο μισθός υμών πολύς εν τοίς ουρανοίς.

Τού παθόντος δι' ημάς, καί τά ονείδη αφελόντος τών βροτών, πάθη μιμούμενοι Μάρτυρες, διά πολλών βασάνων, κατεπαλαίσατε τόν δυσμενή, καί τής άνω δόξης ετύχετε, όθεν θεοπρεπώς, Άγιοι δοξάζεσθε.

Δόξα...

Τόν Πατέρα καί Υιόν, καί Πνεύμα Άγιον, υμνήσωμεν πιστοί, εν ασυγχύτω θεότητι, μίαν αρχήν καί δόξαν, θεοπρεπώς προσκυνούντες καί σεπτώς, ορθοδόξω πίστει καί κράζοντες. Μνήσθητι καί ημών, εν τή Βασιλεία σου.

Καί νύν... Θεοτοκίον

Πάθη φέροντα σαρκί, εθελουσίως καθορώσα εν Σταυρώ, τόν σόν Υιόν Παναμώμητε, διεδονήθης όλη, καί θρηνωδούσα έκραζες Αγνή. Οίμοι τέκνον εμόν! πώς τέθνηκας, τούς θανόντας Σωτήρ, ζωώσαι βουλόμενος;

top

3-7

Στιχηρά Προσόμοια Δεσποτικά
Ήχος γ
Μεγάλη τού Σταυρού σου

Στίχ. α'. Εάν ανομίας παρατηρήσης, Κύριε, Κύριε τίς υποστήσεται; ότι παρά σοί ο ιλασμός εστιν.

Ναόν με τού σεπτού σου Πνεύματος απέργασαι, καθάρας τάς κηλίδας, Χριστέ μου τών πταισμάτων, καταγώγιον δαιμόνων χρηματίζοντα νύν, ούς εξ εμού έκβαλε, ως τούς μολύνοντας, πάλαι τό ιερόν σου.

Στίχ. β'. Ένεκεν τού ονόματός σου υπέμεινά σε, Κύριε, υπέμεινεν η ψυχή μου εις τόν λόγον σου, ήλπισεν η ψυχή μου επί τόν Κύριον.

Ο θέλων πάντας σώσαι Κύριε, ως εύσπλαγχνος, αμαρτωλούς, δικαίους, καί μή τινα ολέσθαι,

αυτός ποίησον ένα καμέ τών σωζομένων, τόν αμελώς ζήσαντα, καί τά σά προστάγματα, παραβλέψαντα Λόγε.

Στίχ. γ'. Από φυλακής πρωϊας μέχρι νυκτός, από φυλακής πρωϊας ελπισάτω Ισραήλ επί τόν Κύριον.

Υπνώσας εν τώ τάφω Χριστέ, ως άνθρωπος, δυνάμει αηττήτω, ανέστης συνεγείρας, τούς εν τοίς μνημείοις κατοικούντας απ' αιώνος, διό τούς κοιμηθέντας, πίστει ανάπαυσον, εν σκηναίς αιωνίοις.

Έτερα τής Θεοτόκου  όμοια

Στίχ. δ'. Ότι παρά τώ Κυρίω τό έλεος, καί πολλή παρ' αυτώ, λύτρωσις. καί αυτός λυτρώσεται τόν Ισραήλ έκ πασών τών ανομιών αυτού.

Ταίς αύραις τού εχθρού ως κάλαμος ριπίζομαι, διηνεκώς Παρθένε, αλλ' οίκτειρον τόν δούλόν σου, καί ταίς τούτου καταιγίσι μή εις τέλος, εάσης με κλονείσθαι, αλλά στερέωσον, εν τή πίστει Κυρίου.

Στίχ. ε'. Αινείτε τόν Κύριον πάντα τά έθνη, επαινέσατε αυτόν, πάντες οι λαοί.

Ο κλύδων τών παθών, συνέχων καί συμπνί γων με, δι' ηνεκώς ταράττει, τήν ταπεινήν ψυχήν μου, καί ωθεί εις απογνώσεως βυθόν με, αλλά τήν ζάλην ταύτην, Αγνή μετάβαλε, εις βαθείαν γαλήνην.

Στίχ. ς'. Ότι εκραταιώθη τό έλεος αυτού εφ' ημάς, καί η αλήθεια τού Κυρίου μένει εις τόν αιώνα.

Παρθένε τόν εκ σού, τεχθέντα καθικέτευε, τήν ποίμνην σου φυλάττειν, αλώβητον εκ πάσης, επηρείας τού αντικειμένου διαβόλου, καί εκπληρούν άπαντας, αυτού τό θέλημα, ενδυνάμωσον Κόρη.

Δόξα... Καί νύν... Θεοτοκίον

Πώς μή θαυμάσωμεν, τόν θεανδρικόν σου τόκον Πανσεβάσμιε;πείραν γάρ ανδρός, μή δεξαμένη Πανάμωμε, έτεκες απάτορα, Υιόν εν σαρκί, τόν πρό αιώνων εκ Πατρός, γεννηθέντα αμήτορα, μηδαμώς υπομείναντα τροπήν, ή φυρμόν, ή διαίρεσιν, αλλ' εκατέρας ουσίας τήν ιδιότητα, σώαν φυλάξαντα. Διό Μητροπάρθενε Δέσποινα, αυτόν ικέτευε σωθήναι, τάς ψυχάς τών ορθοδόξως, Θεοτόκον ομολογούντων σε.

Απόστιχα Μαρτυρικά

Μεγάλη τών Μαρτύρων σου Χριστέ η δύναμις, εν μνήμασι γάρ κείνται, καί πνεύματα διώκουσι, καί κατήργησαν εχθρού τήν εξουσίαν, τή πίστει τής Τριάδος, αγωνισάμενοι, υπέρ τής ευσεβείας.

Στίχ. Α'. Θαυμαστός ο Θεός εν τοίς αγίοις αυτού ο Θεός Ισραήλ αυτός δώσει δύναμιν καί κραραίωσιν τώ λαώ αυτού ευλογητός ο Θεός.

Προφήται καί Απόστολοι Χριστού, καί Μάρτυρες, εδίδαξαν υμνείσθαι, Τριάδα ομοούσιον, καί εφώτισαν τά έθνη τά πεπλανημένα, καί κοινωνούς Αγγέλων εποίησαν, τούς υιούς τών ανθρώπων.

Στίχ. Β'. Τοίς Αγίοις τοίς εν τή γή αυτού εθαυμάστωμεν πάντα τά θέλημα αυτού εν αυτοίς.

Οι Μάρτυρές σου Κύριε, πίστει στηριχθέντες, ελπίδι βεβαιωθέντες, τή αγάπη τού Σταυρού σου, ψυχικώς ενωθέντες, τού εχθρού τήν τυραννίδα ώλεσαν, καί τυχόντες τών στεφάνων, μετά τών Ασωμάτων πρεσβεύουσιν, υπέρ τών ψυχών ημών.

Νεκρώσιμον

Στίχ. Γ'. Μακάριοι ούς εξελέξω καί προσλάβω Κύριε.

Πάντα ματαιότης τά ανθρώπινα, όσα ουχ υπάρχει μετά θάνατον, ου παραμένει ο πλούτος, ου συνοδεύει η δόξα, επελθών γάρ ο θάνατος, ταύτα πάντα εξηφάνισται. Διό Χριστώ τώ αθανάτω Βασιλεί βοήσωμεν. Τούς μεταστάντας εξ ημών ανάπαυσον, ένθα πάντων εστίν, ευφραινομένων η κατοικία εν σοί.

Δόξα... Καί νύν... Θεοτοκίον

Εν γυναιξίν αγία Θεοτόκε, Μήτηρ ανύμφευτε, πρέσβευε όν έτεκες, Βασιλέα καί Θεόν, ίνα σώση ημάς ως φιλάνθρωπος.

Μετά τήν α' Στιχολογίαν
Καθίσματα Μαρτυρικά
Ήχος γ' Τήν ωραιότητα

Τών Αθλοφόρων σου, τήν μνήμην Κύριε, υπερεφαίδρυνας, ως Παντοδύναμος, ότι ενίσχυσας αυτούς, τά πάθη σου μιμήσασθαι, ανδρείως γάρ ενίκησαν, τού Βελίαρ τήν δύναμιν, όθεν καί απέλαβον, ιαμάτων χαρίσματα. Αυτών ταίς ικεσίαις Χριστέ ο Θεός, ειρήνην παράσχου τώ λαώ σου.

Θωρακισάμενοι, τήν πανοπλίαν Χριστού, καί ενδυσάμενοι, όπλα τής Πίστεως, τάς παρατάξεις τού εχθρού, αθλητικώς κατεβάλετε, προθύμως τή ελπίδι γάρ, τής ζωής υπεμείνατε, πάσας τών τυράννων, πρίν απειλάς τε καί μάστιγας, διό καί τούς στεφάνους εδέξασθε, Μάρτυρες Χριστού οι καρτερόψυχοι.

Ιδιόμελον

Εκλάμπετε διά τής Πίστεως, υπέρλαμπροι φωστήρες Άγιοι, τών ασθενούντων ιατροί, Αθλοφόροι πανεύφημοι, τών τυράννων γάρ τάς αικίσεις μή δειλανδρήσαντες, τών ειδώλων τάς δυσφημίας κατηδαφίσατε, τρόπαιον έχοντες αήττητον, τόνΣταυρόν τής αληθείας.

Δόξα... Καί νύν... Θεοτοκίον

Σέ τήν μεσιτεύσασαν, τήν σωτηρίαν τού γένους ημών, ανυμνούμεν Θεοτόκε Παρθένε, εν τή σαρκί γάρ τή εκ σού προσληφθείση, ο Υιός σου καί Θεός ημών, τό δια Σταυρού καταδεξάμενος πάθος, ελυτρώσατο ημάς, εκ φθοράς ως φιλάνθρωπος,

Έτερα Καθίσματα μετά τόν Άμωμον
Μαρτυρικόν

Τό εύψυχον τής καρτερίας υμών, ενίκησε τά μηχανήματα, τού αρχεκάκου εχθρού, Αθλοφόροι πανεύφημοι, διά τούτο τής αιωνίου κατηξιώθητε μακαριότητος, αλλά πρεσβεύσατε τώ Κυρίω, τού φιλοχρίστου λαού σώσαι τό ποίμνιον, Μάρτυρες υπάρχοντες τής αληθείας.

Νεκρώσιμον Τήν ωραιότητα

Ότε τώ λόγω σου, παραστησόμεθα, τώ αδεκάστω σου, βήματι Κύριε, μή καταισχύνης τούς εις σέ, Σωτήρ ημών πεπιστευκότας, πάντες γάρ ημάρτομεν, αλλά σού ουκ απέστημεν, όθεν δυσωπούμέν σε, εν σκηναίς τών δικαίων σου, Χριστέ, ούς προσελάβου ανάπαυσον, ως μόνος υπάρχων πολυέλεος.

Δόξα...

Ξύλω πεπτώκαμεν, πικρώς εις θάνατον, ξύλω τιμίω δέ, πάλιν ανέστημεν, διά Σταυρού σου γάρ Σωτήρ, τόν θάνατον ενέκρωσας, καί τήν ατελεύτητον, ζωήν πάσιν επήγασας, ής περ καταξίωσον, τούς πρός σέ εκδημήσαντας, οικέτας σου πιστούς Ελεήμον, δωρούμενος αυτοίς τήν Βασιλείαν σου.

Καί νύν... Θεοτοκίον

Τόν πολυτάραχον, τού βίου κλύδωνα, τούς εκπεράσαντας, τώ θείω νεύματι, καί μεταστάντας ευσεβώς, οικέτας σου Πανάμωμε, δέξαι καί προσάγαγε, τώ Κριτή καί Θεώ ημών, τούτοις απολύτρωσιν, παρασχείν ικετεύουσα, καί γάρ ως τού ποιήσαντος Μήτηρ, έχεις τό θέλειν καί τό δύνασθαι.

Μύσταις προσοίσω τού Θεού θείον μέλος. Ιωσήφ.

Ωδή α' Ήχος γ'
Ο Ειρμός

Θαυμαστός ενδόξως, ποιών τέρατα, σύ εί ο Θεός, ο άβυσσον γεώσας, καί άρματα καλύψας, καί λαόν διασώσας, άδοντά σοι, ως λυτρωτή ημών Θεώ.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Μαρτυρίου κλέος σοφοί εύρατε, πάντες Αθληταί, βασάνους πολυτρόπους, ενεγκόντες γενναίως υπέρ τής αληθείας, όθεν πίστει υμάς δοξάζομεν αεί.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Υπερτέραν σχόντες ζωήν, ώφθητε προφήται καί σοφοί, Κυρίου ιεράρχαι, τού κενωθέντος Λόγου, ποιμάναντες οσίως, τού Σωτήρος τήν ποίμνην σθένει θεϊκώ.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Σταυρωθέντες κόσμω σαρκός, όσιοι πάσας ηδονάς ηρνήσασθε, καί σκεύη, τού Πνεύματος δειχθέντες, τά πνεύματα πλάνης, θείω σθένει εξηφανίσατε σαφώς.

Νεκρώσιμον

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Τούς εκ γής προστάξει τή σή, Κύριε, πίστει ευσεβεί, οικτίρμον μεταστάντας, ζωής ατελευτήτου, καί φωτός ανεσπέρου, αξιώσας ανάπαυσον ως αγαθός.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ως Θεόν τεκούσαν σαρκί Πάναγνε, γνώμη ευσεβεί, τιμώμέν σε απαύστως, μετά σεμνών Γυναίων, ασκήσει λαμπρυνθέντων, καί αθλήσει καταβαλόντων τόν εχθρόν.

Κανών εις Κοιμηθέντας, ού η Ακροστιχίς:

Τούτο τρίτον μέλισμα θνήσκουσι νέμω.

Ο Ειρμός

Τεμνομένην θάλασσαν

Τή ταφή σου θάνατον θανατώσας, καί καθελών τού άδου τήν τυραννίδα, εις ουρανούς πρόδρομος ημών, αναπεφοίτηκας, Αθλοφόρων δήμον συνανυψώσας, νύν τάς ψυχάς ανάπαυσον, τών μεταστάντων Χριστέ.

Στίχ. Πρεσβείαις τών Μαρτύρων σου ανάπαυσον, Κύριε, τάς ψυχάς τών δούλων σου.

Ο τούς θείους Μάρτυρας ενισχύσας, καί δι' αυτών τήν πλάνην εξαφανίσας, ταίς προσευχαίς τούτων, ως Θεός, τούς τελευτήσαντας, τής παρά σού Σώτερ αθανασίας, καί μακαρίας λήξεως, τυχείν αξίωσον.

Υ Στίχ. Αί ψυχαί αυτών εν αγαθοίς αυλισθήσονται.

πέρ δούλων Δέσποτα, τό σόν αίμα, σφαγιασθείς, εξέχεας ως οικτίρμον, τήν οφειλήν τήν υπέρ αυτών, καταβαλόμενος, διά τούτο εύσπλαγχνε, σέ αιτούμεν, νύν τάς ψυχάς ανάπαυσον, τών κοιμηθέντων Χριστέ.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τήν αγνήν υμνήσωμεν Θεοτόκον, τήν τόν Θεόν τεκούσαν, τόν τώ θανάτω τώ εαυτού, θάνατον ημίν αναμοχλεύσαντα, καί ζωήν πηγάσαντα τήν αγήρω, καί δι' αιώνος μένουσαν μακαριότητα.

Ωδή γ'

Ο Ειρμός

Στείρα ψυχή καί άγονε, κτήσαι καρπόν ευκλεή, ευτεκνουμένη βόησον. Εστερεώθην διά σού ο Θεός, ουκ έστιν άγιος, ουκ έστι δίκαιος, πλήν σου Κύριε.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ρώμη Θεού σθενούμενοι, Μάρτυρες ένδοξοι, ολεθροτόκον δύναμιν, τού εν κακία δυνατού δυσμενούς, τελείως ωλέσατε, καί νίκης ειλήφατε θείον στέφανον.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ο τούς οσίους Κύριε, δείξας εχθρού νικητάς, ταίς αυτών Ιησού παρακλήσεσιν, αγίασον, φώτισον, καί σώσον, τούς εν πίστει καί πόθω, απαύστως ανυμνούντάς σε.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Σύν τοίς Προφήταις άπασιν, ανευφημήσωμεν, τούς τών Γυναίων θείους χορούς, τούς εν ασκήσει, καί εν αθλήσει διαλάμψαντας, καί τόν πολυμήχανον όφιν πατήσαντας.

Νεκρώσιμον

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ούς εξ ημών μετέστησας, θεία βουλήσει Χριστέ, μετά Αγίων σύνταξον, τά εν τώ βίω παραβλέψας αυτών, οικτίρμον εγκλήματα, πρεσβείαις δεόμεθα τών Αγίων σου.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Οι σεσωσμένοι Πάναγνε, σού τώ σεπτώ τοκετώ, τού Γαβριήλ βοώμέν σοι πιστώς, τό Χαίρε καί δεόμεθα, τή παρακλήσει σου, πταισμάτων άφεσιν πάσιν αίτησαι.

Κανών εις Κοιμηθέντας

Ο Ειρμός

Ο εκ μή όντων τά πάντα παραγαγών, τώ Λόγω κτιζόμενα, τελειούμενα Πνεύματι, Παντοκράτορ Ύψιστε, εν τή αγάπη τή σή στερέωσόν με.

Στίχ. Πρεσβείαις τών Μαρτύρων σου ανάπαυσον, Κύριε, τάς ψυχάς τών δούλων σου.

Ο διαπλάσας εκ γής με, καί πρός τήν γήν, στραφέντα τον δείλαιον, αναπλάσας λαμπρότερον, τάς ψυχάς ανάπαυσον, τών κοιμηθέντων, πρεσβείαις τών Μαρτύρων.

Στίχ. Αί ψυχαί αυτών εν αγαθοίς αυλισθήσονται.

Τών Αθλοφόρων Μαρτύρων τούς αικισμούς, στρεβλώσεις καί μώλωπας, καί πληγάς δυσωπούμενος, τάς ψυχάς ανάπαυσον τών μεταστάντων, πρός σέ τόν πάντων κτίστην.

Στίχ. Μακάριοι ούς εξελέξω καί προσλάβω Κύριε.

Ρύσαι γεέννης πυρός τε, καί ζοφερών, τού άδου φιλάνθρωπε, σκηνωμάτων τούς δούλους σου, τούς εν πίστει Δέσποτα, κεκοιμημένους, τή σή ελπίδι πάντας.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ιερωτέρα ως μήτηρ τού πλαστουργού, τής κτίσεως πέφηνας, τού τόν θάνατον λύσαντος, Θεοτόκε Πάνσεμνε, καί αφθαρσίαν ημίν δεδωρημένου.

## Ωδή δ'

Ο Ειρμός

Τό κατάσκιον όρος, ο Αββακούμ προεώρα, τήν άχραντόν σου μήτραν Αγνή, διό καί ανεκραύγαζεν. Από θαιμάν ήξει ο Θεός, καί ο Άγιος εξ όρους, κατασκίου δασέος.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ιερεία καθάπερ, προσανηνέχθητε πίστει, σφαγέντες, ώσπερ άρνες σοφοί, αμνώ τώ επί ξύλου Σταυρού, επευδοκήσαντι αθληταί, εθελουσίως ταθήναι, υπέρ γένους ανθρώπων.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Σύν οσίοις τιμώμεν, τούς ευκλεείς Ιεράρχας, φωστήρας γεγονότας πιστών, παθών μέν σκότος λύοντας, τής δέ αχλύος εκκαθάραντας, καί πρός άδυτον εν πίστει, προσχωρήσαντας φέγγος.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ωραιότητι λόγων, οι θεηγόροι Προφήται, φαιδρύνουσι πιστών τάς ψυχάς, αγώνων ταίς λαμπρότησι, καί τών θαυμάτων ανατολαίς, καταυγάζουσι καρδίας, θεοφόροι Γυναίκες.

Νεκρώσιμον

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Τούς τόν βίον λιπόντας, υπερκοσμίου δόξης, μετόχους δείξον Λόγε Θεού, πταισμάτων απολύτρωσιν, τούτοις δωρούμενος αγαθέ, ών περ έπραξαν εν γνώσει, επί γής καί αγνοία.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τών Μαρτύρων τήν δόξαν, Ιεραρχών καί Οσίων, τό θείον εγκαλλώπισμα, τών Προφητών τό κήρυγμα, καί τών Γυναίων σεμνολόγημα, ανυμνήσωμεν αξίως, τού Θεού τήν Μητέρα.

Κανών εις Κοιμηθέντας

Ο Ειρμός

Έθου πρός ημάς

Τάφον δι' ημάς, συμπαθώς κατώκησας Δέσποτα, τάφους ο κενώσας ως Θεός, καί νικηφόρους δείξας τούς Μάρτυρας, εν τόποις ανέσεως, τούς κοιμηθέντας δούλους σου κατάταξον.

Στίχ. Πρεσβείαις τών Μαρτύρων σου ανάπαυσον, Κύριε, τάς ψυχάς τών δούλων σου.

Ο τών Αθλητών, τούς στερρούς αγώνας καί μάστιγας, καί τάς τών μελών αποκοπάς, άς υπέρ σού υπέμειναν Δέσποτα, ασμένως δεξάμενος, ούς προσελάβου ρύσαι κολάσεως.

Στίχ. Αί ψυχαί αυτών εν αγαθοίς αυλισθήσονται.

Νεύματι τώ σώ, τής ζωής ο έχων τά τάλαντα, τής ατελευτήτου σου ζωής, και ακηράτου δόξης αξίωσον, ούς πρός σέ μετέστησας, τής αμαρτίας λύσας τό μεσότοιχον.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Μήτηρ αληθώς, καί παρθένος ώφθης Πανάμωμε, γέννησιν καί τόκον αληθή, τή παρθενία μόνη συνάψασα, Θεόν γάρ εγέννησας, τόν τού θανάτου λύσαντα τήν δύναμιν.

Ωδή ε'

Ο Ειρμός

Τό φώς σου τό ανέσπερον Χριστέ, καταύγασον ως Θεός, τή ταπεινή μου ψυχή, καί οδήγησον εις τόν φόβον σου, διότι φώς τά προστάγματά σου.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Οι μώλωπες υμών καί αι πληγαί, εχθρού μέν ώφθησαν πληγαί ανίατοι, τάς ημών πληγάς δέ νύν θεραπεύουσι, πάντων πιστών, Αθληταί Κυρίου.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Υμνήσωμεν Οσίων τήν πληθύν, καί μακαρίσωμεν τούς Ιεράρχας Χριστού, καί τιμήσωμεν τούς Προφήτας νύν, υπέρ ημών αυτόν δυσωπούντας.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Θεόν τόν σαρκωθέντα δι' ημάς, ποθούσαι πανευκλεείς Γυναίκες, γνώμη ευθεία εναθλήσασαι, καί ασκήσασαι, τής Βασιλείας καταξιούνται.

Νεκρώσιμον

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Εν Παραδείσου Κύριε σκηναίς, εν χώρα ζώντων Χριστέ, ένθα σου λάμπει τό φώς, κατασκήνωσον, ούς μετέστησας, από τής γής, πιστούς σου οικέτας.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Εκ σού Θεός σεσάρκωται Αγνή, καί ανωτέραν σε νύν Αγγέλων ανέδειξε, ποιημάτων τε υπερέχουσαν, πάντων, διό σε υμνολογούμεν.

Κανών εις Κοιμηθέντας

Ο Ειρμός

Πρός σέ ορθρίζω

Εν Εκκλησία, τών πρωτοτόκων αγαθέ, τούς εκδημήσαντας εξ ημών, πρεσβείαις τών Αθλητών, καί σεπτών Μαρτύρων, δικαίοις συναρίθμησον.

Στίχ. Πρεσβείαις τών Μαρτύρων σου ανάπαυσον, Κύριε, τάς ψυχάς τών δούλων σου.

Λύτρον πταισμάτων, τό τών Μαρτύρων σου Χριστέ, παναγιώτατον αίμα, νύν προσδέχου, τών ευσεβώς κοιμηθέντων Σώτερ, καί τούτους διανάπαυσον.

Στίχ. Αί ψυχαί αυτών εν αγαθοίς αυλισθήσονται.

Ίθυνον Λόγε, τών απελθόντων τάς ψυχάς, εις τόν αιώνιον τόπον τής τρυφής, καί τής υπέρ νούν τών αγίων θείας, λαμπρότητος αξίωσον.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σέ τήν Παρθένον, τήν υπέρ λόγον εν γαστρί, τόν απερίληπτον Λόγον συλλαβούσαν, τόν τοίς νεκροίς τήν ζωήν διδόντα, αξίως μακαρίζομεν.

Ωδή ς'

Ο Ειρμός

Βυθός μοι τών παθών επανέστη, καί ζάλη εναντίων ανέμων, αλλά προφθάσας με σύ, σώσον Σωτήρ, καί ρύσαι φθοράς, ως έσωσας, τού θηρός τόν Προφήτην.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Οι λύχνοι τής φρικτής φρυκτωρίας, οι άρνες τού Αμνού καί Ποιμένος, οι στρατιώται Χριστού, οι πανευκλεείς αυτού Αθληταί, τιμάσθωσαν, ιεραίς μελωδίαις.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Υψώθη τών Οσίων ο δήμος, υψώσας Θεόν εν ταπεινώσει, καί εδοξάσθη πληθύς Ιεραρχών, εν έργοις αεί, δοξάσαντες, τήν αγίαν Τριάδα.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Θαυμάτων επιδείξεσι θείαις, καί πόνων καρτερία τελεία, τούς ανομούντας εχθρούς, ο ιερός Γυναίων χορός, κατέπληξεν, ιερώς αριστεύσας.

Νεκρώσιμον

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Εν πίστει ούς εκ γής προσελάβου, αγίων συναρίθμησον δήμοις, καί τού πιστού Αβραάμ, τάξον Χριστέ, εν κόλποις Σωτήρ, δοξάζειν σου, τήν πολλήν ευσπλαγχνίαν.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Μαρτύρων Προφητών τε αγίων, τών πάντων απ' αιώνος Δικαίων, καύχημα σύ εί Αγνή, όθεν φωναίς, σαφώς ιεραίς, τιμώμέν σε, σύν αυτοίς εις αιώνας.

## Κανών εις Κοιμηθέντας

### Ο Ειρμός

Ανάγαγε εκ φθοράς με Κύριε ο Θεός μου ο Ιωνάς εβόα, καγώ βοώ σοι, εκ τού βυθού ρύσαί με Σωτήρ, τών πολλών μου κακών, όπως αίνεσιν φωνής, θύσω σοι μόνε Φιλάνθρωπε.

Στίχ. Πρεσβείαις τών Μαρτύρων σου ανάπαυσον, Κύριε, τάς ψυχάς τών δούλων σου.

Μετάβαλε εις χαράν τών πίστει κεκοιμημένων, τόν κοπετόν, πρεσβείαις τών Αθλοφόρων, περιζωννύς τούτους ευσεβώς, τήν ευφροσύνην Χριστέ, καί πρός φώς τό σόν, εύθυνον καί εφοδήγησον.

Στίχ. Αί ψυχαί αυτών εν αγαθοίς αυλισθήσονται.

Ανάπαυσον ο Θεός τώ πλήθει τών εν οικτιρμών σου, Πατριαρχών, κόλποις τούς μεταστάντας, ένθα τό φώς λάμπει τό φαιδρόν, τού σού προσώπου Χριστέ, παρορών αυτών, άπαντα τά παραπτώματα.

Στίχ. Μακάριοι ούς εξελέξω καί προσλάβω Κύριε.

Θαυμάστωσον επί τούς εντεύθεν απηλλαγμένους, καί τών δεινών, τού βίου λελυτρωμένους, τό θαυμαστόν έλεος Χριστέ, τής φιλανθρωπίας σου, καί χαράς τής σης, έμπλησον καί ιλαρότητος.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νεκρώσεως καί φθοράς ερρύσω με, καί θανάτου, τώ παραδόξω τόκω σου Θεομήτορ, σύ γάρ Αγνή τέτοκας ημίν, αφθαρσίας πηγήν, καί τώ σώ φωτί, κόσμον όλον κατελάμπρυνας.

## Ωδή ζ'

### Ο Ειρμός

Τρείς Παίδες εν καμίνω, τήν Τριάδα τυπώσαντες, τού πυρός τήν απειλήν κατεπάτησαν, καί υμνούντες εβόων. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ιστάμενοι εν μέσω, τού πυρός εδέξασθε, θείαν δρόσον ουρανόθεν, Αθλοφόροι Χριστού, καί Ομιλούντες βασάνοις, τόν πολυμήχανον εχθρόν, νεκρόν ειργάσασθε.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Οι θείοι Ιεράρχαι, ως Ολκάδα ιθύναντες, τήν Εκκλησίαν τού Θεού, ακαταπόντιστον, ταύτην ετήρησαν πλάνης, διεκφυγούσαν αβλαβώς, τά κύματα.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Νεκρώσαντες τήν σάρκα, ιεροίς αγωνίσμασιν, ασκηταί τής αληθείας εκληρώσασθε, τήν ζωήν τήν αγήρω, μετά αγίων Προφητών, καί ιερών Γυναικών.

Νεκρώσιμον

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Μή δείξης υπευθύνους, εν τή κρίσει τούς δούλους σου, ούς μετέστησας πιστούς, αλλά τάξον αυτούς, εν ταίς λαμπρότησι Λόγε, ταίς τών Αγίων, καί ημάς, τή ευσπλαγχνία σου.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Μαρτύρων καί Οσίων, Προφητών τε Πανάμωμε, Γυναικών καί πάντων τών Ιεραρχών, τών ιερώς βιωσάντων, σύ εί τό κλέος αληθώς, μεθ' ών τιμώμέν σε.

Κανών εις Κοιμηθέντας

Ο Ειρμός

Ως πάλαι τούς ευσεβείς

Η πάντων ζωαρχική, αιτία καί δύναμις, ποιητική Λόγε τού Θεού, τής επηγγελμένης τοίς Μάρτυσι τρυφής, τάς ψυχάς αξίωσον, τών μεταστάντων δούλων σου, ο Θεός τών Πατέρων ημών.

Στίχ. Πρεσβείαις τών Μαρτύρων σου ανάπαυσον, Κύριε, τάς ψυχάς τών δούλων σου.

Σωμάτων μέν ως φθαρτών, ευτόνως ηυλόγησαν, οι ευκλεείς Μάρτυρες Χριστού, νύν δέ παρρησία πρεσβεύουσι πρός σέ. Τάς ψυχάς ανάπαυσον, τών κοιμηθέντων δούλων σου, ο Θεός τών Πατέρων ημών.

Στίχ. Αί ψυχαί αυτών εν αγαθοίς αυλισθήσονται.

Καλάμω τώ τού Σταυρού, υπέγραψας άφεσιν, αμαρτιών πάσι τοίς πιστοίς, ής νύν τάς ψυχάς, ών μετέστησας πρός σέ, μετασχείν αξίωσον, εν ευφροσύνη ψάλλειν σοι. Ο Θεός τών Πατέρων ημών.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ο Λόγος ο τού Πατρός, ο πάντα βουλήματι, δημιουργών, φύσιν τών βροτών, τήν συγκεχωσμένην τοίς πάθεσιν ευρών, ως Θεός ανέπλασεν. Ευλογημένος Πάναγνε, ο καρπός τής κοιλίας σου.

Ωδή η'

Ο Ειρμός

Τόν υπ' Αγγέλων ασιγήτως, εν υψίστοις δοξαζόμενον Θεόν, οι ουρανοί τών ουρανών, γή καί όρη καί βουνοί, καί βυθός καί πάν γένος ανθρώπων, ύμνοις αυτόν ως Κτίστην, καί Λυτρωτήν ευλογείτε.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Επιφοραίς τών αλγηδόνων, καί τών πόνων επιδόσεσι, περιστατούμενοι σφοδρώς, ουκ ηρνήσασθε τήν όντως ζωήν, Κυρίου Αθλοφόροι, ουδέ γλυπτοίς ενείματε, πονηρότατον σέβας.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Λύχνοι καθάπερ εν λυχνία, επικείμενοι σεπτών αρετών, πάσαν αυγάζετε τήν γήν, άπαν σκότος εκδιώκοντες τής πλάνης, Αθλοφόροι ιερουργοί, τών ουρανίων Νόων συμπολίται.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Οι αξιέπαινοι Προφήται, τών Οσίων ο κατάλογος, τών Γυναικών ο ιερός, Αθλησάντων θείος όμιλος, υμνείσθωσαν αξίως, υπέρ ημών πρεσβεύοντες, τώ Χριστώ καί Σωτήρι.

Νεκρώσιμον

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Σύ η ζωή τών ζώντων Κύριε, ούς εκ γής πιστώς μετέστησας, μετά αγίων εν φωτί, τού προσώπου

σου ανάπαυσον, συγχώρησιν πταισμάτων, διά πολλήν παρέχων τούτοις, Κύριε ευσπλαγχνίαν.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Η πανύμνητος Παρθένος, Προφητών τό περιήχημα, Ιεραρχών καί Αθλητών, καί Οσίων εγκαλλώπισμα, Γυναίων τε αγίων η χαρμονή, υμνείσθω χρεωστικώς εις αιώνας.

Κανών εις Κοιμηθέντας

Ο Ειρμός

Λατρεύειν ζώντι Θεώ, οι εν Βαβυλώνι Παίδες προσκαρτερήσαντες, μουσικών οργάνων κατεφρονησαν, καί φλογός μέσον εστώτες, θεοτερπή ύμνον αναμέλποντες έλεγον. Ευλογείτε πάντα τά έργα Κυρίου τόν Κύριον.

Στίχ. Πρεσβείαις τών Μαρτύρων σου ανάπαυσον, Κύριε, τάς ψυχάς τών δούλων σου.

Υπάρχων ο θησαυρός, τής αθανασίας σύ ζωαρχικώτατε, τοίς θνητοίς αφθαρσίαν κατήγγειλας, ήν τοίς σοίς Μάρτυσι Χριστέ, τοίς ευσεβώς πίστει σοι βοώσι δεδώρησαι. Ευλογείτε πάντα τά έργα Κυρίου τόν Κύριον.

Στίχ. Αί ψυχαί αυτών εν αγαθοίς αυλισθήσονται.

Σοφία πνευματική, καί υπομονή τών έργων, οι στερρότατοι Αθληταί, τών βασάνων καταπτύσαντες, ταίς ψυχαίς τών μεταστάντων παρά Χριστού, άνεσιν αιτούνται, κραυγάζοντες. Ευλογείτε πάντα τά έργα Κυρίου τόν Κύριον.

Στίχ. Μακάριοι ούς εξελέξω καί προσλάβω Κύριε.

Ιλάσθητι Αγαθέ, λόγχη τής πλευράς σου, ρήξας τό χειρόγραφον, τών πρός σέ μεταστάντων, καί μεσότοιχον καθελών τό τών πταισμάτων, υμνολογείν σε ούς προσελάβου ευδόκησον. Ευλογείτε πάντα τά έργα Κυρίου τόν Κύριον.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νεφέλην σε νοητήν, τοίς προκεκοιμημένοις δίψει τής νεκρώσεως, ύδωρ ζών τής αφέσεως πηγάζουσαν, καί θνητοίς αθανασίαν διηνεκή, πάσι τοίς βοώσι παρέχουσαν, Ευλογούμεν ευλογημένη Παρθένε τόν Τόκον σου.

Ωδή θ'

Ο Ειρμός

Εν Σιναίω τώ όρει κατείδέ σε, εν τή βάτω Μωϋσής, τήν αφλέκτως τό πύρ τής θεότητος, συλλαβούσαν έν γαστρί, Δανιήλ δέ σε είδεν, όρος αλατόμητον, ράβδον βλαστήσασαν, Ησαϊας κέκραγε, τήν εκ ρίζης Δαυϊδ.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ιερεία καθάπερ προσήχθητε, τώ τυθέντι δι' ημάς, καί τούς θείους ναούς επληρώσατε, τών Αγγέλων χαρμονής, Αθλοφόροι Κυρίου, διό ταίς ευχαίς υμών πάντες στηρίξατε, καί τής τού εχθρού βλαβεράς, πλάνης ρύσασθε.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ως φωστήρες ζωής λόγον έχοντες, εφωτίσατε ψυχάς, Ιεράρχαι Χριστού ιερώτατοι, θείας δόξης κοινωνοί, ως τό πύρ δεδεγμένοι, τού Πνεύματος Όσιοι, πάθη εφλέξατε, καί τήν τών δαιμόνων, πυράν ηφανίσατε.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Σύν Προφήταις αγίοις τιμήσωμεν, τών Οσίων τήν πληθύν, τούς πρό νόμου εκλάμψαντας νόμω τε, πολιτεία καθαρά. Γυναικών τε αγίων, τούς χορούς αινέσωμεν καί εκβοήσωμεν, Κύριε, πρεσβείαις αυτών, σώσον πάντας ημάς.

Νεκρώσιμον

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Η ταφή σου Χριστέ καί Ανάστασις, πάντων γέγονε ζωή, διά τούτο τολμώντες βοώμέν σοι. Μετά πάντων εκλεκτών, ούς πιστώς προσελάβου, δούλους σου ανάπαυσον, τούτων τά πταίσματα, πάντα συγχωρών, ως Θεός καί φιλάνθρωπος.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φοβερός ούτος τόπος εβόησεν, Οπηνίκα Ιακώβ, σού τόν τύπον έν κλίμακι έβλεψε, Θεοτόκε αψευδώς, τών Μαρτύρων η δόξα, Οσίων τό καύχημα, Αγγέλων αγλάϊσμα, πάντων Προφητών, καί πιστών τό διάσωσμα.

Κανών εις Κοιμηθέντας

Ο Ειρμός

Τήν εν βάτω καί πυρί, προγραφείσαν εν Σινά τώ νομοθέτη Μωσή, καί τό θείον εν γαστρί, αφλέκτως συλλαβούσαν πύρ, τήν ολόφωτον καί άσβεστον λαμπάδα, τήν μόνην Θεοτόκον, εν ύμνοις τιμώντες μεγαλύνομεν.

Στίχ. Πρεσβείαις τών Μαρτύρων σου ανάπαυσον, Κύριε, τάς ψυχάς τών δούλων σου.

Νύν ως μόνος αγαθός, καί φιλάνθρωπος Θεός, τούς μεταστάντας πρός σέ, τών Μαρτύρων ταίς λιταίς, εν χώρα τών πραέων γής κατασκήνωσον, τήν λύσιν τών πταισμάτων παρέχων, Ελεήμον αυτοίς, διά μέγα καί πλούσιον έλεος.

Στίχ. Αί ψυχαί αυτών εν αγαθοίς αυλισθήσονται.

Εν Αγίων σου σκηναίς, εν τοίς κόλποις Αβραάμ, ούς προσελάβου Σωτήρ, συναρίθμησον τοίς σοίς δικαίοις, ένθα λάμπει τό φώς, τού προσώπου σου, τό άχραντον καί θείον, καί μένει δι' αιώνος, η όντως αϊδιος αγαλλίασις.

Στίχ. Μακάριοι ούς εξελέξω καί προσλάβω Κύριε.

Μακαρίας σου ζωής, αιωνίων αγαθών, ακαταπαύστου τρυφής, ευφροσύνης αληθούς, αξίωσον τούς δούλους σου, ούς μετέστησας βουλήσει ζωοδότα, εν τόπω τώ τής χλόης, επί τών υδάτων τής αναπαύσεως.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ως αγία Κιβωτός, μαρτυρίου τε Σκηνή, τόν ζωοδότην Θεόν, υπεδέξω εν γαστρί, Παναμώμητε τόν Κτίστην σου, τήν απόφασιν κατάρας τής αρχαίας, καί νόμον τού θανάτου, ιδίω θανάτω αναμοχλεύσαντα.

Στιχηρά τών Αίνων Μαρτυρικά

Ήχος γ'

Στίχ. Αινείτε αυτόν εν ήχω σάλπιγγος, αινείτε αυτόν εν ψαλτηρίω καί κιθάρα.

Βασιλέων καί τυράννων, τόν φόβον απώσαντο οι Χριστού στρατιώται, καί ευθαρσώς καί ανδρείως αυτόν ωμολόγησαν, τών απάντων Κύριον, Θεόν καί Βασιλέα ημών, καί πρεσβεύουσιν υπέρ τών ψυχών ημών.

Στίχ. Αινείτε αυτόν εν τυμπάνω καί χορώ, αινείτε αυτόν εν χορδαίς καί οργάνω.

Αι Δυνάμεις τών αγίων Αγγέλων, εθαύμασαν τών μαρτύρων τούς άθλους, ότι σώμα θνητόν περικείμενοι, βασάνων κατεφρόνησαν, μιμηταί γενόμενοι, τού πάθους τού Σωτήρος ημών, καί πρεσβεύουσιν υπέρ τών ψυχών ημών.

Στίχ. Αινείτε αυτόν εν κυμβάλοις ευήχοις, αινείτε αυτόν εν κυμβάλοις αλαλαγμού. Πάσα πνοή αινεσάτω τόν Κύριον.

Ως φωστήρες εν κόσμω λάμπετε, καί μετά θάνατον άγιοι Μάρτυρες, τόν αγώνα τόν καλόν αγωνισάμενοι. διό έχοντες παρρησίαν, Χριστόν ικετεύσατε, ελεηθήναι τάς ψυχάς ημών.

Νεκρώσιμον

Στίχ. Μακάριοι ούς εξελέξω καί προσελάβου, Κύριε.

Άνθρωποι, τί μάτην ταραττόμεθα; ο δρόμος βραχύς εστιν, όν τρέχομεν, καπνός υπάρχει ο βίος, ατμίς καί τέφρα καί κόνις, πρός ολίγον φαινόμενος, καί ταχέως αχρειούμενος, διό Χριστώ τώ αθανάτω Βασιλεί βοήσωμεν. Τούς μεταστάντας εξ ημών ανάπαυσον, ένθα πάντων εστίν, ευφραινομένων η κατοικία εν σοί.

Δόξα... Καί νύν... Θεοτοκίον

Αγιόπρωτε σεμνή, εγκώμιον ούσα τών ουρανίων Ταγμάτων, Αποστόλων, υμνωδία, Προφητών περιοχή, Δέσποινα πρόσδεξαι, καί ημών τάς δεήσεις.

Απόστιχα τών Αίνων, Νεκρώσιμα

Ήχος γ'

Τώ τύπω τού σταυρού

Δοξάζω τόν σταυρόν σου τόν τίμιον, δι' ού ζωή δεδώρηται, καί τρυφής η απόλαυσις, τοίς εν πίστει καί πόθω, σέ υμνούσι μόνε πολυέλεε, διό βοώμέν σοι, Χριστέ ο Θεός, τούς μεταστάντας εξ ημών ανάπαυσον, ένθα πάντων εστίν, ευφραινομένων η κατοικία εν σοί, δοξάζειν σου τήν θεότητα.

Στίχ. α'. Μακάριοι ούς εξελέξω καί προσλάβω Κύριε.

Ο μόνος ελεήμων καί εύσπλαγχνος, ο έχων ακατάληπτον αγαθότητος πέλαγος, ο γινώσκων τήν φύσιν τών ανθρώπων, ήν εδημιούργησας, σέ Ικετεύομεν, Χριστέ ο Θεός, τούς μεταστάντας εξ ημών ανάπαυσον, ένθα πάντων εστίν, ευφραινομένων η κατοικία εν σοί, δοξάζειν σου τήν θεότητα.

Στίχ. β'. Αί ψυχαί αυτών εν αγαθοίς αυλισθήσονται.

Υπνώσας εν τώ τάφω ως άνθρωπος, δυνάμει αηττήτω σου, ως Θεός εξανέστησας, τούς εν τάφοις υπνούντας, ασιγήτως ύμνον σοι προσφέροντας, διό βοώμέν σοι Χριστέ ο Θεός, τούς μεταστάντας εξ ημών ανάπαυσον, ένθα πάντων εστίν, ευφραινομένων η κατοικία εν σοί, δοξάζειν σου τήν θεότητα.

Δόξα... Καί νύν... Θεοτοκίον

Λαμπάδα νοητήν σε βαστάζουσαν, τό φέγγος τής θεότητος, ομιλήσαν παχύτητι, τής ανθρώπων ουσίας Θεοτόκε, πάντες επιστάμεθα, διό τόν σόν δυσώπησον Υιόν καί Θεόν, τούς μεταστάντας εξ ημών αυλίζεσθαι, ένθα πάντων εστίν, ευφραινομένων η κατοικία Αγνή, δοξάζειν σε τήν Πανάμωμον.

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Οι Μακαρισμοί

Μακάριοι οι ειρηνοποιοί, ότι αυτοί υιοί Θεού κληθήσονται.

Αθετήσαντα Χριστέ, τήν εντολήν σου, τόν προπάτορα Αδάμ, τού Παραδείσου εξώρισας, τόν δέ Ληστήν Οικτίρμον, Ομολογήσαντά σε εν Σταυρώ, εν αυτώ εισώκισας κράζοντα. Μνήσθητί μου Σωτήρ, εν τή Βασιλεία σου.

Μακάριοι οι δεδιωγμένοι ένεκεν δικαιοσύνης, ότι αυτών εστιν η βασιλεία τών ουρανών.

Τώ πυρί τών αικισμών, προσομιλούντες, Αθλοφόροι τού Χριστού, δρόσον ουράνιον εύρατε, επαναψύχουσάν τε, καί δυναμούσαν φέρειν τής σαρκός, τάς οδύνας, όθεν κουφίζετε, πάντα πόνον αεί, από τών ψυχών ημών.

Μακάριοί εστε όταν ονειδίσωσιν υμάς, καί διώξωσι, καί είπωσι πάν πονηρόν ρήμα καθυμών ψευδόμενοι ένεκεν εμού.

Ιεράρχαι ιεροί, Προφήται ένδοξοι, Οσίων η πληθύς, Γυναίων θείων ομήγυρις, εναθλησάντων πίστει, καί καθελόντων πλάνην τού εχθρού, ουρανίου δόξης επέτυχον, ών πρεσβείαις Σωτήρ, οίκτειρον τούς δούλους σου.

Χαίρετε καί αγαλλιάσθε, ότι ο μισθός υμών πολύς εν τοίς ουρανοίς.

Ένθα λάμπει σου τό φώς, εν ταίς σκηναίς, τών εκλεκτών σου ο Θεός, όπου τρυφή η αέναος, τούς εξ ημών εν πίστει, μετατεθέντας τάξον Ιησού, παρορών τά τούτων εγκλήματα, ίνα σε εκτενώς, Δέσποτα δοξάζωμεν.

Δόξα...

Τήν προσώποις εν τρισί, προσκυνουμένην, μίαν άναρχον πιστοί, θείαν Μονάδα δοξάσωμεν, όπως αξιωθώμεν, αμαρτιών αφέσεως τυχείν, καί τής Βασιλείας τευξώμεθα, ανυμνούντες αυτής, τό άπειρον έλεος.

Καί νύν... Θεοτοκίον

Φωτισμός καί ιλασμός, εκ σού επέφανεν ο πάντων Λυτρωτής, θεοχαρίτωτε Δέσποινα, όν εκτενώς δυσώπει, εν τή μελλούση δίκη φοβερά, καταδίκης πάσης λυτρώσασθαι, Άχραντε τούς πιστώς, πάντοτε υμνούντάς σε.

top

4-1

## ΤΩ ΣΑΒΒΑΤΩ ΕΣΠΕΡΑΣ

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

### Στιχηρά Αναστάσιμα τής Οκτωήχου

Ηχος δ'

Τόν ζωοποιόν σου Σταυρόν, απαύστως προσκυνούντες Χριστέ ο Θεός, τήν τριήμερόν σου Ανάστασιν δοξάζομεν, δι' αυτής γάρ ανεκαίνισας, τήν καταφθαρείσαν τών ανθρώπων φύσιν Παντοδύναμε, καί τήν εις ουρανούς άνοδον, καθυπέδειξας ημίν, ως μόνος αγαθός καί φιλάνθρωπος. (Δίς)

Τού ξύλου τής παρακοής, τό επιτόμον έλυσας Σωτήρ, τώ ξύλω τού Σταυρού εκουσίως προσηλωθείς, καί εις Άδου κατελθών Δυνατέ, τού θανάτου τά δεσμά, ως Θεός, διέρρηξας, διό προσκυνούμεν την εκ νεκρών σου Ανάστασιν, εν αγαλλιάσει βοώντες, Παντοδύναμε Κύριε δόξα σοι.

Πύλας Άδου συνέτριψας Κύριε, καί τώ σώ θανάτω, τού θανάτου τό βασίλειον έλυσας, γένος δέ τό ανθρώπινον, εκ φθοράς ηλευθέρωσας, ζωήν καί αφθαρσίαν τώ κόσμω δωρησάμενος, καί τό μέγα έλεος.

Δόξα... Καί νύν...
Θεοτοκίον Δογματικόν
Ήχος δ'

Ασπόρως συνέλαβες, καί εκύησας αφράστως, τόν καθελόντα δυνάστας από θρόνου, καί υψούντα ταπεινούς, καί εγείροντα κέρας πιστών αυτού, τούς δοξάζοντας Χριστού, τόν Σταυρόν καί τήν Ταφήν, καί τήν ένδοξον Ανάστασιν, διό σε Θεοτόκε, τήν πρόξενον τών τοσούτων αγαθών, ασιγήτοις εν ωδαίς μακαρίζομεν, ως πρεσβεύουσαν αεί, τού σωθήναι τάς ψυχάς ημών.

Απόστιχα Προσόμοια τής Θεοτόκου
Ο εξ Υψίστου κληθείς
Στίχ. Μνησθήσομαι τού ονόματός σου εν πάση γενεά καί γενεά.

Ο εξ ανάρχου Πατρός Υιός αχρόνως, διά συγκατάβασιν καί σωτηρίαν βροτών, Θεός ών άνθρωπος γέγονεν, ίνα παράσχη, τώ πρωτοπλάστω νύν τόν Παράδεισον, άμα καί τήν άπασαν, φύσιν λυτρώσηται, εκ τής απάτης τού όφεως, καί τήν εικόνα, πεσούσαν σώση ως ευδιάλλακτος, όθεν Μητέρα απειργάσατο, νυμφοτόκον Αγνήν τήν αμόλυντον, ήν ως άγκυραν πάντες, τών ψυχών ημών κεκτήμεθα.

Στιχ. Άκουσον, θύγατερ, καί ίδε, καί κλίνον τό ούς σου, καί επιλάθου τού λαού σου καί τού οίκου τού Πατρός σου.

Σωματωθέντα τόν κτίστην τών απάντων, έσχες εν τή μήτρα σου θεομακάριστε, αναμορφούντα τόν άνθρωπον, τόν πρίν πεσόντα, τή παραβάσει διά τού όφεως, Θεόν γάρ γεγέννηκας, σαρκί αφράστως ημών, καί τής φθοράς ηλευθέρωσας, τήν φύσιν πάσαν, παλαιωθείσαν, διά τού τόκου σου, διό υμνούμεν καί δοξάζομεν, σού τήν χάριν Παρθένε ανύμφευτε, δυσωπούντες ρυσθήναι, διά σού πάσης κολάσεως.

Στιχ. Τό πρόσωπόν σου λιτανεύσουσιν οι πλούσιοι τού λαού.

Ίνα σου πάσι τό πλήθος τού ελέους, καί τής αγαθότητος ανακαλύψης ημίν, τό αδιόριστον πέλαγος, τάς αμαρτίας, τών οικετών σου πάσας εξάλειψον, έχεις γάρ Πανάμωμε, ως Μήτηρ ούσα Θεού, τήν εξουσίαν τής κτίσεως, καί διεξάγεις, πάντα ως θέλεις τή δυναστεία σου, καί γάρ η χάρις η τού Πνεύματος, τού Αγίου σαφώς ενοικούσά σοι, συνεργεί σοι εν πάσιν, αενάως Παμμακάριστε.

Δόξα... Καί νύν... Θεοτοκίον
Ήχος δ'

Ο σύν Πατρί καί Πνεύματι δοξολογούμενος Υιός, εν υψίστοις υπό τών Σεραφείμ, τόν Πρωτόπλαστον αναπλάσαι βουλόμενος, όλον εαυτόν εκένωσεν αφράστως εν μήτρα σου, Θεοτόκε Πανύμνητε, καί εκ σού ανατείλας, εφώτισε πάντα τόν κόσμον θεότητι, ρυσάμενος ειδωλομανίας, καί εν εαυτώ Θεώσας, εις ουρανούς ανήγαγε τό ανθρώπινον, Χριστός ο Θεός καί Σωτήρ τών ψυχών ημών.

Απολυτίκιον Ήχος δ'

Τό φαιδρόν τής Αναστάσεως κήρυγμα, τού Αγγέλου μαθούσαι αι τού Κυρίου Μαθήτριαι, καί τήν προγονικήν απόφασιν απορρίψασαι, τοίς Αποστόλοις καυχώμεναι έλεγον, Εσκύλευται ο θάνατος, ηγέρθη Χριστός ο Θεός, δωρούμενος τώ κόσμω τό μέγα έλεος.

Δόξα... Καί νύν... Θεοτοκίον

Τό απ' αιώνος απόκρυφον, καί Αγγέλοις άγνωστον μυστήριον, διάσού Θεοτόκε τοίς επί γής πεφανέρωται, Θεός εν ασυγχύτω ενώσει σαρκούμενος, καί Σταυρόν εκουσίως υπέρ ημών καταδεξάμενος, δι' ού αναστήσας τόν πρωτόπλαστον, έσωσεν εκ θανάτου τάς ψυχάς ημών.

ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Ήχος δ'

Τόν ζωοποιόν σου Σταυρόν, απαύστως προσκυνούντες Χριστέ ο Θεός, τήν τριήμερόν σου Ανάστασιν δοξάζομεν, δι' αυτής γάρ ανεκαίνισας, τήν καταφθαρείσαν τών ανθρώπων φύσιν Παντοδύναμε, καί τήν εις ουρανούς άνοδον, καθυπέδειξας ημίν, ως μόνος αγαθός καί φιλάνθρωπος.

- εμέ υπομενούσι δίκαιοι, έως ου ανταποδώς μοι.

Τού ξύλου τής παρακοής, τό επιτόμον έλυσας Σωτήρ, τώ ξύλω τού Σταυρού εκουσίως προσηλωθείς, καί εις Άδου κατελθών Δυνατέ, τού θανάτου τά δεσμά, ως Θεός, διέρρηξας, διό προσκυνούμεν την εκ νεκρών σου Ανάστασιν, εν αγαλλιάσει βοώντες, Παντοδύναμε Κύριε δόξα σοι.

- εκ βαθέων εκέκραξά σοι, Κύριε, Κύριε εισάκουσον τής φωνής μου.

Πύλας Άδου συνέτριψας Κύριε, καί τώ σώ θανάτω, τού θανάτου τό βασίλειον έλυσας, γένος δέ τό

ανθρώπινον, εκ φθοράς ηλευθέρωσας, ζωήν καί αφθαρσίαν τώ κόσμω δωρησάμενος, καί τό μέγα έλεος.

- γενηθήτω τά ώτά σου προσέχοντα εις τήν φωνήν τής δεήσεώς μου.

Δεύτε ανυμνήσωμεν λαοί, τήν τού Σωτήρος τριήμερον Έγερσιν, δι' ως ελυτρώθημεν τών τού Άδου αλύτων δεσμών, καί αφθαρσίαν καί ζωήν, πάντες ελάβομεν κράζοντες, ο σταυρωθείς, καί ταφείς, καί αναστάς, σώσον ημάς τή Αναστάσει σου, μόνε Φιλάνθρωπε.

- εάν ανομίας παρατηρήσης, Κύριε, Κύριε τίς υποστήσεται; ότι παρά σοί ο ιλασμός εστιν.

Άγγελοι καί άνθρωποι Σωτήρ, τήν σήν υμνούσι τριήμερον Έγερσιν, δι' ως κατηυγάσθη τής οικουμένης τά πέρατα, καί δουλείας τού εχθρού, πάντες ελυτρώθημεν κράζοντες, Ζωοποιέ παντοδύναμε Σωτήρ, σώσον ημάς τή Αναστάσει σου, μόνε Φιλάνθρωπε.

- ένεκεν τού ονόματός σου υπέμεινά σε, Κύριε, υπέμεινεν η ψυχή μου εις τόν λόγον σου, ήλπισεν η ψυχή μου επί τόν Κύριον.

Πύλας χαλκάς συνέτριψας, καί μοχλούς συνέθλασας Χριστέ ο Θεός, καί γένος ανθρώπων πεπτωκός ανέστησας, διά τούτο συμφώνως βοώμεν, ο αναστάς εκ τών νεκρών, Κύριε δόξα σοι.

- από φυλακής πρωίας μέχρι νυκτός, από φυλακής πρωίας, ελπισάτω Ισραηλ επί τόν Κύριον.

Κύριε η εκ Πατρός σου γέννησις, άχρονος υπάρχει καί αϊδιος, η εκ Παρθένου σάρκωσις, άφραστος ανθρώποις καί ανερμήνευτος, καί η εις άδου κάθοδος, φοβερά διαβόλω καί τοίς Αγγέλοις αυτού, θάνατον γάρ πατήσας, τριήμερος ανέστης, αφθαρσίαν παρέχων ανθρώποις, και τό μέγα έλεος.

- ότι παρά τώ Κυρίω τό έλεος καί πολλή παρ' αυτώ λύτρωσις' καί αυτός λυτρώσεται τόν Ισραηλ εκ πασών τών ανομιών αυτού.
- αινείτε τόν κύριον πάντα τά έθνη επαινέσατε αυτόν πάντες οι λαοί.
- ότι εκραταιώθη τό έλεος αυτού εφ' ημάς, καί η αλήθεια τού κυρίου μένει εις τόν αιώνα.

### Θεοτοκίον

Ο διά σέ Θεοπάτωρ προφήτης Δαυϊδ, μελωδικώς περί σού προανεφώνησε, τώ μεγαλεία σοι ποιήσαντι, Παρέστη η Βασίλισσα εκ δεξιών σου. Σέ γάρ μητέρα πρόξενον ζωής ανέδειξεν, ο απάτωρ εκ σού ενανθρωπήσαι ευδοκήσας Θεός, ίνα τήν εαυτού αναπλάση εικόνα, φθαρείσαν τοίς πάθεσι, καί τό πλανηθέν ορειάλωτον ευρών, πρόβατον τοίς ώμοις αναλαβών, τώ Πατρί προσαγάγη, καί τώ ιδίω θελήματι, ταίς ουρανίαις συνάψη Δυνάμεσι, καί σώση Θεοτόκε τόν κόσμον, Χριστός ο έχων, τό μέγα καί πλούσιον έλεος.

### Ήχος δ'

Κύριε ανελθών εν τώ σταυρώ, τήν προγονικήν ημών κατάραν εξήλειψας, καί κατελθών εν τώ άδη, τούς απ' αιώνος δεσμίους ηλευθέρωσας, αφθαρσίαν δωρούμενος τών ανθρώπων τώ γένει, διά τούτο υμνούντες δοξάζομεν, τήν ζωοποιόν καί σωτήριόν σου Έγερσιν.

- Ο Κύριος εβασίλευσεν, ευπρέπειαν ενεδύσατο, ενεδύσατο Κύριος δύναμιν καί περιεζώσατο.

Κρεμάμενος επί ξύλου μόνε Δυνατέ, πάσαν κτίσιν εσάλευσας, τεθείς εν τάφω δέ, τούς κατοικούντας εν τάφοις ανέστησας, αφθαρσίαν καί ζωήν δωρούμενος, τώ γένει τών ανθρώπων, διό υμνούντες δοξάζομεν, τήν τριήμερόν σου Έγερσιν.

- καί γάρ εστερέωσεν τήν οικουμένην, ήτις ου σαλευθήσεται.

Λαός παράνομος Χριστέ, σέ προδούς τώ Πιλάτω, σταυρωθήναι κατεδίκασεν, αγνώμων περί τόν ευεργέτην φανείς, αλλ' εκών υπέμεινας ταφήν, αυτεξουσίως ανέστης τριήμερος, ως Θεός δωρούμενος ημίν, ατελεύτητον ζωήν, και τό μέγα έλεος.

- τώ οίκω σου πρέπει αγίασμα, Κύριε εις μακρότητα ημερών.

Μετά δακρύων Γυναίκες, καταλαβούσαι τό μνήμα σέ επεζήτησαν, μή ευρούσαι δέ, ολοφυρόμεναι, μετά κλαυθμού βοώσαι έλεγον, Οίμοι Σωτήρ ημών, Βασιλεύ τών απάντων, πώς εκλάπης; ποίος δέ τόπος κατέχει τό ζωηφόρον σώμά σου, Άγγελος δέ πρός αυτάς απεκρίνατο. Μή κλαίετε φησίν, αλλ' απελθούσαι κηρύξατε, ότι ανέστη ο Κύριος, παρέχων ημίν αγαλλίασιν, ως μόνος εύσπλαγχνος.

### Θεοτοκίον

Νεύσον παρακλήσει σών οικετών Πανάμωμε, παύουσα δεινών ημών επαναστάσεις, πάσης θλίψεως ημάς απαλλάττουσα, σέ γάρ μόνην ασφαλή, καί βεβαίαν άγκυραν έχομεν, καί τήν σήν προστασίαν κεκτήμεθα, Μή αισχυνθώμεν Δέσποινα, σέ προσκαλούμενοι, σπεύσον εις ικεσίαν, τών σοί πιστώς βοώντων, Χαίρε Δέσποινα, η πάντων βοήθεια, χαρά καί σκέπη, καί σωτηρία τών ψυχών ημών.

Απολυτίκιον Ήχος δ'

Τό φαιδρόν τής Αναστάσεως κήρυγμα, τού Αγγέλου μαθούσαι αι τού Κυρίου Μαθήτριαι, καί τήν προγονικήν απόφασιν απορρίψασαι, τοίς Αποστόλοις καυχώμεναι έλεγον, Εσκύλευται ο θάνατος, ηγέρθη Χριστός ο Θεός, δωρούμενος τώ κόσμω τό μέγα έλεος.

Θεοτοκίον

Τό απ' αιώνος απόκρυφον, καί Αγγέλοις άγνωστον μυστήριον, διάσού Θεοτόκε τοίς επί γής πεφανέρωται, Θεός εν ασυγχύτω ενώσει σαρκούμενος, καί Σταυρόν εκουσίως υπέρ ημών καταδεξάμενος, δι' ού αναστήσας τόν πρωτόπλαστον, έσωσεν εκ θανάτου τάς ψυχάς ημών.

## ΕΝ ΤΩ ΜΕΣΟΝΥΚΤΙΚΩ

Κανών Τριαδικός, ού η Ακροστιχίς:
Τέταρτος ύμνος τώ Θεώ, Μητροφάνους.

Ωδή α' Ο Ειρμός
Θαλάσσης τό ερυθραίον

Τριάδα θεαρχικήν δοξάσωμεν, ταίς υποστάσεσι, μοναδικήν δέ φύσιν τών τριών, συναϊδιον σύνθρονον, ήν δυσωπούντες λέγομεν. Σώσον τούς πίστει σε δοξάζοντας.

Εχρίσθης υπό Πατρός τώ Πνεύματι, αγαλλιάσεως, θεουργικώ ελαίω ο Υιός, καί βροτός εχρημάτισας, καί τής μιάς θεότητος, τό τρισυπόστατον εδίδαξας.

Τό κάλλος τής απροσίτου δόξης σου, Μονάς τρισήλιε, τά Σεραφείμ ου φέροντα οράν, συγκαλύπτονται πτέρυξι, καί τρισαγίοις άσμασιν, ακαταπαύστως σε δοξάζουσι.

Θεοτοκίον

Αφράστως τόν ποιητήν γεγέννηκας, τών όλων Πάναγνε, τής παλαιάς λυτρούμενον αράς, τούς βροτούς καί θανάτου φθοράς, καί διά σού επέγνωμεν, ένα Θεόν τόν τρισυπόστατον.

Ωδή γ' Ουκ εν σοφία

Ρώμην εξ ύψους, τοίς αγίοις τό πρίν Αποστόλοις σου, ως απέστειλας Χριστέ, παρά Πατρός τόν Παράκλητον, τήν μίαν ενέφηνας, φύσιν τρισήλιον.

Τώ Πατριάρχη, Αβραάμ ότε ώφθης, εν σχήματι, ανδρικώ, τριττή μονάς, τό απαράλλακτον έδειξας, τής σής αγαθότητος, καί κυριότητος.

Ο χαρακτήρσιν, εν τρισίν είς Θεός πιστευόμενος, απερίγραπτος σαφώς, απερινόητος άπασι, ρύσαι τάς ψυχάς ημών, εκ πάσης θλίψεως.

Θεοτοκίον

Στοιχειωθέντες, τού Υιού σου σοφαίς εισηγήσεσιν, ενικήν καί τριλαμπή, τήν θεαρχίαν δοξάζομεν, καί σέ μακαρίζομεν, τήν Αειπάρθενον.

Κάθισμα
Ταχύ προκατάλαβε

Τρισήλιε άκτιστε, καί ομοούσιε, Μονάς τρισυπόστατε, καί ακατάληπτε, τούς δούλους σου οίκτειρον, τών κινδύνων σώσον εκ, ως Θεός ελεήμων, σέ γάρ Κύριε μόνον, λυτρωτήν καί δεσπότην, κεκτήμεθα βοώντες. Γενού ημίν ίλεως.

Δόξα... Καί νύν... Θεοτοκίον

Πολλαίς περιστάσεσι, καί συμφοραίς τών δεινών, Παρθένε κυκλούμενοι, καί πρός απόγνωσιν, αεί περιπίπτοντες, μόνην σε σωτηρίαν, καί ελπίδα καί τείχος, έχομεν Θεοτόκε, καί πρός σέ καταχρέως, εν πίστει καί νύν προστρέχομεν. Σώσον τούς δούλους σου.

Ωδή δ' Ο καθήμενος έν δόξη

Υπερούσιον Τριάδα, εν μονάδι θεότητος, καί κυριαρχίαν, σύν τοίς Σεραφείμ σε δοξάζομεν, ως αδιαίρετον φύσιν, ως ασύγχυτον, ως ισόρροπον, δόξη Θεέ ακατάληπτε.

Μεριστήν ούσαν αφράστως, τοίς προσώποις θεότητα, καί ταυτιζομένην, άμα τή μιά κυριότητι, απεριόριστον, μόνην, απερίγραπτον, ανυμνούμέν σε, τόν ποιητήν πάσης κτίσεως.

Τούς ο άναρχος τόν Λόγον, απορρήτως γεγέννηκε, καί τό θείον Πνεύμα, τό ισοσθενές εκπεπόρευκε, καί διά τούτο Τριάδα ομοούσιον, τόν Δεσπότην τών όλων, Θεόν καταγγέλλομεν.

Θεοτοκίον

Οπτανόμενος τοίς πάλαι, τυπικώς προκατήγγειλε, τήν εκ σού Παρθένε, σάρκωσιν ο Λόγος, αλλ' ύστερον, επιφανείς τοίς ανθρώποις κατ' αλήθειαν, τρισυπόστατον, μίαν αρχήν εφανέρωσε.

Ωδή ε'  Εξέστη τά σύμπαντα

Συνέντες εκ πίστεως, τής παντουργού θεότητος, μίαν μέν απρόσιτον ουσίαν, τρείς δ' υποστάσεις, ζωαρχικάς συμφυείς, σέβομεν Πατέρα, καί Υιόν, καί Πνεύμα τό Άγιον, συναϊδιον ύπαρξιν.

Τό σέλας τρισήλιον, τής ουσιώδους αίγλης σου, λάμψον ενιαία μοι θεότης, άκτιστε φύσις, καί φωτουργαία πηγή, πάσης φωτοδότιδος αυγής, ίνα κατοπτρίζωμαι, σού τό κάλλος τό άρρητον.

Ως μόνον υπάρχοντα, δημιουργόν τού σύμπαντος, καί συνεκτικόν καί κυβερνήτην, πάνσοφον όντως, καί τής ζωής χορηγόν, γνόντες σε βοώμέν σοι πιστώς. Δέσποτα τρισήλιε, τούς υμνούντάς σε φρούρησον.

Θεοτοκίον

Θεώσαι βουλόμενος, τόν πρίν φθαρέντα άνθρωπον, ο δι' αγαθότητα Παρθένε, πλάσας καί δείξας, εικόνα θείας μορφής, άνθρωπος εγένετο εκ σού, καί μίαν τρισάριθμον, θεαρχίαν κατήγγειλεν.

Ωδή ς'  Εβόησε, προτυπών

Ενέφηνεν, ο Πατήρ εκλαλών τήν υιότητα, καί τό Πνεύμα, τώ Χριστώ βαπτισθέντι ορώμενον, διά τούτο μίαν, καί τριττήν θεαρχίαν δοξάζομεν.

Ως είδέ σε, τρισαγίαις φωναίς ανυμνούμενον, Ησαϊας, υψηλού επί θρόνου καθήμενον, τήν τριττήν επέγνω, τής μιάς θεαρχίας υπόστασιν.

Μετάρσιον, υψηλέ Βασιλεύ τρισυπόστατε, τήν καρδίαν, καί ημών τών σών δούλων ανάδειξον, ίνα τής σής δόξης, θεωρώμεν λαμπρώς τήν φαιδρότητα.

Θεοτοκίον

Ηξίωσε, μορφωθήναι σαφώς τό ημέτερον, εκ Παρθένου, ο Υιός τού Θεού ως φιλάνθρωπος, καί τής θείας δόξης, κοινωνούς τούς ανθρώπους εποίησε.

Κάθισμα

Ταχύ προκατάλαβε

Πατέρα αγέννητον, τόν δέ Υιόν γεννητόν, καί Πνεύμα τό Άγιον, εκπορευτόν εκ Πατρός, φρονούντες κηρύττομεν, άναρχον Βασιλείαν, καί θεότητα μίαν, ήν περ δοξολογούντες, ομοφρόνως βοώμεν, τριάς ομοούσιε, σώσον ημάς ο Θεός.

Δόξα... Καί νύν... Θεοτοκίον

Τόν χρόνων επέκεινα, καί πρό αιώνων Θεόν, εν χρόνω εκύησας, υπερφυώς εν σαρκί, θεάνθρωπον Άχραντε, όθεν σε Θεοτόκον, αληθώς καί κυρίως, πάντες ομολογούντες, εκτενώς σοι βοώμεν. Τής δόξης τής αιωνίου, πάντας αξίωσον.

Ωδή ζ'  Εν τή καμίνω

Τάς τεταγμένας, επουρανίους φύσεις καί νοεράς, τάξεις ορθοδόξως πάντες οι γηγενείς, εκμιμούμενοι δοξάζομεν, μίαν θεότητα, εν τισουργοίς υποστάσεσι.

Ρήσεις αγίων, Υποφητών σε πάλαι συμβολικώς, ένα τών αιώνων πάντων δημιουργόν, προεδήλωσαν ανέκφραστον, Θεόν καί Κύριον, θεαρχικαίς εν τρισίν υποστάσεσιν.

Θεοτοκίον

Ο κατ' ουσίαν, αθεώρητος Λόγος καί Παντουργός, ώφθης τοίς ανθρώποις άνθρωπος, εξ αγνής θεομήτορος, τόν άνθρωπον ανακαλούμενος, πρός μετουσίαν τής θεότητος.

Ωδή η'  Χείρας εκπετάσας Δανιήλ

Φώς μοναρχικόν καί τριλαμπές, ουσία, άναρχε, κάλλος αμήχανον, εν τή καρδία μου οίκησον, καί ναόν τής σής θεότητος, φωτοειδή καί καθαρόν, δείξόν με κράζοντα. Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Από τών ποικίλων με παθών, Τριάς αμέριστε, Μονάς ασύγχυτε, καί τής ζοφώσεως λύτρωσαι, τών πταισμάτων καί καταύγασον, μαρμαρυγαίς σου θεϊκαίς, ίνα φαντάζωμαι τήν σήνδόξαν, καί ανυμνώ σε τής δόξης τόν Κύριον.

Θεοτοκίον

Νούς μέν ο αγέννητος Πατήρ, καί Λόγος σύμμορφος, καί Πνεύμα σύνθρονον, ουσία δύναμις ύπαρξις, υπερούσιε ανέκφραστε, μεγαλουργέ Τριάς Μονάς, φρούρει τήν ποίμνην σου, ταίς πρεσβείαις, τής Θεοτόκου, ως φύσει φιλάνθρωπος.

Ωδή θ'  Άπας γηγενής

Όλην νύν πρός σέ, κινώ τήν καρδίαν μου καί τήν διάνοιαν, καί τάς διαθέσεις δέ, ψυχής απάσας, καί τάς τού σώματος, τόν πλαστουργόν καί ρύστην μου, Μονάρχα τρίφωτε, καί βοώ σοι. Σώσόν με τόν δούλόν σου, πειρασμών εκ παντοίων καί θλίψεων. (Δίς)

Ύψωσον ημών, καί νούν καί διάνοιαν, πρός σέ τόν Ύψιστον, φώτισον ταίς λάμψεσιν, αχράντοις, Πάτερ, Λόγε, Παράκλητε, ο φώς οίκων απρόσιτον, τής δόξης Ήλιε, φωτοκράτορ, πάντοτε δοξάζειν σε, τόν μονάρχην Θεόν τρισυπόστατον.

Θεοτοκίον

Σώσον τούς εις σέ, πιστεύοντας Κύριε, καί καταγγέλλοντας, άναρχον αϊδιον, ουσίαν μίαν, τρία δέ Πρόσωπα, θεαρχικά καί σύμμορφα, τής κυριότητος, καί τής θείας, δόξης σου αξίωσον, ταίς λιταίς τής αγνής Θεομήτορος.

Η Υπακοή  Ήχος δ'

Τά τής σής παραδόξου Εγέρσεως, προδραμούσαι αι Μυροφόροι, τοίς Αποστόλοις εκήρυττον Χριστέ, ότι ανέστης ως Θεός, παρέχων τώ κόσμω τό μέγα έλεος.

ΕΝ ΤΩ ΟΡΘΡΩ

Απολυτίκιον  Ήχος δ'

Τό φαιδρόν τής Αναστάσεως κήρυγμα, τού Αγγέλου μαθούσαι αι τού Κυρίου Μαθήτριαι, καί τήν προγονικήν απόφασιν απορρίψασαι, τοίς Αποστόλοις καυχώμεναι έλεγον, Εσκύλευται ο θάνατος, ηγέρθη Χριστός ο Θεός, δωρούμενος τώ κόσμω τό μέγα έλεος.

Δόξα... Καί νύν... Θεοτοκίον

Τό απ' αιώνος απόκρυφον, καί Αγγέλοις άγνωστον μυστήριον, διάσού Θεοτόκε τοίς επί γής πεφανέρωται, Θεός εν ασυγχύτω ενώσει σαρκούμενος, καί Σταυρόν εκουσίως υπέρ ημών καταδεξάμενος, δι' ού αναστήσας τόν πρωτόπλαστον, έσωσεν εκ θανάτου τάς ψυχάς ημών.

Καθίσματα  Ήχος δ'

Αναβλέψασαι τού τάφου τήν είσοδον, καί τήν φλόγα τού Αγγέλου μή φέρουσαι, αι Μυροφόροι σύν τρόμω εξίσταντο λέγουσαι, Άρα εκλάπη, ο τώ Ληστή ανοίξας Παράδεισον, άρα ηγέρθη, ο καί πρό πάθους κηρύξας τήν Έγερσιν, αληθώς ανέστη Χριστός ο Θεός, τοίς εν άδη παρέχων ζωήν καί ανάστασιν.

Δόξα... Κατεπλάγη Ιωσήφ.

Εκουσία σου βουλή, Σταυρόν υπέμεινας Σωτήρ, καί εν μνήματι καινώ, άνθρωποι έθεντο θνητοί, τόν διά λόγου τά πέρατα συστησάμενον, όθεν δεσμευθείς ο αλλότριος, θάνατος δεινώς εσκυλεύετο, καί οι έν άδη άπαντες εκραύγαζον, τή ζωηφόρω Εγέρσει σου, Χριστός ανέστη, ο ζωοδότης, μένων εις τούς αιώνας.

Καί νύν... Θεοτοκίον

Κατεπλάγη Ιωσήφ, τό υπέρ φύσιν θεωρών, καί ελάμβανεν εις νούν, τόν επί πόκον υετόν εν τή ασπόρω συλλήψει σου Θεοτόκε, βάτον εν πυρί ακατάφλεκτον, ράβδον Ααρών τήν βλαστήσασαν, καί μαρτυρών ο Μνήστωρ σου καί φύλαξ, τοίς Ιερεύσιν εκραύγαζε, Παρθένος τίκτει, καί μετά τόκον, πάλιν μένει παρθένος.

Ταχύ προκατάλαβε Ανέστης ως αθάνατος, από τού άδου Σωτήρ, συνήγειρας τόν κόσμον σου, τή Αναστάσει τή σή, Χριστέ ο Θεός ημών, έθραυσας έν ισχύϊ, τού θανάτου τό κράτος, έδειξας Ελεήμον, τήν Ανάστασιν πάσι, διό σε καί δοξάζομεν, μόνε Φιλάνθρωπε.

Δόξα... Κατεπλάγη Ιωσήφ

Εκ τών άνω κατελθών, τών υψωμάτων Γαβριήλ, καί τή πέτρα προσελθών, ένθα η πέτρα τής ζωής, λευχειμονών ανεκραύγαζε ταίς κλαιούσαις, Παύσασθε υμείς, τής θρηνώδους κραυγής, έχουσαι αεί, τό ευσυμπάθητον, όν γάρ ζητείτε κλαίουσαι, θαρσείτε, ως αληθώς εξεγήγερται, διό βοάτε, τοίς Αποστόλοις, ότι ανέστη ο Κύριος.

Καί νύν... Θεοτοκίον, όμοιον

Κατεπλάγησαν Αγνή, πάντες Αγγέλων οι χοροί, τό Μυστήριον τής σής, κυοφορίας τό φρικτόν, πώς ο τά πάντα συνέχων νεύματι μόνω, αγκάλαις ως βροτός, ταίς σαίς συνέχεται, καί δέχεται αρχήν ο Προαιώνιος, καί γαλουχείται σύμπασαν ο τρέφων, πνοήν αφάτω χρηστότητι, καί σέ ως όντως, Θεού Μητέρα, ευφημούντες δοξάζουσι.

Η Υπακοή  Ήχος δ'

Τά τής σής παραδόξου Εγέρσεως, προδραμούσαι αι Μυροφόροι, τοίς Αποστόλοις εκήρυττον Χριστέ, ότι ανέστης ως Θεός, παρέχων τώ κόσμω τό μέγα έλεος.

Οι Αναβαθμοί  Αντίφωνον Α'

- Εκ νεότητός μου πολλά πολεμεί με πάθη, αλλ' αυτός αντιλαβού, καί σώσον Σωτήρ μου.
- Οι μισούντες Σιών, αισχύνθητε από τού Κυρίου, ως χόρτος γάρ, πυρί έσεσθε απεξηραμμένοι.

Δόξα... Καί νύν...

Αγίω Πνεύματι πάσα ψυχή ζωούται, καί καθάρσει υψούται λαμπρύνεται, τή τριαδική Μονάδι ιεροκρυφίως.

Αντίφωνον Β'

- Εκέκραξά σοι Κύριε, θερμώς εκ βάθους ψυχής μου, καμοί γενέσθω, πρός υπακοήν τά θειά σου ώτα.
- Επί τόν Κύριον ελπίδα πάς τις κεκτημένος, υψηλότερος εστί, πάντων τών λυπούντων.

Δόξα... Καί νύν...

Αγίω Πνεύματι, αναβλύζει τά τής χάριτος ρείθρα, αρδεύοντα, άπασαν τήν κτίσιν πρός ζωογονίαν.

Αντίφωνον Γ'

- Η καρδία μου πρός σέ Λόγε υψωθήτω, καί ουδέν θέλξει με, τών τού κόσμου τερπνών πρός χαμαιζηλίαν.
- Επί τήν μητέρα αυτού, ως έχει τις στοργήν, επί τώ Κυρίω θερμότερον φίλτρον χρεωστούμεν.

Δόξα... Καί νύν...

Αγίω Πνεύματι, θεογνωσίας πλούτος, θεωρίας καί σοφίας, πάντα γάρ εν τούτω τά πατρώα δόγματα, ο Λόγος εκκαλύπτει.

Προκείμενον

Ανάστα Κύριε, βοήθησον ημίν, καί λύτρωσαι ημάς, ένεκεν τής δόξης τού ονόματός σου.
Στίχ. ο Θεός, εν τοίς ωσίν ημών ηκούσαμεν.

Κανών Αναστάσιμος.
Ποίημα Ιωάννου τού Δαμασκηνού.

Ωδή α'  Ήχος δ'
Ο Ειρμός

Θαλάσσης, το ερυθραίον πέλαγος, αβρόχοις ίχνεσιν, ο παλαιός πεζεύσας Ισραήλ, σταυροτύποις Μωσέως χερσί, τού Αμαλήκ τήν δύναμιν, εν τή ερήμω ετροπώσατο.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Υψώθης, τήν ημετέραν έκπτωσιν, επανορθούμενος, εν τώ αχράντω ξύλω τού Σταυρού, τήν εν ξύλω ιώμενος, πανωλεθρίαν Δέσποτα, ως αγαθός καί παντοδύναμος.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Εν τάφω, σωματικώς, εν άδη δέ μετά ψυχής ως Θεός, εν Παραδείσω δέ μετά Ληστού, καί εν θρόνω υπήρχες Χριστέ, μετά Πατρός καί Πνεύματος, πάντα πληρών ο απερίγραπτος.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ασπόρως, τώ τού Πατρός βουλήματι, εκ θείου Πνεύματος, τόν τού Θεού συνείληφας Υιόν, καί σαρκί απεκύησας, τόν εκ Πατρός αμήτορα, καί δι' ημάς εκ σού απάτορα.

Κανών Σταυροαναστάσιμος, ού η Ακροστιχίς:
«Αίνον Ιωάννης μελιηδέα τέταρτον άδει».

Ο Ειρμός

Ανοίξω τό στόμα μου, καί πληρωθήσεται Πνεύματος, καί λόγον ερεύξομαι, τή Βασιλίδι Μητρί, καί οφθήσομαι, φαιδρώς πανηγυρίζων, καί άσω γηθόμενος, ταύτης τά θαύματα.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ιάσω τό σύντριμμα, τής ανθρωποτητος Κύριε, τώ θείω σου αίματι, ανασκευάσας αυτήν, καί συνέτριψας, δυνάστην εν ισχύϊ, τόν πάλαι συντρίψαντα, σού τό πλαστούργημα.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Νεκρών εξανάστασις, διά νεκρώσεως γέγονας, ισχύς γάρ αφήρηται τής θανατώσεως, ομιλήσασα, ζωή τή αιωνίω, τώ πάντων δεσπόζοντι, σεσαρκωμένω Θεώ.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ωραίος υπέρτερος, τών ουρανίων Δυνάμεων, ο θείός σου γέγονεν, οίκος ο έμψυχος, η εν μήτρασε, βαστάσασα Παρθένος, τό όρος τό άγιον σού τού Θεού ημών.

Κανών τής Θεοτόκου, ού η Ακροστιχίς σύν τοίς Ειρμοίς:
«Τέταρτος ύμνος τή πανευκλεεί Κόρη.»

Ο Ειρμός

Τριστάτας κραταιούς, ο τεχθείς εκ παρθένου, απαθείας εν βυθώ, ψυχής τό τριμερές, καταπόντισον δέομαι, όπως σοι ως εν τυμπάνω τή νεκρώσει τού σώματος, επινίκιον άσω μελώδημα.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Εσείσθησαν λαοί, εταράχθησαν έθνη, βασιλείαι κραταιαί δέ, έκλιναν Αγνή, εκ τού φόβου τού τόκου σου, ήλθε γάρ ο Βασιλεύς μου, καί καθείλε τόν τύραννον, καί τόν κόσμον φθοράς ελυτρώσατο.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τό σκήνωμα αυτού, ο οικών εν υψίστοις, τοίς βροτοίς συγκαταβάς, ηγίασε Χριστός, καί ασάλευτον έδειξε, μόνη γάρ μετά τόν τόκον, παρθενίας κειμήλιον, η τόν Κτίστην τεκούσα διέμεινεν.

Ωδή γ'

Ο Ειρμός

Ευφραίνεται επί σοί, η Εκκλησία σου Χριστέ κράζουσα. Σύ μου ισχύς Κύριε, καί καταφυγή καί στερέωμα.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Τό ξύλον τό τής ζωής, ηνοητή καί αληθής άμπελος, επί Σταυρού κρέμαται, πάσιν αμβροσίαν πηγάζουσα.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Ως μέγας, ως φοβερός, ως τό τού άδου καθελών φρύαγμα, καί ως Θεός άφθαρτος, νύν σωματικώς εξεγήγερται.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σύ μόνη τοίς επί γής, τών υπέρ φύσιν αγαθών πρόξενος, Μήτηρ Θεού γέγονας, όθεν σοι τό Χαίρε, προσάγομεν.

## Κανών Σταυροαναστάσιμος

### Ο Ειρμός

Τούς σούς υμνολόγους Θεοτόκε, ως ζώσα καί άφθονος πηγή, θίασον συγκροτήσαντας, πνευματικόν στερέωσον, καί εν τή θεία δόξη σου, στεφάνων δόξης αξίωσον.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ιού αναμέστους μοι ο όφις, οδόντας ενέπειρε Σωτήρ, ούς Παντοκράτορ Δέσποτα, ήλοις χειρών σου έθλασας, ότι ουκ έστιν Άγιος, Αγίων πλήν σου φιλάνθρωπε.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ωράθης φιλάνθρωπε βουλήσει, εν τάφω νεκρός ζωοποιός, καί πύλας ανεπέτασας, άδου ταίς απ' αιώνων ψυχαίς, ότι ουκ έστιν Άγιος, Αγίων πλήν σου φιλάνθρωπε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ανήροτος άρουρα ωράθης, τόν στάχυν τεκούσα τής ζωής, τόν πάσι τοίς μετέχουσιν, αθανασίας πρόξενον, τόν εν Άγίοις Άγιον, αγίως αναπαυόμενον.

## Κανών τής Θεοτόκου

### Ο Ειρμός

Αφ' ύψους κατήλθες, βουλήσει επί γής, ο υπεράνω πάσης αρχής, καί ταπεινήν ανύψωσας εξ άδου κατωτάτου, φύσιν βροτείαν, ου γάρ έστιν άγιος, πλήν σου φιλάνθρωπε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ρύπτεται βροτών η ουσία, διά σού ομιλήσασα, αστέκτω θείω πυρί, ως εγκρυφίας Πάναγνε Παρθένε, εν σοί άρτος εξοπτηθείσα, τώ καί σέ αλώβητον, διαφυλάξαντι.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τίς αύτη η όντως πλησίον τού Θεού, ως υπερβάσα άπαντα, τά τών Αγγέλων τάγματα; Η μόνη εν τώ κάλλει τής παρθενίας, οία Μήτηρ λάμπουσα, τού Παντοκράτορος.

## Ωδή δ'

### Ο Ειρμός

Επαρθέντα σε ιδούσα η Εκκλησία, επί Σταυρού τόν Ήλιον τής δικαιοσύνης, έστη εν τή τάξει αυτής, εικότως κραυγάζουσα. Δόξα τή δυνάμει σου Κύριε.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Ανελήλυθας τά πάθη μου θεραπεύσων, επί Σταυρού τώ πάθει τής αχράντου σαρκός σου, ήν εκών εφόρεσας, διό σοι κραυγάζομεν. Δόξα τή δυνάμει σου Κύριε.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Αναμαρτήτου ο θάνατος γεγευμένος, ζωοποιού τε σώματος τού σού επαξίως, Δέσποτα νενέκρωται, ημείς δέ βοώμέν σοι. Δόξα τή δυνάμει σου Κύριε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Απειρογάμως εκυησας ώ Παρθένε, καί μετά τόκον ώφθης παρθενεύουσα πάλιν, όθεν ασιγήτοις φωναίς, τό χαίρέ σοι Δέσποινα, πίστει αδιστάκτω κραυγάζομεν.

Κανών Σταυροαναστάσιμος

Ο Ειρμός

Τήν ανεξιχνίαστον θείαν βουλήν, τής εκ τής Παρθένου σαρκώσεως, σού τού Υψίστου, ο Προφήτης, Αββακούμ, κατανοών εκραύγαζε. Δόξα τή δυνάμει σου Κύριε.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Νενομοθετημένος ών Ισραήλ, σέ Χριστέ τόν νομοθετήσαντα, Θεόν ουκ έγνω, αλλ' ως άνομον Σταυρώ, παρανομών προσέπηξεν, ο νομοθεσίας ανάξιος.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Η τεθεωμένη σου Σώτερ ψυχή, άδου θησαυρούς προνομεύσασα, τάς απ' αιώνος, συνανέστησε ψυχάς, τό ζωηφόρον σώμα δέ, πάσιν αφθαρσίαν επήγασε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σέ τήν Αειπάρθενον καί αληθή, πάντες Θεοτόκον δοξάζομεν, ήν προετύπου, τώ θεόπτη Μωϋσή, ακαταφλέκτως Πάναγνε, βάτος τώ πυρί ομιλήσασα.

Κανών τής Θεοτόκου

Ο Ειρμός

Ο καθήμενος εν δόξη, επί θρόνου θεότητος, εν νεφέλη κούφη, ήλθεν Ιησούς ο υπέρθεος, τή ακηράτω παλάμη καί διέσωσε, τούς κραυγάζοντας, δόξα Χριστέ τή δυνάμει σου.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Συνανεστράφη ανθρώποις, οραθείς ο αόρατος, εν μορφή υπάρχων, τής ακαταλήπτου θεότητος, καί μορφωθείς εκ σού Κόρη τό αλλότριον, τούς ειδότας σε, σώζει αγνήν Θεομήτορα.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Υπεδέξατο εν ύλη, η Παρθένος τόν άϋλον, εν μεθέξει ύλης, βρέφος εξ αυτής χρηματίσαντα, όθεν εν δύο ουσίαις είς γνωρίζεται, σαρκοφόρος Θεός, καί βροτός υπερούσιος.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Μετά τόκον σε παρθένον, ο παρθένον οικήσας σε, καί τεχθείς ασπόρως, Λόγος καί Θεός διεσώσατο, καί εν τώ τίκτειν παρθένον διεφύλαξεν, ως Δεσπότης καί Δημιουργός πάσης κτίσεως.

Ωδή ε'

Ο Ειρμός

Σύ Κύριέ μου φώς, εις τόν κοσμον ελήλυθας, φώς άγιον επιστρέφον, εκ ζοφώδους αγνοίας, τούς

πίστει ανυμνούντας σε.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Σύ Κύριε πρός γήν, συμπαθώς κατελήλυθας, σύ ύψωσας τήν πεσούσαν, τών ανθρώπων ουσίαν, εν ξύλω αναρτώμενος.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Σύ ήράς μου Χριστέ, τών πταισμάτων τό έγκλημα, σύ έλυσας τάς οδύνας, τού θανάτου Οικτίρμον, τή θεία Αναστάσει σου.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σέ όπλον αρραγές, κατ' εχθρών προβαλλόμεθα, σέ άγκυραν καί ελπίδα, τής ημών σωτηρίας, Θεόνυμφε κεκτήμεθα.

Κανών Σταυροαναστάσιμος

Ο Ειρμός

Εξέστη τά σύμπαντα, επί τή θεία δόξη σου, σύ γάρ απειρόγαμε Παρθένε, έσχες εν μήτρα, τόν επί πάντων Θεόν, καί τέτοκας άχρονον Υιόν, πάσι τοίς υμνούσί σε, σωτηρίαν βραβεύοντα.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Εδέξατο όλον σε, άδης ο άφρων στόματι, ξύλω γάρ παγέντα σε αθρήσας, λόγχη νυγέντα, άπνουν τόν ζώντα Θεόν, ψιλόν ελογίσατο βροτόν, έγνω πειραθείς δέ σού, τήν ισχύν τής θεότητος.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Λυθέντα φιλάνθρωπε, σού τόν ναόν τού σώματος, τάφος μερισάμενος καί άδης, άκοντες άμφω δίκας εισπράττονται, ο μέν τών Αγίων σου ψυχάς, σώματα δέ έτερος, συνεκπέμπων αθάνατε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ιδού νύν πεπλήρωται, η τού Προφήτου πρόρρησις, σύ γάρ απειρόγαμε Παρθένε, έσχες εν μήτρα τόν επί πάντων Θεόν, καί τέτοκας άχρονον Υιόν, πάσι τοίς υμνούσί σε, τήν ειρήνην βραβεύοντα.

Κανών τής Θεοτόκου

Ο Ειρμός

Νύν αναστήσομαι, προφητικώς έφη ο Θεός, νύν υψωθήσομαι, νύν δοξασθήσομαι, τόν πεσόντα προσλαβών εκ τής Παρθένου, καί πρός φώς τό θαυμαστόν, ανυψών τής εμής θεότητος.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Οίκον τής δόξης σε, όρος Θεού, άγιον αγνή, νύμφην παστάδα, ναόν αγιάσματος, ο Υιός ο τού Θεού εν σοί οικήσας, καί παράδεισον τρυφής, αϊδίου ημίν ειργάσατο.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σάρκα εξ αίματος παρθενικού, είληφας Χριστέ, άσπορον άχραντον, καί ενυπόστατον, λογικήν καί νοεράν, εμψυχωμένην, ενεργή θελητικήν, αυτοδέσποτον, καί αυτεξούσιον.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τύραννον φρόνημα παρθενική, ήσχυνε γαστήρ, βρέφος ασπίδων γάρ, τρώγλην ψυχόλεθρον, εξηρεύνησε χειρί, καί αποστάτην, αλαζόνα καθελών, τών πιστών τοίς ποσίν υπέταξεν.

## Ωδή ς'
### Ο Ειρμός

Θύσω σοι, μετά φωνής αινέσεως Κύριε, η Εκκλησία βοά σοι, εκ δαιμόνων λύθρου κεκαθαρμένη, τώ δι' οίκτον, εκ τής πλευράς σου ρεύσαντι αίματι.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Ανήλθες, εν Σταυρώ δυναστείαν ζωσάμενος, καί συμπλακείς τώ τυράννω, ως Θεός εξ ύψους κατέρραξας, τόν Αδάμ δέ, αηττήτω, παλάμη ανέστησας.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Ανέστης, εξαστράπτων ωραίος εκ τάφου Χριστέ, καί διεσκέδασας πάντας, τούς εχθρούς τή θεία σου δυναστεία, καί τά πάντα, ως Θεός, ευφροσύνης επλήρωσας.

### Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ώ θαύμα, τών απάντων θαυμάτων και νότερον! ότι Παρθένος εν μήτρα, τόν τά σύμπαντα περιέποντα, απειράνδρως, συλλαβούσα, ουκ εστενοχώρησεν.

## Κανών Σταυροαναστάσιμος
### Ο Ειρμός

Ήλθον εις τά βάθη τής θαλάσσης, καί κατεπόντισέ με, καταιγίς πολλών αμαρτημάτων, αλλ' ο Θεός, εκ φθοράς ανάγαγε, τήν ζωήν μου ως φιλάνθρωπος.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Διήνοιξε φάρυγγα ο άδης, καί καταπέπωκέ με, καί ψυχήν επλάτυνεν ο άφρων, αλλ' ο Χριστός, καταβάς ανήγαγε, τήν ζωήν μου ως φιλάνθρωπος.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Εάλω ο θάνατος θανάτω, ο γάρ θανών ανέστη, αφθαρσίαν μοι δεδωρημένος, εμφανισθείς, Γυναιξί προσφθέγγεται, τήν χαράν δέ ο αθάνατος.

### Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Αστέκτου θεότητος χωρίον, η καθαρά νηδύς σου, αναδέδεικται ώ Θεοτόκε, ή αδεώς, ουρανών τά Τάγματα, ατενίσαι ου δεδύνηνται.

## Κανών τής Θεοτόκου
### Ειρμός ο αυτός

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Πάλαι μέν ηπάτησεν ο όφις, καί εθανάτωσέ με, διά τής προμήτορός μου Εϋας, νύν δέ Αγνή, διά σού ο πλάσας με, εκ φθοράς ανεκαλέσατο.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Αβυσσός σε άβυσσον αρρήτως, τής ευσπλαγχνίας Κόρη, εκλεκτήν ανέδειξε θαυμάτων, καί γάρ εκ σού, αστραπή θεότητος, μαργαρίτης Χριστός έλαμψε.

## Κοντάκιον  Ήχος δ'
### Επεφάνης σήμερον

Ο Σωτήρ καί ρύστης μου, από τού τάφου, ως Θεός ανέστησεν, εκ τών δεσμών τούς γηγενείς, καί

πύλας άδου συνέτριψε, καί ως Δεσπότης ανέστη τριήμερος.

Ο Οίκος

Τόν αναοτάντα εκ νεκρών Χριστόν τόν ζωοδότην, τριήμερον εκ τάφου, καί πύλας τού θανάτου σήμερον συνθλάσαντα, τή δυνάμει τή αυτού, τόν άδην τε νεκρώσαντα, καί τό κέντρον τού θανάτου συντρίψαντα, καί τόν Αδάμ σύν τή Εύα ελευθερώσαντα, υμνήσωμεν πάντες οι γηγενείς, ευχαρίστως βοώντες αίνον εκτενώς, Αυτός γάρ ως μόνος κραταιός Θεός, καί Δεσπότης ενέστη τριήμερος.

## Ωδή ζ'

Ο Ειρμός

Εν τή καμίνω, Αβραμιαίοι Παίδες τή Περσική, πόθω ευσεβείας μάλλον, ή τή φλογί, πυρπολούμενοι εκραύγαζον. Ευλογημένος εί, εν τώ Ναώ τής δόξης σου Κύριε.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Πρός αφθαρσίαν, η ανθρωπότης ανακέκληται, θείω λουσαμένη αίματι τού Χριστού, ευχαρίστως αναμέλπουσα. Ευλογημένος εί, εν τώ Ναώ τής δόξης σου Κύριε.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Ως ζωηφόρος, ως Παραδείσου ωραιότερος, όντως καί παστάδος πάσης βασιλικής, αναδέδεικται λαμπρότερος, Χριστέ ο τάφος σου, η πηγή τής ημών αναστάσεως.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τό τού Υψίστου, ηγιασμένον θείον σκήνωμα, Χαίρε, διά σού γάρ δέδοται η χαρά, Θεοτόκε τοίς κραυγάζουσιν. Ευλογημένη σύ εν γυναιξίν, υπάρχεις Πανάμωμε Δέσποινα.

## Κανών Σταυροαναστάσιμος

Ο Ειρμός

Ουκ ελάτρευσαν τή κτίσει οι θεόφρονες, παρά τόν Κτίσαντα, αλλά πυρός απειλήν; ανδρείως πατήσαντες, χαίροντες έψαλλον. Υπερύμνητε, ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Εταπείνωσας, εν ξύλω αναρτώμενος, όμμα μετέωρον, καί επηρμένην οφρύν, εις γήν καταβέβληκας, σώσας τόν άνθρωπον υπερύμνητε, ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Τή δυνάμει σου, τό κέρας ημών ύψωσον, τών λατρευόντων σοι, ο αναστάς εκ νεκρών, καί άδου κενώσας πρίν, τόν πολυάνθρωπον, πλούτον Δέσποτα, ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί.

Τριαδικόν

Στίχ. Αγία Τριάς ο Θεός ελέησον καί σώσον ημάς.

Ρήσεσι, θείαις επόμενοι, δοξάζομεν μίαν θεότητα, ως εν λαμπάσι τρισίν, ασύγχυτον άτμητον, αίγλην ανέσπερον, τήν φωτίζουσαν, πάσαν τήν κτίσιν ψάλλουσαν, ο Θεός ευλογητός εί.

## Κανών τής Θεοτόκου

Ο Ειρμός

Νέοι τρείς εν Βαβυλώνι, προσταγμα τυραννικόν, εις φλήναφον θέμενοι, μέσον τού πυρός ανεβόων, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Έλκει με πρός υμνωδίαν, πόθου τού παρθενικού, τό πύρ τό εγκάρδιον, βοάν τή Μητρί καί Παρθένω. Ευλογημένη Κύριος, μετά σού τών Δυνάμεων.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Υπερτέρα τών κτισμάτων, ώφθης ως τόν Ποιητήν, τεκούσα καί Κύριον, διό σοι βοώ Θεοτόκε. Ευλογημένη Κύριος, μετά σού τών Δυνάμεων.

Τριαδικόν

Στίχ. Αγία Τριάς ο Θεός ελέησον καί σώσον ημάς.

Κυριότητά σε μίαν, σέβων εν αγιασμοίς, τρισίν αδιαίρετον υμνώ, τρισυπόστατε φύσις, Ευλογημένη κράζων σοι, η τό πάν διϊθύνουσα.

### Ωδή η'

### Ο Ειρμός

Χείρας εκπετάσας Δανιήλ, λεόντων χάσματα, εν λάκκω έφραξε, πυρός δέ δύναμιν έσβεσαν, αρετήν περιζωσάμενοι, οι ευσεβείας ερασταί, Παίδες κραυγάζοντες. Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Χείρας εκπετάσας εν Σταυρώ, τά έθνη άπαντα επισυνήγαγες, καί μίαν έδειξας Δέσποτα, Εκκλησίαν ανυμνούσάν σε, τοίς επί γής καί ουρανού, συμφώνως ψάλλουσιν. Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Λευχείμων ωράθη γυναιξί, τώ απροσίτω φωτί τής Αναστάσεως, καταστραπτόμενος Άγγελος. Τί τόν ζώντα εν τώ τάφω βοών, επιζητείτε ως θνητόν, όντως ηγέρθη Χριστός, ώ βοώμεν. Πάντα τά έργα υμνείτε τόν Κύριον.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σύ μόνη εν πάσαις γενεαίς, Παρθένε Άχραντε, Μήτηρ εδείχθης Θεού, σύ τής θεότητος γέγονας, ενδιαίτημα Πανάμωμε, μή φλογισθείσα τώ πυρί, τού απροσίτου φωτός, όθεν πάντες σέ ευλογούμεν, Μαρία Θεόνυμφε.

### Κανών Σταυροαναστάσιμος

### Ο Ειρμός

Παίδας ευαγείς εν τή καμίνω, ο τόκος τής Θεοτόκου διεσώσατο, τότε μέν τυπούμενος, νύν δέ ενεργούμενος, τήν οικουμένην άπασαν, αγείρει ψάλλουσαν. Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Τήν άδικον βλέπουσαν σφαγήν σου, η κτίσις κατηφιώσα επωδύρετο, γής ταρασσομένης γάρ, ζόφον ως ιμάτιον, μελαμβαφές ο ήλιος περιεβάλλετο, ημείς δέ σε απαύστως υμνούμεν, καί υπερυψούμεν Χριστέ εις τούς αιώνας.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ο συγκαταβάς μοι μέχρις άδου, καί πάσιν οδοποιήσας τήν Ανάστασιν, αύθις αναβέβηκας, άρας με επ' ώμων σου, καί τώ Πατρί προσήγαγες, όθεν κραυγάζω σοι. Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Τριαδικόν

Στίχ. Αγία Τριάς ο Θεός ελέησον καί σώσον ημάς.

Νούν πρώτον καί αίτιον απάντων, Πατέρα μόνον αναίτιον δοξάζομεν, Λόγον τε τόν άναρχον, Πνεύμα τό Παράκλητον, ένα Θεόν καί Κύριον, καί ποιητήν τού παντός, Τριάδα συμφυή προσκυνούντες, καί υπερυψούντες εις πάντας τούς αιώνας.

Κανών τής Θεοτόκου

Ο Ειρμός

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Λυτρωτά τού παντός Παντοδύναμε, τούς εν μέσω φλογός ευσεβήσαντας, συγκαταβάς εδρόσισας, καί εδίδαξας μέλπειν, Πάντα τά έργα, ευλογείτε υμνείτε τόν Κύριον.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Εκ πλευράς τού Αδάμ πλαστουργήσας σε, εκ τής σής παρθενίας σεσάρκωται, ο τών απάντων Κύριος, όν υμνούντες βοώμεν. Πάντα τά έργα, ευλογείτε υμνείτε τόν Κύριον.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Εν σκηνή Αβραάμ εθεάσατο, τό εν σοί Θεοτόκε μυστήριον, τόν γάρ Υιόν σου άσαρκον, υπεδέξατο μέλπων. Πάντα τά έργα, ευλογείτε υμνείτε τόν Κύριον.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ισαρίθμους Τριάδος διέσωσε, τό τής σής παρθενίας προχάραγμα, εν γάρ παρθένοις σώμασι, κατεπάτουν τήν φλόγα, Κόρη βοώντες. Ευλογείτε υμνείτε τόν Κύριον.

Ωδή θ'

Ο Ειρμός

Λίθος αχειρότμητος όρους, εξ αλαξεύτου σου Παρθένε, ακρογωνιαίος ετμήθη, Χριστός συνάψας τάς διεστώσας φύσεις, διό επαγαλλόμενοι, σέ Θεοτόκε μεγαλύνομεν.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Όλον με ανείληφας όλος, εν συναφεία ασυγχύτω, όλω μοι διδούς ο Θεός μου, τήν σωτηρίαν διά τού πάθους σου, ο εν Σταυρώ υπέμεινας, σωματικώς δι' ευσπλαγχνίαν πολλήν.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Οι σοί μαθηταί καθορώντες, ανεωγμένον σου τόν τάφον, καί τάς θεοφόρους σινδόνας, κεκενωμένας τή Αναστάσει σου, σύν τώ Αγγέλω έλεγον. Όντως εγήγερται ο Κύριος!

Τριαδικόν

Στίχ. Αγία Τριάς ο Θεός ελέησον καί σώσον ημάς.

Μονάδα μέν θείας ουσίας, αλλ' υποστάσεων Τριάδα, πάντες οι πιστοί προσκυνούμεν, εν ασυγχύτοις ταίς υποστάσεσιν, ισοσθενή ομότιμον, ήν ευσεβούντες μεγαλύνομεν.

Κανών Σταυροαναστάσιμος

Ο Ειρμός

Άπας γηγενής, σκιρτάτω τώ πνεύματι λαμπαδουχούμενος, πανηγυριζέτω δέ, αύλων Νόων φύσις γεραίρουσα, τήν ιερά θαυμάσια τής Θεομήτορος, καί βοάτω. Χαίροις παμμακάριστε, Θεοτόκε Αγνή αειπάρθενε.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Δόλω τής Εδέμ, ερπύσας ο όφις με, είλεν αιχμάλωτον, πρός τήν τού Κρανίου δέ, κρατίστην πέτραν τούτον ηδάφισεν, ο Παντοκράτωρ Κύριος, καθάπερ νήπιον, τής τρυφής δέ, αύθις μοι τήν είσοδον, διά ξύλου Σταυρού ανεπέτασεν.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Έθου κραταιά, εχθρού οχυρώματα, νύν εις ερήμωσιν, τή παναλκεστάτη δέ, χειρί τόν πλούτον τούτου δι' ήρπασας, εκ κενεώνων άδου με, συναναστήσας Χριστέ, καί τόν πάλαι, άμετρα καυχώμενον, ως γελοίον παιζόμενον έδειξας.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ίθι τού πτωχού, λαού σου τήν κάκωσιν, επισκεψόμενος, τή συμπαθεστάτη δέ, καί κραταιά σου χειρί δυνάμωσον, τόν σταυροφόρον Άνακτα κατά βλασφήμων εχθρών, εξελέσθαι, σού τήν περιούσιον, κληρουχίαν Χριστέ ως φιλάνθρωπος.

## Κανών τής Θεοτόκου
### Ο Ειρμός

Κρυπτόν θείον άχραντον, εν σοί τελείται εμφανές Μυστήριον, Παρθένε άχραντε, καί γάρ Θεός εκ σού σεσωμάτωται, δι' ευσπλαχνίαν, διό σε ως Θεοτόκον μεγαλύνομεν.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ορώμεν ως κρίνον σε, τή αλουργίδι, βεβαμμένην Άχραντε, τού θείου Πνεύματος, τών ακανθών εν μέσω εκλάμπουσαν, καί ευωδίας πληρούσαν, τούς σέ γνησίως μεγαλύνοντας.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ρευστήν προσλαβόμενος, βροτείαν φύσιν, εκ τής σής Πανάμωμε, γαστρός ο άφθαρτος, εν εαυτώ ανέδειξεν, άρρευστον δι' ευσπλαγχνίαν, διό σε ως Θεοτόκον μεγαλύνομεν.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Η πάντων δεσπόζουσα, τών ποιημάτων, τώ λαώ σου δώρησαι, τής νίκης τρόπαια, τόν δυσμενή τεθείσα υπόσπονδον τή Εκκλησία, ίνα σε ως Θεοτόκον μεγαλύνωμεν.

## Αίνοι Ήχος δ'

1. Τού ποιήσαι εν αυτοίς κρίμα έγγραπτον. Δόξα αύτη έσται πάσι τοίς οσίοις αυτού.
-- Ο σταυρόν υπομείνας καί θάνατον, καί αναστάς εκ τών νεκρών, παντοδύναμε Κύριε, δοξάζομέν σου τήν Ανάστασιν.
2. Αινείτε τόν Θεόν εν τοίς Αγίοις αυτού, αινείτε αυτόν εν στερεώματι τής δυνάμεως αυτού.
-- Εν τώ σταυρώ σου Χριστέ, τής αρχαίας κατάρας ηλευθέρωσας ημάς, καί εν τώ θανάτω σου, τόν τήν φύσιν ημών τυραννήσαντα, διάβολον κατήργησας, εν δέ τή Εγέρσει σου, χαράς τα πάντα επλήρωσας, διό βοώμέν σοι, ο αναστάς εκ τών νεκρών, Κύριε δόξα σοι.
3. Αινείτε αυτόν επί ταίς δυναστείαις αυτού, αινείτε αυτόν κατά τό πλήθος τής μεγαλωσύνης αυτού.
-- Τώ σώ Σταυρώ Χριστέ Σωτήρ, Οδήγησον ημάς επι τήν αλήθειάν σου, καί ρύσαι ημάς, τών παγίδων τού εχθρού, ο αναστάς εκ τών νεκρών, ανάστησον ημάς πεσόντας τή αμαρτία, εκτείνας τήν χείρά σου, φιλάνθρωπε Κύριε, τή πρεσβεία τών Αγίων σου.
4. Αινείτε αυτόν εν ήχω, σάλπιγγος, αινείτε αυτόν εν ψαλτηρίω καί κιθάρα.
-- Τών Πατρικών σου κόλπων, μή χωρισθείς μονογενές Λόγε τού Θεού, ήλθες επί γής διά φιλανθρωπίαν, άνθρωπος γενόμενος ατρέπτως, καί Σταυρόν καί θάνατον υπέμεινας σαρκί, ο απαθής τή θεότητι, αναστάς δέ εκ νεκρών αθανασίαν παρέσχες τώ γένει τών ανθρώπων, ως μόνος παντοδύναμος.
5. Αινείτε αυτόν εν τυμπάνω καί χορώ, αινείτε αυτόν εν χορδαίς καί οργάνω,
-- Θάνατον κατεδέξω σαρκί, ημίν αθανασίαν πραγματευσόμενος Σωτήρ, καί εν τάφω ώκησας, ίνα

ημάς τού άδου ελευθερώσης, συναναστήσας εαυτώ, παθών, μέν ως άνθρωπος, αλλ' αναστάς ως Θεός. Διά τούτο βοώμεν. Δόξα σοι ζωοδότα Κύριε, μόνε Φιλάνθρωπε.
6. Αινείτε αυτόν εν κυμβάλοις ευήχοις, αινείτε αυτόν εν κυμβάλοις αλαλαγμού. Πάσα πνοή αινεσάτω τόν Κύριον.
-- Πέτραι εσχίσθησαν Σωτήρ, ότε εν τώ Κρανίω ο Σταυρός σου επάγη, έφριξαν άδου πυλωροί, ότε εν τώ μνημείω ως θνητός κατετέθης, καί γάρ του θανάτου καταργήσας τήν ισχύν, τοίς τεθνεώσι πάσιν αφθαρσίαν παρέσχες, τή Αναστάσει σου Σωτήρ. Ζωοδότα Κύριε δόξα σοι.
7. Ανάστηθι, Κύριε, ο Θεός μου, υψωθήτω η χείρ σου, μή επιλάθη τών πενήτων σου εις τέλος.
-- Επεθύμησαν Γυναίκες, ιδείν σου τήν Ανάστασιν, Χριστέ ο Θεός, ήλθε προλαβούσα Μαρία η Μαγδαληνή, εύρε τόν λίθον αποκυλισθέντα τού μνήματος, καί τόν Άγγελον καθεζόμενον καί λέγοντα. Τί ζητείτε τόν ζώντα μετά τών νεκρών, ανέστη ως Θεός, ίνα σώση τά σύμπαντα.
8. Εξομολογήσομαί σοι, Κύριε, εν όλη καρδία μου, διηγήσομαι πάντα τά θαυμάσιά σου.
-- Πού εστιν Ιησούς, όν ελογίσασθε φυλάττειν; είπατε Ιουδαίοι, πού εστιν, όν εθήκατε εν τώ μνήματι, τόν λίθον σφραγίσαντες, δότε τόν νεκρόν, οι τήν ζωήν αρνησάμενοι, δότε τόν ταφέντα, ή πιστεύσατε τώ αναστάντι, κάν υμείς σιγήσητε τού Κυρίου τήν Έγερσιν, οι λίθοι κεκράξονται, μάλιστα ο αποκυλισθείς εκ τού μνήματος. Μέγα σου τό έλεος! Μέγα τό μυστήριον τής οικονομίας σου! Σωτήρ ημών δόξα σοι.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ
### Οι Μακαρισμοί

Μακάριοι οι ελεήμονες, ότι αυτοί ελεηθήσονται.

Διά ξύλου ο Αδάμ, Παραδείσου γέγονεν άποικος, διά ξύλου δέ Σταυρού, ο Ληστής Παράδεισον ώκησεν, ο μέν γάρ γευσάμενος, εντολήν ηθέτησε τού ποιήσαντος, ο δέ συσταυρούμενος, Θεόν ωμολόγησε τόν κρυπτόμενον, Μνήσθητί μου βοών, εν τή Βασιλεία σου.

Μακάριοι οι καθαροί τή καρδία ότι αυ τοί τόν Θεόν όψονται.

Ο υψωθείς εν τώ Σταυρώ, καί τού θανάτου λύσας τήν δύναμιν, καί εξαλείψας ως Θεός, τό καθημών χειρόγραφον Κύριε, Ληστού τήν μετάνοιαν, καί ημίν παράσχου μόνε φιλάνθρωπε, τοίς πίστει λατρεύουσι, Χριστέ ο Θεός ημών, καί βοώσί σοι. Μνήσθητι καί ημών, εν τή Βασιλεία σου.

Μακάριοι οι ειρηνοποιοί, ότι αυτοί υιοί Θεού κληθήσονται.

Τό χειρόγραφον ημών, εν τώ Σταυρώ τή λόγχη διέρρηξας, καί λογισθείς εν τοίςνεκροίς, τόν εκείσε τύραννον έδησας, ρυσάμενος άπαντας, εκ δεσμών τού άδου τή Αναστάσει σου, δι' ής εφωτίσθημεν, φιλάνθρωπε Κύριε, καί βοώμέν σοι. Μνήσθητι καί ημών, εν τή Βασιλεία σου.

Μακάριοι οι δεδιωγμένοι ένεκεν δικαιοσύνης, ότι αυτών εστιν η βασιλεία τών ουρανών.

Ο σταυρωθείς καί αναστάς, ως δυνατός εκ τάφου τριήμερος, καί τόν πρωτόπλαστον Αδάμ, εξαναστήσας μόνε αθάνατε, καμέ εις μετάνοιαν, επιστρέψαι Κύριε καταξίωσον, εξ όλης καρδίας μου, καί εν θερμή τή πίστει αεί κραυγάζειν σοι. Μνήσθητί μου Σωτήρ, εν τή Βασιλεία σου.

Μακάριοί εστε όταν ονειδίσωσιν υμάς, καί διώξωσι, καί είπωσι πάν πονηρόν ρήμα καθυμών ψευδόμενοι ένεκεν εμού.

Δι' ημάς ο απαθής, παθητός εγένετο άνθρωπος, καί εκουσίως εν Σταυρώ, προσηλωθείς ημάς συνανέστησε, διό καί δοξάζομεν, σύν τώ σταυρώ τό Πάθος καί τήν Ανάστασιν, δι' ών ανεπλάσθημεν, δι' ών καί σωζόμεθα ανακράζοντες. Μνήσθητι καί ημών, εν τή Βασιλεία σου.

Χαίρετε καί αγαλλιάσθε, ότι ο μισθός υμών πολύς εν τοίς ουρανοίς.

Τόν αναστάντα εκ νεκρών, καί τό τού άδου κράτος σκυλεύσαντα, καί οραθέντα γυναιξί, Μυροφόροις λέγοντα, Χαίρετε, πιστοί δυσωπήσωμεν, εκ φθοράς λυτρώσασθαι τάς ψυχάς ημών, κραυγάζοντες πάντοτε, Ληστού τού ευγνώμονος τήν φωνήν πρός αυτόν. Μνήσθητι καί ημών, εν

τή Βασιλεία σου.

Δόξα...

Τόν Πατέρα καί Υιόν, καί τό Πνεύμα πάντες τό Άγιον, ομοφρόνως οι πιστοί, δοξολογείν αξίως ευξώμεθα, Μονάδα θεότητος, εν τρισίν υπάρχουσαν υποστάσεσιν, ασύγχυτον μένουσαν, απλήν αδιαίρετον καί απρόσιτον, δι' ής εκλυτρούμεθα, τού πυρός τής κολάσεως.

Καί νύν... Θεοτοκίον

Τήν Μητέρα σου Χριστέ, τήν εν σαρκί ασπόρως τεκούσάν σε, καί Παρθένον αληθώς, καί μετά τόκον μείνασαν άφθορον, αυτήν σοι προσάγομεν, εις πρεσβείαν Δέσποτα πολυέλεε, πταισμάτων συγχώρησιν, δώρησαι πάντοτε τοίς βοώσί σοι. Μνήσθητι καί ημών, εν τή Βασιλεία σου.

top

4-2

Στιχηρά Προσόμοια Δεσποτικά

Ήχος δ'

Ως γενναίον εν Μάρτυσι

Στίχ. α'. Εάν ανομίας παρατηρήσης, Κύριε, Κύριε τίς υποστήσεται; ότι παρά σοί ο ιλασμός εστιν.

Δεύρο τάλαινα πρόσπεσον, τώ θεώ εν θερμότητι, τών δακρύων κράζουσα, τό ημάρτηκα, ψυχή παμβέβηλε ίλεων, τόν Κριτήν απέργασαι, πρό τού τέλους καί αυτώ, εκ καρδίας ανάκραξον. Μή απώση μου, στεναγμούς ο Θεός μου, μή παρόψη, συντριβήν μου τής καρδίας, ώ πολυεύσπλαγχνε Κύριε.

Στίχ. β'. Ένεκεν τού ονόματός σου υπέμεινά σε, Κύριε, υπέμεινεν η ψυχή μου εις τόν λόγον σου, ήλπισεν η ψυχή μου επί τόν Κύριον.

Εν νυκτί καί ημέρα τε, ο εχθρός ο παμπόνηρος, πολεμών ου παύεται δελεάσαι με, καί πρός απώλειαν έλκει με, κακίας πρός βάραθρα, αλλ' ως μόνος αγαθός, τής αυτού τυραννίδος με απολυτρωσαι, καί παντοίας ανάγκης, Ιησού μου, υπεράγαθε καί σώσον, εκ πολυτρόπων κολάσεων.

Στίχ. γ'. Από φυλακής πρωϊας μέχρι νυκτός, από φυλακής πρωϊας ελπισάτω Ισραήλ επί τόν Κύριον.

Οικητήριον γέγονα, λογισμών τών θλιβόντων με, καί αλλοτριούντων με εκ σού Δέσποτα, τάς εντολάς σου ηθέτησα, ποιείν σου τό θέλημα, ουκ ηθέλησα ποτέ, αλλ' ευδόκησον Κύριε, ενοικήσαί μοι, διά πλήθος ελέους, καί διδάξαι, τού ποιείν τό θέλημά σου, ως αγαθός καί φιλάνθρωπος.

Τών Ασωμάτων όμοια

Στίχ. δ'. Ότι παρά τώ Κυρίω τό έλεος, καί πολλή παρ' αυτώ, λύτρωσις. καί αυτός λυτρώσεται τόν Ισραήλ έκ πασών τών ανομιών αυτού.

Τού τής θείας ελλάμψεως, δεκτικά καταγώγια, καί δοχεία πάνσεπτα, κατεσκεύασας, τά τών Αγγέλων στρατεύματα, καί θεία συστήματα, σού τής δόξης θεωρούς, παραστάτας τού θρόνου σου, τούς τόν λόγον σου, δυνατώς εν ισχΰϊ εκτελούντας, καί συντόνως εκπληρούντας, τάς εντολάς σου φιλάνθρωπε.

Στίχ. ε'. Αινείτε τόν Κύριον πάντα τά έθνη, επαινέσατε αυτόν, πάντες οι λαοί.

Αγαθότητος πέλαγος, αναφαίνειν βουλόμενος, αγαθός ών άναρχε, πρώτον έκτισας, παντοδυνάμω σου νεύματι, καί θείω προστάγματι, τών Αγγέλων τούς χορούς, καί δυνάμεων τάγματα, όντως έδει γάρ, τό καλόν εκχυθήναι καί οδεύσαι, καί ως πλείονα γενέσθαι, τά σά δωρήματα Δέσποτα.

Στίχ. ς'. Ότι εκραταιώθη τό έλεος αυτού εφ' ημάς, καί η αλήθεια τού Κυρίου μένει εις τόν αιώνα.

Σεραφείμ εξαπτέρυγα, Χερουβείμ πολυόμματα, επηρμένοι θρόνοι τε περιέπουσι, τής φωτουργού σου ελλάμψεως, αμέσως μετέχοντες, Κυριότητες Αρχαί, Εξουσίαι Αρχάγγελοι, καί οι Άγγελοι, καί

Δυνάμεις αι θείαι τήν σήν δόξαν, Παντοκράτορ ευφημούντες, υπέρ ημών δυσωπούσί σε.

Δόξα... Καί νύν... Θεοτοκίον  όμοιον

Ως πρεσβείαν ακοίμητον, καί παράκλησιν έμμονον, κεκτημένη Πάναγνε, πρός τόν Κύριον, τούς πειρασμούς κατακοίμισον, τά κύματα πράϋνον, τής αθλίας μου ψυχής, καί εν θλίψει υπάρχουσαν, τήν καρδίαν μου, παρακάλεσον Κόρη, δυσωπώ σε, καί χαρίτωσον τόν νούν μου, όπως αξίως δοξάζω σε.

Απόστιχα Κατανυκτικά

Ήθελον δάκρυσιν εξαλείψαι, τών εμών πταισμάτων Κύριε τό χειρόγραφον, καί τό υπόλοιπον τής ζωής μου, διά μετανοίας ευαρεστήσαί σοι, αλλ' ο εχθρός απατά με, καί πολεμεί τήν ψυχήν μου. Κύριε, πρίν εις τέλος απόλωμαι, σώσόν με.

Στίχ. Α'. Πρός σέ ήρα τούς οφθαλμούς μου, τόν κατοικούντα εν τώ ουρανώ. Ιδού, ως οφθαλμοί δούλων εις χείρας τών κυρίων αυτών, ως οφθαλμοί παιδίσκης εις χείρας τής κυρίας αυτής, ούτως οι οφθαλμοί ημών πρός Κύριον τόν Θεόν ημών, έως ού οικτιρήσαι ημάς.

Τίς χειμαζόμενος καί προστρέχων, τώ λιμένι τούτω ου διασώζεται; τώ ή τίς οδυνώμενος καί προσπίπτων, τώ ιατρείω τούτω ου θεραπεύεται; Δημιουργέ τών απάντων, καί Ιατρέ τών νοσούντων, Κύριε, πρίν εις τέλος απόλωμαι, σώσόν με.

Μαρτυρικόν

Στίχ. Β'. Ελέησον ημάς, Κύριε, ελέησον ημάς, ότι επί πολύ επλήσθημεν εξουδενώσεως, επί πλείον επλ ήσθη η ψυχή ημών, τό όνειδος τοίς ευθηνούσι, καί η εξουδένωσις τοίς υπερηφάνοις.

Ο ενδοξαζόμενος εν ταίς μνείαις τών Αγίων σου, Χριστέ ο Θεός, υπ' αυτών δυσωπούμενος, κατάπεμψον ημίν τό μέγα έλεος.

Δόξα... Καί νύν... Θεοτοκίον

Χαίρε φωτός Νεφέλη, χαίρε Λυχνία φωτεινή, χαίρε Στάμνε η τού Μάννα, χαίρε η Ράβδος Ααρών, χαίρε Βάτε άφλεκτε, χαίρε Λαμπάς, χαίρε θρόνε, χαίρε Όρος άγιον, χαίρε Παράδεισε, χαίρε θεία Τράπεζα, χαίρε Πύλη μυστική, χαίρε η πάντων ελπίς.

Μετα τήν α' Στιχολογίαν

Καθίσματα Κατανυκτικά

Ήχος δ'

Τήν ταπεινήν μου ψυχήν, επίσκεψαι Κύριε, τήν εν αμαρτίαις τόν βίον όλον δαπανήσασαν, όν τρόπον τήν πόρνην, δέξαι καμέ, καί σώσόν με.

Διαπλέων τό πέλαγος τής παρούσης ζωής, ενθυμούμαι τήν άβυσσον τών πολλών μου κακών, καί μή έχων τόν κυβερνήτην λογισμόν, τήν τού Πέτρου σοι προσφθέγγομαι φωνήν. Σώσόν με Χριστέ ο Θεός, σώσόν με ως φιλάνθρωπος.

Δόξα... Καί νύν... Θεοτοκίον

Φοβερόν τό μυστήριον, καί τό θαύμα παράδοξον, πώς η Παρθένος σέ τόν Κτίστην τών απάντων εβάστασε, καί μετά τόκον πάλιν σώα καί παρθένος διέμεινεν! ο τεχθείς εξ αυτής τήν πίστιν στήριξον, τά έθνη πράϋνον, καί τόν κόσμον ειρήνευσον, ο Θεός ως φιλάνθρωπος.

Μετά τήν β' Στιχολογίαν

Καθίσματα Κατανυκτικά

Ταχύ προκατάλαβε

Ταχύ συνεισέλθωμεν, εις τόν νυμφώνα Χριστού, καί πάντες ακούσωμεν, τής μακαρίας φωνής, αυτού τού Θεού ημών. Δεύτε οι αγαπώντες, τήν ουράνιον δόξαν, μέτοχοι γεγονότες, τών φρονίμων παρθένων, φαιδρύνατε τάς λαμπάδας υμών, διά τής πίστεως.

Κατεπλάγη Ιωσήφ

Αναλόγισαι ψυχή, πώς παραστώμεν τώ κριτή, εν τή ώρα τή φρικτή, τίθενται θρόνοι φοβεροί, καί τών ανθρώπων αι πράξεις διελέγχονται, τότε ο Κριτής αδυσώπητος, πρό βήματος γάρ πύρ προπορεύεται, ώσπερ αγρία θάλασσα σύν ήχω, κατακαλύπτον τούς πταίσαντας. Αναλογίζου ταύτα ψυχή μου, καί τά έργα σου εύθυνον.

Δόξα... Καί νύν... Θεοτοκίον

Η κυρίως καί αληθώς Θεοτόκος πρεσβεύουσα, ως Μήτηρ εν παρρησία τώ Υιώ σου καί Θεώ ημών, διαφύλαξον ποίμνην, εξαιρέτως τή σκέπη σου προστρέχουσαν, πρός σέ καταφεύγουσαν τόν λιμένα, τό τείχος, τήν μόνην προστασίαν τού γένους τών ανθρώπων.

Μετά τήν γ' Στιχολογίαν
Καθίσματα Κατανυκτικά
Ταχύ προκατάλαβε

Αϋλοις εν στόμασι, Τριάς υπέρθεε, απαύστως υμνούσί σε, τών Ασωμάτων χοροί, καί φόβω, παρίστανται, Άγιος εκβοώντες, Τρισυπόστατε Φύσις. Ελέησον γούν χειρών σου, τών οικείων τό πλάσμα, αυτών ταίς ικεσίαις, μόνε φιλάνθρωπε.

Μαρτυρικόν

Σήμερον τά τών Αγγέλων στρατεύματα, έν τή μνήμη τών Αθλοφόρων παραγέγονε, τάς τών πιστών διανοίας φωτίσαι, καί τήν οικουμένην τή χάριτι φαιδρύναι, δι' αυτών ο Θεός δυσωπούμενος, δώρησαι ημίν τό μέγα έλεος.

Δόξα... Καί νύν... Θεοτοκίον

Τή ανατραφείση εν τώ Ναώ, εις τά Άγια τών Αγίων, τή περιβεβλημένη τήν πίστιν καί τήν σοφίαν, καί τήν άμεμπτον παρθενίαν, ο Αρχιστράτηγος Γαβριήλ, προσέφερεν ουρανόθεν, τόν ασπασμόν καί τό χαίρε. Χαίρε ευλογημένη, χαίρε δεδοξασμένη, ο Κύριος μετά σού.

Κανών Κατανυκτικός, ού η Ακροστιχίς άνευ τών Θεοτοκίων,
«Σώσόν με Σώτερ, ως τόν Άσωτον πάλαι. Ιωσήφ».

Ωδή α' Ήχος δ'
Ο Ειρμός

Τριστάτας κραταιούς, ο τεχθείς εκ Παρθένου, απαθείας εν βυθώ, ψυχής τό τριμερές, καταπόντισον δέομαι, όπως σοί ως εν τυμπάνω, τή νεκρώσει τού σώματος, επινίκιον άσω μελώδημα.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Σωτηρ μου Ιησού, ο τόν Άσωτον σώσας, ο τής Πόρνης τόν κλαυθμόν, δεξάμενος ποτέ, ο Τελώνην στενάξαντα, νεύματί σου δικαιώσας, αναρίθμητα πταίσαντα, επιστρεφοντα δέξαι, καί σώσόν με.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ως ύλην δαπανά, τήν ψυχήν μου κακίας, η πυρά καί τής φλογός, υπέκκαυμα ποιεί, τής μελλούσης φιλάνθρωπε, σβέσον, ταύτην δροσισμώ σου, τού ελέους Μακρόθυμε, μετανοίας παρέχων μοι δάκρυα.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Συνέσεως πολλής, ο χορός πεπλησμένος, τών αγίων αθλητών, ασύνετον βουλήν, καί αλλόκοτον φρόνημα, πάντων τών παρανομούντων, νηφαλέως εξέκλινε, καί τών θείων βραβείων επέτυχε.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Οι κόσμου τά τερπνά, παρωσάμενοι πάντα, υπερκόσμιον ζωήν, ειλήφατε σοφοί, Αθλοφόροι πανεύφημοι, πάσης ούν με τής τού κόσμου, εκλυτρώσασθε σχέσεως, τόν γνησίως υμάς μακαρίζοντα.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Υπέρφωτε λαμπάς, τού Ηλίου τής δόξης, τής ψυχής μου τόν πυρσόν, σβεννύμενον αεί, ραθυμία προσάναψον, θείων έργων τώ ελαίω, Παναγία επάρδουσα, ίνα πίστει καί πόθω δοξάζω σε.

Κανών τών Ασωμάτων, ού η Ακροστιχίς.
«Ωδή τετάρτη τών Ασωμάτων νόων».

Ειρμός ο αυτός
Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Ως Νόες καθαροί, τώ μεγάλω καί πρώτω, παριστάμενοι Νοϊ, καί θείας αστραπής, εμπιπλάμενοι Άγγελοι, αίγλη με τή υμετέρα, καταυγάσατε μέλποντα, τόν παναίτιον Λόγον πανένδοξοι,

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Δι' όλου πρός Θεόν, νενευκότες τώ πόθω, καί ταίς θείαις καλλοναίς, μορφούμενοι αεί, ώ Αρχάγγελοι ένδοξοι, στάσεσι παναρμονίοις, περιέπετε κράζοντες, επινίκιον ύμνον τώ Κτίσαντι.

Θεοτοκίον
Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Η μόνη εν γαστρί, δεξαμένη τόν Λόγον, όν Αγγέλων στρατιαί, δοξάζουσιν αεί, τήν ψυχήν μου καταύγασον, λύουσα τής αμαρτίας, τήν ζοφώδη κακόνοιαν, καί φωτίζουσα γνώσει τού Πνεύματος.

Ωδή γ'
Ο Ειρμός
Αφ' ύψους κατήλθες, βουλήσει επί γής, ο υπεράνω πάσης αρχής, καί ταπεινήν ανύψωσας εξ άδου κατωτάτου, φύσιν βροτείαν, ου γάρ έστιν άγιος, πλήν σου φιλάνθρωπε.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Νυκτί με τού βίου, τό σκότος τών παθών, κατέλαβε Χριστέ ο Θεός, φώς ούν τυγχάνων άδυτον, ακτίσι μετανοίας με καταυγάσας, σώσόν με φιλάνθρωπε, ίνα δοξάζω σε.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Μερίδος με δείξον, Χριστέ τών εκλεκτών, τής εναντίας μοίρας Σωτήρ, αποχωρίσας δάκρυσι, καί ελεημοσύνη κεκαθαρμένον, όπως καταχρέως σε, δοξάζω πάντοτε.

Μαρτυρικά
Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Εβάφησαν όντως, τοίς αίμασιν υμών, οι πόδες, καί οξύτερον, πρός ουρανόν εβάδισαν, μετά τής αμαρτίας τήν γήν λιπόντες, Μάρτυρες εφάμιλλοι, θείων Δυνάμεων.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Στρεβλούμενον σώμα, υμών τοίς αικισμοίς, ελύετο Χριστού Αθληταί, ψυχής δέ εκρατύνετο, ο τόνος τή αγάπη προσδεδεμένος, αλύτως τού Κτίσαντος, πάντα βουλήματι.

Θεοτοκίον
Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Μαρία Κυρία, ως ούσα τού παντός, τόν Κύριον γεννήσασα, κυριευθέντα πάθεσι τόν νούν μου, καί κακία μελανωθέντα, ελεύθερον ποίησον, καί καταλάμπρυνον.

Κανών τών Ασωμάτων
Ειρμός ο αυτός
Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Ταίς υπερκοσμίαις, ο υμνούμενος χορείαις, τάς τάξεις τούτων Χριστέ, καί τά τών πιστών συστήματα, μιμείσθαι θεοφρόνως ποίησον Λόγε, ου γάρ έστιν άγιος, πλήν σου φιλάνθρωπε.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Έρωτος θερμού, συντονία ορεκτών, προσομιλούντες πρώτη πηγή, λειτουργικώς παρίστασθε, υμνούντες ασιγήτως, μίαν ουσίαν, θεότητος άναρχον, θείοι Αρχάγγελοι.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τής Εύας τήν πάλαι, κατάραν περιφανώς, διέλυσας, τόν Χριστόν κυοφορούσα, Μήτηρ αγνή, τόν πάντας στεφανούντα ταίς ευλογίαις, ου γάρ έστιν Άχραντε, πλήν σου βοήθεια.

## Ωδή δ'

### Ο Ειρμός

Ο καθήμενος εν δόξη, επί θρόνου θεότητος, εν νεφέλη κούφη, ήλθεν Ιησούς ο υπέρθεος, τή ακηράτω παλάμη καί διέσωσε, τούς κραυγάζοντας, δόξα Χριστέ τή δυνάμει σου.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ως Κριτή δικαιοτάτω, νύν προσπίπτω σοι Κύριε, κατακεκριμένον, καί κατεγνωσμένον με οίκτειρον, καί τής δικαίας σου ρύσαι αποφάσεως, καί τής στάσεως, τών εκλεκτών καταξίωσον.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Τόν λησταίς περιπεσόντα, ανημέροις φιλάνθρωπε, τόν τραυματισθέντα, ίασαι Χριστέ, επιχέων μοι, τής μετανοίας τον οίνον καί τό έλαιον, καί ενδύων με, καταστολήν τήν σωτήριον.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ενεδύσασθε εξ ύψους, σωτηρίου ιμάτιον, εν τή απεκδύσει, σώματος πανεύφημοι Μάρτυρες, καί τόν εκδύσαντα πρώην τους προπάτορας, εγυμνώσατε, άπνουν νεκρόν εργασάμενοι.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ρητορεύοντες ανόμων, κατενώπιον Μάρτυρες, τού Θεού τόν λόγον, γνώσει ευσεβείας κοσμούμενοι, σοφούς καί ρήτορας πάντας, κατησχύνατε, ασεβούντας, καί τόν δυσμενή θανατώσαντες.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Επί σέ καθάπερ όμβρος, τής σοφίας η άβυσσος, Ιησούς κατήλθε, μόνην καθαράν σε ευράμενος, Θεογεννήτορ Παρθένε, καί κατέκαυσεν, αμαρτίας, χειμάρρους δεινούς θεία χάριτι.

### Κανών τών Ασωμάτων

Ειρμός ο αυτός

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Ακαταλήπτω δυνάμει, εκ μή όντων παρήγαγες, ουρανίους Νόας, Λόγε τού Θεού υπερούσιε, καί τή αρρήτω σου δόξη κατεκάλλυνας, τούς κραυγάζοντας. Δόξα Χριστέ τή δυνάμει σου.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Ρυθμιζόμεναι τών άνω, αι Δυνάμεις τού Πνεύματος, ταίς ηνίαις τούτου, καί θείαις αυγαίς πυρσευόμεναι, αμεταπτώτους τάς τάξεις εκληρώσαντο, μίαν σέβουσαι, πάντων αρχήν καί θεότητα.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Τού προσώπου σου τό κάλλος, το ωραίον θεάσασθαι, καταξιωθείσαι, αι λειτουργικαί σου λαμπρότητες, καί τάς εκείθεν εμφάσεις εισδεχόμεναι, σοί κραυγάζουσι. Δόξα Χριστέ τή δυνάμει σου.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Η Βασίλισσα Παρθένος, διαχρύσω στολίσματι, ωραϊζομένη, Υιώ Βασιλεί νύν παρίσταται, η ασυγκρίτως Αγγέλους υπερέχουσα, τούς κραυγάζοντας. Δόξα Χριστέ τή δυνάμει σου.

Ωδή ε'

Ο Ειρμός

Νύν αναστήσομαι, προφητικώς έφη ο Θεός, νύν υψωθήσομαι, νύν δοξασθήσομαι, τόν πεσόντα προσλαβών εκ τής Παρθένου, καί πρός φώς τό θαυμαστόν, ανυψών τής εμής θεότητος.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ώ πώς κατάκριτος, σοί τώ Κριτή, πάντων καί Θεώ, μέλλω παρίστασθαι, καί διελέγχεσθαι, περί πάντων τών δεινών, ών περ αφρόνως επλημμέλησα εκών, καί εμαυτόν όλως κατηχρείωσα!

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Σώσόν με Κύριε, ότι κακών, πέπλησμαι πολλών, ίασαι Δέσποτα, τάς αμαρτίας μου, καί τά έλκη τά δεινά, καί μή εάσης απολέσθαι με, τόν μόνον Ιησού μου, πολλά σοι πταίσαντα.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Τέλος μακάριον, οι Αθληταί, εύραντο σαφώς, δόξης επέτυχον, Χριστόν δοξάσαντες, τοίς οικείοις μέλεσι, τόν αθλοθέτην, αικισμοίς καί σπαραγμοίς, ομιλείν ανδρικώς αιρούμενοι.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Όλβον ουράνιον, πανευκλεώς, θείοι Αθληταί, στέφος αμάραντον, καί φώς ανέσπερον, καί οικίαν μηδαμώς παλαιουμένην, αχειρότευκτον κληρούσθε, Μάρτυρες τού Χριστού πανεύφημοι.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σού τά θαυμάσια, προφητικαί, έφησαν φωναί, όρος καλούσαί σε, καί πύλην Άχραντε, καί λυχνίαν φαεινήν, εξ ής τό φέγγος, αληθώς το θαυμαστόν, φρυκτωρεί, Αγνή κόσμον άπαντα.

Κανών τών Ασωμάτων

Ειρμός ο αυτός

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Τρόμω δοξάζουσι, τά Χερουβείμ καί τά Σεραφείμ, θρόνοι, Αρχάγγελοι, καί Κυριότητες, καί Δυνάμεις, καί Αρχαί, καί Εξουσίαι, σύν Αγγέλοις τό σεπτόν, τής μιάς καί τριττής θεότητος.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Ώφθησαν Άγγελοι, φωτοειδώς, λάμποντες Χριστέ, σού τήν Ανάστασιν διακηρύττοντες, ταίς οσίαις Γυναιξί, καί τών εχθρών σου, κατασείοντες τόν νούν, αστραπαίς τής σαυτού θεότητος.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νύν περιφρούρησον, παρεμβολαίς, Αρχαγγελικαίς τήν Εκκλησίαν σου, τήν σέ δοξάζουσαν, ορθοδόξοις εν φωναίς, ο εκ Παρθένου απορρήτως γεννηθείς, καί βροτούς εκ φθοράς ρυσάμενος.

Ωδή ς'
Ο Ειρμός

Ήλθον εις τά βάθη τής θαλάσσης, καί κατεπόντισέ με, καταιγίς πολλών αμαρτημάτων, αλλ' ως Θεός, εκ φθοράς ανάγαγε, τήν ζωήν μου πολυέλεε.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Νεκρός χρηματίζων ου γινώσκω, αναισθητών ο τάλας, καί συνείδησιν μεμολυσμένην, φέρων αεί, ο Θεός ο πλάστης μου, μή εις τέλος απολέσης με.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Αι πράξεις μου μέλλουσιν οικτίρμον, επί τού βήματός σου, ώσπερ δήμιοι κατηγορείν μου, εξ ών Χριστέ, διά τάχους ρύσαί με, οδηγών με πρός μετάνοιαν.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Συνέτριψε δήμος παρανόμων, οστά τών Αθλοφόρων, αλλ' ουκ έθραυσε τούτων τήν πίστιν, δι' ής Θεού, κληρονόμοι ώφθησαν, τού Σωτήρος τών ψυχών ημών.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ως τίμιοι λίθοι επί πέτραν, τής αρραγούς ελπίδος, ωκοδόμηνται οι Αθλοφόροι, καί ως ναοί, τού Αγίου Πνεύματος, πρός ναόν Θεού εσκήνωσαν

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τήν αμαυρωθείσάν μου καρδίαν, ταίς σκοτειναίς εφόδοις, θεονύμφευτε τής αμαρτίας, τώ φωτισμώ, τώ εν σοί καταύγασον, η τόν Ήλιον κυήσασα.

Κανών τών Ασωμάτων
Ειρμός ο αυτός

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Αι κύκλω παρεστώσαι τού Δεσπότου, καί καθαρώς τρυφώσαι, τής ελλάμψεως τής αρχιφώτου, Αγγελικαί, στρατιαί λαμπρύνετε, τούς εν πίστει υμάς μέλποντας.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Σοφία τή σή δημιουργήσας, Αγγελικάς χορείας, Κυριότητάς τε καί Δυνάμεις καί Σεραφείμ, ως Δεσπότης έδειξας, αιωνίως σε γεραίροντας.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ως θρόνοις Χριστέ τοίς επηρμενοις, επαναπεπαυμένος, καί τά σύμπαντα θεία προνοία, περισκοπών, εν αγκάλαις Δέσποτα, τής Παρθένου αναπέπαυσαι.

Ωδή ζ'
Ο Ειρμός

Νέοι τρείς εν Βαβυλώνι, προσταγμα τυραννικόν, εις φλήναφον θέμενοι, μέσον τού πυρός ανεβόων, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Τίνι σε εξομοιώσω, οίμοι! τάλαινα ψυχή, ποθούσαν τά άτοπα, καί μή τά καλά εκζητούσαν, διό πρό

τέλους, σπεύσον, τρόπους χρηστούς επιδείξασθαι.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Όμβρους Χριστέ δακρύων δίδου, όπως τά εμά κακά, αποκλαύσωμαι πικρώς, καί μή συγχωρήσης με Σώτερ, νύν απολέσθαι, πταίσαντά σοι πολλά υπέρ άνθρωπον.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Νέκρωσιν τού νεκρωθέντος, Λόγου φέροντες σαρκί, πλάνην ενεκρώσατε, ζήτε δέ θανόντες εν δόξη, καί νεκρωθέντας πάθεσιν, Αθληταί θεραπεύετε.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ποίος τόπος νύν ουκ έχει, Μάρτυρες φωταγωγούς, υμάς καί προπύργια; ποία ου φαιδρύνεται χώρα, υμών τοίς άθλοις ένδοξοι, καί δόσει τών ιάσεων.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Μόνη μένεις μετά τόκον Δέσποινα παρθενικώ, κάλλει διαλάμπουσα, μόνη τά μητέρων διέδρας, Θεόν γάρ μόνη έτεκες, λυτρωτήν τών ψυχών ημών.

Κανών τών Ασωμάτων

Ειρμός ο αυτός

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Μάρτυρας τών πεπραγμένων, έχοντες τούς νοερούς, Αγγέλους ελώμεθα, αγνώς βιωτεύειν βοώντες. Ευλογητός εί Κύριε, ο Θεός τών Πατέρων ημών.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Άνθρακι κεκαθαρμένος, θρόνω σου τά Σεραφείμ, ορά παριστάμενα, ο θείος βοών Ησαϊας. Ευλογητός εί Κύριε, ο Θεός τών Πατέρων ημών.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τάγματα τών Ασωμάτων, πάντων ως τόν Ποιητήν, τεκούσα καί Κυριον, Παρθένε σαφώς υπερέβης, ευλογημένος Πάναγνε, ο καρπός τής κοιλίας σου.

Ωδή η'

Ο Ειρμός

Λυτρωτά τού παντός Παντοδύναμε, τούς εν μέσω φλογός ευσεβήσαντας, συγκαταβάς εδρόσισας, καί εδίδαξας μέλπειν. Πάντα τά έργα, ευλογείτε υμνείτε τόν Κύριον.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Απεφάνθην τοίς κτήνεσιν όμοιος, υποκύψας αλόγων τοίς πάθεσι, Λόγε Θεού προάναρχε, επιστρέψας με σώσον, αναβοώντα. Ευλογείτε υμνείτε τον Κύριον.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Λυμαινόμενος ύς ελυμήνατο, μονιός με Σωτήρ, ώσπερ άμπελον, γεωργηθείσαν πάθεσιν, εξ ού ρύσαί με τάχος, καί καρποφόρον, αρεταίς τήν ψυχήν μου ανάδειξον.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Αι βαφαί τών αιμάτων επέχρωσαν, πορφυρίδα υμίν θεοϋφαντον, ήν στολισθέντες Μάρτυρες, στεφηφόροι ταίς νίκαις, τώ εν υψίστοις, Βασιλεί αιωνίω παρίστασθε.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ιερός τών Μαρτύρων κατάλογος, ανιέρων διέλυσε σύστημα, τό κελεύον παράνομα, καί νομίμως αθλήσας, πρός τού Δεσπότου τών απάντων, νομίμως κατέστεπται.

Θεοτοκίον

Ευλογεί πάσα κτίσις τόν τόκον σου, ευλογίαις ημάς στεφανώσαντα, καί τήν αράν εξάραντα, Παντευλόγητε μόνη, δεδοξασμένη, η τό γένος ημών χαριτώσασα.

Κανών τών Ασωμάτων

Ειρμός ο αυτός

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Ως υπάρχων ζωή η αθάνατος, αθανάτου ζωής τούς μεθέξοντας, δημιουργών υπέστησας, καί εδίδαξας μέλπειν. Πάντα τά έργα, ευλογείτε υμνείτε τόν Κύριον.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Νοερώς σε κυκλούντες Αρχάγγελοι, ταίς απαύστοις φωναίς ανακράζουσι, θεοπρεπώς γεραίροντες, τώ Δεσπότη τών όλων, αναβοώντες. Ευλογείτε υμνείτε τόν Κύριον.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νομικαί προετύπουν εικόνες σε, τεξομένην Θεόν Παμμακάριστε, ύλη σαρκός ενούμενον, τόν πρίν άϋλον όντα, φύσει τή θεία, ευλογούμεν Παρθένε τόν τόκον σου.

Ωδή θ'

Ο Ειρμός

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Εύα μέν τώ τής παρακοής νοσήματι, τήν κατάραν εισωκίσατο, σύ δέ Παρθένε Θεοτόκε, τώ τής κυοφορίας βλαστήματι, τώ κόσμω τήν ευλογίαν εξήνθησας, όθεν σε πάντες μεγαλύνομεν.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ιδού μετανοίας ο καιρός, τί μέλλομεν, τί τώ ύπνω βυθιζόμεθα; τής ραθυμίας αποστώμεν, κοσμήσωμεν λαμπάδας ως γέγραπται, ελαίω ευποιΐας, μή μείνωμεν, έξω τής θύρας Οδυρόμενοι.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ως έστι καιρός μετανοείν, επίστρεψον, τών κακών σου ών εποίησας, γνώσει ψυχή μου καί αγνοία, καί βόησον τώ πάντα γινώσκοντι. Ημάρτηκα συγχώρησον Δέσποτα, μή με βδελύξη τόν ανάξιον.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Συνήξεν εκ πάσης ο Χριστός αθλήσαντας, τούς Αγίους εμφανέστατα, χώρας καί πόλεως εις τόπους, ενδόξους εις τιμίαν κατάπαυσιν, καί νύν τών πρωτοτόκων φαιδρύνουσι, τήν Εκκλησίαν αγαλλόμενοι.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Η πάνσεπτος θήκη τών σεπτών Μαρτύρων σου, φρυκτωρίαις θείου Πνεύματος, αυγαζομένη παραδόξως, ιάσεων εκπέμπει φαιδρότητας, ενθάπτει νοσημάτων επήρειαν, Κύριε μόνε πολυέλεε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φωτός τού εν σοί μαρμαρυγαίς Θεόνυμφε, τήν ψυχήν μου φωταγώγησον, κείμενον βόθρω απωλείας, ανάστησον, εχθρούς καταρράσσουσα, τούς θλίβοντας αεί τήν καρδίαν μου, καί πρός τά πάθη συνωθούντάς με.

Κανών τών Ασωμάτων

Ο Ειρμός

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Κρυπτόν θείον άχραντον, εν σοί τελείται εμφανές Μυστήριον, Παρθένε άχραντε, καί γάρ Θεός εκ σού σεσωμάτωται, δι' ευσπλαχνίαν, διό σε ως Θεοτόκον μεγαλύνομεν.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Οι Νούν τόν Γεννήτορα καί προβολέα, τού Υιού καί Πνεύματος, υμνούντες Άγγελοι, νύν πρός ημάς τής θείας χρηστότητος, τάς χορηγίας συντόνως, διαπορθμεύειν προθυμήθητε.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Ωραίως κοσμούμενοι τής αφθαρσίας, δωρεά καί χάριτι, θείοι Αρχάγγελοι, σέ τήν πηγήν Χριστέ τήν αέναον, τής αφθαρσίας υμνούντες, ως ευεργέτην μεγαλύνουσι.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νυμφώνα σαρκώσεως τής απορρήτου, καί παστάδα έμψυχον, πιστοί γινώσκομεν, καί κιβωτόν τού νόμου τής χάριτος, σέ Θεοτόκε, διό σε, ακαταπαύστως μεγαλύνομεν.

Απόστιχα τών Αίνων

Κατανυκτικά

Πρόβατόν ειμι τής λογικής σου ποίμνης, καί πρός σέ καταφεύγω, τόν Ποιμένα τόν καλόν, ζήτησόν με τόν πλανηθέντα ο Θεός, καί ελέησόν με.

Στίχ. α'. Ενεπλήσθημεν τό πρωϊ τού ελέους σου, Κύριε, καί ηγαλλιασάμεθα καί ηυφράνθημεν έν πάσαις ταίς ημέραις ημών. Ευφρανθείημεν, ανθών ημερών εταπείνωσας ημάς, ετών, ών είδομεν κακά, καί ίδε επί τούς δούλους σου καί επί τά έργα σου, καί οδήγησον τούς υιούς αυτών.

Πλύνόν με τοίς δάκρυσί μου Σωτήρ, ότι ρερύπωμαι εν πολλαίς αμαρτίαις, διό καί προσπίπτω σοι. Ήμαρτον ελέησόν με ο Θεός.

Μαρτυρικόν

Στίχ. β'. Καί έστω η λαμπρότης Κυρίου τού Θεού ημών εφ' ημάς, καί τά έργα τών χειρών ημών κατεύθυνον εφ' ημάς, καί τό έργον τών χειρών ημών κατεύθυνον.

Τίς ουκ εξίσταται ορών, άγιοι Μάρτυρες, τόν αγώνα τόν καλόν, όν ηγωνίσασθε; πώς εν σώματι όντες, τόν ασώματον εχθρόν ετροπώσασθε; Χριστόν ομολογήσαντες, τώ Σταυρώ οπλισάμενοι; όθεν ενεδείχθητε δαιμόνων φυγαδευταί, καί βαρβάρων πολέμιοι, απαύστως πρεσβεύοντες, σωθήναι τάς ψυχάς ημών.

Δόξα... Καί νύν... Θεοτοκίον

Εκ παντοίων κινδύνων, τούς δούλους σου φύλαττε, ευλογημένη Θεοτόκε, ίνα σε δοξάζωμεν, τήν ελπίδα τών ψυχών ημών.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Οι Μακαρισμοί

Μακάριοι οι ειρηνοποιοί, ότι αυτοί υιοί Θεού κληθήσονται.

Διά ξύλου ο Αδάμ, Παραδείσου γέγονεν άποικος, διά ξύλου δέ Σταυρού, ο Ληστής Παράδεισον

ώκησεν, ο μέν γάρ γευσάμενος, εντολήν ηθέτησε τού ποιήσαντος, δέ ο συσταυρούμενος, Θεόν ωμολόγησε τόν κρυπτόμενον, Μνήσθητί μου βοών εν τή Βασιλεία σου.

Μακάριοι οι δεδιωγμένοι ένεκεν δικαιοσύνης, ότι αυτών εστιν η βασιλεία τών ουρανών.

Υπέρ πάντας τούς βροτούς, επί γής εγώ επλημμέλησα, καί πτοούμαι τό εκεί, απαραλόγιστον δικαστήριον, εν ώ ακατάκριτον, συντηρήσας τότε με Υπεράγαθε, κολάσεως λύτρωσαι, διδούς μοι μετάνοιαν αποπλύνουσαν, παντοίων με μολυσμών ως φιλάνθρωπος.

Μακάριοί εστε όταν ονειδίσωσιν υμάς, καί διώξωσι, καί είπωσι πάν πονηρόν ρήμα καθυμών ψευδόμενοι ένεκεν εμού.

Χερουβείμ καί Σεραφείμ, Εξουσίαι, θρόνοι Αρχάγγελοι, Κυριότητες ομού, καί Δυνάμεις, άγιοι Άγγελοι, Αρχαί υψηλόταται, τώ Δεσπότη άφεσιν παριστάμενοι, πταισμάτων αιτήσασθε, καί βίου διόρθωσιν τοίς βοώσι πιστώς. Μνήσθητι καί ημών εν τή Βασιλεία σου.

Μαρτυρικόν

Χαίρετε καί αγαλλιάσθε, ότι ο μισθός υμών πολύς εν τοίς ουρανοίς.

Ομιλούντες τώ πυρί, τήν φρυγανώδη πλάνην εφλέξατε, Αθλοφόροι τού Χριστού, καί τή υμών πλημμύρα τού αίματος, τόν βύθιον δράκοντα, παντελώς πανεύφημοι απεπνίξατε, καί νίκην αράμενοι, τοίς άνω στρατεύμασι συναγάλλεσθε, πρεσβεύοντες εκτενώς υπέρ τών ψυχών ημών.

Δόξα...

Η τρισήλιος αυγή, η τό τού κόσμου φάνασα πλήρωμα, της ψυχής μου τά δεινά, αποσοβούσα πάθη κατάπεμψον, φωτός σου αμάρυγμα, καί ιλασμόν πταισμάτων τού κράζειν σοι, ανάρχω Γεννήτορι, Υιώ τώ συνθρόνω τε, Καί τώ Πνεύματι. Τριάς η παντουργική δύναμις σώσον ημάς.

Καί νύν... Θεοτοκίον

Αμαρτάνοντα αεί, καί ραθυμία όλως κρατούμενον, κατοικτείρηρησον Αγνή, καί μετανοίας τρόποις βελτίωσον, διδούσα κατάνυξιν, τή πεπωρωμένη ψυχή μου Πάναγνε, ελπίς ακαταίσχυντε, τών πόθω υμνούντων σε καί βοώντων Χριστώ. Μνήσθητι καί ημών εν τή Βασιλεία σου.

top

4-3

## Στιχηρά Κατανυκτικά Δεσποτικά

Ήχος δ'

Ο έξ Υψίστου κληθείς

Στίχ. α'. Εάν ανομίας παρατηρήσης, Κύριε, Κύριε τίς υποστήσεται; ότι παρά σοί ο ιλασμός εστιν.

Τήν Χαναναίαν ζηλώσασα ψυχή μου, όπισθεν κολλήθητι, Χριστώ καί κράζε συχνώς. Ελέησόν με, ώ Δέσποτα, παίδα ουκ έχω, δαιμονιώσαν σάρκα δέ άτακτον, δίωξον τήν πύρωσιν, εκ ταύτης δέομαι, καί καταπαύσας τά άτακτα, τών σκιρτημάτων, νεκραν τώ φόβω σου αποτέλεσον, ταίς ικεσίαις τής αχράντως σε, συλλαβούσης Χριστέ καί τεκούσης σε, καί τών πάντων Αγίων, Ευεργέτα πολυέλεε.

Στίχ. β'. Ένεκεν τού ονόματός σου υπέμεινά σε, Κύριε, υπέμεινεν η ψυχή μου εις τόν λόγον σου, ήλπισεν η ψυχή μου επί τόν Κύριον.

Τοίς Νινευΐταις ποτέ ημαρτηκόσιν, Ιωνάν εξέπεμψας, Χριστέ κηρύξαι αυτοίς, οί μεταγνόντες μετέβαλον, θυμόν εις οίκτον απολυτρούμενοι εξ ολεθρίου οργής, πέμψον ούν Φιλάνθρωπε, τώ αναξίω καμοί, ίν' επιτήν κραταιάν σου βοήθειαν, στρέψω, εξ αμετρήτων μου παραπτώσεων, καί μετανοίας εις τάς τρίβους, οδηγηθώ τε καί κλαύσω στενάζων πικρώς, τών πολλών μου πταισμάτων, λυτρωθήναι τώ ελέει σου.

Στίχ. γ'. Από φυλακής πρωϊας μέχρι νυκτός, από φυλακής πρωϊας ελπισάτω Ισραήλ επί τόν Κύριον.

Ο εις τόν κόσμον ελθών διά τό σώσαι, βροτούς αμαρτάνοντας, καί πρός μετάνοιαν, καλέσαι

τούτους ως εύσπλαγχνος, καμέ Οικτίρμον, τόν υπέρ πάντας σε παροργίσαντα, οικτείρησον, σώσόν με, δι' αγαθότητα, καί πρός οδόν με οδήγησον, τής μετανοίας, καί λογισμόν μοι δός κατανύξεως, κατασκευάσας τήν καρδίαν μου, ταπεινήν, καί απλήν απερίεργον, καί πραείαν Σωτήρ μου, τή σή χάριτι ως εύσπλαγχνος.

Έτερα Στιχηρά τού Προδρόμου

Έδωκας σημείωσιν

Στίχ. δ'. Ότι παρά τώ Κυρίω τό έλεος, καί πολλή παρ' αυτώ, λύτρωσις. καί αυτός λυτρώσεται τόν Ισραήλ έκ πασών τών ανομιών αυτού.

Τήν αμαυρωθείσάν μου, ψυχήν κακία τού όφεως, Ιωάννη μακάριε, φώτισον πρεσβείαις σου, καί ευθείαις τρίβοις, οδήγησον βαίνειν, ταίς εισαγούσαις πρός ζωήν, τήν μακαρίαν καθικετεύω σε, ίνα προθύμως πάντοτε, δοξολογώ σε πανθαύμαστε, ο αχρείος οικέτης σου, ως τυχών τής αιτήσεως.

Στίχ. ε'. Αινείτε τόν Κύριον πάντα τά έθνη, επαινέσατε αυτόν, πάντες οι λαοί.

Τής στείρας ως βλάστημα, υπάρχων τίμιε Πρόδρομε, τήν ψυχήν μου στειρεύουσαν, παντοίων εκ πράξεων, αγαθών παμμάκαρ, ποίησον ευχαίς σου, καρπούς προσφέρειν τώ Θεώ, εν μετανοία καθικετεύω σε, όπως τάς αριστείας σου, καί τήν θερμήν προστασίαν σου, μεγαλύνω σωζόμενος, ο αχρείος οικέτης σου.

Στίχ. ς'. Ότι εκραταιώθη τό έλεος αυτού εφ' ημάς, καί η αλήθεια τού Κυρίου μένει εις τόν αιώνα.

Κριτά δικαιότατε, καρδιογνώστα φιλάνθρωπε, καί Θεέ αμνησίκακε, εν ώρα τής κρίσεως, μή με καταισχύνης, τόν άσωτον Λόγε, αλλά τού θείου Βαπτιστού, σεπταίς πρεσβείαις νύν επικάμφθητι, καί σώσόν με τόν δείλαιον, καθικετεύω καί δέομαι, Ιησού υπεράγαθε, ο Σωτήρ τών ψυχών ημών.

Δόξα... Καί νύν... Θεοτοκίον όμοιον

Ησαύ νέος γέγονα, πάσιν εν τρόποις Πανάχραντε, εμπαθής υπέρ άνθρωπον, μόνος ώφθην άθλιος, αρετής ενθέου, γυμνός μόνος όλος, τίς ούν μή κλαύσει επ' εμέ; τίς μή θρηνήσει μου τήν απώλειαν, διό πρό τέλους κράζω σοι. Ήμαρτον Δέσποινα, σώσόν με, ώσπερ έσωσε πρότερον, ο Υιός σου τόν Άσωτον.

Απόστιχα Κατανυκτικά

Ήθελον δάκρυσιν εξαλείψαι, τών εμών πταισμάτων Κύριε τό χειρόγραφον, καί τό υπόλοιπον τής ζωής μου, διά μετανοίας ευαρεστήσαί σοι, αλλ' ο εχθρός απατά με, καί πολεμεί τήν ψυχήν μου, Κύριε, πρίν εις τέλος απόλωμαι, σώσόν με.

Στίχ. Α'. Πρός σέ ήρα τούς οφθαλμούς μου, τόν κατοικούντα εν τώ ουρανώ. Ιδού, ως οφθαλμοί δούλων εις χείρας τών κυρίων αυτών, ως οφθαλμοί παιδίσκης εις χείρας τής κυρίας αυτής, ούτως οι οφθαλμοί ημών πρός Κύριον τόν Θεόν ημών, έως ού οικτιρήσαι ημάς.

Τίς χειμαζόμενος καί προστρέχων, τώ λιμένι τούτω ου διασώζεται;τώ ή τίς οδυνώμενος καί προσπίπτων, ιατρείω τούτω ου θεραπεύεται; Δημιουργέ τών απάντων, καί Ιατρέ τών νοσούντων, Κύριε, πρίν εις τέλος απόλωμαι, σώσόν με.

Μαρτυρικόν

Στίχ. Β'. Ελέησον ημάς, Κύριε, ελέησον ημάς, ότι επί πολύ επλήσθημεν εξουδενώσεως, επί πλείον επλ ήσθη η ψυχή ημών, τό όνειδος τοίς ευθηνούσι, καί η εξουδένωσις τοίς υπερηφάνοις.

Ο τών αγίων Μαρτύρων, δεξάμενος τήν υπομονήν, καί παρ' ημών δέχου τήν υμνωδίαν Φιλάνθρωπε, δωρούμενος ημίν, ταίς αυτών ικεσίαις, τό μέγα έλεος.

Δόξα... Καί νύν... Θεοτοκίον

Έδωκας σημείωσιν

Σέ τό καθαρώτατον, τού Βασιλέως παλάτιον, δυσωπώ Πολυϋμνητε, τόν νούν μου καθάρισον, τόν εσπιλωμένον, πάσαις πλημμελείαις, καί καταγώγιον τερπνόν, τής υπερθέου Τριάδος ποίησον, όπως τήν δυναστείαν σου, καί τήν πολλήν ευσπλαγχνίαν σου, μεγαλύνω σωζόμενος, ο αχρείος οικέτης σου.

Μετά τήν α' Στιχολογίαν
Καθίσματα Κατανυκτικά
Ήχος δ'

Τήν ταπεινήν μου ψυχήν, επίσκεψαι Κύριε, τήν εν αμαρτίαις τόν βίον όλον δαπανήσασαν, όν τρόπον τήν Πόρνην, δέξαι καμέ, καί σώσόν με.

Διαπλέων τό πέλαγος τής παρούσης ζωής, ενθυμούμαι τήν άβυσσον τών πολλών μου κακών, καί μή έχων τόν κυβερνήτην λογισμόν, τήν τού Πέτρου σοι προσφθέγγομαι φωνήν. Σώσόν με Χριστέ, σώσόν με, ως φιλάνθρωπος.

Δόξα... Καί νύν... Θεοτοκίον

Τόν Λόγον τού Πατρός, Χριστόν τόν Θεόν ημών, εκ σού σαρκωθέντα έγνωμεν, Θεοτόκε Παρθένε, μόνη αγνή, μόνη ευλογημένη, διό απαύστως σέ ανυμνούντες μεγαλύνομεν.

Μετα τήν β' Στιχολογίαν
Καθίσματα έτερα

Εννοών τό πέλαγος τών πολλών μου πταισμάτων, ου τολμώ ατενίσαι, καί αιτήσαι τήν συγχώρησιν, αλλά δός μοι κατάνυξιν πρός μετάνοιαν, Κύριε καί σώσόν με.

Κατεπλάγη Ιωσήφ

Τή αχλύϊ τών παθών, καί τών τού βίου ηδονών, σκοτιζόμενος ο νούς, τής ταλαιπώρου μου ψυχής, πρός λογισμόν κατανύξεως ουκ έρχεται, αλλ' οίκτειρον Σωτήρ, καμέ τόν δείλαιον, καί δός μοι λογισμόν κατανύξεως, ίνα καγώ πρό τέλους εκβοήσω, τή ευσπλαγχνία σου Κύριε, Χριστέ Σωτήρ μου, απεγνωσμένον, σώσόν με τόν ανάξιον.

Δόξα... Καί νύν... Θεοτοκίον

Σέ μεγαλύνομεν Θεοτόκε βοώντες. Χαίρε αδύτου φωτός Νεφέλη, αυτόν βαστάσασα εν κόλποις, τής δόξης τόν Κύριον.

Μετά τήν γ' Στιχολογίαν
Καθίσματα Κατανυκτικά
Ταχύ προκατάλαβε

Τρυγών η φιλέρημος, ο ιερός Βαπτιστής, κηρύξας μετάνοιαν, καί φανερώσας Χριστόν, γενόμενον άνθρωπον, πάντων αμαρτανόντων, εγεννήθη προστάτης, πάσι χειμαζομένοις βοηθών αενάως. Αυτού ταίς ικεσίαις Χριστέ, σώσον τόν κόσμον σου.

Μαρτυρικόν

Σταυρόν οπλισάμενοι, οι Αθλοφόροι σου, ενίκησαν τά μηχανήματα, τού αρχεκάκου εχθρού, Χριστέ ο Θεός ημών, έλαμψαν ως φωστήρες, τους βροτούς οδηγούντες, νέμουσι τάς ιάσεις, τοίς εν πίστει αιτούσιν. Αυτών ταίς ικεσίαις, σώσον τάς ψυχάς ημών.

Δόξα... Καί νύν... Θεοτοκίον

Η μόνη κυήσασα, τόν ποιητήν τού παντός, η μονη κοσμήσασα, τήν ανθρωπότητα, τώ τόκω σου Άχραντε, ρύσαί με τών παγίδων, τού δολίου Βελίαρ, στήσόν με επί πέτραν, τών Χριστού θελημάτων, αυτόν εκδυσωπούσα εκτενώς, όν εσωμάτωσας.

Κανών Κατανυκτικός ού η ακροστιχίς άνευ Ειρμών καί Θεοτοκίων
Καθαρτικοίς με δάκρυσιν πλύνον, Λόγε.Ποίημα Ιωσήφ.

Ωδή α' Ήχος δ'
Ο Ειρμός

Ο πατάξας Αίγυπτον, καί Φαραώ τόν τύραννον, βυθίσας εν θαλάσση, λαόν διέσωσας δουλείας, Μωσαϊκώς άδοντα, ωδήν επινίκιον, ότι δεδόξασται.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Κεκρυμμένως πράττοντα, έργα τού σκότους Κύριε, μή φανερώς ελέγξης, μή στηλιτεύσης επί πάντων, αλλά φωτί λάμπρυνον γνησίας μετανοίας, Σωτήρ καί σώσόν με.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Αμαρτίας πάντοτε, εφ' αμαρτίας Δέσποτα, ο άσωτος συνάπτω, καί ουκ αισθάνομαι τού φόβου, τού σού ποτέ Κύριε, διό με πρό τού τέλους σώσον, οικτείρησον.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Θυρεώ σκεπόμενοι, τής ευσεβείας Άγιοι, κατέχοντες ως ξίφος Σταυρού τό όπλον, πρός τήν πάλην τού δυσμενούς, ένδοξοι εξήλθετε, καί τούτον κατηδαφίσατε.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Αιμοβόρους λέοντας, καί ξίφη κατατέμνοντα, καί βράσματα λεβήτων, ξεσμούς ονύχων, σπαθισμούς τε καί αλγεινά, βάσανα, οι Μάρτυρες, οι θείοι ουκ επτοήθησαν.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τήν σκηνήν τήν άχραντον, καί κιβωτόν καί τράπεζαν, τό όρος ού ετμήθη, άνευ χειρός ανθρώπου, λίθος ο τού παντός Κύριος, Μαρίαν τήν Παρθένον, ύμνοις τιμήσωμεν.

Κανών τού Προδρόμου, ού η Ακροστιχίς:
Ωδήν πλέκω σοι ευκτικήν, μάκαρ πόθω. Ιωσήφ.

Ο Ειρμός

Τριστάτας κραταιούς, ο τεχθείς εκ παρθένου, απαθείας εν βυθώ, ψυχής τό τριμερές, καταπόντισον δέομαι, όπως σοι ως εν τυμπάνω τή νεκρώσει τού σώματος, επινίκιον άσω μελώδημα.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Ως μέγιστος αστήρ, τού Ηλίου προτρέχων, κατεφώτισας τήν γήν, ταίς λάμψεσι ταίς σαίς, Βαπτιστά, όθεν κράζω σοι. Φώτισόν μου τήν καρδίαν, ταίς δειναίς αμαυρότησι, τών απείρων πταισμάτων τυφλώττουσαν.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Διέλυσας ποτέ, εν τώ τίκτεσθαι μάκαρ, τής στειρώσεως δεσμά, διό σε δυσωπώ, τήν ακάρπως στειρεύουσαν, πάθεσι ψυχήν μου δείξον, ταίς ευχαίς σου κατάκαρπον, αρετών ευτεκνίαν προσφέρουσαν.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Ηυτρέπισας οδόν, Ηλιού εν δυνάμει, προελθών τώ Λυτρωτή, πρός όρμον τής ψυχής, τάς κινήσεις κατεύθυνον, σκώλον άπαντα και, λίθον, εμπαθείας αοίδιμε, Βαπτιστά υπεξαίρων πρεσβείαις σου.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νεφέλη φωτεινή, τής ψυχής μου τά νέφη, τά πολλά καί χαλεπά, ταίς σαίς φωτιστικαίς μεσιτείαις διάλυσον, όπως ίδω τάς ακτίνας, τού εκ σού ανατείλαντος, καί φωτί φώς προσλάβωμαι άδυτον.

Ωδή γ'

Ο Ειρμός

Ο στερεών βροντήν καί κτίζων πνεύμα, στερέωσόν με Κύριε, ίνα υμνώ σε ειλικρινώς, καί ποιώ τό θέλημά σου, ότι ουκ έστιν Άγιος, ως σύ ο Θεός ημών.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ο τών τυφλών τά όμματα φωτισας, τούς οφθαλμούς μου φώτισον, εσκοτισμένους ταίς ηδοναίς,

καί τού βίου ταίς φροντίσι, καί μηδαμού τοις κρίμασι, τοίς σοίς ατενίζοντας.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ίδε καιρός, ανάνηψον ψυχή μου, εκ τών κακών ών έπραξας, καί τώ Δεσπότη καί λυτρωτή, αναβόησον εν φόβω. Τής μετανοίας πύλας μοι, Χριστέ, αναπέτασον.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Σεσοβημένος ώφθη ο Βελίαρ, τοίς θείοις αγωνίσμασι τών Αθλοφόρων, καί υπ' αυτών συμπατούμενος οράται, νεκρός καί ανενέργητος, ο πρώην καυχώμενος.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Μαρτυρικώς τόν δρόμον διανύσας, ο τών Αγίων σύλλογος, τάς μυριάδας τών νοητών Αιθιόπων, θείω σθένει ως αληθώς διέκοψε, καί δόξης επέτυχε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τών προπατόρων έλυσας τήν λύπην, χαράν ημίν κυήσασα, τόν ζωοδότην, καί Λυτρωτήν, Παναγία Θεοτόκε, όν εκτενώς ικέτευε, σωθήναι τάς ψυχάς ημών.

Κανών τού Προδρόμου

Ο Ειρμός

Τόξον δυνατών ησθένησε, καί οι ασθενούντες περιεζώσαντο δύναμιν, διά τούτο εστερεώθη, έν Κυρίω η καρδία μου.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Πάσαν αρετήν εξήσκησας, πάσαν αμαρτίαν από καρδίας εμίσησας, καί τήν τρίβον τής μετανοίας, τοίς ανθρώποις μάκαρ έδειξας.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Λόγου σαρκωθέντος Προδρομος, μέγιστος εδείχθης, καί διά τούτο σού δέομαι, τών αλόγων παθών με ρύσαι, οδηγών με πρός μετάνοιαν.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Έτι ενδημών τώ σώματι, βίον Ασωμάτων επεδείκνυσο Πρόδρομε, ον μιμείσθαι ημάς ευχαίς σου, ενδυνάμωσον δεόμεθα.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Κόσμος διά σού ηλέηται, ο τή παραβάσει αχρειωθείς Μητροπάρθενε, διά τούτο ωδαίς ασμάτων, καταχρέως μακαρίζει σε.

Ωδή δ'

Ο Ειρμός

Εισακήκοα ο Θεός, τήν ακοήν σου καί εφοβήθην, κατενόησα τά έργα σου, ο Προφήτης έλεγε, καί εδόξασά σου τήν δύναμιν.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Εγυμνώθην τών αρετών, καί τήν κακίαν ενεδυσάμην, καί ιδού αισχύνης πέπλησμαι, Ιησού φιλάνθρωπε, καταστολαίς ενθέοις με φαίδρυνον.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Διαπλέων τής κοσμικής, θαλάσσης Λόγε, τόν πλούν ραθύμως, ναυαγίω περιέπεσα, ηδονών τού σώματος, πρός μετανοίας όρμον με ίθυνον.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

πεκάθηραν αληθώς, τήν σηπεδόνα τής αμαρτίας, καρτερίας θείω άλατι, οι γενναίοι Μάρτυρες, καί σωτηρίαν πάσιν εβράβευσαν.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Κυλιόμενοι επί γής, καθάπερ λίθοι οι Αθλοφόροι, τά τής πλάνης οχυρώματα, παντελώς συνέτριψαν. Αυτών πρεσβείαις Κύριε σώσον ημάς.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σωτηρίαν σε εν παντί, καιρώ καί τόπω επικαλούμαι, μή παρίδης με Πανάμωμε, η Θεόν κυήσασα, τόν λυτρωτήν ομού καί Σωτήρά μου.

Κανών τού Προδρόμου

Ο Ειρμός

Δι' αγάπησιν Οικτίρμον τής σής εικόνος, επί Σταυρού σου έστης, καί ετάκησαν έθνη, σύ γάρ εί φιλάνθρωπε, ισχύς μου καί ύμνησις.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Ως τρυγόνα σε το έαρ τής αληθείας, παναληθέσι λόγοις, προμηνύουσαν κόσμω, γνόντες μακαρίζομεν, αοίδιμε Πρόδρομε.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Συντριβέντα με τού πλάνου ταίς επηρείαις, τής Παλαιάς μεσίτης, καί τής Νέας υπάρχων, όλον ανακαίνισον, πρεσβείαις σου Πρόδρομε.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Ο τήν έρημον οικήσας αμεμπτω βίω, ερημωμένον πάση, παραβάσει τόν νούν μου, θείαις ανακαίνισον, πρεσβείαις σου Πρόδρομε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ιλασμός ημίν καί λύτρωσις εγνωρίσθη, ο σός Υιός Παρθένε, όν ικέτευε σώσαι, τούς εν κατανύξει σε, ψυχής μακαρίζοντας.

Ωδή ε'

Ο Ειρμός

Ανάτειλόν μοι Κύριε, τό φώς τών προσταγμάτων σου, ότι πρός σέ Χριστέ, τό πνεύμά μου, ορθρίζει καί υμνεί σε, σύ γάρ πέλεις μου Θεός, καί πρός σε κατέφυγον, τής ειρήνης Βασιλεύ.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ραθύμως διανύσαντα, τόν βίον τόν φθειρόμενον, καί ταίς απάταις σκοτιζόμενον, τού πλάνου καθ' εκάστην, Ιησού οικτείρησον, καί πρός φώς οδήγησον, μετανοίας καί ζωής.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Υψώθη η καρδία μου, υποβολαίς τού όφεως, καί κατηνέχθην πτώμα μέγιστον, η τών κατερραγμένων, Ιησού ανόρθωσις, επίστρεψον σώσόν με, διά πλήθος οικτιρμών.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Σταγόσι κατεσβέσατε, αιμάτων τήν πολύθεον, τής πλάνης κάμινον μακάριοι, καί όμβροις ιαμάτων, φλογμόν κατεπαύσατε, παθημάτων πάντοτε, τού Σωτήρος Αθληταί.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ιστάμενοι πρό βήματος, καί μάστιξι ξεόμενοι, καί κεφαλάς αποτεμνόμενοι, καί πλήθει ομιλούντες, χαλεπών κολάσεων, ακλινείς εμείνατε, επινεύσει θεϊκή.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ανάτειλόν μοι Δέσποινα, ακτίνα τού ελέους σου, τώ εν τώ σκότει τών πταισμάτων μου, υπάρχοντι Παρθένε, καί πρός φώς οδήγησον, μετανοίας Άχραντε, ίνα πίστει σε υμνώ.

Κανών τού Προδρόμου

Ο Ειρμός

Τόν φωτισμόν σου Κύριε, κατάπεμψον ημίν, καί τής αχλύος ημάς τών πταισμάτων λύσον αγαθέ, τήν σήν ειρήνην ουρανόθεν δωρούμενος.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Ερημικοίς με άνθραξι, παθών επαγωγαίς, ερήμου θρέμμα, πυρούμενον δρόσω, σού τών πρεσβειών, τής τούτων βλάβης, διατήρησον άτρωτον.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Υπό τής σής βαπτίζεται, αγίας δεξιάς, Πατρός η θεία, παμμάκαρ δεξιά, σώζουσα ημάς ταίς σαίς πρεσβείαις, από πάσης στενώσεως.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Καταφυγήν σε Πρόδρομε, καί σκέπην κραταιάν, καί μέγα τείχος, πάς κόσμος σε έχει, λύτρωσαι ημάς ταίς σαίς πρεσβείαις, τών δεινών περιστάσεων.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τήν καλλονήν ηγάπησε, Θεός σε Ιακώβ, Παρθένε Κόρη, επικαλλωπίζων πάντας διά σού αμαυρωθέντας, παραβάσει τό πρότερον.

Ωδή ς'

Ο Ειρμός

Εν πελάγει τού βίου, ταίς πράξεσί μου κατήλθον εις βυθόν, αλλ' ως εκ κήτους Ιωνάς, ούτω βοώ σοι. Εκ βυθού τών κακών με ανάγαγε δέομαι, Υιέ τού Θεού καί Λόγε.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Νυσταγμώ αμελείας, κατεβαρύνθην ο τάλας τήν ψυχήν, καί αμαρτίας ύπνω κατηνέχθην, μετανοίας πρός φώς με εξέγειρον Κύριε, καί τή σή ευσπλαγχνία σώσον.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Πώς επτώθην ο τάλας; πώς εμακρύνθην Θεού τού αγαθού, πώς ου λαμβάνω εν αισθήσει, τό φρικτόν κριτήριον εκείνο, εν ώ μέλλω κρίνεσθαι; Ποιητά μου, οι κτείρησόν με.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Λύρα ώφθητε όντως, αναφωνούσα μέλος σωτήριον αεί, καί καθηδύνουσα πιστών καρδίας, καί τήν μέθην τής πλάνης, τελείως διώκετε, Αθληταί κατηγλαϊσμένοι.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Υπερβάντες τούς όρους, τούς ανθρωπίνους οι Μάρτυρες Χριστού, τή πρός τόν Κτίστην ανανεύσει θεϊκή, τών βασάνων τούς άθλους, υπέφερον χαίροντες, ως εν σώματι αλλοτρίω.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Παναγία Παρθένε, προστασία απάντων τών πιστών, πρόστηθι ρύσαί με απειλής, καί σκότους, τού φρικτού κριτηρίου, εν ώρα τής κρίσεως, ίνα πίστει αεί υμνώ σε.

## Κανών τού Προδρόμου

Ο Ειρμός

Ήλθον εις τά βάθη τής θαλάσσης, καί κατεπόντισέ με, καταιγίς πολλών αμαρτημάτων, αλλ' ο Θεός, εκ φθοράς ανάγαγε, τήν ζωήν μου ως φιλάνθρωπος.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Ίστασο βαπτίζων εν τοίς ρείθροις, τόν αμαρτίας πάντων, τών ανθρώπων αίροντα Δεσπότην, όν δυσωπείν μή ελλείπης Πρόδρομε, οικτειρήσαι τάς ψυχάς ημών.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Κήρυξ ανεδείχθης μετανοίας, εν ή συντήρησόν μου, τήν καρδίαν κατεσπιλωμένην, ταίς βλαβεραίς αμαρτίαις Πρόδρομε, καί ανάνευσιν μή έχουσαν.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Ηχήσας ερήμοις εν αβάτοις, ψυχαίς τού Λόγου μάκαρ, τήν επίβασιν ελευσομένην, όθεν φωναίς ασιγήτοις άπασα, Εκκλησία μακαρίζει σε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νόμου διετράνωσαν εικόνες, τήν σήν φρικτήν λοχείαν, Θεονύμφευτε, ών τάς εκβάσεις, ημείς νυνί καθορώντες Δέσποινα, επαξίως σέ δοξάζομεν.

## Ωδή ζ'

Ο Ειρμός

Τή εικόνι τή χρυσή, μή προσκυνήσαντες Παίδες Αβραμιαίοι, εδοκιμάζοντο, ώσπερ χρυσός εν χωνευτηρίω, εν καμίνω γάρ πυρός, ως εν θαλάμω φωτεινώ, εχόρευον βοώντες. Ευλογητός ο Θεός ο τών Πατέρων ημών.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Νέον βρέφος οραθείς, τής παλαιάς καταδίκης, λυτρούσαι κόσμον Χριστέ, ως εύσπλαγχνος, διό βοώ. Πεπαλαιωμένον, αμαρτίαις με πολλαίς, καινοποίησον Σωτήρ, καί σώσόν με βοώντα. Ευλογητός ο Θεός ο τών Πατέρων ημών.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ο ποτέ τόν Μανασσήν, μετανοήσαντα σώσας, ο οικτειρήσας Πόρνην δακρύσασαν, ο τόν Ληστήν λόγω δικαιώσας, τόν πολλά καί χαλεπά, ημαρτηκότα σοι Σωτήρ, καμέ βοώντα δέξαι. Ευλογητός ο Θεός ο τών Πατέρων ημών.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ναυαγίου χαλεπού, πολυθεΐας κρατούντος τήν οικουμένην, νηΐ χρησάμενοι τής ευσεβείας οι Αθλοφόροι, κυβερνήσει τού Χριστού, πρός λιμένα τής ζωής, απέπλευσαν βοώντες. Ευλογητός ο Θεός ο τών Πατέρων ημών.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Λαμπρυνόμενοι σαφώς, ώσπερ χρυσός εν χωνεία, εν ταίς βασάνοις εδοκιμάζοντο οι Αθληταί, αποδεδειγμένοι εκσφραγίσματα σεπτά, παθημάτων τού Χριστού, ταμείοις ουρανίοις, εν αφθαρσία πολλή εθησαυρίσθησαν νύν.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τόν Σωτήρα καί Θεόν, καί Λυτρωτήν καί Δεσπότην, σαρκί τεκούσα, Πάναγνε Δέσποινα, τούτον αεί Άχραντε δυσώπει, όπως λύσιν τών δεινών, καί πολλών αμαρτιών, τήν άφεσιν λαβόντες, υμνολογώμεν αυτού τούς υπέρ νούν οικτιρμούς.

Κανών τού Προδρόμου

Ο Ειρμός

Αβραμιαίοι ποτέ, εν Βαβυλώνι Παίδες, καμίνου φλόγα κατεπάτησαν, εν ύμνοις κραυγάζοντες, ο τών Πατέρων Θεός ευλογητός εί.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Μείζων παντός γεννητού, αποδειχθείς Προφήτα Θεού, μεγάλως αμαρτόντα με, μεγίστη πρεσβεία σου, φλογός μεγίστης ρύσαι, όπως σε μακαρίζω.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Άκαρπος ώφθην συκή, καί τήν τομήν πτοούμαι, βελτίωσόν με μεσιτεία σου, καί έγκαρπον ποίησον, όπως σε μακαρίζω, Πρόδρομε τού Σωτήρος.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Κοίμισον πάσαν εχθρού, εγειρομένην βλάβην, κατά τών πίστει προστρεχόντων σοι, αγρύπνοις πρεσβείαις σου, τού Λυτρωτού τών όλων, Πρόδρομε Ιωάννη.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Απαγωγής πονηράς, καί προνομής Παρθένε, καί τής δουλείας τού αλάστορος, τούς δούλους σου φύλαττε, τούς σέ ψυχή καί γλώσση, αεί δοξολογούντας.

Ωδή η'

Ο Ειρμός

Εν πυρί φλογός παρίστανται, σοί Χερουβείμ, Σεραφείμ Κύριε, καί πάσα κτίσις ύμνον άδει σοι τερπνόν. Υμνείτε, ευλογείτε, καί υπερυψούτε, Χριστόν τόν μόνον Δημιουργόν, εις πάντας τούς αιώνας.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ουκ ενέμεινα τώ φόβω σου, ου τών σών εντολών ήκουσα, τό θέλημά σου ουκ εποίησα ποτέ, τί γένωμαι ο τάλας; φιλάνθρωπος υπάρχων, οικτείρησόν με μόνε Σωτήρ, καί μή με απορρίψης.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Γεωργέ καλών, τού φόβου σου, τή δρεπάνη, βοώ έκτιλον, προρρίζους πάντας ακανθώδεις λογισμούς, ψυχής μου τής αθλίας, καί σπόρω μετανοίας, βλαστάνειν σωτηρίας Χριστέ, αξίωσόν με στάχυν.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Επλατύνθησαν στενούμενοι, εν βασάνοις πολλαίς, χάριτι οι Αθλοφόροι, καί εστένωσαν εχθρού, Οδούς βαράθρων πλήρεις, καί νύν καθοδηγούσιν, ημάς πρός τάς οδούς τού Θεού, εν πίστει καί αγάπη.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Εναυάγησεν ο δόλιος, εμπεσών εις βυθόν Μάρτυρες, τής καρτερίας καί αθλήσεως υμών, καί κείται υπό πάντων γελώμενος ο άφρων, υμείς δέ τής νίκης αεί, τοίς στεφάνοις έγκοσμείσθε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Η κοιλία σου Πανάμωμε, θημωνία σεπτής άλωνος, εδείχθη κόσμω, σίτον φέρουσα ζωής, τόν τρέφοντα τά πάντα, διό σε ως αιτίαν, απάντων τών καλών, οι πιστοί συμφώνως ανυμνούμεν.

Κανών τού Προδρόμου

Ο Ειρμός

Λυτρωτά τού παντός Παντοδύναμε, τούς εν μέσω φλογός ευσεβήσαντας, συγκαταβάς εδρόσισας, καί εδίδαξας μέλπειν, Πάντα τά έργα, ευλογείτε υμνείτε τόν Κύριον.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Ραθυμίας με ύπνω κρατούμενον, καί ομίχλη κακίας σκοτούμενον, φωτιστικαίς πρεσβείαις σου, επανόρθου καί δίδου, ως εν ημέρα αρετών ευσχημόνως πορεύεσθαι.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Πειρασμών με χειμάζει κλυδώνιον, καί παθών καταιγίς συνταράσσει με, χείρά μοι δίδου Πρόδρομε, εμβιβάζων πρός όρμον, τής μετανοίας, τής ψυχής μου τό σκάφος πρεσβείαις σου.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Ο τόν αίροντα κόσμου τά πταίσματα, ποταμίοις βαπτίσας εν ύδασι, τήν τών κακών μου άβυσσον, αποξήρανον ρείθροις τών πρεσβειών σου, Ιωάννη μακάριε Πρόδρομε.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Θεωρήσας τό Πνεύμα τό άγιον, ενωτίσθης φωνής τού Γεννήτορος, προσμαρτυρούσης Πρόδρομε, υπό σού τώ αρρήτως, βαπτιζομένω Ιησού, όν δυσώπει σωθήναι ημάς.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ως πηγή τής ημών αναπλάσεως, συντριβέντα με όλον ανάπλασον, ταίς προσβολαίς τού όφεως, όπως πίστει καί πόθω, σέ μακαρίζω, Θεοτόκε Παρθένε Πανύμνητε.

Ωδή θ'
Ο Ειρμός

Εποίησε κράτος εν βραχίονι αυτού, καθείλε γάρ δυνάστας από θρόνων, καί ύψωσε ταπεινούς, ο Θεός τού Ισραήλ, εν οίς επεσκέψατο ημάς, Ανατολή εξ ύψους, καί κατηύθυνεν ημάς εις οδόν ειρήνης.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ιδού ηνεώχθη ο νυμφών ο μυστικός, οι φρόνιμοι κοσμούσι τάς λαμπάδας, ελαίω τών αρετών, καί εισέρχον απόθου τόν ύπνον ώ ται φαιδροί, ψυχή, τής ραθυμίας όπως, συνεισέλθης τώ Χριστώ, λαμπαδηφορούσα.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ως πόρνη κατέχω σου τούς πόδας νοητώς, καί δάκρυσιν εκπλύνω τούτους Λόγε, απόπλυνόν με Σωτήρ, τού βορβόρου τών παθών. Η πίστις σου σέσωκε σε, νύν καμοί υποφωνήσας, όπως σου τήν άμετρον, υμνώ ευσπλαγχνίαν.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Σκιρτώση καρδία, γηθομένη τε ψυχή, οι Μάρτυρες τά άνω κατοικούσι, τά στίγματα τού Χριστού, ώσπερ κόσμον ευρεπή αεί κεκτημένοι, καί ημίν, ειρήνην εξαιτούσι, καί δεινών απαλλαγήν, καί πταισμάτων λύσιν.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ηγίασται άπας τόπος, θείοι Αθληταί, τά λείψανα υμών καθάπερ άλλην, ο Ισραήλ κιβωτόν, κεκτημένος εν δεινοίς, αγάλλεται δέ ο ουρανός, μετά τών Ασωμάτων, τάς ψυχάς μακάριοι, υμών κεκτημένος.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φιλάγαθε Κόρη τόν φιλάγαθον Θεόν, κυήσασα, αγάθυνον βοώ σοι, κεκακωμένην δεινώς, τήν αθλίαν μου ψυχήν, τοίς πάθεσι καί ταίς πονηραίς, επιβουλαίς τού πλάνου, ίνα πίστει σε υμνώ, τήν ελπίδα πάντων.

Κανών τού Προδρόμου
Ο Ειρμός

Εύα μέν τώ τής παρακοής νοσήματι, τήν κατάραν εισωκίσατο, σύ δέ παρθένε Θεοτόκε, τώ τής κυοφορίας βλαστήματι, τώ κόσμω τήν ευλογίαν εξήνθησας, όθεν σε πάντες μεγαλύνομεν.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Ισχύς μου καί ύμνησις Χριστός ο Κύριος, όν δυσώπει μάκαρ Πρόδρομε, κατά παθών με ενισχύσαι, καί πάσης προσβολής τού αλάστορος, τό θείον εργαζόμενον θέλημα, όπως υμνώ σε ευοδούμενος.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Ωραία τρυγών καί χελιδών ηδύλαλος, ανεδείχθης θείε Πρόδρομε, έαρ μηνύουσα τό θείον, Χριστόν, όν εκδυσώπει χειμώνός με, ρυσθήναι ψυχοφθόρου καί κλύδωνος, τής αμαρτίας ικετεύω σε.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Σκιρτήσας νηδύϊ τής μητρός εμήνυσας, εκ Παρθένου τόν εκλάμψαντα, τούτον ικέτευε, σαρκός

μου, σκιρτήματα νεκρώσαι νεκρούντά με, πληρώσαί τε χαράς τήν καρδίαν μου, όπως υμνώ σε θείε Πρόδρομε.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Η κρίσις ανίλεως ψυχή τοίς έλεος, μή ποιούσιν, όρα πρόσεχε, έλαιον λάβε τήν λαμπάδα, δυνάμενον τηρείν σου ακοίμητον, εγγίζει ο Νυμφίος, γρηγόρησον, μή εσβεσμένην σχής προαίρεσιν.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φιλάγαθον τέξασα Θεόν φιλάγαθε, Θεοτόκε τούτον αίτησαι, πάσης με ρύσασθαι κακίας, καί αυτού καρδιώσαι τώ έρωτι, σαρκός ηδυπαθείας Πανμισήσαντα, όπως υμνώ σε την ύμνητον.

Απόστιχα τών Αίνων

Κατανυκτικά

Πρόβατόν ειμι τής λογικής σου ποίμνης, καί πρός σέ καταφεύγω, τόν Ποιμένα τόν καλόν. Ζήτησόν με τόν πλανηθέντα ο Θεός, καί ελέησόν με.

Στίχ. α'. Ενεπλήσθημεν τό πρωϊ τού ελέους σου, Κύριε, καί ηγαλλιασάμεθα καί ηυφράνθημεν έν πάσαις ταίς ημέραις ημών. Ευφρανθείημεν, ανθών ημερών εταπείνωσας ημάς, ετών, ών είδομεν κακά, καί ίδε επί τούς δούλους σου καί επί τά έργα σου, καί οδήγησον τούς υιούς αυτών.

Ζάλη αμαρτημάτων περιεχει με Σωτήρ, καί μή φέρων τόν κλύδωνα, σοί προσπίπτω τώ μόνω Κυβερνήτη, ως τώ Πέτρω τήν χείρά μοι έκτεινον, τής φιλανθρωπίας σου, καί σώσόν με.

Μαρτυρικόν

Στίχ. β'. Καί έστω η λαμπρότης Κυρίου τού Θεού ημών εφ' ημάς, καί τά έργα τών χειρών ημών κατεύθυνον εφ' ημάς, καί τό έργον τών χειρών ημών κατεύθυνον.

Αγγέλων συμμέτοχοι, γεγόνατε άγιοι Μάρτυρες, εν σταδίω τόν Χριστόν ανδρείως κηρύξαντες, πάντα γάρ τά εν κόσμω κατελίπατε τερπνά, ως ανύπαρκτα, τήν πίστιν δέ ως άγκυραν ασφαλή εκρατήσατε, όθεν καί τήν πλάνην, απελάσαντες, πηγάζετε τοίς πιστοίς ιαμάτων χαρίσματα, απαύστως πρεσβεύοντες, σωθήναι τάς ψυχάς ημών.

Δόξα... Καί νύν... Θεοτοκίον

Θεοτόκε Παντάνασσα, τών Ορθοδόξων τό καύχημα, αιρετικών τά φρυάγματα, καί τά πρόσωπα καταίσχυνον, τών μή προσκυνούντων, μηδέ τιμώντων, Πάναγνε, τήν σεβάσμιον εικόνα σου.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

### Οι Μακαρισμοί

Μακάριοι οι ειρηνοποιοί, ότι αυτοί υιοί Θεού κληθήσονται.

Διά ξύλου ο Αδάμ, Παραδείσου γέγονεν άποικος, δια ξύλου δέ Σταυρού, ο Ληστής Παράδεισον ώκησεν, ο μέν γάρ γευσάμενος, εντολήν ηθέτησε τού ποιήσαντος, ο δέ συσταυρούμενος, Θεόν ωμολόγησε τόν κρυπτόμενον. Μνησθητί μου βοών, εν τή Βασιλεία σου.

Μακάριοι οι δεδιωγμένοι ένεκεν δικαιοσύνης, ότι αυτών εστιν η βασιλεία τών ουρανών.

Ο τού Πέτρου τόν κλαυθμόν, καί Πόρνης Λόγε τά δάκρυα, της προσδεξάμενος Χριστέ, καί τόν Τελώνην μόνον στενάξαντα, οικτείρας ως εύσπλαγχνος, καί εμέ προσπίπτοντα καί αιτούμενον, πταισμάτων συγχώρησιν, δοθήναί μοι Κύριε υπεράγαθε, λύτρωσαι τής εκεί, γεέννης ως εύσπλαγχνος.

Μακάριοί εστε όταν ονειδίσωσιν υμάς, καί διώξωσι, καί είπωσι πάν πονηρόν ρήμα καθυμών ψευδόμενοι ένεκεν εμού.

Τής στειρώσεως δεσμά, διαλύσας μέγιστε Πρόδρομε, τήν ακαρπίαν τής εμής, ταπεινής καρδίας

διάλυσον, καί φέρειν ευόδωσον, εναρέτους πράξεις τή μεσιτεία σου, δι' ών απολήψομαι, ζωήν τήν αδάπανον, ανακράζων Χριστώ. Μνήσθητί μου Σωτήρ, εν τή Βασιλεία σου.

Μαρτυρικά

Χαίρετε καί αγαλλιάσθε, ότι ο μισθός υμών πολύς εν τοίς ουρανοίς.

Συντριβόμενοι ποιναίς, καί θηρσίν αγρίοις διδόμενοι, καί τεμνόμενοι δεινώς, καί εις βυθόν θαλάσσης ριπτόμενοι, πυρί δαπανώμενοι, καί ωμοτάτη κρίσει καταξεόμενοι, Θεόν ουκ ηρνήσασθε, παρ' ού ημίν Μάρτυρες εξαιτήσασθε, ειρήνην καί φωτισμόν καί μέγα έλεος.

Δόξα...

Ανακαθάραντες τόν νούν, τή Τριάδι πάντες βοήσωμεν. Πάτερ, Υιέ μονογενές, Πνεύμα άγιον καί Ομότιμον, τούς δούλους σου φύλαττε, τούς ειλικρινεί σοι πόθω λατρεύον τας, μιά τή θεότητι, Βασιλεία δόξη τε, καί κραυγάζοντας. Μνήσθητι καί ημών, εν τή Βασιλεία σου.

Καί νύν... Θεοτοκίον

Τόν συνάναρχον Πατρί, καί Αγίω Πνεύματι σύνθρονον, υπεδέξω εν γαστρί, καί υπέρ νούν καί λόγον εκύησας, γενόμενον άνθρωπον, επ' ευεργεσία τής ανθρωπότητος, Μαρία Θεόνυμφε, χωρίον ευρύχωρον τού Θεού ημών, όν αίτησαι εκτενώς, σώζεσθαι τούς δούλους σου.

top

4-4

Στιχηρά Προσόμοια Σταυρώσιμα

Ήχος δ'

Έδωκας σημείωσιν

Στίχ. α'. Εάν ανομίας παρατηρήσης, Κύριε, Κύριε τίς υποστήσεται; ότι παρά σοί ο ιλασμός εστιν.

Εκ γής με τό πρότερον, δημιουργήσας Φιλάνθρωπε, σή εικόνι ετίμησας, τρυφήν χαρισάμενος, τήν έν Παραδείσω, καί γνώσεως ξύλω, δελεασθέντα καί φθορά, υποπεσόντα πάλιν ανέστησας, βροτός αυτός γενόμενος, καί σταυρωθείς ο αθάνατος, διά έλεος άμετρον, καί πολλήν συγκατάβασιν.

Στίχ. β'. Ένεκεν τού ονόματός σου υπέμεινά σε, Κύριε, υπέμεινεν η ψυχή μου εις τόν λόγον σου, ήλπισεν η ψυχή μου επί τόν Κύριον.

Οίκτον δι' αμέτρητον, ο Ποιητής μου καί Κύριος, μή λιπών τόν Γεννήτορα, τή γή επεδήμησεν, εαυτόν κενώσας, μορφήν τε τών δούλων, αναλαβών ως αγαθός, εκ τής Παρθένου, καθώς ηυδόκησε, καί Σταύρωσιν υπέμεινε, σαρκί παθών ο αθάνατος, καί τόν θάνατον έλυσε, καί τόν άνθρωπον έσωσε.

Στίχ. γ'. Από φυλακής πρωϊας μέχρι νυκτός, από φυλακής πρωϊας ελπισάτω Ισραήλ επί τόν Κύριον.

Σταυρούμενος Δέσποτα, τήν αμαρτίαν ως εύσπλαγχνος, εαυτώ συνεσταύρωσας, αράν δέ εξήλειψας, τρήσει τή τών ήλων, καί τού Πρωτοπλάστου, λόγχη νυγείς σου τήν πλευράν, Χριστέ διέρρηξας τό χειρόγραφον, υμνώ σου τά Παθήματα, δοξολογώ σου τήν Εγερσιν, δι' ής πάντας εζώωσας, νεκρωθέντας τοίς πάθεσιν.

Έτερα τής Θεοτόκου όμοια

Στίχ. δ'. Ότι παρά τώ Κυρίω τό έλεος, καί πολλή παρ' αυτώ, λύτρωσις. καί αυτός λυτρώσεται τόν Ισραήλ έκ πασών τών ανομιών αυτού.

Τόν ρύπον απόσμηξον, τής ταλαιπώρου καρδίας μου, Θεοτόκε πανύμνητε, καί πάντα τά τραύματα, καί τά έλκη ταύτης, τά εξ αμαρτίας, εναποκάθαρον Αγνή, καί τού νοός μου στήσον τό άστατον, όπως τήν δυναστείαν σου, και τήν μεγάλην αντίληψιν, μεγαλύνω ο άθλιος, καί αχρείος οικέτης σου.

Στίχ. ε'. Αινείτε τόν Κύριον πάντα τά έθνη, επαινέσατε αυτόν, πάντες οι λαοί.

Τό χαύνον καί έκλυτον, Παρθενομήτορ Πανάμωμε, τής ψυχής μου μετάβαλε, εις ρώσιν καί

δύναμιν, του φόβω καί πόθω, ποιείν τε καί πράττειν, τά δικαιώματα Χριστού, όπως εκφύγω τό πύρ τό άστεκτον, καί κλήρον τόν ουράνιον, καί τήν ζωήν τήν απέραντον, δια σού απολήψωμαι, ευφραινόμενος πάντοτε.

Στίχ. ς'. Ότι εκραταιώθη τό έλεος αυτού εφ' ημάς, καί η αλήθεια τού Κυρίου μένει εις τόν αιώνα.

Ζόφος φοβερώτατος, ο τού θανάτου Θεόνυμφε, τήν ψυχήν κατατρύχει μου, τό δέ λογοθέσιον, εξιστάν καί τρέμειν, αεί τών δαιμόνων, παρασκευάζει Αγαθή, εξ ών με ρύσαι τή δυναστεία σου, Παρθένε απειρόγαμε, καί πρός λιμένα σωτήριον, καί πρός φώς τό ανέσπερον, τών Αγίων κατάταξον.

Δόξα... Καί νύν...

Σταυροθεοτοκίον όμοιον

Νεκρούμενον βλέπουσα, Χριστόν η Πάναγνος Δέσποινα, καί νεκρούντα τόν δόλιον, ηλάλαζε κράζουσα, πικρώς τώ εκ σπλάγχνων, αυτής προελθόντι, καί τό μακρόθυμον αυτού, αποθαυμάζουσα κατεπλήττετο, τέκνον μου ποθεινότατον μή επιλάθη τής δούλης σου, μή βραδύνης Φιλάνθρωπε, τό εμόν καταθύμιον.

Απόστιχα Σταυρώσιμα

Όπλον αήττητον Χριστέ, τόν Σταυρόν σου ημίν δέδωκας, καί εν τούτω νικώμεν, τάς προσβολάς τού αλλοτρίου.

Στίχ. Α'. Πρός σέ ήρα τούς οφθαλμούς μου, τόν κατοικούντα εν τώ ουρανώ. Ιδού, ως οφθαλμοί δούλων εις χείρας τών κυρίων αυτών, ως οφθαλμοί παιδίσκης εις χείρας τής κυρίας αυτής, ούτως οι οφθαλμοί ημών πρός Κύριον τόν Θεόν ημών, έως ού οικτιρήσαι ημάς.

Πάντοτε έχοντες Χριστέ, τόν Σταυρόν σου εις βοήθειαν, τάς παγίδας τού εχθρού, ευχερώς καταπατούμεν.

Μαρτυρικόν

Στίχ. Β'. Ελέησον ημάς, Κύριε, ελέησον ημάς, ότι επί πολύ επλήσθημεν εξουδενώσεως, επί πλείον επλ ήσθη η ψυχή ημών, τό όνειδος τοίς ευθηνούσι, καί η εξουδένωσις τοίς υπερηφάνοις.

Έχοντες παρρησίαν, πρός τόν Σωτήρα Άγιοι, πρεσβεύσατε απαύστως, υπέρ ημών τών αμαρτωλών, άφεσιν πταισμάτων αιτούμενοι, καί ταίς ψυχαίς ημών τό μέγα έλεος.

Δόξα... Καί νύν... Σταυροθεοτοκίον

Ως γενναίον εν Μάρτυσι

Τόν Αμνόν καί Ποιμένα σε, επί ξύλου ως έβλεψεν, η Αμνάς η τέξασα, επωδύρετο, καί μητρικώς σοι εφθέγγετο. Υιέ ποθεινότατε, ταύτά σοι ο απειθής, δήμος ανταποδίδωσιν, ο θαυμάτων σου, απολαύσας μεγίστων, αλλά δόξα, τή αρρήτω σου καί θεία, συγκαταβάσει Φιλάνθρωπε.

Μετά τήν α' Στιχολογίαν

Καθίσματα Σταυρώσιμα

Ήχος δ'

Εξηγόρασας ημάς, εκ τής κατάρας τού νόμου, τώ τιμίω σου αίματι, τώ Σταυρώ προσηλωθείς, καί τή λόγχη κεντηθείς, τήν αθανασίαν επήγασας ανθρώποις. Σωτήρ ημών δόξα σοι.

Ο υψωθείς εν τώ Σταυρώ εκουσίως, τή επωνύμω σου καινή πολιτεία, τούς οικτιρμούς σου δώρησαι Χριστέ ο Θεός, εύφρανον εν τή δυνάμει σου, τούς πιστούς Βασιλείς ημών, νίκας χορηγών αυτοίς, κατά τών πολεμίων, τήν συμμαχίαν έχοιεν τήν σήν, όπλον ειρήνης, αήττητον τρόπαιον.

Δόξα... Καί νύν... Σταυροθεοτοκίον

Κατεπλάγη Ιωσήφ

Παρεστώσα τω Σταυρώ, η Πανάμώμητος αμνάς, τού αμνού καί λυτρωτού, θρήνοις εκόπτετο δεινοίς, καί ατενίζουσα έλεγεν εκπληττομένη. Τί τούτο τό καινόν, καί ξένον θέαμα; γλυκύτατε Υιέ, πώς φέρεις ταύτα εκών, υπομένεις σταύρωσιν, πως εκούσιον, καί τόν επώδυνον θάνατον, Δοξολογώ σου, τήν υπέρ λόγον, πλαστουργέ συγκατάβασιν.

Μετά τήν β' Στιχολογίαν

Καθίσματα Σταυρώσιμα

Ταχύ προκατάλαβε, πρίν δουλωθήναι ημάς, εχθροίς βλασφημούσί σε, καί απειλούσιν ημίν, Χριστέ ο Θεός ημών, άνελε τώ Σταυρώ σου, τούς ημάς πολεμούντας, γνώτωσαν πώς ισχύει, ορθοδόξων η πίστις, πρεσβείαις τής Θεοτόκου, μόνε φιλάνθρωπε.

Όμοιον

Σταυρώ σε προσήλωσαν, οι Ιουδαίοι Σωτήρ, δι' ού εκ τών εθνών ημάς, ανακαλέσω ποτέ, Χριστέ ο Θεός ημών, ήπλωσας τάς παλάμας, εν αυτώ τή βουλή σου, λόγχη δέ τήν πλευράν σου, κατεδέξω νυγήναι, τώ πλήθει τών οικτιρμών σου, φιλάνθρωπε δόξα σοι.

Δόξα... Καί νύν...

Σταυροθεοτοκίον  όμοιον

Η άνυμφος Μήτηρ σου, ως εθεάσατο, Σταυρώ σε υψούμενον, οδυρομένη πικρώς, τοιαύτα εφθέγγετο. Τί τό καινόν καί ξένον, καί παράδοξον θαύμα; πώς σε άνομος δήμος, τώ Σταυρώ προσπηγνύει, τόν μόνον σε ζωοδότην, φώς μου γλυκύτατον;

Μετά τήν γ' Στιχολογίαν

Καθίσματα Σταυρώσιμα

Ο υψωθείς εν τώ Σταυρώ

Εν Παραδείσω με δεινώς πεπτωκότα, τού βροτοκτόνου τή πικρά συμβουλία, εν τώ Κρανίω πάλιν εξανέστησας Χριστέ, ξύλω ιασάμενος, τήν τού ξύλου κατάραν, κτείνας τόν απάτη με, θανατώσαντα όφιν, καί εδωρήσω θείαν μοι ζωήν. Δόξα τή θεία σταυρώσει σου Κύριε.

Μαρτυρικόν

Τών εν όλω τώ κόσμω Μαρτύρων σου, ως πορφύραν καί βύσσον τά αίματα, η Εκκλησία σου στολισαμένη, δι' αυτών βοά σοι Χριστέ ο Θεός. Τώ λαώ σου τούς οικτιρμούς σου κατάπεμψον, ειρήνην τή πολιτεία σου δώρησαι, καί ταίς ψυχαίς ημών τό μέγα έλεος.

Δόξα... Καί νύν... Σταυροθεοτοκίον

Ο υψωθείς εν τώ Σταυρώ

Επί Σταυρού σε δυνατέ κρεμασθέντα, κατανοούσα η αμνάς καί Παρθένος, οδυρομένη έλεγε δακρύουσα. Τίς σου η απόρρητος συγκατάβασις Λόγε; πώς σε νύν κατέκρινεν, ο κατάκριτος δήμος, τόν πάντας κρίναι μέλλοντα Θεόν. Υμνολογώ σου τό άφατον έλεος.

Κανών Σταυρώσιμος, ού η Ακροστιχίς άνευ τών Θεοτοκίων.

Ο Σταυρός εστιν όπλον εις σωτηρίαν. Ιωσήφ.

Ωδή α'  Ήχος δ'

Ο Ειρμός

Θαλάσσης, τό ερυθραίον πέλαγος, αβρόχοις ίχνεσιν, ο παλαιός πεζεύσας Ισραήλ, σταυροτύποις Μωσέως χερσί, τού Αμαλήκ τήν δύναμιν, εν τή ερήμω ετροπώσατο.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ο τείνας, τόν ουρανόν εξέτεινας, επί Σταυρού Ιησού, τάς σάς παλάμας έθνη τά μακράν, απόσούχρη ματίσαντα, ως αγαθός καί εύσπλαγχνος, περιφανώς αγκαλιζόμενος.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Σταυρώ με, τώ σώ Χριστέ μου τείχισον, όπως μή γένωμαι, θήραμα λύκου Λόγε, τήν εμήν εκζητούντος απώλειαν, καί καθ' εκάστην λόχους μοι, καί τάς ενέδρας ετοιμάζοντος.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Τοίς πόνοις, πόνου παντός τόν πρόξενον, κατηδαφίσατε, καί νύν κληρούσθε άπονον ζωήν, πάντα πόνον κουφίζοντες, εκ τών ψυχών, μακάριοι, καί τών σωμάτων ημών πάντοτε.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Αλύτοις, δεσμοίς υμείς εδήσατε, τόν πολυμήχανον, διά Χριστόν δεσμούμενοι σοφοί, τόν δεθέντα θελήματι, καί πάσαν πλάνην λύσαντα, όθεν αξίως μακαρίζεσθε.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Παρθένος, μετά τόν τόκον άφθορος, διαμεμένηκας, τόν υψωθέντα Άχραντε Σταυρώ, υπέρ λόγον κυήσασα, όθεν πιστοί σε άπαντες, μεγαλοφώνως μακαρίζομεν.

Κανών τής Υπεραγίας Θεοτόκου, ού η Ακροστιχίς,
«Ωδή τετάρτη τή Θεοτόκω Κόρη».

Ειρμός ο αυτός

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ως ούσα, καθαρωτέρα Πάναγνε, πάσης τής κτίσεως, τήν ακαθάρτοις πάθεσι δεινώς, μολυνθείσαν καρδίαν μου, τή καθαρά πρεσβεία σου, Θεοκυήτορ αποκάθαρον.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Δακρύων, καί στεναγμών με λύτρωσαι, αποκειμένων μοι, εν τή μελλούση δίκη τή φρικτή, ευπροσδέκτοις πρεσβείαις σου, Παρθενομήτορ Άχραντε, ταίς πρός τόν Κτίστην καί Θεόν ημών.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Η μόνη, τή υπέρ νούν κυήσει σου, ελευθερώσασα, εκ τής αράς τό γένος τών βροτών, σαρκικοίς ατοπήμασιν, δεδουλωμένον Πάναγνε, σαίς ικεσίαις ελευθέρωσον.

Ωδή γ'

Ο Ειρμός

Ευφραίνεται επί σοί, η Εκκλησία σου, Χριστέ κράζουσα. Σύ μου ισχύς Κύριε, καί καταφυγή, καί στερέωμα.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Υψούμενος εν Σταυρώ, τούς καταχθέντας εις φθοράν ύψωσας, καί τόν εχθρόν έπτωσας, Δέσποτα Χριστέ, ο Θεός ημών.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ρομφαίαι τού δυσμενούς, σού λογχευθέντος τήν πλευράν ήμβλυνται, καί η Εδέμ ήνοικται, Λόγε τού Πατρός, ενυπόστατε.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Οι πύρινοι ποταμοί, τούς τής απάτης ποταμούς έπαυσαν, καί τήν πυράν έσβεσαν, τής πολυθεΐας, οι Μάρτυρες.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Σταυρούμενοι καί εις γήν, τυμπανιζόμενοι Χριστού Μάρτυρες, τόν δυσμενή δράκοντα, ξίφει καρτερίας, εσφάξατε.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Η άμωμος σέ Αμνάς, αναρτηθέντα εν Σταυρώ βλέπουσα, οδυνηρώς Δέσποτα, έκλαιεν υμνούσα, τό κράτος σου.

Κανών τής Θεοτόκου
Ο Ειρμός

Ουκ εν σοφία, καί δυνάμει καί πλούτω καυχώμεθα, αλλ' εν σοί τή τού Πατρός, ενυποστάτω σοφία Χριστέ, ου γάρ έστιν Άγιος, πλήν σου φιλάνθρωπε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τήν ανωτέραν, Χερουβείμ ικετεύω σε Δέσποινα, συμπτωθέντα μου τόν νούν, ταίς επηρείαις τού όφεως, παθών τών τού σώματος, δείξον ανώτερον.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Εν τή ετάσει, τή φρικτή όταν μέλλη με Κύριος, κατακρίναι τόν πολλά, ημαρτηκότα Πανάμωμε, εύροιμί σε σώζουσαν, τής καταδίκης με.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τοίς οικτιρμοίς σου, τούς ασπλάγχνους μου τρόπους μετάβαλε, συμπαθεία σου Χριστέ, ασυμπαθή με υπάρχοντα, σώσον παρακλήσεσι, τής κυησάσης σε.

Ωδή δ'
Ο Ειρμός

Επαρθέντα σε ιδούσα η Εκκλησία, επί Σταυρού τόν Ήλιον τής δικαιοσύνης, έστη εν τή τάξει αυτής, εικότως κραυγάζουσα. Δόξα τή δυνάμει σου Κύριε.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Επαρθέντα σε εν ξύλω εθελουσίως, κατανοών ο ήλιος, Ήλιε τής δόξης, σκότος ενεδύσατο, καί πέτραι ερρήγνυντο, καί τό τού Ναού καταπέτασμα.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Σταυρουμένου σου, καί λόγχη εκκεντουμένου, η στρεφομένη Κύριε, ρομφαία εδίδου, νώτα τή κελεύσει σου, Ληστή τώ ευγνώμονι, ανυμνολογούντι τό κράτος σου.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Τειχιζόμενοι τώ όπλω τώ τού Σταυρού σου, οι Αθλοφόροι Κύριε, άτρωτοι τώ βέλει, τής κακίας ώφθησαν, καί τείχη κατέστρεψαν, ειδωλομανίας ανίδρυτα.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ιερεία ώσπερ άμωμα καί θυσίαι, καί προσφοραί ολόκληροι, τώ δι' ευσπλαγχνίαν, Μάρτυρες πτωχεύσαντι, Κυρίω προσήχθητε, πόνων αμοιβάς κομιζόμενοι.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Η τόν άχρονον εν χρόνω αποτεκούσα, καί παρθενίαν άμωμον, η μόνη κεκτημένη, ξύλω αναρτώμενον, ως έγνως τόν Κύριον, πόνοις τήν ψυχήν κατεμέριζες.

Κανών τής Θεοτόκου
Ειρμός ο αυτός

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Αγιάσματος υπάρχουσα θείος οίκος, τού κενωθέντος Άχραντε επ' ευεργεσία, τού ιδίου

πλάσματος, ψυχήν μου αγίασον, καί τόν λογισμόν φωταγώγησον.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ριπιζόμενον τή λαίλαπι τής κακίας, λογισμόν μου Δέσποινα, καί τή αμελεία, όλον βυθιζόμενον, πρεσβείαις σου στήριξον, καί τών συμπτωμάτων εξάρπασον.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τό παλάτιον Παρθένε τού Βασιλέως, τόν ουρανόν τόν έμψυχον, νύν εκδυσωπώ σε, οίκον τής Τριάδος με, ευχαίς σου ανάδειξον, σπήλαιον ληστών χρηματίζοντα.

Ωδή ε'

Ο Ειρμός

Σύ Κύριέ μου φώς, εις τόν κόσμον ελήλυθας, φώς άγιον επιστρέφον, εκ ζοφώδους αγνοίας, τούς πίστει ανυμνούντάς σε.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Νυγείσης σου πλευράς, αφθαρσίας προχέεις μοι, ώ Δέσποτα θεία ρείθρα, τώ πλευράς παραινέσει, εις φθοράν ολισθήσαντι.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ο τίμιος Σταυρός, κατ' εχθρών εστι τρόπαιον, όν δέδωκας ημίν Λόγε, εις ψυχών σωτηρίαν, τοίς πίστει ανυμνούσί σε.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Πυρίνοις οι θνητοί, λειτουργοίς νύν συνήφθησαν, πύρ ένυλον διελθόντες, τών μεγίστων βασάνων, ως Μάρτυρες υπέρλαμπροι.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Λυόμενον πολλοίς, τό σαρκίον παθήμασι, τήν άλυτον πρός τόν Κτίστην, τής ψυχής εβεβαίου, τών Μαρτύρων διάθεσιν.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ο μόνος αγαθός, υποδύς μήτραν άφθορον, σαρκούμενος καθωράθη, καί σταυρούμενος όπως, φθοράς ημάς λυτρώσηται.

Κανών τής Θεοτόκου

Ο Ειρμός

Ασεβείς ουκ όψονται, τήν δόξαν σου Χριστέ, αλλ' ημείς σε μονογενές, πατρικής απαύγασμα, δόξης θεότητος, εκ νυκτός ορθρίζοντες, ανυμνούμέν σε φιλάνθρωπε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Η αμνάς η τέξασα, αμνόν τόν τού Θεού, τήν εμήν ζώωσον ψυχήν, φαρμαχθείσαν δήγματι τώ τού όφεως, καί εις όρη Δέσποινα, πλανωμένην παραβάσεως.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τή θερμή πρεσβεία σου, τώ κράτει τών δεινών, πηγνυμένην μου τήν ψυχήν, εις θερμήν τού Κτίσαντος, θείαν αγάπησιν, ευσεβώς συγκινησον, Θεοτόκε Παναμώμητε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Η καλή καί άμωμος, Αγνή εν γυναιξί, τήν ταλαίπωρόν μου ψυχήν, εμπαθούς μωμήσεως, νύν ελευθέρωσον, καί αγνώς βιώσαί με, μεσιτείαις σου ευόδωσον.

Ωδή ς'

Ο Ειρμός

Θύσω σοι, μετά φωνής αινέσεως Κύριε, η Εκκλησία βοά σοι, εκ δαιμόνων λύθρου κεκαθαρμένη, τώ δι' οίκτον, εκ τής πλευράς σου ρεύσαντι αίματι.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ο πάσης, ανωτάτω τιμής ών επέκεινα, ατιμασθήναι ηνέσχου, όπως με κακίστως ατιμασθέντα, καί τιμήσης, καί Σταυρώ διασώσης φιλάνθρωπε.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Νεκρός μέν, εχρημάτισας ξύλω υψούμενος, τόν νεκρωτήν δέ ειργάσω, καί νεκρόν καί πάσης πεπληρωμένον, νύν αισχύνης. Ποιητά μου, υμνώ σου τήν δύναμιν.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ετρώθη, τώ τιτρώσκειν υμάς ο παμπόνηρος, ταίς ανηκέστοις βασάνοις, καί ποσίν υμών καταβέβληται, καί οράται, υπό πάντων γελώμενος Μάρτυρες.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ιάσεις, αναβλύζει Μαρτύρων τά λείψανα, κόνις κειμένη εν τάφω, ωσεί κόνιν δαίμονας διαλύει, καί ποικίλα, θεραπεύει σωμάτων νοσήματα.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ήλοις σε, ο παράνομος δήμος προσήλωσε, καί λύπης νύν τή ρομφαία, τήν εμήν καρδίαν σπαράττομαι, ώ Ποιητά μου, η Παρθένος εβόα δακρύουσα.

Κανών τής Θεοτόκου

Ειρμός ο αυτός

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Θανάτου, αναιρέτης ο τόκος σου γέγονεν, ως τών θανόντων Παρθένε, καί ζωή καί λύτρωσις, διά τούτο, δυσωπώ σε, τήν ψυχήν μου θανούσαν ανάστησον.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Έκτεινον, βοηθείας μοι χείρα φιλάνθρωπε, εν τώ πελάγει τού βίου, κλυδωνιζομένω, ταίς ικεσίαις, τής Μητρός σου, καί τών άνω απείρων Δυνάμεων.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Η χώρα, η τόν θείον βλαστήσασα άσταχυν, τήν χερσωθείσαν ψυχήν μου, καί λιμώ τών θείων εκτηκομένην, μή παρίδης, αλλά θρέψον, τού Υιού σου ενθέοις χαρίσμασιν.

Ωδή ζ'

Ο Ειρμός

Εν τή καμίνω, Αβραμιαίοι παίδες τή Περσική, πόθω ευσεβείας μάλλον, ή τή φλογί,

πυρπολούμενοι εκραύγαζον. Ευλογημένος εί, εν τώ Ναώ τής δόξης σου Κύριε.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Σταυρούσαι θέλων, επί Σταυρού γυμνός αθάνατε μόνε, ο ενδύων νέφεσιν ουρανόν, καί τόν πάλαι τούς προπάτορας, απογυμνώσαντα, επενδύεις αισχύνην αιώνιον.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Σταυρώ υψώθης, καί ο πεσών Αδάμ εγήγερται, λόγχη εκεντήθης Δέσποτα τήν πλευράν, καί πληγήν καιρίαν έλαβεν, ο πολυμήχανος. Ευλογητόν τό κράτος σου Κύριε.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ωραιοτάτως, τώ ωραίω Λόγω ενούμενοι, κόσμου παντελώς πανεύφημοι Αθληταί, εχωρίσθητε δεσμούμενοι, καί συντριβόμενοι, καί τόν εχθρόν αεί συμποδίζοντες.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Τείχη τής πλάνης, αναμοχλεύσει θεία κατέαξαν, θείων παθημάτων όντως οι Αθληταί, καί πιστοίς τείχος εδείχθησαν, καί φυλακτήριον, τοίς ευσεβώς αυτούς μακαρίζουσι.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τόν εν καμίνω, δρόσον οφθέντα Χριστόν τόν Θεόν, Κόρη μηδαμώς δέ φλέξαντα τήν νηδύν τήν σήν, βλέπουσα κρεμάμενον, ξύλω εδόξαζες, τήν υπέρ νούν αυτού συγκατάβασιν.

Κανών τής Θεοτόκου

Ειρμός ο αυτός

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τό θείον όρος, εξ ού λίθος τέτμηται άνευ χειρός, ο συντρίψας στήλας Κόρη δαιμονικάς, τής ψυχής μου τά ινδάλματα, καί τής καρδίας μου, τήν λιθώδη απέλασον πώρωσιν.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ουκ εσαλεύθης, ως δεξαμένη εν τή μήτρα σου Κόρη, τόν προσβλέψειγήν, καί τά εν αυτή, ότε βούλεται σαλεύοντα, διό με στήριξον, ταίς προσβολαίς εχθρού σαλευόμενον.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Καταβαλούσα, τά σαρκικά μου αγνή φρονήματα, όλον Θεοτόκε δείξον πνευματικόν, αρεταίς κατακοσμούσά με, όν ο παμπόνηρος, ηδονών ακοσμία ημαύρωσεν.

Ωδή η'

Ο Ειρμός

Χείρας εκπετάσας Δανιήλ, λεόντων χάσματα, εν λάκκω έφραξε, πυρός δέ δύναμιν έσβεσαν, αρετήν περιζωσάμενοι, οι ευσεβείας ερασταί, Παίδες κραυγάζοντες. Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Η πλωσας παλάμας εν Σταυρώ, χειρός αμάρτημα ακρατούς Δέσποτα, θέλων ιάσασθαι, ήλοις δέ προσηλώθης, άπαν νόημα τού πρωτοπλάστου, εξηλών, εμπαθές Κύριε, μελωδούντος. Πάντα τά έργα υμνείτε τόν Κύριον.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ρήγνυται χειρόγραφον τής σής, νυγείσης θείας πλευράς, τού πρωτοπλάστου Αδάμ, ρανίσιν αίματος Δέσποτα, αγιάζεται η σύμπασα, ευχαριστίας εν φωναίς, αεί κραυγάζουσα. Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ίσταντο εν μέσω τού πυρός, ως δροσιζόμενοι, ου φλογιζόμενοι, οι παναοίδημοι Μάρτυρες, καί τών Παίδων αναμέλποντες, εν συμφωνία μυστική, τήν θείαν όντως ωδήν. Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ανύστακτον φέροντες πυρσόν, τής προαιρέσεως, σκότει κολάσεων, ου παρετράπητε Μάρτυρες, αλλ' ενθέως δυναμούμενοι, επανεδράμετε πρός φώς, βοώντες άδυτον. Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νεκρούμενον βλέπουσα Χριστόν, καί τόν νεκρώσαντα, βροτούς νεκρούντα εχθρόν, η πολυύμνητος Δέσποινα, ως Δεσπότην ύμνει κλαίουσα, καί τό μακρόθυμον αυτού, αποθαυμάζουσα, ανεβόα. Πάντα τά έργα υμνείτε τόν Κύριον.

Κανών τής Θεοτόκου

Ειρμός ο αυτός

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ώριμον εκύησας καρπόν, εξ ού ο θάνατος, φαγών απώλετο, διό κραυγάζω σοι, Δέσποινα, τώ καρπώ τής αμαρτίας με, θανατωθέντα δολερώς, ζώωσον μέλποντα. Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Κοίμησον κινήσεις εμπαθείς, τής διανοίας μου, τή ακοιμήτω σου, πρεσβεία, Πάναγνε Δέσποινα, καί ανάστησον εξ ύπνου με, τής ραθυμίας μελωδείν, γρηγορούση ψυχή. Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ουχ έξεις ταλαίπωρε ψυχή, εκεί συνήγορον, κατηγορούσης σου, τής φαύλης πράξεως άμετρα, διά τούτο μετανόησον, καί συνεργόν πρός τό καλόν, τήν μόνην Άχραντον, προσλαμβάνου, μόνη γάρ πέλει βροτών καταφύγιον.

Ωδή θ'

Ο Ειρμός

Λίθος αχειρότμητος όρους, εξ αλαξεύτου σου Παρθένε, ακρογωνιαίος ετμήθη, Χριστός συνάψας τάς διεστώσας φύσεις, διό επαγαλλόμενοι, σέ Θεοτόκε μεγαλύνομεν.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ιδού η ζωή κρεμαμένη, επί Σταυρού πάσιν ωράθη, ήλιος δέ τούτο μή φέρων, ακτίνας παύει, καί γή σαλεύεται, καί λογισμοί στηρίζονται, επ' ευσεβεία καί σεμνότητι.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ώ πώς σε ο άνομος δήμος, τόν Νομοδότην κατακρίνει, ξύλω Ιησού μου τεθνάναι, ζωήν τών όλων, όντα καί Κύριον, καί διά πάθους άπασι, βροτοίς παρέχ οντα απάθειαν!

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Στόμασιν υμών θεολόγοις, ανεκηρύξατε πανσόφως, σάρκωσιν τού Λόγου εν μέσω, παρανομούντων εχθρών πανεύφημοι, καί ιερώς αθλήσαντες, νίκης στεφάνοις κατεστέφθητε.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ημεροφαείς ως αστέρες, πάσαν τήν κτίσιν φρυκτωρείτε, άθλων ιερών αναλάμψει, καί ιαμάτων θείαις λαμπρότησι, καί τών παθών σκεδάζετε, νύκτα βαθείαν θείοι Μάρτυρες.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φώτισον αγνή τήν ψυχήν μου, τή αμαρτία σκοτισθείσαν, λύσον τών κακών μου τά νέφη, φωτός νεφέλη, η σκοτιζόμενον, ήλιον πάλαι βλέψασα, εν τώ σταυρούσθαι τόν αθάνατον.

Κανών τής Θεοτόκου

Ειρμός ο αυτός

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ρήξον τά δεσμά τών κακών μου, τή θεία λόγχη τού Υιού σου, λύσον τήν αθλίαν ψυχήν μου, πεπεδημένην καί κινδυνεύουσαν, καί τή αγάπη πρόσδησον, Παρθενομήτορ τού Θεού ημών.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Η τών ουρανών πλατυτέρα, τήν στενωθείσάν μου καρδίαν, πάση προσβολή εναντία, πρός απαθείας πλάτος εξάγαγε, διά στενής οδεύειν με, ενδυναμούσα τρίβου πάντοτε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ίνα σε δοξάζω Παρθένε, τήν αληθώς δεδοξασμένην, πάσης αδοξίας με ρύσαι, τής αμαρτίας καί δόξης μέτοχον, επουρανίου ποίησον, τόν προσφυγόντα τώ ελέει σου.

Απόστιχα τών Αίνων

Σταυρώσιμα

Τείχος ημίν γένοιτο ο Σταυρός σου, Ιησού Σωτήρ ημών, άλλην γάρ ελπίδα οι πιστοί ουκ έχομεν, ειμή σέ τόν εν αυτώ σαρκί προσηλωθέντα, καί παρέχοντα ημίν τό μέγα έλεος.

Στίχ. α'. Ενεπλήσθημεν τό πρωϊ τού ελέους σου, Κύριε, καί ηγαλλιασάμεθα καί ηυφράνθημεν έν πάσαις ταίς ημέραις ημών. Ευφρανθείημεν, ανθών ημερών εταπείνωσας ημάς, ετών, ών είδομεν κακά, καί ίδε επί τούς δούλους σου καί επί τά έργα σου, καί οδήγησον τούς υιούς αυτών.

Έδωκας σημείωσιν, τοίς φοβουμένοις σε Κύριε, τόν Σταυρόν σου τόν τίμιον, εν ώ εθριάμβευσας, τάς αρχάς τού σκότους, καί τάς εξουσίας, καί επανήγαγες ημάς, εις τήν αρχαίαν μακαριότητα, διό σου τήν φιλάνθρωπον, οικονομίαν δοξάζομεν, Ιησού Παντοδύναμε, ο Σωτήρ τών ψυχών ημών.

Μαρτυρικόν

Στίχ. β'. Καί έστω η λαμπρότης Κυρίου τού Θεού ημών εφ' ημάς, καί τά έργα τών χειρών ημών κατεύθυνον εφ' ημάς, καί τό έργον τών χειρών ημών κατεύθυνον.

Πώς υμών θαυμάσωμεν, τούς αγώνας άγιοι Μάρτυρες; ότι σώμα θνητόν περικείμενοι, τούς ασωμάτους εχθρούς ετροπώσασθε; ουκ εφόβησαν υμάς τών τυράννων αι απειλαί, ου κατέπτηξαν υμάς τών βασάνων αι προσβολαί, όντως αξίως παρά Χριστού εδοξάσθητε, καί ταίς ψυχαίς ημών αιτείσθε τό μέγα έλεος.

Δόξα... Καί νύν... Σταυροθεοτοκίον

Ως γενναίον έν μάρτυσιν

Εν σταυρώ σε τεινόμενον, καί τοίς ήλοις πηγνύμενον, καί πλευράν τή λόγχη σε, τιτρωσκόμενον, κατανοούσα η Μήτηρ σου, θρηνούσα εκραύγαζεν. Οίμοι Τέκνον ποθεινόν! πώς σε, δήμος ο άνομος, εθανάτωσε, τόν ζωήν τοίς εν άδη χορηγούντα; αλλ' ανάστηθι συντόμως, χαροποιών ούς ηγαπησας.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

### Οι Μακαρισμοί

Μακάριοι οι ειρηνοποιοί, ότι αυτοί υιοί Θεού κληθήσονται.

Διά ξύλου ο Αδάμ, Παραδείσου γέγονεν άποικος, διά ξύλου δέ Σταυρού, ο Ληστής Παράδεισον ώκησεν, ο μέν γάρ γευσάμενος, εντολήν ηθέτησε τού ποιήσαντος, ο δέ συσταυρούμενος, Θεόν ωμολόγησε τόν κρυπτόμενον, Μνήσθητί μου βοών εν τή Βασιλεία σου.

Μακάριοι οι δεδιωγμένοι ένεκεν δικαιοσύνης, ότι αυτών εστιν η βασιλεία τών ουρανών.

Προσηλώθης τώ Σταυρώ, διά πολλήν Χριστέ αγαθότητα, εκεντήθης τήν πλευράν, δύο κρουνούς πηγάσας αφέσεως, η γή δέ μή φέρουσα, καθοράν τό τόλμημα εκυμαίνετο, αι πέτραι ερρήγνυντο, εσβέννυτο ήλιος, εσαλεύοντο όρη, καί οι βουνοί φόβω τού κράτους σου.

Μακάριοί εστε όταν ονειδίσωσιν υμάς, καί διώξωσι, καί είπωσι πάν πονηρόν ρήμα καθυμών ψευδόμενοι ένεκεν εμού.

Τής ταθείσης ακρατώς, χειρός εν ξύλω πάλαι τής γνώσεως, τού προπάτορος Αδάμ, επανορθών Χριστέ τό ολίσθημα, ετάθης θελήματι, καί τάς σάς ηλώθης χείρας Μακρόθυμε, ο πλάσας τόν άνθρωπον, χειρί σου δι' άμετρον αγαθότητα. Δόξα τή υπέρ νούν Λόγε ευσπλαγχνία σου.

Μαρτυρικόν

Χαίρετε καί αγαλλιάσθε, ότι ο μισθός υμών πολύς εν τοίς ουρανοίς.

Ουρανώσαντες τήν γήν, ταίς υπερτάταις Άγιοι λάμψεσι, τών αγώνων τών καλών, δι' ών τό σκότος άπαν εδύσατε, τό τής ματαιότητος, καί πρός φώς τό άδυτον εσκηνώσατε, μεθέξει Θεούμενοι, καί πάσιν αυγάζοντες φέγγος γνώσεως, τοίς καταχρέως υμάς μακαρίζουσι.

Δόξα...

Γέρας δόξαν καί τιμήν, τή πανταιτίω Τριάδι νέμωμεν, τρισαγίαις εν φωναίς, τών Αγγέλων τόν ύμνον προσφέροντες. Πατρί τώ ανάρχω τε, καί Υιώ καί Πνεύματι ανακράζομεν, Ληστού τού ευγνώμονος, φωνήν αναμέλποντες καί κραυγάζοντες. Μνήσθητι καί ημών εν τή Βασιλεία σου.

Καί νύν... Σταυροθεοτοκίον

Αναρτώμενον σταυρώ, εθελουσίως βλέπουσα Άχραντε, τόν Υιόν σου καί Θεόν, εκπληττομένη κλαίουσα έλεγες. Πού έδυ τό κάλλος σου, τού τά πάντα Κύριε καλλωπίσαντος; τί ταύτα αχάριστος, απέδωκε δήμός σοι αντί αγαθών, Δόξα Λόγε τή σή άκρα αγαθότητι.

top

4-5

### Στιχηρά Προσόμοια τών Αποστόλων

Ήχος δ'

Ως γενναίον εν μάρτυσιν

Στίχ. α'. Εάν ανομίας παρατηρήσης, Κύριε, Κύριε τίς υποστήσεται; ότι παρά σοί ο ιλασμός εστιν.

Στερροτάτω φρονήματι, στρατευσάμενοι ένδοξοι, κατά τού αλάστορος παρετάξασθε, τή πανοπλία τού Πνεύματος, γενναίως φραξάμενοι, καί τήν άπασαν ισχύν, τών δαιμόνων ολέσαντες, αφηρπάσατε, τάς ψυχάς τών ανθρώπων, ώσπερ σκύλα, διά τούτο εις αιώνας, υμάς τιμώμεν Απόστολοι.

Στίχ. β'. Ένεκεν τού ονόματός σου υπέμεινά σε, Κύριε, υπέμεινεν η ψυχή μου εις τόν λόγον σου, ήλπισεν η ψυχή μου επί τόν Κύριον.

Σταυροτύπως απλώσασα, τήν σαγήνην τής Πίστεως, δωδεκάς η θεία τών Αποστόλων σου, πάντα τά έθνη εζώγρησε, Χριστέ πρός επίγνωσιν, καί θαλάσσας αλμυράς, τών παθών απεξήρανε, διά τούτό σε, δυσωπώ, τού βυθού με τών πταισμάτων, ανακάλεσαι ταίς τούτων, πανευπροσδέκτοις δεήσεσι.

Στίχ. γ'. Από φυλακής πρωϊας μέχρι νυκτός, από φυλακής πρωϊας ελπισάτω Ισραήλ επί τόν Κύριον.

Δωδεκάς η θεόλεκτος, Αποστόλων καί πάντιμος, ευφημείσθω σήμερον θείοις άσμασι, Πέτρος καί Παύλος Ιάκωβος, Λουκάς Ιωάννης τε, καί Ματθα ιος καί θωμάς, Μάρκος Σίμων καί Φίλιππος, καί ο ένδοξος, νύν Ανδρέας τιμάσθω, σύν τώ θείω, καί σοφώ Βαρθολομαίω, καί τοίς λοιποίς εβδομήκοντα.

Έτερα τού Αγίου Νικολάου όμοια

Στίχ. δ'. Ότι παρά τώ Κυρίω τό έλεος, καί πολλή παρ' αυτώ, λύτρωσις. καί αυτός λυτρώσεται τόν Ισραήλ έκ πασών τών ανομιών αυτού.

Μύρω θείω σε έχρισε, θεία χάρις τού Πνεύματος, Μύρων προεδρεύσαντα καί μυρίσαντα, ταίς αρεταίς ιερώτατε, τού κόσμου τά πέρατα, ηδυπνόοις σου ευχαίς, τά δυσώδη διώκοντα, πάθη πάντοτε, διά τούτό σε πίστει ευφημούμεν, καί τήν μνήμην σου τελούμεν, τήν παναγίαν Νικόλαε.

Στίχ. ε'. Αινείτε τόν Κύριον πάντα τά έθνη, επαινέσατε αυτόν, πάντες οι λαοί.

Ως λαμπτήρά σε άδυτον, ως φωστήρα παγκόσμιον, εν τώ στερεώματι αναλάμψαντα, τής Εκκλησίας Νικόλαε, καί κόσμον φωτίσαντα, καί κινδύνων χαλεπών, τήν αχλύν απελαύνοντα, καί εξαίροντα, αθυμίας χειμώνα, καί γαλήνην, εργασάμενον βαθείαν, χρεωστικώς μακαρίζομεν.

Στίχ. ς'. Ότι εκραταιώθη τό έλεος αυτού εφ' ημάς, καί η αλήθεια τού Κυρίου μένει εις τόν αιώνα.

Καί παρών καί φαινόμενος, εν Ονείροις Νικόλαε, τούς αδίκως μέλλοντας θνήσκειν έσωσας, ως συμπαθής, ως φιλάγαθος, ως ρύστης θερμότατος, ως προστάτης αληθής, τών πιστώς εξαιτούντων σου, τήν αντίληψιν, ιερώτατε Πάτερ, τών Αγγέλων, συμπολίτα τών οσίων, καί Προφητών ισοστάσιε.

Δόξα... Καί νύν... Θεοτοκίον όμοιον

Η Θεόν τόν αχώρητον, εν γαστρί σου χωρήσασα, φιλανθρώπως άνθρωπον χρηματίσαντα, καί τό ημέτερον φύραμα, εκ σού προσλαβόμενον, καί Θεώσαντα σαφώς, μή παρίδης με Πάναγνε, νύν θλιβόμενον, αλλ' οικτείρησον τάχει, καί παντοίας, δυσμενείας τεκαί βλάβης, τού πονηρού ελευθέρωσον.

Απόστιχα Αποστολικά

Τών Αποστόλων τόν χορόν, Πνεύματι αγίω εφώτισας Χριστέ, καί ημών τόν ρύπον τής αμαρτίας, δι' αυτών απόπλυνον ο Θεός, καί ελέησον ημάς.

Στίχ. Α'. Πρός σέ ήρα τούς οφθαλμούς μου, τόν κατοικούντα εν τώ ουρανώ. Ιδού, ως οφθαλμοί δούλων εις χείρας τών κυρίων αυτών, ως οφθαλμοί παιδίσκης εις χείρας τής κυρίας αυτής, ούτως οι οφθαλμοί ημών πρός Κύριον τόν Θεόν ημών, έως ού οικτιρήσαι ημάς.

Τούς αγραμμάτους Μαθητάς, τό Πνεύμα τό Άγιον παιδευτάς ανέδειξε, Χριστέ ο Θεός, καί τή πολυφθόγγω αρμονία τών γλωσσών, τήν πλάνην κατήργησεν, ως παντοδύναμος.

Μαρτυρικόν

Στίχ. Β'. Ελέησον ημάς, Κύριε, ελέησον ημάς, ότι επί πολύ επλήσθημεν εξουδενώσεως, επί πλείον επλ ήσθη η ψυχή ημών, τό όνειδος τοίς ευθηνούσι, καί η εξουδένωσις τοίς υπερηφάνοις.

Ιερεία έμψυχα, ολοκαυτώματα λογικά, Μάρτυρες Κυρίου, θύματα τέλεια Θεού, Θεόν γινώσκοντα, καί Θεώ γινωσκόμενα, πρόβατα, ών η μάνδρα, λύκοις ανεπίβατος, πρεσβεύσατε καί ημάς, συμποιμανθήναι υμίν, επί ύδατος αναπαύσεως.

Δόξα... Καί νύν... Θεοτοκίον

Ρύσαι ημάς εκ τών αναγκών ημών, Μήτηρ Χριστού τού Θεού, η τεκούσα τόν τών όλων Ποιητήν, ίνα πάντες κράζωμέν σοι, Χαίρε η μόνη προστασία τών ψυχών ημών.

Μετά τήν α' Στιχολογίαν
Καθίσματα Αποστολικά
Ήχος δ'

Οι τών Αποστόλων πρωτόθρονοι, καί τής οικουμένης διδάσκαλοι, τώ Δεσπότη τών όλων πρεσβεύσατε, ειρήνην τή οικουμένη δωρήσασθαι, καί ταίς ψυχαίς ημών τό μέγα έλεος.

Ταχύ προκατάλαβε

Φωστήρας εις τά πέρατα, τούς Μαθητάς σου Χριστέ, ανέδειξας εκλάμποντας, εν τώ κηρύγματι, ψυχάς καταυγάζοντας, πλάνην τήν τών ειδώλων, δι' αυτών αμαυρώσας, δόγμασιν ευσεβείας, καταλάμψας τόν κόσμον. Αυτών ταίς ικεσίαις, σώσον τάς ψυχάς ημών.

Δόξα... Καί νύν... Θεοτοκίον όμοιον

Ταχύ δέξαι Δέσποινα, τάς ικεσίας ημών, καί ταύτας προσάγαγε, τώ σώ Υιώ καί Θεώ, Κυρία Πανάχραντε, λύσον τάς περιστάσεις, τών εις σέ προστρεχόντων, σκέδασον τάς ενέδρας, καί τά θράση Παρθένε, τών νύν εφοπλιζομένων, κατά τών δούλων σου.

Μετά τήν β' Στιχολογίαν
Καθίσματα Αποστολικά
Ταχύ προκατάλαβε

Εις πάσαν διέδραμεν, υμών ο φθόγγος τήν γήν, καί πλάνης εμώρανε, σοφίαν άσοφον, Απόστολοι ένδοξοι, είλκυσε τούς ανθρώπους, εκ βυθού τής απάτης, έδειξε δέ τοίς πάσι, σωτηρίας τήν τρίβον, διό νύν επαξίως, υμάς μακαρίζομεν.

Τής πίστεως κήρυκας, τούς μαθητάς σου Σωτήρ, τώ κόσμω ανέδειξας, καθοδηγών δι' αυτών, τά έθνη πρός γνώσίν σου, λόγων γάρ ταίς ακτίσι, κατεφώτισαν πάντας, σπόρον τής ευσεβείας, κατασπείραντες όντως. Αυτών ταίς ικεσίαις, σώσον τάς ψυχάς ημών.

Δόξα... Καί νύν... Θεοτοκίον όμοιον

Επάκουσον Δέσποινα, εκ κατωδύνου ψυχής, βοώντος τού δούλου σου, καί τών πολλών μου κακών, παράσχου μοι άφεσιν, σέ γάρ έχω προστάτιν, εν νυκτί καί ημέρα, λύτρωσαι Θεοτόκε, τού πυρός τής γεέννης, καί στήσον εκ δεξιών με, τού σού Υιού καί Θεού.

Μετά τήν γ' Στιχολογίαν
Καθίσματα
Ταχύ προκατάλαβε

Ταχύ προκατάλαβε, πάτερ Νικόλαε, καί σώσον τούς δούλους σου, επερχομένων ημίν, κινδύνων καί θλίψεων, έχεις γάρ πρός τόν Κτίστην, καί Θεόν παρρησίαν, πάρεσο ούν εν τάχει, τοίς πιστώς σε καλούσι, τήν σήν νύν προστασίαν, καί σκέπην δωρούμενος.

Μαρτυρικόν

Οι μάρτυρές σου Κύριε, εν τή αθλήσει αυτών, στεφάνους εκομίσαντο τής αφθαρσίας, εκ σού τού Θεού ημών, σχόντες γάρ τήν ισχύν σου, τούς τυράννους καθείλον, έθραυσαν καί δαιμόνων, τά ανίσχυρα θράση, αυτών ταίς ικεσίαις Χριστέ ο Θεός, σώσον τάς ψυχάς ημών.

Δόξα... Καί νύν... Θεοτοκίον

Ότι πάντων υπάρχεις τών ποιημάτων υπερτέρα, ανυμνείν σε αξίως, μή ευπορούντες Θεοτόκε, δωρεάν αιτούμέν σε, ελέησον ημάς.

Κανών τών Αγίων Αποστόλων
Ωδή α' Ήχος δ'
Ο Ειρμός

Θαλάσσης, τό ερυθραίον πέλαγος, αβρόχοις ίχνεσιν, ο παλαιός πεζεύσας Ισραήλ, σταυροτύποις Μωσέως χερσί, τού Αμαλήκ τήν δύναμιν, εν τή ερήμω ετροπώσατο.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Τά θεία, τού Παρακλήτου όργανα, καθυφηγούμενα, τούτου ταίς θείαις πάντοτε πνοαίς, εμελώδησαν μέλος ημίν, ως αληθώς σωτήριον, οι ευκλεείς Χριστού Απόστολοι.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Εν κλίνη, τής ραθυμίας κείμενον, καί τή πρός θάνατον, τής αμαρτίας νόσω τήν ψυχήν, χαλεπώς εκτηκόμενον, επισκοπής με ένδοξοι, Χριστού αυτόπται αξιώσατε.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Οι λόγω, τήν αλογίαν λύσαντες, εθνών Απόστολοι, τήν εξ αλόγων πράξεων δεινώς, σκοτισθείσαν καρδίαν μου, τού Παρακλήτου χάριτι, φωταγωγήσατε Απόστολοι.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Παρθένος, μετά τόν τόκον άφθορος, διαμεμένηκας, τόν δι' ημάς οφθέντα επί γής, υπέρ λόγον κυήσασα, όν εκτενώς ικέτευε, φωταγωγήσαι τάς ψυχάς ημών.

Κανών τού Αγίου Νικολάου, ού η Ακροστιχίς
Τέταρτος ούτος εις Νικόλαον κρότος. Ιωσήφ.

Ο Ειρμός

Τριστάτας κραταιούς, ο τεχθείς εκ παρθένου, απαθείας εν βυθώ, ψυχής τό τριμερές, καταπόντισον δέομαι, όπως σοι ως εν τυμπάνω τή νεκρώσει τού σώματος, επινίκιον άσω μελώδημα.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Τήν άλυπον ζωήν, κληρωσάμενος μάκαρ, καί χαράς πνευματικής, πληρούμενος αεί, πάσαν λύπην απέλασον, δέομαι εκ τής ψυχής μου, όπως χαίρων δοξάζω σε, ιερώτατε Πάτερ Νικόλαε.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Ετέθης αρετών, υψηλών εν λυχνία, ώσπερ λύχνος δαδουχών, καρδίας τών πιστών, Ιεράρχα Νικόλαε, όθεν πίστει δυσωπώ σε, φωτοβόλοις πρεσβείαις σου, τής ψυχής μου τό σκότος απέλασον.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Τού βίου τού φθαρτού, νύν τό πέλαγος πλέων, πειρασμών παντοδαπών, πληρούμενον σοφέ, επί σέ καταφεύγω βοών. Εύροιμί σε κυβερνήτην, εισγαλήνην μετάγοντα, τό κλυδώνιον θείαις πρεσβείαις σου.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ακοίμητον αγνή, κεκτημένη πρεσβείαν, κατακοίμησον ημών, τά πάθη τής ψυχής, ιεραίς μεσιτείαις σου, θείαν καί σωτηριώδη, δωρουμένη εγρήγορσιν, πρός Θεού θελημάτων εκπλήρωσιν.

Ωδή γ'

Ο Ειρμός

Ευφραίνεται επί σοί, η Εκκλησία σου Χριστέ κράζουσα. Σύ μοι ισχύς Κύριε, καί καταφυγή καί στερέωμα.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Τήν πόλιν σου ο Θεός, τών λογικών σου ποταμών ρεύματα, τών μαθητών Δέσποτα, αγιαστικώς κατευφραίνουσι.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Πολίται τών ουρανών, συλλειτουργοί τών νοερών Τάξεων, πανευκλεείς Απόστολοι, πάσης ημάς θλίψεως ρύσασθε.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Ο στερεώσας Χριστέ, τούς λογικούς σου ουρανούς στήριξον, τούτων ευχαίς εν πέτρα με, σού τών θελημάτων, ως εύσπλαγχνος.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ως μήτηρ σε δυσωπεί, σύν τώ χορώ τών Μαθητών Κύριε, η σέ αγνώς τέξασα, δώρησαι ημίν τά ελέησου.

## Κανών τού Αγίου Νικολάου

Ο Ειρμός

Ουκ εν σοφία, καί δυνάμει καί πλούτω καυχώμεθα, αλλ' εν σοί τή τού Πατρός, ενυποστάτω σοφία Χριστέ, ου γάρ εστιν Άγιος, πλήν σου φιλάνθρωπε.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Ρομφαία ώφθης, πολεμίους εχθρούς κατασφάττουσα, ών συντήρησον ημάς, τής επηρείας απήμονας, πράττοντας Νικόλαε, τό θείον βούλημα.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Τήν συντριβήν μου, τής ψυχης Ιεράρχα θεράπευσον, ο συντρίψας τού εχθρού, τάς πανουργίας καί ένεδρα, όπως ως προστάτην μου, πίστει γεραίρω σε.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Ο καταλύσας, τής Αρτέμιδος άψυχα ξόανα, τού νοός μου εμπαθή, ινδάλματα εξαφάνισον, θείαις μεσιτείαις σου, Πάτερ Νικόλαε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σέ προστασίαν, Παναγία Παρθένε κεκτήμεθα, μεταποίησον ημών, εις χαρμονήν τήν κατήφειαν, καί θλίψεως λύτρωσαι, γεννώσης θάνατον.

## Ωδή δ'

Ο Ειρμός

Επαρθέντα σε ιδούσα η Εκκλησία, επί Σταυρού τόν Ήλιον τής δικαιοσύνης, έστη εν τή τάξει αυτής, εικότως κραυγάζουσα. Δόξα τή δυνάμει σου Κύριε.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Επεβίβασας εις θάλασσαν σού τούς ίππους, τούς εκλεκτούς φιλάνθρωπε, τής κακοπιστίας, ύδατα ταράσσοντας, καί πάσι τήν γνώσίν σου, τήν αληθινήν καταγγέλλοντας.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Οι αστέρες οι φαιδρύναντες ευσεβεία, τό νοητόν στερέωμα, τό τής Εκκλησίας, ένδοξοι Απόστολοι, νυκτός εξ αγνοίας με, καί παραπτωμάτων λυτρώσατε.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Αναδειχθέντες ως βέλη ηκονημένα, τού δυσμενούς Απόστολοι τά πεπυρωμένα, βέλη τής κακίας αυτού, νυνί κατασβέσατε, καί τόν λογισμόν μου στηρίξατε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τήν ψυχήν μου φαρμαχθείσαν τοίς ιοβόλοις, τών εναντίων δήγμασι, δραστικώ φαρμάκω, πρεσβειών θεράπευσον, Χριστέ τής τεκούσης σε, καί τών ιερών Αποστόλων σου.

## Κανών τού Αγίου Νικολάου

### Ο Ειρμός

Ο καθήμενος εν δόξη, επί θρόνου θεότητος, εν νεφέλη κούφη, ήλθεν Ιησούς ο υπέρθεος, τή ακηράτω παλάμη καί διέσωσε, τούς κραυγάζοντας, δόξα Χριστέ τή δυνάμει σου.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Ο περίδοξός σου βίος, πανταχού σε περίδοξον, θαυμασίοις θείοις, κατακλεϊζόμενον έδειξεν, Ιεραρχών ωραιότης, πάντων καύχημα, τών τιμώντων σε, χαρμονικοίς μελωδήμασιν.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Υψηλής επί καθέδρας, τόν Θεόν μάκαρ ήνεσας, ταπεινοφροσύνης, θείαις εξαστράπτων φαιδρότησιν, ής εν μεθέξει γενέσθαι ημάς ποίησον, ευπροσδέκτοις σου, Πάτερ σοφέ παρακλήσεσι.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Τούς αδίκως αγομένους, ελυτρώσω εις θάνατον, ζήλω θείω Πάτερ, ιεροπρεπώς πυρακτούμενος, διό βοώμεν, Ωσαύτως εξελού ημάς, πειρασμών θανατούντων, δεινώς τήν διάνοιαν.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Ουρανόν περιπολεύων, χαρμοσύνως Νικόλαε, αοράτως Πάτερ, πάντων τών καλούντων σε πάρεσο, επικουφίζων τάς νόσους τών ψυχών ημών, καί ανάψυξιν θεοπρεπώς παρεχόμενος.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Στρατηγίαι τών αγγέλων, καταπλήττονται Πάναγνε, ανυμνολογούσαι, μέγεθος τής θείας λοχείας σου, μεθ' ών δυσώπει Παρθένε, πάντας σώζεσθαι, τούς εν πίστει σε, ειλικρινεί μακαρίζοντας.

## Ωδή ε'

### Ο Ειρμός

Σύ Κύριέ μου φώς, εις τόν κόσμον ελήλυθας, φώς άγιον επιστρέφον, εκ ζοφώδους αγνοίας, τούς πίστει ανυμνούντάς σε.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Αμπέλου τής ζωής, οι κυπρίζοντες βότρυες, επότισαν πάντας οίνον, νοητής ευφροσύνης, οι ένδοξοι Απόστολοι.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Πρός φώς τών εντολών, τού Θεού οδηγήσατε, Απόστολοι τούς, εν εν σκότει, ψυχικής ραθυμίας, αφρόνως ενυπάρχοντας.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Λυτρώσασθε ημάς, ψυχικών παραπτώσεων, καί κρίσεως τής μελλούσης, καί φθοράς καί κινδύνων, Απόστολοι μακάριοι.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σώσόν με ο Θεός, ως φιλάνθρωπος σώσόν με, δεήσεσι τής αφράστως, σε τεκούσης καί πάντων, τών θείων Αποστόλων σου.

Κανών τού Αγίου Νικολάου

Ο Ειρμός

Ασεβείς ουκ όψονται, τήν δόξαν σου Χριστέ, αλλ' ημείς σε μονογενές, πατρικής απαύγασμα, δόξης θεότητος, εκ νυκτός ορθρίζοντες, ανυμνούμέν σε φιλάνθρωπε.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Έδυσας ως ήλιος, θανών Πάτερ σοφέ, καί ανέτειλας εις Χριστόν, σελασφόροις λάμψεσι τών θαυμασίων σου, καταυγάζων άπασαν, τήν υφήλιον Νικόλαε.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Ιερέ Νικόλαε, επάκουσον ημών, εν ημέρα επαγωγής, πειρασμών καί θλίψεων, πάσαν δυσχέρειαν, κατευνάζων χάριτι, τού εν σοί οικούντος Πνεύματος.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Συντριβείς τοίς πάθεσι, τού βίου τήν ψυχήν, εις βοήθειάν σε καλώ, ιερέ Νικόλαε, σπεύσον καί δίδου μοι, τήν τελείαν ίασιν, δυσωπών τόν Υπεράγαθον.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νοεροίς τοίς όμμασι, Παρθένε σέ ορών, Ησαϊας αναβοά. Ιδού μέλλει τίκτεσθαι, Κόρης θεόπαιδος, Ιησούς ο Κύριος, εις ανθρώπων αναγέννησιν.

Ωδή ς'

Ο Ειρμός

Θύσω σοι, μετά φωνής αινέσεως Κύριε, η Εκκλησία βοά σοι, εκ δαιμόνων λύθρου κεκαθαρμένη, τώ δι' οίκτον, εκ τής πλευράς σου ρεύσαντι αίματι.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Ποιμένος, τού καλού τά θεόλεκτα πρόβατα, διασπαρέντα εν κόσμω, τήν τών λύκων πάσαν θηριωδίαν, εις προβάτων, ημερότητα πίστει μετέβαλον.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Τού θείου, παραδείσου τά δένδρα τά εύκαρπα, τής παναθλίας ψυχής μου, πάσαν ακαρπίαν εις ευκαρπίαν, εναρέτου, μεταγάγετε γνώμης Απόστολοι.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Ετρώθην, ηδονής τή ρομφαία καί τέθνηκα, οι πρός Χριστού δεδεγμένοι, ανιστάν νεκρούς χάριν ένδοξοι, νεκρωθείσαν, τήν αθλίαν ψυχήν μου ζωώσατε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Κόπασον, τής ψυχής μου τόν άγριον κλύδωνα, Θεέ τών όλων οικτίρμον, ικεσίαις τής κυησάσης σε, Αποστόλων, τών σεπτών τε καί θείων Μαρτύρων σου.

Κανών τού Αγίου Νικολάου
Ο Ειρμός
Ήλθον εις τά βάθη τής θαλάσσης, καί κατεπόντισέ με, καταιγίς πολλών αμαρτημάτων, αλλ' ο Θεός, εκ φθοράς ανάγαγε, τήν ζωήν μου ως φιλάνθρωπος.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Ίσχυσας τώ σθένει τού Σωτήρος, δυναμωθείς θεόφρον, τόν αόρατον εχθρόν ολέσαι, ού τής δεινής, βλάβης ημάς λύτρωσαι, ικεσίαις σου Νικόλαε.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Κολάσεως τής εν τή γεέννη, καί πονηρών ανθρώπων, ενοχλήσεως βλαβερωτάτης, ρύσαι ημάς, ιεραίς πρεσβείαις σου, παναοίδιμε Νικόλαε.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Οι πάλαι τεθνήξεσθαι αδίκως, μέλλοντες στρατηλάται, ελυτρώθησαν σαίς προστασίαις, ώσπερ αυτούς, καί ημάς εξάρπασον, πασης βλάβης αξιάγαστε.

Θεοτοκίον
Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ναός σου καί πόλις δυσωπεί σε, τήν τού Θεού Μητέρα, εξελού ημάς πάσης ανάγκης, καί τής εκεί, Παναγία Δέσποινα, αιωνίου κατακρίσεως.

Ωδή ζ'
Ο Ειρμός
Εν τή καμίνω, Αβραμιαίοι Παίδες τή Περσική, πόθω ευσεβείας μάλλον, ή τή φλογί, πυρπολούμενοι εκραύγαζον. Ευλογημένος εί, εν τώ ναώ τής δόξης σου Κύριε.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Τή συντονία, τού αγίου καί θείου κηρύγματος, πλάνης απλανείς, Απόστολοι τού Χριστού, τόν χειμώνα διελύσατε, καί κατελάμψατε, θεογνωσία πιστών τό φρόνημα.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Μύρον ευώδες, αναπηγάζοντες πάντοτε, θείοι μαθηταί, τού μύρου τού νοητού, ευωδίας τούς προστρέχοντας υμίν πληρώσατε, καί τά δυσώδη πάθη μειώσατε.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Διαφθαρέντα, τοίς σαρκικοίς με ατοπήμασι, Λόγου τού αφθάρτου ένδοξοι Μαθηταί, διασώσατέ με ψάλλοντα. Ευλογημένος εί, εν τώ ναώ τής δόξης σου Κύριε.

Θεοτοκίον
Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Χορός Αγγέλων, χορός Μαρτύρων καί Αποστόλων σου, Λόγε δυσωπούσι πάντοτε τήν πολλήν, ευσπλαγχνίαν σου φιλάνθρωπε, πάντας οικτείρησον, διά τής Θεοτόκου ως εύσπλαγχνος.

Κανών τού Αγίου Νικολάου
Ο Ειρμός
Νέοι τρείς εν Βαβυλώνι, πρόσταγμα τυραννικόν, εις φλήναφον θέμενοι, εν μέσω φλογός

ανεβόων, Ευλογητός εί Κύριε, ο Θεός τών Πατέρων ημών.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Άγιε τόν εν Αγίοις, μόνον, πάντων ποιητήν, επαναπαυόμενον, αίτησαι ημάς αγιάσαι, καί καταπέμψαι πλούσια, εφ' ημάς τά ελέη αυτού.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Όσιος ευθύς καί πράος, μέτριος καί ταπεινός, γενόμενος ένδοξε, ύψος πρός περίδοξον ήρθης, ιερωσύνης θαύματα, εκτελών καί τεράστια.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Νόμους θείους συντηρήσας Όσιε, τούς τού Θεού, ναός καθαρώτατος ώφθης, όθεν σοι βοώμεν παμμάκαρ, Παρανομίας λύτρωσαι, από πάσης τούς δούλους σου.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Κοίμησον επαναστάσεις παθών, εμής ψυχής, τή αγρύπνω δεήτης σει σου, δίδου μοι εγρήγορσιν Κόρη, τής ραθυμίας πόρρω, τόν νυσταγμόν απελαύνουσα.

## Ωδή η'

### Ο Ειρμός

Χείρας εκπετάσας Δανιήλ, λεόντων χάσματα εν λάκκω έφραξε, πυρός δέ δύναμιν έσβεσαν, αρετήν περιζωσάμενοι, οι ευσεβείας ερασταί, Παίδες κραυγάζοντες. Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Στόματα πυρίπνοα Χριστού, οι τά απύλωτα στόματα φράξαντες, καί τό σωτήριον κήρυγμα, πανταχού νύν κατασπείραντες, στόματος λύκου νοητού, απολυτρώσασθε τούς βοώντας. Πάντα τά έργα υμνείτε τόν Κύριον.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Σαλπίσατε κύκλω τής εμής, νενεκρωμένης ψυχής, εύηχοι σάλπιγγες, Χριστού Απόστολοι ένδοξοι, καί εκ τάφου απογνώσεως, καί ραθυμίας χαλεπής ταύτην εγείρατε, εις τό μέλπειν. Πάντα τά έργα υμνείτε τόν Κύριον.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Εμέ τόν τούς νόμους σου Χριστέ, καταπατήσαντα νοός στρεβλότητι, εμέ τόν άσωτον Δέσποτα, τόν εις βάθη ολισθήσαντα, καί συνηθεία πονηρά αεί δουλεύοντα, μή παρίδης, τών μαθητών σου Χριστέ ταίς δεήσεσι.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Μαρία κυρία τού παντός, κυριευθέντα με υπό τού όφεως, καί αμαρτάνοντα πάντοτε, ελευθέρωσον πρεσβείαις σου, καί καταδούλωσον Χριστώ, εν πολι τεία σεμνή, αναμέλπειν. Πάντα τά έργα υμνείτε τόν Κύριον.

## Κανών τού Αγίου Νικολάου

### Ο Ειρμός

Λυτρωτά τού παντός Παντοδύναμε, τούς εν μέσω φλογός ευσεβήσαντας, συγκαταβάς εδρόσισας, καί εδίδαξας μέλπειν, Πάντα τά έργα, ευλογείτε υμνείτε τόν Κύριον.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Ρητορεύων τά θεία Νικόλαε, ανομούντων απύλωτα στόματα, περιφανώς ενέφραξας, καί Αρείου τής λύμης πολλούς ερρύσω, ορθοδόξως υμνούντας τόν Κύριον.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Ο τής νίκης επώνυμος Άγιε, νικητάς ημάς δείξον πρεσβείαις σου, παθών γεννώντων θάνατον, παρανόμων ανθρώπων, γλώσσης δολίας, τούς πιστώς σε αεί λιτανεύοντας.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Τήν σήν βοήθειαν τήν σωτήριον, καταπέμψαι ημίν παρακλήθητι, θαυματουργέ Νικόλαε, εν ημέρα ανάγκης, ηνίκα ταύτης, οι πιστώς σε αιτούντες δεόμεθα.

Τριαδικόν

Στίχ. Αγία Τριάς ο Θεός ελέησον καί σώσον ημάς.

Ορθοδόξως πιστοί προσκυνήσωμεν, τήν αγίαν Τριάδα δοξάζοντες, Πατέρα τόν Πανάγιον, τόν Υιόν καί τό Πνεύμα, αναβοώντες. Ευλογείτε υμνείτε τόν Κύριον.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Συμπαθείας τής σής με αξίωσον, συμπαθέστατον Λόγον κυήσασα, ευλογημένη Πάναγνε, καί εν ώρα τής δίκης πρόστηθι, ρύσαι, τής εκεί με Αγνή κατακρίσεως.

## Ωδή θ'

### Ο Ειρμός

Λίθος αχειρότμητος όρους, εξ αλαξεύτου σου Παρθένε, ακρογωνιαίος ετμήθη Χριστός, συνάψας τάς διεστώσας φύσεις, διό επαγαλλόμενοι, σέ Θεοτόκε μεγαλύνομεν.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Λίθοι εκλεκτοί τού τεθέντος, εις κεφαλήν γωνίας λίθου, επωκοδομήσατε πάντων, πιστών καρδίας πέτρα τής Πίστεως, τού δυσμενούς Απόστολοι, οικοδομάς καταστρεψάμενοι.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Λύειν καί δεσμεύειν λαβόντες, παρά Χριστού τήν εξουσίαν, λύσατε κακών μου τήν δέησιν, και τή αγάπη Χριστού συνδήσατε, καί Βασιλείας μέτοχον, Θεού εργάσασθε Απόστολοι.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Θείαι τού Δεσπότου νεφέλαι, τήν ξηρανθείσάν μου καρδίαν, πάση πονηρά εργασία, ενθέοις όμβροις νύν καταρδεύσατε, καί καρποφόρον δείξατε, θεομακάριστοι Απόστολοι.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Μετά τών Αγίων Αγγέλων, μετά τών θείων Αποστόλων, μετά τών ενδόξων Μαρτύρων, τόν σόν δυσώπει Υιόν καί Κύριον, Θεογεννήτορ Πάναγνε, κινδύνων σώσαι τάς ψυχάς ημών.

## Κανών τού Αγίου Νικολάου

### Ο Ειρμός

Εύα μέν τώ τής παρακοής νοσήματι, τήν κατάραν εισωκίσατο, σύ δέ Παρθένε Θεοτόκε, τώ τής κυοφορίας βλαστήματι, τώ κόσμω τήν ευλογίαν εξήνθησας, όθεν σε πάντες μεγαλύνομεν.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Ιάσεις αεί επι τελών ο τάφος σου, ευωδίας μύρον Όσιε, αναπηγάζει τοίς εν πίστει, καί πόθω προσιούσι Νικόλαε, ενθάπτων νοσημάτων επήρειαν, όθεν σε πάντες μακαρίζομεν.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Ως ήλιος πάσαν φρυκτωρείς Νικόλαε, θεομάκαρ τήν υφήλιον, θείων θαυμάτων φρυκτωρίαις, τό σκότος τών δεινών περιστάσεων, διώκων ιεραίς μεσιτείαις σου, Αρχιερέων εγκαλλώπισμα.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Συνήθως οικτείρησον ημάς Νικόλαε, ταίς τού βίου περιστάσεσι, καί τών δαιμόνων ταίς απάταις, ανθρώπων πονηρών επηρείαις τε, δεινώς χειμαζομένους εκάστοτε, όπως σε πάντες μακαρίζωμεν.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Ημέρας καί ώρας φοβεράς μνημόνευε, ώ ψυχή μου, ότι μέλλει σε άγειν εις κρίσιν ο Δεσπότης, καί κρίναί σου τά έργα τά κρύφια, καί βόησον αυτώ. Σώτερ σώσόν με, ταίς Νικολάου παρακλήσεσι.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φωνήν σοι τού θείου Γαβριήλ προσάγομεν, χαρμοσύνως, καί κραυγάζομεν. Χαίρε Παράδεισε, τό ξύλον εν μέσω τής ζωής έχων πάντοτε, περίδοξον τού Λόγου παλάτιον, χαίρε Παρθένε Παναμώμητε.

## Απόστιχα τών Αίνων Αποστολικά

Τών Αποστόλων τόν χορόν, Πνεύματι αγίω εφώτισας Χριστέ, καί ημών τόν ρύπον τής αμαρτίας, δι' αυτών απόπλυνον ο Θεός, καί ελέησον ημάς.

Στίχ. α'. Ενεπλήσθημεν τό πρωϊ τού ελέους σου, Κύριε, καί ηγαλλιασάμεθα καί ηυφράνθημεν έν πάσαις ταίς ημέραις ημών. Ευφρανθείημεν, ανθών ημερών εταπείνωσας ημάς, ετών, ών είδομεν κακά, καί ίδε επί τούς δούλους σου καί επί τά έργα σου, καί οδήγησον τούς υιούς αυτών.

Τούς αγραμμάτους Μαθητάς, τό Πνεύμά σου τό Άγιον παιδευτάς ανέδειξε, Χριστέ ο Θεός, καί τή πολυφθόγγω αρμονία τών γλωσσών, τήν πλάνην κατήργησεν, ως παντοδύναμος.

Μαρτυρικόν

Στίχ. β'. Καί έστω η λαμπρότης Κυρίου τού Θεού ημών εφ' ημάς, καί τά έργα τών χειρών ημών κατεύθυνον εφ' ημάς, καί τό έργον τών χειρών ημών κατεύθυνον.

Τίμιος ο θάνατος, τών Αγίων σου Κύριε, ξίφεσι γάρ καί πυρί, καί ψύχει συντετριμμένοι, εξέχεαν τό αίμα αυτών, ελπίδα έχοντες εις σέ, απολαβείν τού καμάτου τόν μισθόν, υπέμειναν καί έλαβον, παρά σού Σωτήρ τό μέγα έλεος.

Δόξα... Καί νύν... Θεοτοκίον

Η μόνη αγνή καί άχραντος Παρθένος, η Θεόν αφράστως κυήσασα, πρέσβευε τού σωθήναι τάς ψυχάς ημών.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

### Οι Μακαρισμοί

Μακάριοι οι ειρηνοποιοί, ότι αυτοί υιοί Θεού κληθήσονται.

Διά ξύλου ο Αδάμ, Παραδείσου γέγονεν άποικος, διά ξύλου δέ Σταυρού ο Ληστής Παράδεισον ώκησεν, ο μέν γάρ γευσάμενος, εντολήν ηθέτησε τού ποιήσαντος, ο δέ συσταυρούμενος, Θεόν ωμολόγησε τόν κρυπτόμενον. Μνήσθητί μου βοών, εν τή Βασιλεία σου.

Μακάριοι οι δεδιωγμένοι ένεκεν δικαιοσύνης, ότι αυτών εστιν η βασιλεία τών ουρανών.

Τού Ποιμένος καί Αμνού, λογικά υπάρχοντες θρέμματα, μέσον λύκων παρ' αυτού, ως αμνοί σοφοί απεστάλητε, τώ θείω κηρύγματι, τήν αυτών μετάγοντες αγριότητα, πρός τήν ημερότητα, τής Πίστεως κράζοντες, ακλινεί λογισμώ. Μνήσθητι καί ημών Σωτήρ, εν τή Βασιλεία σου.

Μακάριοί εστε όταν ονειδίσωσιν υμάς, καί διώξωσι, καί είπωσι πάν πονηρόν ρήμα καθυμών ψευδόμενοι ένεκεν εμού.

Διελθόντες τά τής γής, Μαθηταί Κυρίου πληρώματα, ως αστέρες φαεινοί, τόν σκοτασμόν τής πλάνης ελύσατε, καί φέγγος σωτήριον, τοίς πεπλανημένοις εναπηστράψατε, διό μακαρίζομεν, υμάς Χριστοκή ρυκες εξαιτούμενοι, πρεσβεύειν υπέρ ημών, πάντοτε πρός Κύριον.

Μαρτυρικόν

Χαίρετε καί αγαλλιάσθε, ότι ο μισθός υμών πολύς εν τοίς ουρανοίς.

Θανατούμενοι Σοφοί, καί πυρί ενύλω φλεγόμενοι, κατεφλέξατε πικράς πολυθεϊας ύλην μακάριοι, καί νύν αναβλύζετε, ιαμάτων ρείθρα τοίς προσπελάζουσιν, ημίν μετά πίστεως, θερμώς ανακράζουσι καί βοώσι Χριστώ. Μνήσθητι καί ημών, εν τή Βασιλεία σου.

Δόξα...

Αποσκοπούντες λογισμώ, καί διανοίας νήφοντες είπωμεν, τώ εν Υψίστοις σύν Πατρί, καθεζομένω άμα καί Πνεύματι. Τριάς η αχώριστος, η τό πάν τώ λόγω πρίν υποστήσασα, καί πάντας φωτίζουσα, τούς ευλαβεία καί πίστει σοι κράζοντας. Μνήσθητι καί ημών, εν τή Βασιλεία σου.

Καί νύν... Θεοτοκίον

Αποστόλων χαρμονή, καί Αθλοφόρων στέφος αμάραντον, χρηματίζεις αληθώς, Θεογεννήτορ Κόρη πανάμωμε, μεθ' ών ημίν αίτησαι, τών πταισμάτων Δέσποινα απολύτρωσιν, καί βίου διόρθωσιν, τοίς πίστει αιτούσί σε καί βοώσί σοι. Χαίροις παναληθώς αγαθών θησαύρισμα.

top
4-6

Στιχηρά Προσόμοια Σταυρώσιμα

Ήχος δ'

Έδωκας σημείωσιν

Στίχ. α'. Εάν ανομίας παρατηρήσης, Κύριε, Κύριε τίς υποστήσεται; ότι παρά σοί ο ιλασμός εστιν.

Ότε σε σταυρούμενον, η κτίσις πάσα εώρακεν, ηλλοιούτο καί έτρεμεν, η γή δέ εσείετο, οληκλονουμένη, μακρόθυμε Λόγε, τό καταπέτασμα ναού, φόβω εσχίσθη υβριζομένου σου, καί πέτραι διερράγησαν, από τού φόβου καί ήλιος, τάς ακτίνας συνέστειλε, ποιητήν σε γινώσκοντα.

Στίχ. β'. Ένεκεν τού ονόματός σου υπέμεινά σε, Κύριε, υπέμεινεν η ψυχή μου εις τόν λόγον σου, ήλπισεν η ψυχή μου επί τόν Κύριον.

Ρήγνυται χειρόγραφον, τό απ' αιώνος νυγείσης σου, τής πλευράς πολυέλεε, Αδάμ τού προπάτορος, καί η απωσμένη, φύσις τών ανθρώπων, ρανίσιν αίματος τού σού, καθαγιάζεται ανακράζουσα. Δόξα τή δυναστεία σου, δόξα τή θεία σταυρώσει σου, Ιησού παντοδύναμε, ο Σωτήρ τών ψυχών ημών.

Στίχ. γ'. Από φυλακής πρωϊας μέχρι νυκτός, από φυλακής πρωϊας ελπισάτω Ισραήλ επί τόν Κύριον.

Πώς ο ανομώτατος, δήμος τολμά κατακρίναί σε, τόν Κριτήν τόν αθάνατον, τόν νόμον χαράξαντα, εν ερήμω πάλαι, Μωσή τώ θεόπτη; πώς επί ξύλου τήν ζωήν, τήν τών απάντων ορώντες θνήξασαν, ουδόλως επτοήθησαν, ουδ' επί νούν ελογίσαντο, ότι σύ μόνος Κύριος, καί Δεσπότης τής κτίσεως;

Έτερα τής Θεοτόκου όμοια

Στίχ. δ'. Ότι παρά τώ Κυρίω τό έλεος, καί πολλή παρ' αυτώ, λύτρωσις. καί αυτός λυτρώσεται τόν Ισραήλ έκ πασών τών ανομιών αυτού.

Δαιμόνων κλονούμενον, ταίς προσβολαίς καί εις βάραθρον, απωλείας ωθούμενον, οικτείρησον Δέσποινα, καί στερέωσόν με, αρετών εν πέτρα καί τάς βουλάς τών δυσμενών, διασκεδάσασα καταξίωσον, ποιείν με τά προστάγματα, τού σού Υιού καί Θεού ημών, όπως τύχω αφέσεως, εν ημέρα τής κρίσεως.

Στίχ. ε'. Αινείτε τόν Κύριον πάντα τά έθνη, επαινέσατε αυτόν, πάντες οι λαοί.

Λησταίς περιέπεσα, τοίς μιαιφόνοις Πανάμωμε, καί τό άφθαρτον ένδυμα, τής άνω λαμπρότητος, ταίς τούτων εφόδοις, εξεδύθην Κόρη, καί υπ' αυτών ανηλεώς, ετραυματίσθην καί καταβέβλημαι, εν τόπω τής κακώσεως, ημιθανής αλλά πρόφθασον, Καί τήν χείρά σου έκτεινον, καί ανάστησον δέομαι.

Στίχ. ς'. Ότι εκραταιώθη τό έλεος αυτού εφ' ημάς, καί η αλήθεια τού Κυρίου μένει εις τόν αιώνα.

Εν κλίνη κατάκειμαι, τής αμελείας Πανάμωμε, καί ραθύμως διέρχομαι, τόν βίον καί δέδοικα, τόν τής τελευτής μου, καιρόν Θεοτόκε, μή ώσπερ λέων αφειδώς, διασπαράξη ο όφις ο τήν ταπεινήν μου ψυχήν, παμπόνηρος, διό τή σή αγαθότητι, πρό τού τέλους προφθάσασα, πρός μετάνοιαν, έγειρον.

Δόξα... Καί νύν...

Σταυροθεοτοκίον όμοιον

Ιδών σε ο ήλιος, καί η σελήνη φιλάνθρωπε, επί ξύλου κρεμάμενον, ακτίνας απέκρυψαν, τής δικαιοσύνης, Ήλιε Χριστέ μου, καί τά θεμέλια τής γής, διεδονήθη φόβω τού κράτους σου, η Μήτηρ σου τά σπλάγχνα δέ, τιτρωσκομένη εβόα σοι. Ιησού υπεράγαθε, δόξα τή ευσπλαγχνία σου.

Απόστιχα Σταυρώσιμα

Όπλον αήττητον Χριστέ, τόν Σταυρόν σου ημίν δέδωκας, καί εν τούτω νικώμεν, τάς προσβολάς τού αλλοτρίου.

Στίχ. Α'. Πρός σέ ήρα τούς οφθαλμούς μου, τόν κατοικούντα εν τώ ουρανώ. Ιδού, ως οφθαλμοί δούλων εις χείρας τών κυρίων αυτών, ως οφθαλμοί παιδίσκης εις χείρας τής κυρίας αυτής, ούτως οι οφθαλμοί ημών πρός Κύριον τόν Θεόν ημών, έως ού οικτιρήσαι ημάς.

Πάντοτε έχοντες Χριστέ, τόν Σταυρόν σου εις βοήθειαν, τάς παγίδας τού εχθρού, ευχερώς καταπατούμεν.

Μαρτυρικόν

Στίχ. Β'. Ελέησον ημάς, Κύριε, ελέησον ημάς, ότι επί πολύ επλήσθημεν εξουδενώσεως, επί πλείον επλ ήσθη η ψυχή ημών, τό όνειδος τοίς ευθηνούσι, καί η εξουδένωσις τοίς υπερηφάνοις.

Ο ενδοξαζόμενος, εν ταίς μνείαις τών Αγίων σου, Χριστέ ο Θεός, υπ' αυτών δυσωπούμενος, κατάπεμψον ημίν τό μέγα έλεος.

Δόξα... Καί νύν... Σταυροθεοτοκίον

Ο εξ Υψίστου κληθείς

Μή εποδύρου μου Μήτερ καθορώσα, εν ξύλω κρεμάμενον, τόν σόν Υιόν καί Θεόν, τόν εφ' υδάτων κρεμάσαντα, τήν γήν ασχέτως, καί πάσαν κτίσιν δημιουργήσαντα, καί γάρ αναστήσομαι, καί δοξασθήσομαι, καί τά τού Άδου βασίλεια, συντρίψω σθένει, καί αφανίσω τούτου τήν δύναμιν, καί τούς δεσμίους εκλυτρώσομαι, τής αυτού κακουργίας ως εύσπλαγχνος, καί Πατρί τώ ιδίω, προσαγάγω ως φιλάνθρωπος.

Μετά τήν α' Στιχολογίαν

Καθίσματα Σταυρώσιμα

Ήχος δ'

Εξηγόρασας ημάς, εκ τής κατάρας τού νόμου, τώ τιμίω σου αίματι, τώ Σταυρώ προσηλωθείς, καί τή λόγχη κεντηθείς, τήν αθανασίαν επήγασας ανθρώποις. Σωτήρ ημών δόξα σοι.

Αυτόμελον

Ο υψωθείς εν τώ Σταυρώ εκουσίως, τή επωνύμω σου καινή πολιτεία, τούς οικτιρμούς σου

δώρησαι Χριστέ ο Θεός, εύφρανον εν τή δυνάμει σου, τούς πιστούς Βασιλείς ημών, νίκας χορηγών αυτοίς, κατά τών πολεμίων, τήν συμμαχίαν έχοιεν τήν σήν, όπλον ειρήνης, αήττητον τρόπαιον.

Δόξα... Καί νύν...

Σταυροθεοτοκίον

Τήν εθελούσιον σφαγην τού Δεσπότου, κατανοούσα η Άγνη καί Παρθένος, οδυρομένη έλεγε δακρύουσα. Τέκνον ποθεινότατον, πώς θανείν ηρετίσω; πώς δέ τεθανάτωσαι, τών κακούργων εν μέσω, ο κατά φύσιν δίκαιος Θεός; Δοξολογώ σου, Υιέ τό μακρόθυμον.

Μετά τήν β' Στιχολογίαν

Καθίσματα Σταυρώσιμα

Ταχύ προκατάλαβε, πρίν δουλωθήναι ημάς, εχθροίς βλασφημούσί σε, καί απειλούσιν ημίν, Χριστέ ο Θεός ημών, άνελε τώ Σταυρώ σου, τούς ημάς πολεμούντας, γνώτωσαν πώς ισχύει, Ορθοδόξων η Πίστις, πρεσβείαις τής Θεοτόκου, μόνε φιλάνθρωπε.

Όμοιον

Σταυρώ σε προσήλωσαν, οι Ιουδαίοι Σωτήρ, δι' ού εκ τών εθνών ημάς, ανεκαλέσω ποτέ, Χριστέ ο Θεός ημών, έτεινας τάς παλάμας, εν αυτώ τή βουλή σου, λόγχη δέ τήν πλευράν σου, κατεδέξω νυγήναι, τώ πλήθει τών οικτιρμών σου, μόνε φιλάνθρωπε.

Δόξα... Καί νύν...

Σταυροθεοτοκίον

Παρθένε Πανάμωμε, Μήτηρ Χριστού τού Θεού, ρομφαία διήλθέ σου, τήν παναγίαν ψυχήν, ηνίκα σταυρούμενον, έβλεψας εκουσίως, τόν Υιόν καί Θεόν σου, όν περ ευλογημένη, δυσωπούσα μή παύση, συγχώρησιν πταισμάτων, ημίν δωρήσασθαι.

Μετά τήν γ' Στιχολογίαν

Καθίσματα Σταυρώσιμα

Ταχύ προκατάλαβε

Σταυρόν καί τόν θάνατον, υπέρ ημών αγαθέ, δι' άμετρον έλεος, εκών υπέμεινας, καί κρίσιν τήν άδικον, όπως τής καταδίκης, καί αρχαίας κατάρας, πάντας ελευθερώσης, τούς απάτη φθαρέντας, διό σου προσκυνούμεν, Λόγε τήν Σταύρωσιν.

Μαρτυρικόν

Σήμερον τά τών Αγγέλων στρατεύματα, εν τή μνήμη τών Αθλοφόρων παραγέγονε, τάς τών πιστών διανοίας φωτίσαι, καί τήν οικουμένην τή χάριτι φαιδρύναι, δι' αυτών ο Θεός δυσωπούμενος, δώρησαι ημίν τό μέγα έλεος.

Δόξα... Καί νύν... Σταυροθεοτοκίον

Ταχύ προκατάλαβε

Σταυρώ σε υψούμενον, ως εθεάσατο η Άχραντος Μήτηρ σου, Λόγε Θεού μητρικώς, θρηνούσα εφθέγγετο. Τί τό καινόν καί ξένον, τούτο θαύμα Υιέ μου πώς η ζωή τών όλων, ομιλείς τώ θανάτω; ζωώσαι τούς θανόντας, θέλων ως εύσπλαγχνος;

Κανών Σταυρώσιμος, ού η Ακροστιχίς.

Σταυρώ παγείς ο Χριστός, τήν πλάνην λύει. Ιωσήφ.

Ωδή α'  Ήχος δ'

Ο Ειρμός

Ανοίξω τό στόμα μου, καί πληρωθήσεται Πνεύματος, καί λόγον ερεύξομαι, τή βασιλίδι Μητρί, καί Οφθήσομαι, φαιδρώς πανηγυρίζων, καί άσω γηθόμενος, ταύτης τά θαύματα.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Σταυρώ διεπέτασας, θείας παλάμας μακρόθυμε, καί τόν απολλύμενον, κόσμον εκάλεσας, πρός επίγνωσιν, τού κράτους σου οικτίρμον, όθεν μεγαλύνομεν, τήν ευσπλαγχνίαν σου.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Τόν όφιν ανύψωσεν, ο Μωϋσής εικονίζοντα, τήν θείαν σου σταύρωσιν, Λόγε προάναρχε, δι' ής

πέπτωκεν, ο ιοβόλος όφις, τού πτώματος πρόξενος, Αδάμ γενόμενος.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Αγίων λαμπρότητας, νύν κατοικείν ηξιώθητε, ασάλευτον Μάρτυρες, παραλαβόντες σαφώς, ως εδήλωσεν, ο Παύλος Βασιλείαν, καί δόξης συμμέτοχοι, Χριστού γεγόνατε.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Υψούμενα κύματα, τών ανυποίστων κολάσεων, υμών ουκ εβύθισε, τό σκάφος Μάρτυρες, κυβερνήσει γάρ, τού πάντων Βασιλέως, λιμένας εφθάσατε, τής αναπαύσεως.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ρομφαία ως έφησεν, ο Συμεών τήν καρδίαν σου, διήλθεν ως έβλεψας, Χριστόν σταυρούμενον, μόνον Δέσποινα, νυττόμενον τή λόγχη, όθεν αλαλάζουσα, πόνους υπέφερες.

Κανών τής Υπεραγίας Θεοτόκου

Ποίημα Θεοφάνους

Ειρμός ο αυτός

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ο ών φύσει ακτιστος, καί τώ Πατρί συναϊδιος, καί χρόνων υπέρτερος, καί προαιώνιος, εκ σού Δέσποινα, κτιστός καί υπό χρόνον, ως άνθρωπος γίνεται, σώζων τόν άνθρωπον.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σύ μόνη Θεόνυμφε, τόν εν υψίστοις καθήμενον, αγκάλαις εβάστασας, σάρκα γενόμενον, σύ γάρ πέφηνας, εκ πάντων τών αιώνων, δοχείον επάξιον, τού Παντοκράτορος.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Μαρίαν τήν Άχραντον, δεύτε υμνήσωμεν άπαντες, ως μόνην κυήσασαν, Χριστόν τόν Κύριον, τόν καινίσαντα, τήν ανθρωπίνην φύσιν, Παρθένον τε μείνασαν αδιαλώβητον.

## Ωδή γ'

Ο Ειρμός

Τούς σούς υμνολόγους Θεοτόκε, ως ζώσα καί άφθονος πηγή, θίασον συγκροτήσαντας, πνευματικόν στερέωσον, καί εν τή θεία δόξη σου, στεφάνων δόξης αξίωσον.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ως πρόβατον είλκε πρός σφαγήν σε, λαός ο παράνομος Χριστέ, Αμνόν Θεού υπάρχοντα, καί θέλοντα λυτρώσασθαι, λύκου πικρού τά πρόβατα, ά φιλανθρώπως ηγάπησας.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Παρέστης κριτός κριτή αδίκω, ο κρίνων δικαίως πάσαν γήν, καί ήνεγκας ραπίσματα, ελευθερώσαι θέλων με, δεδουλωμένον Κύριε, τώ πονηρώ κοσμοκράτορι.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Αθλήσαντες Άγιοι νομίμως, ανόμους ησχύνατε εχθρούς, καί γνώμη θανατούμενοι, διά τήν πάντων έγερσιν, τόν τού θανάτου πρόξενον, κατεπαλαίσατε δράκοντα.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Γήθεν ανυψώθησαν ευκλείας, ήδη επιβάντες αληθούς, μαρτυρικώς οι Μάρτυρες, καί ταίς αϋλοις Τάξεσιν, οι υλικοί ηνώθησαν, χαράς αρρήτου πληρούμενοι.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Εκ σού η ανάπλασις τής Εύας, ωράθη Παρθένε αληθώς, Θεός σαρκί τικτόμενος, καί εν Σταυρώ υψούμενος, καί καταράσσων δαίμονας, θεοχαρίτωτε Δέσποινα.

Κανών τής Θεοτόκου

Ο Ειρμός

Ουκ εν σοφία, καί δυνάμει καί πλούτω καυχώμεθα, αλλ' εν σοί τή τού Πατρός, ενυποστάτω σοφία Χριστέ, ου γάρ εστιν Άγιος, πλήν σου φιλάνθρωπε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ο διαπλάσας, κατ' αρχάς εκ χοός με τόν άνθρωπον, πλαστουργείται δι' εμέ, εν τή γαστρί σου Πανάμωμε, τήν πάλαι κατάπτωσιν, επανορθούμενος.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Κράτος θανάτου, καί κατάρας αρχαίας απόφασιν, συλλαβούσα τήν ζωήν, Θεογεννήτορ κατήργησας, διό σου τήν άχραντον, σέβομεν γέννησιν.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σέ προστασίαν, ασφαλή Θεομήτορ κεκτήμεθα, τάς ελπίδας επί σοί, ανατιθέντες σωζόμεθα, πρός σέ καταφεύγοντες, περιφρουρούμεθα.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σέ τήν τεκούσαν, τόν Θεόν Θεοτόκον δοξάζομεν, τώ γεννήματι τώ σώ, προσηγορίαν αρμόζοντες, καί κλήσιν κατάλληλον, Πάναγνε Δέσποινα.

Ωδή δ'

Ο Ειρμός

Τήν ανεξιχνίαστον θείαν βουλήν, τής εκ τής Παρθένου σαρκώσεως, σού τού Υψίστου, ο Προφήτης, Αββακούμ, κατανοών εκραύγαζε. Δόξα τή δυνάμει σου Κύριε.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ίνα απολύσης με εκ τών δεσμών, τών τής αμαρτίας φιλάνθρωπε, εθελουσίως εδεσμεύθης καί Σταυρώ, ώσπερ κακούργος τέθνηκας. Δόξα τή πολλή ευσπλαγχνία σου.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Στίγματα υπήνεγκας Λόγε Θεού, καί τόν επονείδιστον θάνατον, αθανατίζων, τήν ουσίαν τών βροτών, θανατωθείσαν πάθεσι. Δόξα τή πολλή ευσπλαγχνία σου.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Οι τήν αγαλλίασιν τήν τού Θεού, μέλλοντες κληρούσθαι εν Πνεύματι, τώ Παναγίω, αγαλλόμενοι ψυχή, τούς αικισμούς υπήνεγκαν, καί τόν βιαιότατον θάνατον.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Χείρας αφαιρούμενοι καί κεφαλάς, γλώσσάν τε κοπτόμενοι Μάρτυρες, τήν θεολόγον, καί στερούμενοι φωτός, καί μεληδόν τεμνόμενοι, άτμητοι Χριστώ διεμείνατε.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ρήγνυται χειρόγραφον τό τού Αδάμ, λόγχη νυττομένου σου Δέσποτα, η Θεοτόκος, ανεβόα τώ Σταυρώ, παρισταμένη Κύριε, καί Οδυνηρώς αλαλάζουσα.

Κανών τής Θεοτόκου

Ο Ειρμός

Ο καθήμενος εν δόξη, επί θρόνου θεότητος, εν νεφέλη κούφη, ήλθεν Ιησούς ο υπέρθεος, τή ακηράτω παλάμη καί διέσωσε, τούς κραυγάζοντας, δόξα Χριστέ τή δυνάμει σου.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ωραιώθης υπέρ πάσαν, των Αγγέλων ευπρέπειαν, ως τεκούσα τούτων, Κόρη ποιητήν τε καί Κύριον, εκ σών αχράντων αιμάτων σωματούμενον, τόν ρυόμενον, πάντας αυτόν τούς δοξάζοντας.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ρύπον πάντα τής προτέρας, αποθέμενοι βρώσεως, τής ζωής τόν άρτον, τόν εξ ουρανού σιτιζόμεθα, τόν εκ τής γής τής Παρθένου ανατείλαντα, ήν ως πρόξενον, τών αγαθών ανυμνήσωμεν.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Η αγία Θεοτόκος, η σκηνή η αμόλυντος, τού φωτός η πύλη, τράπεζα καί στάμνος η πάγχρυσος, τό αλατόμητον όρος καί κατάσκιον, η χωρήσασα, τόν πλαστουργόν μακαρίζεται.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Χαρισμάτων σου τά ρείθρα, καί πηγαί τών ιάσεων, καί τού θείου πλούτου, αί διανομαί διαδίδονται, ζωαρχικής εκ παλάμης Θεονύμφευτε, τού τεχθέντος, εκ τής σής γαστρός Παντοκράτορος.

Ωδή ε'

Ο ΕΙρμός

Εξέστη τά σύμπαντα, επί τή θεία δόξη σου, σύ γάρ απειρόγαμε Παρθένε, έσχες εν μήτρα, τόν επί πάντων Θεόν, καί τέτοκας άχρονον Υιόν, πάσι τοίς υμνούσί σε, σωτηρίαν βραβεύοντα.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ιδών σε ο ήλιος, επί Σταυρού υψούμενον, Δέσποτα συνέστειλεν ακτίνας, φαίνειν μή σθένων, σού Σώτερ δύναντος, καί φωταγωγούντος τούς νυκτί, τής πλάνης καθεύδοντας, προσκυνούντας τό κράτος σου.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Σταυρούσαι καί σώζεις με, δι' ευσπλαγχνίαν Κύριε, όξους καί χολής δέχη τήν γεύσιν, τής ενηδόνου, απολυτρούμενος, γεύσεως ημάς ως αγαθός, δι' ής ηπατήθημεν, καί φθορά υπεπέσαμεν.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Τής πλάνης ελύσατε, χειμώνα θείοι Μάρτυρες, Πνεύματος αγίου επιθάλψει, καί πρός τό έαρ, τής

αναπαύσεως, χαίροντες εφθάσατε ομού, πάντων προϊστάμενοι, υπαρχόντων εν θλίψεσιν.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Όμβροις θείου αίματος, τήν γήν πάσαν ηρδεύσατε, εναποξηράναντες τούς όμβρους, τής αθεϊας, άγιοι Μάρτυρες, όθεν πρός τό ύδωρ τής ζωής, νύν κατεσκηνώσατε, υπέρ πάντων πρεσβεύοντες.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σαρκί όν εκύησας, Χριστόν θεοχαρίτωτε, ξύλω αναρτώμενον ως είδες, θρήνων επλήσθης, καί τό μακρόθυμον, τούτου κατεπλήττου αληθώς, όθεν εμεγάλυνες, τήν αυτού συγκατάβασιν.

Κανών τής Θεοτόκου

Ο Ειρμός

Ασεβείς ουκ όψονται, τήν δόξαν σου Χριστέ, αλλ' ημείς σε μονογενές, πατρικής απαύγασμα, δόξης θεότητος, εκ νυκτός ορθρίζοντες, ανυμνούμέν σε φιλάνθρωπε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ανατείλας Ήλιος εκ σού ο νοητός, τηλαυγείς τάς μαρμαρυγάς, τής αυτού θεότητος, πάσιν εφήπλωσε, Θεοτόκε Δέσποινα, διό πάντες σε δοξάζομεν.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Αληθή Θεόν ημίν τεκούσαν σαρκικώς, Πατρός τόν μονογενή, Θεοτόκον πάναγνον, σέ ονομάζομεν, τήν φωνήν κατάλληλον, προσαρμόζοντες τώ τόκω σου.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Συμφυής καί σύμμορφος υπάρχων τώ Πατρί, ο Υιός ο μονογενής, τοίς ανθρώποις γέγονεν, θέλων ομόφυλος, σαρκωθείς ο Ύψιστος, εκ γαστρός σου Μητροπάρθενε.

Ωδή ς'

Ο Ειρμός

Τήν θείαν ταύτην καί πάντιμον, τελούντες εορτήν οι θεόφρονες, τής Θεομήτορος, δεύτε τάς χείρας κροτήσωμεν, τόν εξ αυτής τεχθέντα, Θεόν δοξάζοντες.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Τοίς πόνοις ούς περ υπέμεινας, σταυρούμενος τούς πόνους κατέπαυσας, τής ανθρωπότητος, καί πρός τήν άπονον άπαντας, διαγωγήν μετάγεις, εύσπλαγχνε Κύριε.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ηλίου σέλας εκρύπτετο, ναού δέ η φαιδρότης ερρήγνυτο, γή κατεσείετο, πέτραι σύν φόβω εσχίζοντο, επί Σταυρού τόν Κτίστην, οράν μή σθένουσαι.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Νεκρός ο όφις εγένετο, βασάνοις νεκρουμένους Θεώμενος, τούς θείους Μάρτυρας, καί τήν ζωήν τήν αιώνιον, κληρονομούντας όντως, τή θεία χάριτι.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Πολλάς βασάνους υπέστητε, πολλών καί τών επάθλων ετύχετε, πολυαρίθμητα, πλήθη Μαρτύρων αείζωα, διό τά τών κακών μου, πλήθη μειώσατε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Λιμήν γενού μοι Πανάμωμε, πελάγει τών δεινών θαλαττεύοντι, η ναυαγήσασαν, πάσαν τήν φύσιν τώ τόκω σου, Θεογεννήτορ Κόρη, νύν διασώσασα.

Κανών τής Θεοτόκου

Ο Ειρμός

Εβόησε, προτυπών τήν ταφήν τήν τριήμερον, ο Προφήτης, Ιωνάς εν τώ κήτει δεόμενος, Εκ φθοράς με ρύσαι, Ιησού βασιλεύ τών δυνάμεων.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Αγνείας σε, καθαρόν ευρηκώς ενδιαίτημα, εν γαστρί σου, καθαρώς ο Δεσπότης εσκήνωσεν, εκκαθάραι θέλων, τών ανθρώπων Παρθένε τό φύραμα.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ουράνωσας, γεωθείσαν τήν φύσιν Πανάμωμε, τών ανθρώπων, καί φθαρείσαν αυτήν εκαινούργησας, διά τούτο μόνην, ασιγήτοις φωναίς σε γεραίρομεν.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Συνέλαβες, εν γαστρί Θεομήτορ τόν άναρχον, Θεόν Λόγον, δι' ημάς τούς ανθρώπους γενόμενον, καθ' ημάς ατρέπτως, εν δυσί γνωριζόμενον φύσεσιν.

Ωδή ς'

Ο Ειρμός

Ουκ ελάτρευσαν, τή κτίσει οι θεόφρονες, παρά τόν κτίσαντα, αλλά πυρός απειλήν, ανδρείως πατήσαντες, χαίροντες έψαλλον. Υπερύμνητε, ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ανετράπη, ο πολέμιος καί βέβληται, πτώμα εξαίσιον, ανυψωθέντος Χριστού, εν ξύλω, καί σέσωσται, ο πρίν κατάκριτος, εκβοών αυτώ, ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Νεκρωθέντα, διά ξύλου με εθέωσας, θανών εν ξύλω Χριστέ, καί θείοις τραύμασι σοίς, ιάσω τά τραύματα, τά τής καρδίας μου. Υπερύμνητε, ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ηφανίζετο, τά σώματα πληττόμενα, απείροις μάστιξιν, αλλ' όντως τό ευπρεπές, ψυχής ωραιότερον, υμών εδείκνυτο, Χριστομάρτυρες, αεί βοώντων. Κύριε, ο Θεός ευλογητός εί.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ναυαγήσας, ο πολέμιος τοίς αίμασιν, υμών απώλετο, σύν μυριάσιν αυτού, υμείς δέ πανεύφημοι, Μάρτυρες χαίροντες, ανεμέλπετε, ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νύμφη άμωμος, παλάτιον τού κτίσαντος, θρόνος πυρίμορφος, καί αγεώργητος γή, εδείχθης Πανάμωμε, όθεν βοώμέν σοι. Χαίρε Δέσποινα, η τούς βροτούς Θεώσασα, θεϊκή κυοφορία.

Κανών τής Θεοτόκου

Ο Ειρμός

Ο διασώσας εν πυρί, τούς Αβραμιαίους σου Παίδας, καί τούς Χαλδαίους ανελών, οίς αδίκως δικαίους ενήδρευσαν, υπερύμνητε Κύριε, ο Θεός ο τών Πατέρων ευλογητός εί.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ανακαλούμενος ημάς, αιχμαλωτισθέντας Παρθένε, ο Λόγος ο ών εν αρχή, εν γαστρί σου σκηνώσας σεσάρκωται, ο φιλάνθρωπος Κύριος, ο Θεός ο τών Πατέρων ευλογημένος.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Πύλη εφάνης νοητή, τής Ανατολής τής εξ ύψους, επιφανείσης επί γής, τοίς ανθρώποις εκ σού Θεονύμφευτε, υπέρ λόγον καί έννοιαν, τού Θεού τού τών Πατέρων ευλογημένου.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Πεποικιλμένη αρεταίς, τού παμβασιλέως παρεστης, εκ δεξιών τού εκ τών σών, σαρκωθέντος αιμάτων Ανύμφευτε, εκτενώς ικετεύουσα, λυτρωθήναι από πάσης ημάς ανάγκης.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ρήξον πταισμάτων τάς σειράς, τή σή μητρική παρρησία, τών ευσεβώς τε καί πιστώς, μελωδούντων Παρθένε τώ Τόκω σου. Υπερύμνητε Κύριε, ο Θεός ο τών Πατέρων ευλογητός εί.

Ωδή η'

Ο Ειρμός

Παίδας ευαγείς εν τή καμίνω, ο τόκος τής Θεοτόκου διεσώσατο, τότε μέν τυπούμενος, νύν δέ ενεργούμενος, τήν οικουμένην άπασαν, αγείρει ψάλλουσαν. Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Λύεις τών δεσμών με τών χρονίων, εν χρόνω ο άχρονος γενόμενος, δεθείς δέ θελήματι, καί τόν υπερήφανον, δεσμοίς αλύτοις Δέσποτα, παραπεμψάμενος, σώζεις με Σταυρώ καί τώ πάθει, όθεν ευλογώ σε, Χριστέ εις τούς αιώνας.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Υψώθης εν ξύλω εκουσίως, καί πάσαν τήν κτίσιν συνανύψωσας, Λόγε υπερύμνητε, άναρχε αόρατε, ο τάς αρχάς του σκότους τε, καί εξουσίας Χριστέ, τώ πάθει σου παραδειγματίσας, όθεν σε υμνούμεν, εις πάντας τούς αιώνας.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Επέβητε αίμασιν οικείοις, ώς άρματι Μάρτυρες παγκόσμιοι, καί πρός υπερκόσμια, ήρθητε σκηνώματα, παρά Χριστού επάξια, γέρα λαμβάνοντες, καί Κύριον υμνείτε βοώντες, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ικρίω υψούμενοι καί βόθρω, ριπτόμενοι θηρσί τε διδόμενοι, πυρί τε καί ύδατι, διαμεριζόμενοι, οι αθλοφοροι Μάρτυρες, χαίροντες έψαλλον. Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ιδούσα υπνώσαντα εν ξύλω, τόν πάσιν εγρήγορσιν παρέχοντα, θείαν καί σωτήριον, Μήτηρ η Πανάμωμος, αλαλαγμώ ωδύρετο καί ανεκραύγαζε. Τί τούτο τό καινότατον θαύμα; ο ζωοποιήσας, τά πάντα θνήσκει θέλων.

Κανών τής Θεοτόκου
Ειρμός ο αυτός

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Απάσαις απρόσιτος υπάρχων, ο Κτίστης ταίς ανωτέραις Κόρη τάξεσιν, ώκησε τήν μήτραν σου, άφλεκτον τηρήσας σε, καί μετά τόκον ώ νύν κραυγάζομεν. Τόν άφθορον, Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Μώμων καθαρά καί μολυσμάτων, καί πάσης αγιωσύνης ούσα τέμενος, Λόγον τόν πανάγιον, πάντας αγιάζοντα, καί τώ Πατρί συνάναρχον, εκυοφόρησας, διό σε τήν Παρθένον υμνούμεν, καί υπερυψούμεν, εις πάντας τούς αιώνας.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Στόματι καί γνώμη Θεοτόκον, φρονούντες ομολογούμέν σε Πανάμωμε, τέτοκας γάρ Πάναγνε, σάρκα περιθέμενον, τόν Ποιητήν καί Κύριον, καί Βασιλέα Χριστόν, διό σε τήν Παρθένον υμνούμεν, καί υπερυψούμεν, εις πάντας τούς αιώνας.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σέ τήν κιβωτόν τήν παναγίαν, τήν επισκιαζομένην θείω Πνεύματι, τήν τόν προαιώνιον, Λόγον καί αϊδιον, δι' ευσπλαγχνίαν άφατον, ενανθρωπήσαντα, τεκούσαν Θεοτόκον υμνούμεν, καί υπερυψούμεν, εις πάντας τούς αιώνας.

Ωδή θ'
Ο Ειρμός

Άπας γηγενής, σκιρτάτω τώ πνεύματι λαμπαδουχούμενος, πανηγυριζέτω δέ, αύλων Νόων φύσις γεραίρουσα, τήν ιερά θαυμάσια τής Θεομήτορος, καί βοάτω. Χαίροις παμμακάριστε, Θεοτόκε Αγνή αειπάρθενε.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ίστασο κριτός, ο κρίναι τά σύμπαντα, μέλλων φιλάνθρωπε, στέφος ανεδήσω δέ, εθελουσίως, Σώτερ ακάνθινον, παρακοής τήν άκανθαν, Χριστέ προθέλυμνον, υπεκτίλλων, πάσιν εμφυτεύων τε, τήν τής σής ευσπλαγχνίας επίγνωσιν.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ω πώς ο λαός, ο άδικος δίκαιον, όντα καί άμεμπτον, φθόνω σκοτιζόμενος, σέ φωτοδότα, Σταυρώ προδίδωσιν! ού περ τό πάθος ήλιος, Ορών σκοτίζεται, καί φαιδρότης, Ναού διαρρήγνυται, καί δονείται τής γής τά θεμέλια.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Σύμμορφοι παθών, Χριστού χρηματίζετε, άγιοι Μάρτυρες, καί συγκληρονόμοι δέ, τής βασιλείας, καί τής λαμπρότητος, διό φωταγωγήσατε, τούς υμνωδούς υμών, αμαρτίας, ζόφου απαλλάττοντες, καί ποικίλων σοφοί περιστάσεων.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ήδη πρός αυτά, σοφοί τά ουράνια, κατεσκηνώσατε, δόξης τε λαβόμενοι, τής αϊδίου, καί ταίς μεθέξεσι, ταίς ιεραίς Θεούμενοι, μέμνησθε πάν πίστει τήν των ημών, τών τιμώντων, πανίερον, καί σεπτήν υμών μνήμην πανεύφημοι.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φώτισον Αγνή, τούς πόθω υμνούντάς σε, καί μεγαλύνοντας, λύσον τών παθών ημών, τό σκότος Κόρη, παύσον τόν κλύδωνα, τού πονηρού τά σκάνδαλα, εκ μέσου ποίησον, τούς τής Άγαρ, γόνους καθυπόταξον, Βασιλεί ευσεβεί ταίς πρεσβείαις σου.

Κανών τής Θεοτόκου

Ο Ειρμός

Εύα μέν τώ τής παρακοής νοσήματι, τήν κατάραν εισωκίσατο, σύ δέ παρθένε Θεοτόκε, τώ τής κυοφορίας βλαστήματι, τώ κόσμω τήν ευλογίαν εξήνθησας, όθεν σε πάντες μεγαλύνομεν.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Άνθρακα τόν νοητόν Αγνή θεόνυμφε, Ησαϊας όν τεθέαται, φέρεις αγκάλαις Θεοτόκε, μορφή τή ημετέρα ενούμενον, καί κόσμω σωτηρίαν πυρσεύοντα, όθεν σε πάντες μεγαλύνομεν.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σύμβολα Πανάμωμε τής σής γεννήσεως, οι Προφήται προεκήρυξαν, πόρρωθεν ταύτα μυηθέντες καί θεία επιπνοία τού Πνεύματος, τώ κόσμω διαπρυσίως κηρύξαντες, ών τάς εκβάσεις νύν θαυμάζομεν.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ωραίος τώ κάλλει ο καρπός καί έκλαμπρος, παρά πάντας τής κοιλοίας σου, σύ γάρ Παρθένε Θεοτόκε, Θεόν σεσαρκωμένον εγέννησας φανέντα, διά τό σώσαι τόν άνθρωπον, όθεν σε πάντες μεγαλύνομεν.

Απόστιχα τών Αίνων Σταυρώσιμα

Τείχος ημίν γένοιτο ο Σταυρός σου, Ιησού Σωτήρ ημών, άλλην γάρ ελπίδα οι πιστοί ουκ έχομεν, ειμή σέ τόν εν αυτώ σαρκί προσηλωθέντα, καί παρέχοντα ημίν τό μέγα έλεος.

Αυτόμελον

Στίχ. α'. Ενεπλήσθημεν τό πρωϊ τού ελέους σου, Κύριε, καί ηγαλλιασάμεθα καί ηυφράνθημεν έν πάσαις ταίς ημέραις ημών. Ευφρανθείημεν, ανθών ημερών εταπείνωσας ημάς, ετών, ών είδομεν κακά, καί ίδε επί τούς δούλους σου καί επί τά έργα σου, καί οδήγησον τούς υιούς αυτών.

Έδωκας σημείωσιν, τοίς φοβουμένοις σε Κύριε, τόν Σταυρόν σου τόν τίμιον, δι' ού εθριάμβευσας, τάς αρχάς τού σκότους, καί τάς εξουσίας, καί επανήγαγες ημάς, εις τήν αρχαίαν μακαριότητα, διό σου τήν φιλάνθρωπον, οικονομίαν δοξάζομεν, Ιησού παντοδύναμε, ο Σωτήρ τών ψυχών ημών.

Μαρτυρικόν

Στίχ. β'. Καί έστω η λαμπρότης Κυρίου τού Θεού ημών εφ' ημάς, καί τά έργα τών χειρών ημών κατεύθυνον εφ' ημάς, καί τό έργον τών χειρών ημών κατεύθυνον.

Τίς ουκ εξίσταται ορών, άγιοι Μάρτυρες, τόν αγώνα τόν καλόν, όν ηγωνίσασθε; πώς εν σώματι όντες, τόν ασώματον εχθρόν ετροπώσασθε; Χριστόν ομολογήσαντες, τώ Σταυρώ οπλισάμενοι, όθεν επαξίως ανεδείχθητε, δαιμόνων φυγαδευταί, καί βαρβάρων πολέμιοι, απαύστως πρεσβεύοντες, σωθήναι τάς ψυχάς ημών.

Δόξα... Καί νύν... Σταυροθεοτοκίον

Ως γενναίον έν Μάρτυσι

Ως εώρακε Κύριε, η Παρθένος καί Μήτηρ σου, εν Σταυρώ κρεμάμενον, εξεπλήττετο, καί ατενίζουσα έλεγεν. Υιέ ποθεινότατε, πώς εν ξύλω τού Σταυρού, ανηρτήθης μακρόθυμε; πώς τάς

χείράς σου, καί τούς πόδας σου Λόγε προσηλώθης, υπ' ανόμων καί τό αίμα, τό σόν εξέχεας Δέσποτα;

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

### Οι Μακαρισμοί

Μακάριοι οι ειρηνοποιοί, ότι αυτοί υιοί Θεού κληθήσονται.

Διά ξύλου ο Αδάμ, Παραδείσου γέγονεν άποικος, διά ξύλου δέ Σταυρού, ο Ληστής Παράδεισον ώκησεν, ο μέν γάρ γευσάμενος, εντολήν ηθέτησε τού ποιήσαντος, ο δέ συσταυρούμενος, Θεόν ωμολόγησε τόν κρυπτόμενον. Μνήσθητί μου βοών εν τή Βασιλεία σου.

Μακάριοι οι δεδιωγμένοι ένεκεν δικαιοσύνης, ότι αυτών εστιν η βασιλεία τών ουρανών.

Καθορώσαι σε Σταυρώ, τεταμένον μόνε Μακρόθυμε, αι Δυνάμεις ουρανών, απορούσαι τρόμω εξίσταντο, η γή εκυμαίνετο, καί φωστήρων κάλλος εναπεσβέννυτο. Αδάμ ο κατάκριτος, αδίκως φιλάνθρωπε κρινομένου σου, εδικαιούτο υμνών σου τήν αγαθότητα.

Μακάριοί εστε όταν ονειδίσωσιν υμάς, καί διώξωσι, καί είπωσι πάν πονηρόν ρήμα καθυμών ψευδόμενοι ένεκεν εμού.

Εν τώ Κρανίω υψωθείς, τού εχθρού τήν κάραν συνέτριψας, επί ξύλου δέ θανών, τούς καρπώ τού ξύλου τεθνήξαντας, εζώωσας Δέσποτα, καί Παραδείσου πολίτας έδειξας, απαύστως υμνούντάς σε, Χριστέ ο Θεός ημών καί βοώντάς σοι. Μνήσθητι καί ημών εν τή Βασιλεία σου.

### Μαρτυρικόν

Χαίρετε καί αγαλλιάσθε, ότι ο μισθός υμών πολύς εν τοίς ουρανοίς.

Ώσπερ όπλον τόν Σταυρόν, αναλαβόντες άγιοι Μάρτυρες, πρός παράταξιν εχθρών, λογισμώ γενναίω εξήλθετε, καί τούτους ολέσαντες, αφθαρσίας στέφανον ανεδήσασθε, καί δόξης ετύχετε, καί θείας λαμπρότητος αξιάγαστοι, όθεν πίστει υμάς πάντες μακαρίζομεν.

### Δόξα...

Ίνα δείξης εμφανώς, τήν πρός ημάς Σωτήρ ευσπλαγχνίαν σου, προσηλώθης τώ Σταυρώ, ο Πατρί συνών καί τώ Πνεύματι, καί σπόγγον καί κάλαμον, εμπαιγμούς καί μάστιγας καθυπέμεινας, βουλόμενος ρύσασθαι, πυρός αιωνίζοντος τούς κραυγάζοντας.
Μνήσθητι καί ημών εν τή Βασιλεία σου.

### Καί νύν... Θεοτοκίον

Ο αχώρητος παντί, αστενοχωρήτως κατώκησε, τήν αγίαν σου νηδύν, Θεογεννήτορ Άχραντε Δέσποινα, καί ξύλω νεκρούμενος, τήν ζωήν τώ κόσμω επήγασεν. Αυτόν ούν ικέτευε, νεκρώσαι τό φρόνημα τής σαρκός ημών, καί σώσαι ημάς πάντας ως φιλάνθρωπος.

top
4-7

### Στιχηρά Δεσποτικά Προσόμοια
### Ήχος δ'
### Ήθελον δάκρυσιν εξαλείψαι

Στίχ. α'. Εάν ανομίας παρατηρήσης, Κύριε, Κύριε τίς υποστήσεται; ότι παρά σοί ο ιλασμός εστιν.

Σύντριψον Κύριε ο Θεός μου, τά θανατηφόρα πάθη τά τής καρδίας μου, εάν γάρ σύ καταλύσης οίκον, τής σαρκός καί κτίσης οίκον τού πνεύματος, εις μάτην εστί φυλάσσων, ο πολεμών τήν ψυχήν μου, Κύριε, πρίν εις τέλος απόλωμαι, σώσόν με.

Στίχ. β'. Ένεκεν τού ονόματός σου υπέμεινά σε, Κύριε, υπέμεινεν η ψυχή μου εις τόν λόγον σου, ήλπισεν η ψυχή μου επί τόν Κύριον.

Δώρον καί μάστιγά μοι παιδείας, τόν εχθρόν Οικτίρμον πρός τό συμφέρον δέδωκας, τό γάρ κακόν αυτού συνεργεί μοι, προαιρέσει ουκ αγαθή εις καλόν, εγώ δέ σοι ου προσφεύγω, δι' ευχής ευχαρίστου. Κύριε, πρίν εις τέλος απόλωμαι, σώσόν με.

Στίχ. γ'. Από φυλακής πρωϊας μέχρι νυκτός, από φυλακής πρωϊας ελπισάτω Ισραήλ επί τόν Κύριον.

Πάθη καί θάνατον κατεδέξω, δι' εμέ ίνα παθών καί θανάτου φθοράς, ελευθερώσης ως ζωοδότης, καί τήν πρίν απάθειαν αποδώσης μοι, διό με κείμενον Σώτερ, τής αμαρτίας εν τάφω, έγειρον, πρίν αιώνιος θάνατος, λάβη με.

Έτερα τής Θεοτόκου όμοια

Στίχ. δ'. Ότι παρά τώ Κυρίω τό έλεος, καί πολλή παρ' αυτώ, λύτρωσις. καί αυτός λυτρώσεται τόν Ισραήλ έκ πασών τών ανομιών αυτού.

Δέσποινα, Δέσποινα λύτρωσαί με, από τών αισχρών καί ρυπαρών ενθυμήσεων, ότι μολύνουσι τής ψυχής μου, τάς αισθήσεις πάσας καί τάς τού σώματος, διό Αγνή δέομαί σου, εν μετανοία κραυγάζων. Δέσποινα, πρίν εις τέλος απόλωμαι, σώσόν με.

Στίχ. ε'. Αινείτε τόν Κύριον πάντα τά έθνη, επαινέσατε αυτόν, πάντες οι λαοί.

Οίμοι! τί γένωμαι, τί ποιήσω, δουλωθείς τοίς πάθεσιν από νεότητος; άρα δυνήσομαι κάν εν γήρα, καρπούς μετανοίας Χριστώ ενδείξασθαι; η γάρ συνήθεια μόνη, καί πρό τού πλάνου πλανά με. Δέσποινα, πρίν εις τέλος απόλωμαι, σώσόν με.

Στίχ. ς'. Ότι εκραταιώθη τό έλεος αυτού εφ' ημάς, καί η αλήθεια τού Κυρίου μένει εις τόν αιώνα.

Δάκρυα δίδου μοι Θεοτόκε, καί συντετριμμένην ποίησον τήν καρδίαν μου, εξομολόγησίν τε παράσχου, τών βεβιωμένων μοι παραπτώσεων, ίνα τή σή βοηθεία, εν μετανοία διέλθω, τόν τής ζωής μου χρόνον καί τύχω ανέσεως.

Δόξα... Καί νύν... Θεοτοκίον

Ο διά σέ θεοπάτωρ Προφήτης Δαυϊδ, μελωδικώς περί σού προανεφώνησε, τώ μεγαλειά σοι ποιήσαντι. Παρέστη η βασίλισσα εκ δεξιών σου. Σέ γάρ Μητέρα πρόξενον ζωής ανέδειξεν, ο απάτωρ εκ σού ενανθρωπήσαι ευδοκήσας Θεός, ίνα τήν εαυτού αναπλάση εικόνα, φθαρείσαν τοίς πάθεσι, καί τό πλανηθέν, ορειάλωτον ευρών πρόβατον, τοίς ώμοις αναλαβών, τώ Πατρί προσαγάγη, καί τώ ιδίω θελήματι, ταίς ουρανίαις συνάψη Δυνάμεσι, καί σώση Θεοτόκε τόν κόσμον Χριστός, ο έχων τό μέγα, καί πλούσιον έλεος.

Απόστιχα Μαρτυρικά

Ο τών αγίων Μαρτύρων, δεξάμενος τήν υπομονήν, καί παρ' ημών δέχου, τήν υμνωδίαν φιλάνθρωπε, δωρούμενος ημίν, ταίς αυτών ικεσίαις, τό μέγα έλεος.

Στίχ. Α'. Θαυμαστός ο Θεός εν τοίς αγίοις αυτού ο Θεός Ισραήλ αυτός δώσει δύναμιν καί κραραίωσιν τώ λαώ αυτού ευλογητός ο Θεός.

Έχοντες παρρησίαν, πρός τόν Σωτήρα Άγιοι, πρεσβεύσατε απαύστως, υπέρ ημών τών αμαρτωλών, άφεσιν πταισμάτων αιτούμενοι, καί ταίς ψυχαίς ημών τό μέγα έλεος.

Στίχ. Β'. Τοίς Αγίοις τοίς εν τή γή αυτού εθαυμάστωμεν πάντα τά θέλημα αυτού εν αυτοίς.

Ιερεία έμψυχα, ολοκαυτώματα λογικά, Μάρτυρες Κυρίου, θύματα τέλεια Θεού, Θεόν γινώσκοντα, καί Θεώ γινωσκόμενα, πρόβατα, ών η μάνδρα, λύκοις ανεπίβατος, πρεσβεύσατε καί ημάς, συμποιμανθήναι υμίν, επί ύδατος αναπαύσεως.

Νεκρώσιμον

Στίχ. Γ'. Μακάριοι ούς εξελέξω καί προσλάβω Κύριε.

Μετά πνευμάτων δικαίων, τετελειωμένων, τάς ψυχάς τών δούλων σου, Σώτερ ανάπαυσον, φυλάττων αυτάς, εις τήν μακαρίαν ζωήν, τήν παρά σοί φιλάνθρωπε.

Δόξα... Καί νύν... Θεοτοκίον

Έχοντές σε Θεοτόκε, ελπίδα καί προστασίαν, εχθρών επιβουλάς ου πτοούμεθα, ότι σώζεις τάς

ψυχάς ημών.

Μετά τήν α' Στιχολογίαν
Καθίσματα Μαρτυρικά
Ήχος δ' Ταχύ προκατάλαβε

Σταυρώ οπλισάμενοι, οι Αθλοφόροι σου, ενίκησαν τά μηχανήματα, τού αρχεκάκου εχθρού, Χριστέ ο Θεός ημών, έλαμψαν ως φωστήρες, τους βροτούς οδηγούντες, νέμουσι τάς ιάσεις, τοίς εν πίστει αιτούσιν. Αυτών ταίς ικεσίαις, σώσον τάς ψυχάς ημών.

Τών εν όλω τώ κόσμω Μαρτύρων σου, ως πορφύραν καί βύσσον τά αίματα, η Εκκλησία σου στολισαμένη, δι' αυτών βοά σοι Χριστέ ο Θεός. Τώ λαώ σου τούς οικτιρμούς σου κατάπεμψον, ειρήνην τή πολιτεία σου δώρησαι, καί ταίς ψυχαίς ημών τό μέγα έλεος.

Οι Μάρτυρές σου Κύριε, εν τή αθλήσει αυτών, στεφάνους εκομίσαντο, τής αφθαρσίας, εκ σού τού Θεού ημών, σχόντες γάρ τήν ισχύν σου, τούς τυράννους καθείλον, έθραυσαν καί δαιμόνων, τά ανίσχυρα θράση. Αυτών ταίς Ικεσίαις Χριστέ ο Θεός, σώσον τάς ψυχάς ημών.

Δόξα... Καί νύν... Θεοτοκίον

Τό απ' αιώνος απόκρυφον, καί Αγγέλοις άγνωστον μυστήριον, διά σού Θεοτόκε, τοίς επί γής πεφανέρωται, Θεός εν ασυγχύτω ενώσει σαρκούμενος, καί Σταυρόν εκουσίως υπέρ ημών καταδεξάμενος, δι' ού αναστήσας τόν πρωτόπλαστον, έσωσεν εκ θανάτου τάς ψυχάς ημών.

Μετά τόν Άμωμον
Κάθισμα Μαρτυρικόν

Σήμερον τά τών Αγγέλων στρατεύματα, εν τή μνήμη τών Αθλοφόρων παραγέγονε, τάς τών πιστών διανοίας φωτίσαι, καί τήν οικουμένην τή χάριτι φαιδρύναι, δι' αυτών ο Θεός δυσωπούμενος, δώρησαι ημίν τό μέγα έλεος.

Έτερα Νεκρώσιμα
Ταχύ προκατάλαβε

Ψυχάς άς μετέστησας, εκ τών προσκαίρων πρός σέ, ανάπαυσον Κύριε, ως Παντοδύναμος, καί μόνος αθάνατος, άνες άφες οικτίρμον, τά αυτοίς πεπραγμένα, ελέησον ελεήμον, τών χειρών σου τά έργα, πρεσβείαις τής Θεοτόκου, μόνε φιλάνθρωπε.

Τού βίου τό πρόσκαιρον, διαπεράσαντες, μετέστησαν Κύριε, πρός σέ τόν εύσπλαγχνον, πιστώς οι βιώσαντες, ούς περ επί τόν τόπον, τής ανέσεως τάξον, στήσον εκ δεξιών σου, εν ημέρα τής δίκης, τά τούτοις ημαρτημένα, παραβλεψάμενος.

Δόξα... Καί νύν... Θεοτοκίον όμοιον

Πιστών ιλαστήριον, σύ ανεδείχθης Αγνή, κοινόν καταφύγιον, καί μεσιτεία θερμή, Παρθένε Θεόνυμφε, όθεν καί τών εν πίστει, πρός Θεόν μεταστάντων, φάνηθινύν μεσίτις, καί σωτήριος πύλη, πρός πλάτος τού Παραδείσου, τούτους εισάγουσα.

Κανών εις πάντας τούς Αγίους, ού η Ακροστιχίς:
Φαιδρώς επαινώ τούς Θεού χρηστούς φίλους. Ιωσήφ.

Ωδή α' Ήχος δ'
Ο Ειρμός

Τριστάτας κραταιούς, ο τεχθείς εκ Παρθένου, απαθείας εν βυθώ, ψυχής τό τριμερές, καταπόντισον δέομαι, όπως σοι ως εν τυμπάνω, τή νεκρώσει τού σώματος, επινίκιον άσω μελώδημα.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Φαιδρύνεται αεί, η σεπτή Εκκλησία, τοίς αγώσι τών φαιδρών, Κυρίου Αθλητών, καί Χριστόν τόν εκλάμψαντα, Ήλιον εκ τής Παρθένου, καί τό σκότος μειώσαντα, τής απάτης δοξάζει γεραίρουσα.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Αινέσωμεν πιστώς, τούς Χριστού Ιεράρχας, περιούσιον λαόν, ποιμάναντας καλώς, καί λαμπρώς επαινέσωμεν, δήμον όλον τών οσίως, βιωσάντων καί σώματος, ηδονάς νεκρωσάντων εν πνεύματι.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ισχύς παρά Θεού, Γυναιξίν εδωρήθη, εν ασκήσει καί στερρά, αθλήσει τόν εχθρόν, συμπατούσαις εν χάριτι. Τούτων Κύριε πρεσβείαις, Προφητών τε αγίων σου, τά ελέησου πάσι κατάπεμψον.

Νεκρώσιμον

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Δικαίωσον Χριστέ, ούς δικαία προνοία, εκ τού βίου τού φθαρτού, πρός άφθαρτον ζωήν, μετεβίβασας δούλους σου, πάσί τε σύν τοίς δικαίοις, συγχορεύειν αξίωσον, τά αυτών παριδών πλημμελήματα.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ρυόμενος ημάς, καταδίκης αρχαίας, ο Υιός ο τού Θεού, ηυδόκησεν Αγνή, καί Υιός χρηματίσαι σου, όθεν υιοθετηθέντες, διαυτού τόν ουράνιον, ευλογούμεν Πατέρα υμνούντές σε.

Κανών εις Κοιμηθέντας, ού η Ακροστιχίς.
Κανών τέταρτος τού τέλους μεμνημένος.

Ο Ειρμός

Θαλάσσης, τό ερυθραίον πέλαγος, αβρόχοις ίχνεσιν, ο παλαιός πεζεύσας Ισραήλ, σταυροτύποις Μωσέως χερσί, τού Αμαλήκ τήν δύναμιν, εν τή ερήμω ετροπώσατο.

Στίχ. Πρεσβείαις τών Μαρτύρων σου ανάπαυσον, Κύριε, τάς ψυχάς τών δούλων σου.

Κρατήσας, τής δεξιάς τών δούλων σου, χειρός οδήγησον, επί ζωήν αιώνιον Χριστέ, επί θέαν τού κάλλους σου, τούς αθλοφόρους Μάρτυρας, τής αληθείας δυσωπούμενος.

Στίχ. Αί ψυχαί αυτών εν αγαθοίς αυλισθήσονται.

Αφράστου, καί μακαρίας δόξης σου, τούς μεταστάντας πρός σέ, κληρονομείν αξίωσον Χριστέ, υπερβαίνων τά πταίσματα, καί δικαιών τή χάριτι, καί τή εκχύσει τού σού αίματος.

Στίχ. Μακάριοι ούς εξελέξω καί προσλάβω Κύριε.

Νεκρωσει, τόν νεκρωτήν ενέκρωσας, τή ζωηφόρω σου, ο τοίς νεκροίς εμπνέων τήν ζωήν, ζωοδότα Χριστέ ο Θεός, αυτός καί νύν ανάπαυσον, ούς προσελάβου πιστούς δούλους σου.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ωραίος, τοίς υπερτάτοις κάλλεσι, καθό Θεός ο Υιός, ως δέ εκ σού Παρθένε σαρκωθείς, καί τώ ξύλω κρεμάμενος, κάλλος ουκ είχε θάνατον, τόν υπέρ πάντων προσιέμενος.

Ωδή γ'

Ο Ειρμός

Τόξον δυνατών ησθένησε, καί οι ασθενούντες, περιεζώσαντο δύναμιν, διά τούτο εστερεώθη, εν Κυρίω η καρδία μου.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ώσπερ άρνες οι καλλίνικοι, Μάρτυρες τυθέντες, καί σφαγέντες προσήχθησαν, τώ τυθέντι Αμνώ καί Λόγω, τού Θεού εις πάντων λύτρωσιν.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Στόμα Θεού χρηματίσαντες, οι Ιερομύσται, εξ αναξίων προσήγαγον, τούς αξίους διδασκαλίαις, ιεραίς καταλαμπρύνοντες.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Εύρε τών Οσίων σύλλογος, δι' εγκρατείας θεόθεν, τρυφήν τήν αδάπανον, εντρυφήσαντες θεωρίαις, καί ταίς θείαις αναβάσεσι.

Νεκρώσιμον

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Πάντας ούς πιστώς μετέστησας, πάντων ικεσίαις, τών σών Αγίων ανάπαυσον, παραβλέψας τά πεπραγμένα, εν τώ βίω τούτοις πταίσματα.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Αίνον τώ εκ τώ Θεώ προσάξωμεν, τής Παρθένου, αποτεχθέντι βουλήματι, Γυναικών τε χορούς, Αγγέλων, τοίς χοροίς επισυνάψαντι.

## Κανών εις Κοιμηθέντας

### Ο Ειρμός

Ουκ εν σοφία, καί δυνάμει καί πλούτω καυχώμεθα, αλλ' εν σοί τή τού Πατρός, ενυποστάτω σοφία Χριστέ, ου γάρ εστιν Άγιος, πλήν σου φιλάνθρωπε.

Στίχ. Πρεσβείαις τών Μαρτύρων σου ανάπαυσον, Κύριε, τάς ψυχάς τών δούλων σου.

Νενικηκότες, τών ειδώλων τήν πλάνην οι Μάρτυρες, τόν Δεσπότην καί Θεόν, νύν δυσωπούσι δωρήσασθαι, τοίς προτελευτήσασι θείαν ανάπαυσιν.

Στίχ. Αί ψυχαί αυτών εν αγαθοίς αυλισθήσονται.

Τήν στρεφομένην, διαβήναι ρομφαίαν ευδόκησον, καί τού ξύλου τής ζωής, επιτηδείου μεθέξεως τυχείν, ούς μετέστησας δούλους σου Δέσποτα.

Στίχ. Μακάριοι ούς εξελέξω καί προσλάβω Κύριε.

Εν Παραδείσω, τής τρυφής αυλισθήναι τούς δούλους σου, ένθα ήχος καθαρός, εορταζόντων αξίωσον, πταισμάτων τήν άφεσιν τούτοις δωρούμενος.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τώ θείω τόκω, παρθενίαν συνήρμοσας Πάναγνε, τόν γάρ Κτίστην τού παντός, ανερμηνεύτως γεγέννηκας, ού περ τώ βουλήματι πάντα υπόκειται.

## Ωδή δ'

### Ο Ειρμός

Ο καθήμενος εν δόξη, επί θρόνου θεότητος, εν νεφέλη κούφη, ήλθεν Ιησούς ο υπέρθεος, τή ακηράτω παλάμη καί διέσωσε, τούς κραυγάζοντας, δόξα Χριστέ τή δυνάμει σου.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ιερώτατος Μαρτύρων, εδοξάσθη κατάλογος, ιερώς δοξάσας, μέλεσιν οικείοις τόν Κύριον, τόν υπό πάντων Αγγέλων, δοξαζόμενον, καί πρεσβεύει, ρυσθήναι ημάς πάσης θλίψεως.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Νούν αϋλω, φωταυγεία, διαλάμποντα έχοντες, θείοι Ιεράρχαι, νύκτα αθεϊας ελύσατε, καί απλανεί Οδηγία, τήν θεόλεκτον, ποίμνην Χριστού, πρός τό φώς ωδηγήσατε.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ωραιώθη τών Οσίων, πολυάριθμον σύστημα, καί εμεγαλύνθη, θείων Γυναικών η ομήγυρις, τών Προφητών ετιμήθη, δήμος άγιος, τών Αγγέλων, δήμοις ενωθείς αγαλλόμενος.

Νεκρώσιμον

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Τών Αγγέλων συμπολίται, χρηματίζοντες Μάρτυρες, τοίς κεκοιμημένοις, πάσιν εξαιτήσασθε άνεσιν, καί Παραδείσου τού θείου, τήν κατοίκησιν, καί πταισμάτων, ολοσχερή απολύτρωσιν.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ο παρθένον σε φυλάξας, μετά τόκον αμώμητον, τάς παρθένους πάσας, σέ περιεστώσας εδόξασε, μεθ' ών απαύστως δυσώπει, διασώζεσθαι, πάσης θλίψεως, καί πειρασμών τάς ψυχάς ημών.

## Κανών εις Κοιμηθέντας

### Ο Ειρμός

Επαρθέντα σε ιδούσα η Εκκλησία, επί Σταυρού τόν Ήλιον τής δικαιοσύνης, έστη έν τή τάξει αυτής, εικότως κραυγάζουσα, Δόξα τή δυνάμει σου Κύριε.

Στίχ. Πρεσβείαις τών Μαρτύρων σου ανάπαυσον, Κύριε, τάς ψυχάς τών δούλων σου.

Αναφανέντες οι Μάρτυρες ως φωστήρες, τόν ουρανόν φαιδρύνουσι τόν τής Εκκλησίας, οί καί τόν Σωτήρα Χριστόν, αι τούνται δωρήσασθαι, τοίς κεκοιμημένοις τήν άφεσιν.

Στίχ. Αί ψυχαί αυτών εν αγαθοίς αυλισθήσονται.

Ράβδον δυνάμεως έχοντες τόν Σταυρόν σου, τήν κοσμικήν οι δούλοί σου θάλατταν δι' ήλθον, ούς περ καταφύτευσον, εις όρος σου Κύριε, εις ο κατειργάσω αγίασμα.

Στίχ. Μακάριοι ούς εξελέξω καί προσλάβω Κύριε.

Τά σκηνώματα τά όντως ηγαπημένα, ούς εξελέξω Δέσποτα, καί ούς προσελάβου, δούλους σου ευδόκησον, σκηνώσαι ως εύσπλαγχνος, ένθα τών δικαίων τά πνεύματα.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ο τών θανόντων καί ζωντων εξουσιάζων, σωματωθείς ως άνθρωπος εκ σού Θεοτόκε, θάνατον υπέμεινε, σαρκί ο αθάνατος, λύσας τού θανάτου τήν δύναμιν.

## Ωδή ε'

### Ο Ειρμός

Σύ Κύριέ μου φώς, εις τόν κόσμον ελήλυθας, φώς άγιον επιστρέφον, εκ ζοφώδους αγνοίας, τούς πίστει ανυμνούντάς σε.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Υψούμενοι Σταυρώ, καί τροχοίς συντριβόμενοι, κοπτόμενοι μεληδόν τε, οι στερροί Αθλοφόροι, Θεού ώφθησαν άτμητοι.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Φωτήρες τών πιστών Ιεράρχαι γενόμενοι, προσήξατε τώ Ποιμένι, καί Αμνώ, ούς ποιμαίνειν, οσίως επιστεύθητε.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Θορύβων κοσμικών, χωρισθέντες οι Όσιοι, ειρήνευσαν τήν καρδίαν, εκ παθών καί τού πάντων, Θεού υιοί γεγόνασιν.

Νεκρώσιμον

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ενθέων Προφητών, Γυναικών τε κατάλογος, τόν Κύριον θεραπεύσας, τοίς προκεκοιμημένοις, αιτείται τήν ανάπαυσιν.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ο Κύριος εν σοί, κατοικήσας Πανάχραντε, ειργάσατο τούς ανθρώπους, τής αυτού θείας δόξης, Παρθένε οικητήρια.

Κανών εις Κοιμηθέντας

Ειρμός ο αυτός

Στίχ. Πρεσβείαις τών Μαρτύρων σου ανάπαυσον, Κύριε, τάς ψυχάς τών δούλων σου.

Σύ Κύριε τής σής, δεσποτείας τούς Μάρτυρας, εδόξασας, δι' αυτών τε, τούς πρός σέ μεταστάντας, ανάπαυσον ως εύσπλαγχνος.

Στίχ. Αί ψυχαί αυτών εν αγαθοίς αυλισθήσονται.

Τήν άλυπον ζωήν τό τερπνόν αγαλλίαμα, τήν άληκτον ευφροσύνην, τοίς προκεκοιμημένοις, παράσχου πολυέλεε.

Στίχ. Μακάριοι ούς εξελέξω καί προσλάβω Κύριε.

Ο μόνος αγαθός, καί πηγή αγαθότητος, ανάπαυσον τούς εν πίστει, καί τή σή επιγνώσει, τόν βίον εκτελέσαντας.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Υμνούμέν σε δι' ής, τοίς εν σκότει ανε τειλε, τό άφραστον Θεομήτορ, καί απρόσιτον κάλλος, καί πόθω μακαρίζομεν.

Ωδή ς'

Ο Ειρμός

Ήλθον εις τά βάθη τής θαλάσσης, καί κατεπόντισέ με, καταιγίς πολλών αμαρτημάτων, αλλ' ως Θεός, εκ φθοράς ανάγαγε, τήν ζωήν μου πολυέλεε.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Υπέρτιμοι Μάρτυρες ως λίθοι, επί τής γής πανσόφως, κυλιόμενοι τής δυσσεβείας, οικοδομήν πάσαν, κατεστρέψατε, καί ναοί Θεού γεγόνατε.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Χειρός διεσώσατε βιαίας, υποχειρίους πάντας, Ιεράρχαι καί οσιοι πάντες, οι εν Χριστώ ποίμνης, ηγησάμενοι, διά τούτο μακαρίζεσθε.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ρήσεσι Προφητών ακολουθούντα, τών Γυναικών τά πλήθη, εν ασκήσει τε καί εν αθλήσει, τώ Γυναικός εκ παρθένου, λάμψαντι, Θεώ Λόγω καθυπούργησαν.

Νεκρώσιμον

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Η πάντων ζωή τών τεθνεώτων, τούς εξ ημών εν πίστει, εκδημήσαντας πρός σέ τόν κτίστην, εν τώ φωτί Χριστέ, τού προσώπου σου, πολυέλεε κατάταξον.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Στόματι καί γλώσση καί καρδία, Ομολογώ σε Κόρη, τού Θεού ημών αγνήν Μητέρα, αλλά τη σή, μεσιτεία ρύσαί με, αιωνίου κατακρίσεως.

## Κανών εις Κοιμηθέντας

### Ο Ειρμός

Θύσω σοι μετά φωνής αινέσεως Κύριε, η Εκκλησία Βοά σοι, εκ δαιμόνων λύθρου κεκαθαρμένη, τω δι' οίκτον, εκ τής πλευράς σου ρεύσαντι αίματι.

Στίχ. Πρεσβείαις τών Μαρτύρων σου ανάπαυσον, Κύριε, τάς ψυχάς τών δούλων σου.

Τήν λόγχην, τήν θείαν πλευράν σου κεντήσασαν, η στρεφομένη ρομφαία, κατιδούσα Σώτερ υπεχωρείτο, τοίς σοίς δούλοις, ταίς ικεσίαις τών Αθλοφόρων σου.

Στίχ. Αί ψυχαί αυτών εν αγαθοίς αυλισθήσονται.

Εν ξύλω, κρεμασθείς τόν Παράδεισον ήνοιξας, τούς ούν πιστώς μεταστάντας, εν αυτώ Σωτήρ μου καταφυτεύσας, ως οικτίρμων, τής σής δόξης μετόχους ανάδειξον.

Στίχ. Μακάριοι ούς εξελέξω καί προσλάβω Κύριε.

Λειμώνας, τούς τής τρυφής αξίωσον δρέπεσθαι, τούς περί σέ τόν Δεσπότην, ευσεβώς φοιτώντας διά θανάτου, καί δικαίοις, τοίς απ' αιώνός σου συναρίθμησον.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ο Λόγος, καθά Θεός υπάρχων αόρατος, σωματωθείς καθωράθη, εκ Παρθένου Κόρης απειρογάμου, καί θανάτω, τώ οικείω τόν θάνατον έλυσε.

## Ωδή ζ'

### Ο Ειρμός

Αβραμιαίοι ποτέ, εν Βαβυλώνι Παίδες, καμίνου φλόγα κατεπάτησαν, εν ύμνοις κραυγάζοντες, ο τών Πατέρων Θεός ευλογητός εί.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Τά τού Δεσπότου Χριστού, ηγιασμένα σκεύη, τής Εκκλησίας τά προπύργια, Κυρίου τούς Μάρτυρας, εν ευφροσύνη ψυχής, αινέσωμεν συμφώνως.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Οι Ιεράρχαι Χριστού, καί τών Αγίων πάντων, χορός ο θείος εναγάλλεται, ταίς άνω Δυνάμεσιν. Αυτών πρεσβείαις Σώτερ, σώζε το ποίμνιόν σου.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Υπομονήν αγαθήν, αι Γυναικών οσίως, αθλητικώς τε διαλάμψασαι, καί πίστει ασκήσασαι, υπακοή τήν Εύαν, τόν τρώσαντα καθείλον.

Νεκρώσιμον

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Σύ ο τόν Άδην ελών, καί θάνατον πατήσας, τώ σώ θανάτω, ούς μετέστησας, εν πίστει ανάπαυσον, καί Παραδείσου δείξον, οικήτορας οικτίρμον.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φλόγα τήν βάτον πάλαι, μή πυρπολούσαν βλέπων, ο Νομοθέτης εδιδάσκετο, τόν τύπον τού τόκου σου, Θεοκυήτορ μόνη, αεί ευλογημένη.

Κανών εις Κοιμηθέντας

Ο Ειρμός

Εν τή καμίνω Αβραμιαίοι Παίδες τή Περσική πόθω ευσεβείας μάλλον ή τή φλογί, πυρπολούμενοι εκραύγαζον, Ευλογημένος εί, εν τώ ναώ τής δόξης σου Κύριε.

Στίχ. Πρεσβείαις τών Μαρτύρων σου ανάπαυσον, Κύριε, τάς ψυχάς τών δούλων σου.

Υπομονήν τε, καί καρτερίαν καί τά αίματα, πάντων τών Μαρτύρων λύτρον, τών ευσεβώς μεταστάντων προσδεξάμενος, Σώτερ ανάπαυσον, ως ελεήμων καί ευδιάλλακτος.

Στίχ. Αί ψυχαί αυτών εν αγαθοίς αυλισθήσονται.

Συναριθμήσας, τοίς πρωτοτόκοις καί δικαίοις τε, Σώτερ τάς ψυχάς τών δούλων σου, τών πρός σέ μεταστάντων καταξίωσον, ακαταπαύστως σοι, εντρυφάν τώ τών όλων δεσπόζοντι.

Στίχ. Μακάριοι ούς εξελέξω καί προσλάβω Κύριε.

Μετ' ευφροσύνης, καί παρρησίας καί φαιδρότητος, Λόγε τού Θεού ευδόκησον, ως Θεός εν νεφέλαις υπαντήσαί σοι, ούς προσελάβου σύ, ως ελεήμων καί πολυέλεος.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ευλογημένη, Θεογεννήτορ Μητροπάρθενε, χαίρε, διά σού γάρ γέγονεν, αληθώς τού θανάτου η καθαίρεσις, ζωή δέ άλυπος, τοίς τεθνεώσι πάσι δεδώρηται.

Ωδή η'

Ο Ειρμός

Λυτρωτά τού παντός Παντοδύναμε, τούς εν μέσω φλογός ευσεβήσαντας, συγκαταβάς εδρόσισας, καί εδίδαξας μέλπειν. Πάντα τά έργα, ευλογείτε υμνείτε τόν Κύριον.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ιεράρχαι Προφήται καί Μάρτυρες, τόν αγώνα αυτών εκτελέσαντες, ιερωτάτης έτυχον, συναυλίας Αγγέλων, μεθ' ών αιτούσιν, ιλασμόν ημίν πάσι καί έλεος.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Λαμπρυνθέντες οι Όσιοι Πνεύματι, τών δαιμόνων τό σκότος ηφάνισαν, μεθ' ών Ιερομάρτυρες, Ιεράρχαι Προφήται, σύν τοίς Δικαίοις, τοίς από τού αιώνος ευφραίνονται.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ο τό πρίν αφροσύνη καυχώμενος, εξαλείψειν τήν γήν καί τήν θάλασσαν, υπό Γυναίων πάντοτε, συμπατείται ασκήσει τε, καί αθλήσει, εκλαμψάντων ακτίσι τού Πνεύματος.

Νεκρώσιμον

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Υπέρ πάντων Χριστέ δυσωπούμεν σε, τών πιστώς κοιμηθέντων, ως εύσπλαγχνος, τούτους χοροίς αρίθμησον, σωζομένων απαύστως, αναβοώντας. Ευλογείτε υμνείτε τόν Κύριον.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Συμπαθείας τής σής με αξίωσον, συμπαθέστατον Λόγον κυήσασα, Θεογεννήτορ Πάναγνε, καί βοώντά με σώσον. Πάντα τά έργα, ευλογείτε υμνείτε τόν Κύριον.

Κανών εις Κοιμηθέντας

Ο Ειρμός

Χείρας εκπετάσας Δανιήλ, λεόντων χάσματα, εν λάκκω έφραξε, πυρός δέ δύναμιν έσβεσαν, αρετήν περιζωσάμενοι, οι ευσεβείας ερασταί, Παίδες κραυγάζοντες, Ευλογείτε, πάντα τά έργα Κυρίου τον Κύριον.

Στίχ. Πρεσβείαις τών Μαρτύρων σου ανάπαυσον, Κύριε, τάς ψυχάς τών δούλων σου.

Μαρτύρων δεξάμενος λιτάς, καί τό τήν συμπάθειαν, πρός ομόφυλον, ψυχάς ανάπαυσον Δέσποτα, τών εν πίστει κοιμηθέντων τή σή, τάς αμαρτίας παρορών, τούτων βοώντων σοι. Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Στίχ. Αί ψυχαί αυτών εν αγαθοίς αυλισθήσονται.

Νεκρός μετ' ανόμων λογισθείς, νεκροίς επήγασας, ζωήν αθάνατον, τούς μεταστάντας ούν Δέσποτα, επ' ελπίδι αναστάσεως, τής Βασιλείας σου τυχείν, Σώτερ αξίωσον, σοί βοώντας. Πάντα τά έργα υμνείτε τόν Κύριον.

Στίχ. Μακάριοι ούς εξελέξω καί προσλάβω Κύριε.

Η όντως αέναος πηγή, καί αδαπάνητος, εν ουρανίαις σκηναίς, τούς τελευτήσαντας δούλους σου, καί τόν βίον τόν φθειρόμενον, απολιπόντας ευμενώς, Σώτερ υπόδεξαι, σοί βοώντας. Πάντα τά έργα υμνείτε τόν Κύριον.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Μόνη σύ εφάνης επί γής, Παρθένος άχραντος, καί Μήτηρ άφθορος, Θεόν γάρ τέτοκας Δέσποινα, υπέρ λόγον καί διάνοιαν, καί τήν αιώνιον ζωήν, θνητοίς επήγασας, όθεν πάντες, σέ ευλογούμεν Μαρία Θεόνυμφε.

Ωδή θ'

Ο Ειρμός

Εύα μέν τώ τής παρακοής νοσήματι, τήν κατάραν εισωκίσατο, σύ δέ Παρθένε Θεοτόκε, τώ τής κυοφορίας βλαστήματι, τώ κόσμω τήν ευλογίαν εξήνθησας, όθεν σε πάντες μεγαλύνομεν.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ιδόντες τάς θείας δωρεάς οι Μάρτυρες, τά γέρα κομισάμενοι, τά τών μεγίστων αυτών πόνων, αγάλλονται Χριστόν μεγαλύνοντες, τόν τούτους αληθώς μεγαλύναντα, καί νικηφόρους αναδείξαντα.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ως ιεραρχήσαντες λαού προέστητε, Ιεράρχαι θείοι κήρυκες, ως λαμπρυνθέντες τή ασκήσει, Ηλίου τηλαυγέστερον Όσιοι, ελάμψατε πιστούς καταυγάζοντες, έργων μεγάλων επιδείξεσι.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Σύν Ιερομάρτυσιν ομού καί Μάρτυσι, καί Προφήταις μακαρίσωμεν, πάντας Οσίους καί Δικαίους, καί Γύναια λαμπρώς αριστεύσαντα. Αυτών Χριστέ βοώντες δεήσεσι, ρύσαι γεέννης τάς ψυχάς ημών.

Νεκρώσιμον

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ής κατηξιώθησαν χαράς οι Άγιοι, οι καλώς σε θεραπεύσαντες, ταύτης Χριστέ τούς μεταστάντας, εν πίστει τή εις σέ καταξίωσον, τά τούτων παρορών αμαρτήματα, διά τό πλούσιόν σου έλεος.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φανείσα τών άνω Χερουβείμ Πανάμωμε, ανωτέρα ως βαστάσασα, τόν συνοχέα τών απάντων, ανώτερον τόν νούν μου απέργασαι, παθών τών τής σαρκός δυναμούσά με, τό τού Δεσπότου πράττειν θέλημα.

## Κανών εις Κοιμηθέντας

Ειρμός ο αυτός

Στίχ. Πρεσβείαις τών Μαρτύρων σου ανάπαυσον, Κύριε, τάς ψυχάς τών δούλων σου.

Έδωκας τοίς όντως Αθληταίς καί Μάρτυσι, παρρησίαν ικετεύειν σε, δός ούν τοίς πίστει κοιμηθείσι, τήν θείαν δι' αυτών απολύτρωσιν, εν τόπω σκηνής αγίας σου Κύριε, κατασκηνώσαι χαριζόμενος.

Στίχ. Αί ψυχαί αυτών εν αγαθοίς αυλισθήσονται.

Νεύματι τώ δημιουργικώ ο σύμπαντα, συμφερόντως εργαζόμενος, ζώντων ο έχων εξουσίαν, θανόντων κυριεύων ως εύσπλαγχνος, κατάταξον ούς μετέστησας δούλους σου, επί υδάτων αναπαύσεως.

Στίχ. Μακάριοι ούς εξελέξω καί προσλάβω Κύριε.

Ο φύσει υπάρχων αγαθός ο πλούσιος, εν ελέει καί χρηστότητι, ρύσαι εκ σκότους εξωτέρου, τούς επικεκλημένους σόν όνομα, εκ πίστεως δικαιώσας καί χάριτι, τούτους λαμπρύνας ως φιλάνθρωπος.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σύμβολα Πανάμωμε τής σής γεννήσεως, οι προφήται προεκήρυξαν, άλλοθεν άλλος παραδόξως, σοί τάς προσηγορίας αρμόζοντες, ζωήν γάρ τοίς εν τώ Άδη γεγέννηκας, κράτος θανάτου διαλύσασαν.

## Στιχηρά Αίνων, Μαρτυρικά

Ήχος δ'

Στίχ. Αινείτε αυτόν εν ήχω σάλπιγγος, αινείτε αυτόν εν ψαλτηρίω καί κιθάρα.

Αγγέλων συμμέτοχοι, γεγόνατε άγιοι Μάρτυρες, εν σταδίω τόν Χριστόν ανδρείως κηρύξαντες, πάντα γάρ τά εν κόσμω κατελίπετε, τερπνά ώς ανύπαρκτα, τήν πίστιν δέ ως άγκυραν ασφαλή εκρατήσατε, όθεν καί τήν πλάνην απελάσαντες, πηγάζετε τοίς πιστοίς ιαμάτων χαρίσματα, απαύστως πρεσβεύοντες, σωθήναι τάς ψυχάς ημών.

Στίχ. Αινείτε αυτόν εν τυμπάνω καί χορώ, αινείτε αυτόν εν χορδαίς καί οργάνω.

Πώς υμών θαυμάσωμεν, τούς αγώνας άγιοι Μάρτυρες; ότι σώμα θνητόν περικείμενοι, τούς ασωμάτους εχθρούς ετροπώσασθε, ουκ εφόβησαν υμάς τών τυράννων αι απειλαί, ου κατέπτηξαν υμάς τών βασάνων αι προσβολαί. Όντως αξίως παρά Χριστού εδοξάσθητε, καί ταίς ψυχαίς ημών αιτείσθε τό μέγα έλεος.

Στίχ. Αινείτε αυτόν εν κυμβάλοις ευήχοις, αινείτε αυτόν εν κυμβάλοις αλαλαγμού. Πάσα πνοή αινεσάτω τόν Κύριον.

Τίμιος ο θάνατος, τών αγίων σου Κύριε, ξίφεσι γάρ καί πυρί, καί ψύχει συντετριμμένοι, εξέχεαν τό αίμα αυτών, ελπίδα έχοντες εις σέ, απολαβείν τού καμάτου τόν μισθόν, υπέμειναν καί έλαβον, παρά σού Σωτήρ τό μέγα έλεος.

Νεκρώσιμον

Στίχ. Μακάριοι ούς εξελέξω καί προσελάβου, Κύριε.

Εις τήν κατάπαυσίν σου Κύριε, όπου πάντες οι άγιοί σου αναπαύονται, ανάπαυσον τάς ψυχάς τών δούλων σου, ότι μόνος υπάρχεις αθάνατος.

Δόξα... Νεκρώσιμον

Πού εστιν η τού κόσμου προσπάθεια; πού εστιν η τών προσκαίρων φαντασία; πού εστιν ο χρυσός καί ο άργυρος; πού εστι τών οικετών η πλημμύρα καί ο θόρυβος; πάντα κόνις, πάντα τέφρα, πάντα σκιά. Αλλά δεύτε βοήσωμεν τώ αθανάτω Βασιλεί. Κύριε, τών αιωνίων σου αγαθών αξίωσον, τούς μεταστάντας εξ ημών, καί ανάπαυσον αυτούς, εν τή αγήρω μακαριότητι.

Καί νύν... Θεοτοκίον

Η μόνη αγνή καί άχραντος Παρθένος, η Θεόν αφράστως κυήσασα, πρέσβευε τού σωθήναι τάς ψυχάς ημών.

## Απόστικα

### Νεκρώσιμα τού Θεοφάνους

Έδωκας σημείωσιν

Όντως φοβερώτατον, τό τού θανάτου μυστήριον! Πώς ψυχή εκ τού σώματος, βιαίως χωρίζεται, εκ τής αρμονίας, καί τής συμφυϊας ο φυσικώτατος δεσμός, θείω βουλήματι αποτέμνεται; Διό σε ικετεύομεν, τούς μεταστάντας ανάπαυσον, εν σκηναίς τών δικαίων σου, ζωοδότα φιλάνθρωπε.

Στίχ. α'. Μακάριοι ούς εξελέξω καί προσλάβω Κύριε.

Ύπνος αναδέδεικται, τών πιστευόντων ο θάνατος, σού τεθέντος εν μνήματι, τού πάντων δεσπόζοντος, καί τό τού θανάτου, κράτος λελυκότος, καί καταργήσαντος αυτού, τήν δυναστείαν τήν πολυχρόνιον. Διό σε ικετεύομεν, τούς μεταστάντας κατάταξον, εν σκηναίς τών αγίων σου, εν μοναίς ακηράτοις σου.

Στίχ. β'. Αί ψυχαί αυτών εν αγαθοίς αυλισθήσονται.

Σύ δικαιοσύνη τε, αγιασμός ημίν γέγονας, καί ψυχών απολύτρωσις. Πατρί γάρ προσήγαγες, δεδικαιωμένους, καί λελυτρωμένους, αναδεξάμενος ημίν, τό οφειλόμενον επιτίμιον. Καί νύν εκδυσωπούμέν σε, τούς μεταστάντας ανάπαυσον, εν χαρά καί φαιδρότητι, ευεργέτα Σωτήρ ημών.

Στίχ. γ'. Καί τό μνημόσυνον αυτών, εις τόν αιώνα δοξάσαντα.

Γένος τό ανθρώπινον, πρός αφθαρσίαν ανώλεθρον, εκ φθοράς ανακέκληται, λουσάμενον Αίματι, τώ εκ τής πλευράς σου, Σώτερ κενωθέντι, εν ώ απέπλυνας ημών, τών προπατόρων τε τήν παράβασιν, διό καί νύν τούς δούλους σου, τούς μεταστάντας φιλάνθρωπε, εκ προσκαίρων αξίωσον, τής εκείθεν λαμπρότητος.

Δόξα... Καί νύν... Θεοτοκίον

Ρήσεσιν επόμενοι, τών θεηγόρων Πανάμωμε, Θεοτόκον φρονούμέν σε, Θεόν γάρ εγέννησας, σεσωματωμένον, απερινοήτως, τόν λυτρωσάμενον ημάς, δεδουλωμένους τοίς παραπτώμασιν, όν καί νύν εκδυσώπησον, τούς μεταστάντας οικέτας σου, ταίς οικείαις ελλάμψεσι, καταυγάσαι

Πανάχραντε.

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Οι Μακαρισμοί

Μακάριοι οι ειρηνοποιοί, ότι αυτοί υιοί Θεού κληθήσονται.

Διά ξύλου ο Αδάμ, Παραδείσου γέγονεν άποικος, διά ξύλου δέ Σταυρού, ο Ληστής Παράδεισον ώκησεν, ο μέν γάρ γευσάμενος, εντολήν ηθέτησε τού ποιήσαντος, ο δέ συσταυρούμενος, Θεόν ωμολόγησε τόν κρυπτόμενον, Μνήσθητί μου βοών εν τή Βασιλεία σου.

Μακάριοι οι δεδιωγμένοι ένεκεν δικαιοσύνης, ότι αυτών εστιν η βασιλεία τών ουρανών.

Πυρπολούμενοι Χριστού, τή αγάπη άγιοι Μάρτυρες, δυσσεβείας τήν πυράν, δροσισμώ αγώνων εσβέσατε, καί λύχνοι πολύφωτοι, Εκκλησίας ώφθητε απελαύνοντες, τό σκότος εν χάριτι, τών νόσων καί θλίψεωντών ψυχών ημών, όθεν χρεωστικώς πάντες υμάς σέβομεν.

Μακάριοί εστε όταν ονειδίσωσιν υμάς, καί διώξωσι, καί είπωσι πάν πονηρόν ρήμα καθυμών ψευδόμενοι ένεκεν εμού.

Ιεράρχαι ιεροί, Προφητών ενθέων κατάλογος, καί Οσίων οι χοροί, καί Γυναικών αγίων ομήγυρις, Θεόν θεραπεύσαντες, εναρέτοις πράξεσιν εδοξάσθησαν. Αυτούς μακαρίσωμεν, ταίς τούτων δεήσεσι δυσωπούντες τυχείν, τής αιωνίου δόξης τε καί λαμπρότητος.

Χαίρετε καί αγαλλιάσθε, ότι ο μισθός υμών πολύς εν τοίς ουρανοίς.

Ένθα λάμπει σου τό φώς, ένθαχοροί αγίων αυλίζονται, ού απέδρα στεναγμός, καί οδύνη τάξον τούς δούλους σου, τούς προτελευτήσαντας, καί λιπόντας βίον τόν πολυώδυνον, υμνείν σου τήν άφατον, Σωτήρ αγαθότητα παριδών αυτών, τά πλημμελήματα, άπερ διεπράξαντο.

Δόξα...

Η αχώριστος Τριάς, η εν Πατρί Υιώ καί τώ Πνεύματι, ενουμένη ολικώς καί μή συγχεομένη ταίς ιδιότησι, Μονάς τρισυπόστατε, τούς θανέντας πίστει εν σοί ανάπαυσον, λιταίς τών Αγίων σου, Μαρτύρων, Οσίων τε καί σεπτών Προφητών, νέμουσα ιλασμόν τούτοις καί συγχώρησιν.

Καί νύν... Θεοτοκίον

Ον εγέννησε Πατήρ, πρό Εωσφόρου Λόγον συνέλαβες, καί εκύησας σαρκί, γεγονότα άνθρωπον τέλειον, δυσί γνωριζόμενον, ενεργείαις Άχραντε καί θελήσεσιν, αυτόν ούν ικέτευε, ως κτίστην καί Κύριον οικτειρήσαι ημάς, τούς σέ υμνούντας Κόρη Θεονύμφευτε.

top

5-1

ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Στιχηρά

Διά τού τιμίου σου Σταυρού Χριστέ, διάβολον ήσχυνας, καί διά τής Αναστάσεώς σου, τό κέντρον τής αμαρτίας ήμβλυνας, καί έσωσας ημάς, εκ τών πυλών τού θανάτου, δοξάζομέν σε Μονογενές. Δίς

Ο τήν Ανάστασιν διδούς τώ γένει τών ανθρώπων, ως πρόβατον επί σφαγήν ήχθη, έφριξαν τούτον οι άρχοντες τού Άδου, καί επήρθησαν πύλαι οδυνηραί, εισελήλυθε γάρ ο Βασιλεύς τής δόξης Χριστός, λέγων τοίς εν δεσμοίς, Εξέλθετε, καί τοίς εν τώ σκότει, ανακαλύπτεσθε.

Μέγα θαύμα! ο τών αοράτων Κτίστης, διά φιλανθρωπίαν σαρκί παθών, ανέστη ο αθάνατος. Δεύτε πατριαί τών εθνών, τούτον προσκυνήσωμεν, τή γάρ αυτού ευσπλαγχνία εκ πλάνης ρυσθέντες, εν τρισίν υποστάσεσιν, ένα Θεόν υμνείν μεμαθήκαμεν.

Δόξα... Καί νύν... Θεοτοκίον

Δογματικόν Ήχος πλ. α'

Τήν θεοπρεπή, καί σεβάσμιον Κόρην τιμήσωμεν, τήν υπέρτιμον τών Χερουβείμ, ο γάρ

Δημιουργός τών όλων, ενανθρωπήσαι βουληθείς, εν αυτή ώκησεν αφράστως. Ώ ξένων πραγμάτων, καί παραδόξων μυστηρίων! τίς ουκ εκπλαγή εν τούτω ακουτισθείς; ότι Θεός άνθρωπος γέγονε, καί τροπή, εν αυτώ ουχ υπήρξε; καί τής παρθενίας πύλας διήλθε, καί μείωσις εν αυτή ουχ υπελείφθη; καθώς ο προφήτης λέγει. Άνθρωπος ταύτην ου διοδεύσει ποτέ, ειμή μόνος Κύριος ο Θεός Ισραήλ, ο έχων τό μέγα έλεος.

### Στιχηρά Προσόμοια τής Θεοτόκου
### Χαίροις ασκητικών

Στίχ. Μνησθήσομαι τού ονόματός σου εν πάση γενεά καί γενεά.

Χείρας επανατείνω πρός σέ, καί ρυπαρά χείλη ανοίγω πρός δέησιν, καί κάμπτω καρδίας γόνυ, καί νοητώς τών ποδών, σού τών παναχράντων νύν εφάπτομαι, Αγνή καί προσπίπτω σοι, τάς οδύνας μου ίασαι, τά χρονιά μου, τά πολλά καί ανίατα, αγαθότητι, σή θεράπευσον τραύματα, ρύσαι εξ ορωμένων με, εχθρών αοράτων τε, κούφισον Κόρη τό βάρος, τής ραθυμίας μου, όπως σε, υμνώ καί δοξάζω, δι' ής εύρατο ο κόσμος, τό μέγα έλεος.

Στιχ. Άκουσον, θύγατερ, καί ίδε, καί κλίνον τό ούς σου, καί επιλάθου τού λαού σου καί τού οίκου τού Πατρός σου.

Χαίροις η τόν Υιόν τού Θεού, ανερμηνεύτως συλλαβούσα Πανάμωμε, καί τούτον σαρκί τεκούσα, τό καθ' ημάς αληθώς, εκ τών σών αιμάτων προσλαβόμενον, ψυχήν νοεράν τε, καί αυτεξούσιον έχοντα, ανελλιπώς γάρ, τόν Αδάμ ενδυσάμενος, διεσώσατο, αναπλάσας τόν άνθρωπον, όθεν εν δύο φύσεσιν, ημίν καταγγέλλεται, ως εκατέρων δεικνύων, εν εαυτώ τήν ενέργειαν, Χριστός όν δυσώπει, ταίς ψυχαίς ημών δοθήναι, τό μέγα έλεος.

Στιχ. Τό πρόσωπόν σου λιτανεύσουσιν οι πλούσιοι τού λαού.

Χαίροις η καλλονή Ιακώβ, ήν εξελέξατο Θεός, ήν ηγάπησεν, η θύρα τών σωζομένων, η φλογοφόρος λαβίς, τής αράς η λύσις Παντευλόγητε, γαστήρ θεοχώρητε, πεπτωκότων ανόρθωσις, αγιωτέρα, Χερουβείμ καί τής κτίσεως, υπερέχουσα, δυσθεώρητον όραμα, άκουσμα τό καινότατον, ανέκφραστον λάλημα, άρμα τού Λόγου, νεφέλη, εξ ής ανέτειλεν Ήλιος, ημάς καταυγάζων, τούς εν σκότει καί παρέχων, τό μέγα έλεος.

### Δόξα... Καί νύν... Θεοτοκίον

Αι περί σού προφητείαι επληρώθησαν, Παρθένε αγνή, ο μέν γάρ σε τών Προφητών, Πύλην προηγόρευσεν εν Εδέμ, βλέπουσαν κατά ανατολάς, εν ή ουδείς διήλθεν, ειμή ο σός πλαστουργός, καί τού κόσμου παντός, ο δέ βάτον πυρί φλεγομένην, ότι εν σοί ώκησε τό πύρ τής θεότητος, καί άφλεκτος έμεινας, άλλος όρος άγιον, εξ ού ετμήθη λίθος ο ακρογωνιαίος, άνευ χειρός ανθρώπου, καί επάταξε τήν εικόνα τού νοητού Ναβουχοδονόσορ. Αληθώς μέγα καί παράδοξον, τό εν σοί μυστήριον, υπάρχει Θεομήτορ! Διό σε δοξάζομεν, διά σού γάρ γέγονεν, η σωτηρία τών ψυχών ημών.

### Απολυτίκιον Ήχος πλ. α'

Τόν συνάναρχον Λόγον Πατρί καί Πνεύματι, τόν εκ Παρθένου τεχθέντα εις σωτηρίαν ημών, ανυμνήσωμεν πιστοί καί προσκυνήσωμεν, ότι ηυδόκησε σαρκί, ανελθείν εν τώ σταυρώ, καί θάνατον υπομείναι, καί εγείραι τούς τεθνεώτας, εν τή ενδόξω Αναστάσει αυτού.

### Δόξα... Καί νύν... Θεοτοκίον

Χαίρε πύλη Κυρίου η αδιόδευτος, χαίρε τείχος καί σκέπη τών προστρεχόντων εις σέ, χαίρε αχείμαστε λιμήν καί Απειρόγαμε, η τεκούσα εν σαρκί τόν Ποιητήν σου καί Θεόν, πρεσβεύουσα μή ελλείπης, υπέρ τών ανυμνούντων, καί προσκυνούντων τόν Τόκον σου.

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Διά τού τιμίου σου Σταυρού Χριστέ, διάβολον ήσχυνας, καί διά τής Αναστάσεώς σου, τό κέντρον τής αμαρτίας ήμβλυνας, καί έσωσας ημάς, εκ τών πυλών τού θανάτου, δοξάζομέν σε Μονογενές.

- εμέ υπομενούσι δίκαιοι, έως ου ανταποδώς μοι.

Ο τήν Ανάστασιν διδούς τώ γένει τών ανθρώπων, ως πρόβατον επί σφαγήν ήχθη, έφριξαν τούτον

οι άρχοντες τού Άδου, καί επήρθησαν πύλαι οδυνηραί, εισελήλυθε γάρ ο Βασιλεύς τής δόξης Χριστός, λέγων τοίς εν δεσμοίς, Εξέλθετε, καί τοίς εν τώ σκότει, ανακαλύπτεσθε.

- εκ βαθέων εκέκραξά σοι, Κύριε, Κύριε εισάκουσον τής φωνής μου.

Μέγα θαύμα! ο τών αοράτων Κτίστης, διά φιλανθρωπίαν σαρκί παθών, ανέστη ο αθάνατος. Δεύτε πατριαί τών εθνών, τούτον προσκυνήσωμεν, τή γάρ αυτού ευσπλαγχνία εκ πλάνης ρυσθέντες, εν τρισίν υποστάσεσιν, ένα Θεόν υμνείν μεμαθήκαμεν.

- γενηθήτω τά ώτά σου προσέχοντα εις τήν φωνήν τής δεήσεώς μου.

Εσπερινήν προσκύνησιν προσφέρομέν σοι τώ ανεσπέρω Φωτί, τώ επί τέλει τών αιώνων ως εν εσόπτρω διά σαρκός, λάμψαντι τώ κόσμω, καί μέχρις Άδου κατελθόντι, και τό εκεισε σκότος λύσαντι, καί τό φώς τής Αναστάσεως τοίς έθνεσι δείξαντι, φωτοδότα Κύριε δόξα σοι.

- εάν ανομίας παρατηρήσης, Κύριε, Κύριε τίς υποστήσεται; ότι παρά σοί ο ιλασμός εστιν.

Τόν αρχηγόν τής σωτηρίας ημών, Χριστόν δοξολογήσωμεν, αυτού γάρ εκ νεκρών αναστάντος, κόσμος εκ πλάνης σέσωσται, χαίρει χορός Αγγέλων, φεύγει δαιμόνων πλάνη, Αδάμ πεσών ανίσταται, διάβολος κατήργηται.

- ένεκεν τού ονόματός σου υπέμεινά σε, Κύριε, υπέμεινεν η ψυχή μου εις τόν λόγον σου, ήλπισεν η ψυχή μου επί τόν Κύριον.

Οι τής κουστωδίας ενηχούντο υπό τών παρανόμων. Καλύψατε Χριστού τήν Έγερσιν, καί λάβετε αργύρια, καί είπατε, ότι ημών κοιμωμένων, εκτού μνημείου εσυλήθη ο νεκρός, Τίς είδε, τίς ήκουσε νεκρόν κλαπέντα ποτέ, μάλιστα εσμυρνισμένον καί γυμνόν, καταλιπόντα καί εν τώ τάφω τά εντάφια αυτού. Μή πλανάσθε Ιουδαίοι, μάθετε τάς ρήσεις τών Προφητών, καί γνώτε, ότι αυτός εστιν αληθώς, ο Λυτρωτής τού κόσμου καί Παντοδύναμος.

- από φυλακής πρωίας μέχρι νυκτός, από φυλακής πρωίας, ελπισάτω Ισραηλ επί τόν Κύριον.

Κύριε ο τόν Άδην σκυλεύσας, καί τόν θάνατον πατήσας, Σωτήρ ημών, ο φωτίσας τόν κόσμον τώ Σταυρώ τώ τιμίω, ελέησον ημάς.

- ότι παρά τώ Κυρίω τό έλεος καί πολλή παρ' αυτώ λύτρωσις' καί αυτός λυτρώσεται τόν Ισραηλ εκ πασών τών ανομιών αυτού.
- αινείτε τόν κύριον πάντα τά έθνη επαινέσατε αυτόν πάντες οι λαοί.
- ότι εκραταιώθη τό έλεος αυτού εφ' ημάς, καί η αλήθεια τού κυρίου μένει εις τόν αιώνα.

Θεοτοκίον

Εν τή ερυθρά θαλάσση τής απειραγάμου Νύμφης εικών διεγράφη ποτέ. Εκεί Μωϋσής διαιρέτης τού ύδατος, ενθάδε Γαβριήλ υπηρέτης τού θαύματος, τότε τόν βυθόν επέζευσεν αβρόχως, Ισραήλ, νύν δέ τόν Χριστόν εγέννησεν ασπόρως η Παρθένος, η θάλασσα μετά τήν πάροδον τού Ισραήλ, έμεινεν άβατος, η άμεμπτος μετά τήν κύησιν τού Εμμανουήλ, έμεινεν άφθορος, ο ών καί προών, καί φανείς ως άνθρωπος, Θεός ελέησον ημάς.

Ήχος πλ. α'

Σέ τόν Σαρκωθέντα Σωτήρα Χριστόν, καί τών ουρανών μή χωρισθέντα, εν φωναίς ασμάτων μεγαλύνομεν, ότι σταυρόν καί θάνατον κατεδέξω, διά τό γένος ημών, ως φιλάνθρωπος Κύριος, σκυλεύσας Άδου πύλας, τριήμερος ανέστης, σώζων τας ψυχάς ημών.

- ο Κύριος εβασίλευσεν, ευπρέπειαν ενεδύσατο, ενεδύσατο Κύριος δύναμιν καί περιεζώσατο.

Νυγείσης σου τής πλευράς Ζωοδότα, κρουνούς αφέσεως πάσιν εξέβλυσας, ζωής καί σωτηρίας, σαρκί δέ θάνατον κατεδέξω, αθανασίαν ημίν δωρούμενος, οικήσας τάφω δέ, ημάς ηλευθέρωσας, συναναστήσας εαυτώ ενδόξως ως Θεός, διά τούτο βοώμεν. Φιλάνθρωπε Κύριε, δόξα σοι.

- καί γάρ εστερέωσεν τήν οικουμένην, ήτις ου σαλευθήσεται.

Ξένη σου η σταύρωσις, καί η εν άδου κάθοδος, Φιλάνθρωπε υπάρχει, σκυλεύσας γάρ αυτόν, καί τούς πάλαι δεσμίους συναναστήσας εαυτώ, ενδόξως ως Θεός, τόν Παράδεισον ανοίξας, απολαβείν τούτου ηξίωσας, διό καί ημίν τοίς δοξάζουσι τήν σήν τριήμερον Έγερσιν, δώρησαι ιλασμόν αμαρτιών, Παραδείσου οικήτορας καταξιών, ως μόνος εύσπλαγχνος.

- τώ οίκω σου πρέπει αγίασμα, Κύριε εις μακρότητα ημερών.

Ο δι' ημάς σαρκί πάθος δεξάμενος, καί τριήμερος εκ νεκρών αναστάς, τής σαρκός ημών τά πάθη θεράπευσον, καί ανάστησον εκ πταισμάτων χαλεπών, Φιλάνθρωπε, καί σώσον ημάς.

Θεοτοκίον

Ναός καί πύλη υπάρχεις, παλάτιον καί θρόνος τού Βασιλέως, Παρθένε πάνσεμνε, δι' ως ο λυτρωτής μου Χριστός ο Κύριος, τοίς εν σκότει καθεύδουσιν επέφανεν, Ήλιος υπάρχων δικαιοσύνης, φωτίσαι θέλων ούς έπλασε, κατ' εικόνα ιδίαν χειρί τή εαυτού. Διό Πανύμνητε, ως

μητρικήν παρρησίαν πρός αυτόν κεκτημένη, αδιαλείπτως πρέσβευε, σωθήναι τάς ψυχάς ημών.

Απολυτίκιον Ήχος πλ. α'

Τόν συνάναρχον Λόγον Πατρί καί Πνεύματι, τόν εκ Παρθένου τεχθέντα εις σωτηρίαν ημών, ανυμνήσωμεν πιστοί καί προσκυνήσωμεν, ότι ηυδόκησε σαρκί, ανελθείν εν τώ σταυρώ, καί θάνατον υπομείναι, καί εγείραι τούς τεθνεώτας, εν τή ενδόξω Αναστάσει αυτού.

Δόξα... Καί νύν... Θεοτοκίον

Χαίρε πύλη Κυρίου η αδιόδευτος, χαίρε τείχος καί σκέπη τών προστρεχόντων εις σέ, χαίρε αχείμαστε λιμήν καί Απειρόγαμε, η τεκούσα εν σαρκί τόν Ποιητήν σου καί Θεόν, πρεσβεύουσα μή ελλείπης, υπέρ τών ανυμνούντων, καί προσκυνούντων τόν Τόκον σου.

## ΕΙΣ ΤΟ ΜΕΣΟΝΥΚΤΙΚΟΝ

Κανών Τριαδικός, ού η Ακροστιχίς:
Κανών ο πέμπτος Φωτί τώ τρισηλίω.

Ωδή α' Ήχος πλ. α'
Ο Ειρμός Ίππον καί αναβάτην

Κράτος τής ενιαίας, καί τρισηλίου μορφής, ανυμνούντες βοώμεν. Τόν νούν ημών καταύγασον, Θεέ παντοδύναμε, καί πρός τήν σήν Δέσποτα, μετεώρισον δόξαν άφραστον.

Άνω σε τών Αγγέλων, διάκοσμοι νοεροί, ασιγήτως υμνούσιν, εν τρισαγίοις άσμασι, μονάδα τρισάριθμον, καί Τριάδα σύμμορφον, υπερούσιον παντοδύναμον.

Νέκταρ τής σής αγάπης, γλυκύτατον φωτουργόν, τή ψυχή μου παράσχου, Τριάς Μονάς αρχίφωτε, καί θείαν κατάνυξιν, καθαρτικήν Δέσποτα, πολυέλεε πάσης κτίσεως.

Θεοτοκίον

Ώσπερ επί τόν πόκον, κατήλθεν αψοφητί, ουρανόθεν Παρθένε, ο υετός εν μήτρα σου, ο θείος καί έσωσε, ξηρανθείσαν άπασαν, τών ανθρώπων τήν φύσιν Άχραντε.

Ωδή γ' Ο πήξας επ' ουδενός

Νοήσας τάς νοεράς ουσίας υπέστησας, υμνωδούς απαύστους τής σής θεότητος, τρίφωτε Θεέ καί παντουργέ, αλλά καί τών πηλίνων, καί γηγενών δέξαι τήν δέησιν, καί τήν Ικεσίαν ως εύσπλαγχνος.

Ο πάσης κατά φύσιν τροπής απαράδεκτος, τοίς αλλοιουμένοις ημίν καί μέλπουσι, τήν ανεξιχνίαστον πηγήν, τής σής αγαθωσύνης, πλημμελημάτων δός συγχώρησιν, καί τήν σωτηρίαν ως εύσπλαγχνος.

Πατέρα καί τόν Υιόν καί Πνεύμα δοξάζομεν, εν απαραλλάκτω μορφή θεότητος, σέ τόν ενικόν καί τριλαμπή, Κύριον τών απάντων, ως οι Προφήται καί Απόστολοι, παρά σού σαφώς εδιδάχθησαν.

Θεοτοκίον

Εφάνης τώ Μωϋσή εν βάτω ως Άγγελος, βουλής τής μεγάλης τού Παντοκράτορος, σού τήν εκ Παρθένου προδηλών, σάρκωσιν Θεού Λόγε, δι' ής ημάς μετεστοιχείωσας, καί πρός ουρανούς ανεβίβασας.

Κάθισμα
Τόν συνάναρχον Λόγον

Ελεήμων υπάρχεις Τριάς αμέριστε, ελεείς γάρ τούς πάντας ως παντοδύναμος, καί πανοικτίρμων, συμπαθής καί πολυέλεος, διό προσφεύγομεν πρός σέ, οι αμαρτήμασι πολλοίς, βαρούμενοι κεκραγότες. Ιλάσθητι τοίς σοίς δούλοις, καί ρύσαι πάντας πάσης κολάσεως.

Δόξα... Καί νύν... Θεοτοκίον

Παναγία Παρθένε ημάς ελέησον, τούς προσφεύγοντας πίστει εις σέ τήν εύσπλαγχνον, καί αιτουμένους, τήν θερμήν σου νύν αντίληψιν, δύνασαι γάρ ως αγαθή, τούς πάντας σώζειν, ως ούσα, Μήτηρ Θεού τού υψίστου, ταίς μητρικαίς σου πρεσβείαις, αεί χρωμένη θεοχαρίτωτε.

Ωδή δ' Τήν θείαν εννοήσας σου

Μυείται τής μιάς Κυριότητος, τό τριφαές ο Δανιήλ, Χριστόν κριτήν θεασάμενος, πρός τόν Πατέρα ιόντα, καί Πνεύμα τό προφαίνον τήν όρασιν. Δίς

Πηλίνοις τούς υμνούντάς σε στόμασι, τόν υπερούσιον Θεόν, τριαδικόν υποστάσεσι, μοναδικόν τε τή φύσει, τής δόξης τών Αγγέλων αξίωσον.

Θεοτοκίον

Τό όρος δασύ καί κατάσκιον, ο είδε πρίν ο Αββακούμ, εξ ού προήλθεν ο Άγιος, τόν δυσθεώρητον Τόκον εδήλου, σής Παρθένε συλλήψεως.

Ωδή ε' Ο αναβαλλόμενος

Ο δι' αγαθότητα κτίσας τόν άνθρωπον, καί κατ' εικόνα τήν σήν ποιήσας, εν εμοί κατοίκησον, τρίφωτε Θεέ μου, ως αγαθός καί εύσπλαγχνος.

Σύ με καθοδήγησον Μονάς τρισήλιε, πρός τρίβους θείας τής σωτηρίας, καί τής σής ελλάμψεως πλήρωσον, ως φύσει Θεός απειροδύναμος.

Φώς τό αδιαίρετον τής μιάς φύσεως, μεμερισμένον τοίς χαρακτήρσι, τριλαμπές ανέσπερον, τήν εμήν καρδίαν, καταύγασον ταίς αίγλαις σου.

Θεοτοκίον

Ως κατείδε πάλαι σε, Αγνή πανάχραντε, ο Υποφήτης βλέπουσαν πύλην, πρός τό φώς τό άδυτον, ευθύς σε επέγνω, Θεού κατοικητήριον.

Ωδή ς' Μαινομένην κλύδωνι

Τριφαής υπάρχουσα, θεαρχία υποστατικώς, ενιαία πέφυκας, ως σύμμορφος καί ισουργός, καί κατ' ουσίαν καί βούλησιν. Δίς

Ικανώς εδήλωσεν, ο Προφήτης άδων τώ Πατρί, σώ φωτί οψόμεθα, τώ Πνεύματι φώς τόν Υιόν, ένα Θεόν τόν τρισήλιον.

Θεοτοκίον

Τών πταισμάτων λύτρωσιν, καί κινδύνων Δέσποτα Θεέ, ενικέ καί τρίφωτε, κατάπεμψον σοίς υμνηταίς, πρεσβείαις τής Θεομήτορος.

Κάθισμα

Τόν συνάναρχον Λόγον

Τό τρισήλιον σέλας δοξολογήσωμεν, καί απλήν τήν Τριάδα νύν προσκυνήσωμεν, ότι εφώτισεν ημάς, καί ηλέησε, καί ερρύσατο φθοράς, τό γένος άπαν τών βροτών, λυτρώσασα εκ τής πλάνης, ειδώλων πάντα τόν κόσμον, καί Βασιλείαν ημίν παρέσχετο.

Δόξα... Καί νύν... Θεοτοκίον

Απορήσας εκ πάντων πρός σέ κατέφυγον, τήν ελπίδα απάντων καί τό προσφύγιον, αμαρτωλών καί ταπεινών, κράζων τό. Ήμαρτον, αλλ' επιμένω τοίς χείροσιν, αναισθητών ο άθλιος, ελέησον με πρό τέλους, επίστρεψόν με καί ρύσαι, πάσης κολάσεως τόν ανάξιον.

Ωδή ζ' Ο υπερυψούμενος

Ως ελέους άβυσσον, κεκτημένος Κύριε, καί πέλαγος άπειρον, οικτίρμον ελέησον, τούς ένα σε υμνούντας, τριλαμπή Θεόν τών όλων. Δίς

Τόν απερινόητον, ενικόν καί τρίφωτον, Θεόν σε καί Κύριον, υμνούντες βοώμέν σοι, Παράσχου τοίς σοίς δούλοις, ιλασμόν αμαρτημάτων.

Θεοτοκίον

Ράδαμνον εβλάστησας, τώ Πατρί συνάναρχον, άνθος τής θεότητος, βλαστόν συναΐδιον, Παρθένε τόν διδούντα, τήν ζωήν πάσιν ανθρώποις.

Ωδή η' Σοί τώ παντουργώ

Ίνα τής μιάς, ανακαλύψης πάλαι, σαφώς Κυριότητος, τριττήν υπόστασιν, ώφθης Θεέ μου, εν σχήματι ανθρώπων, Αβραάμ υμνούντι, σόν κράτος ενιαίον.

Σύ με πρός τάς σάς, θεουργικάς ακτίνας, δέρκειν καταξίωσον, φώς τό απρόσιτον, Πάτερ οικτίρμον, καί Λόγε καί τό Πνεύμα, τού ευαρεστείν σοι, αεί Κύριε πάντων.

Θεοτοκίον

Ήστραψας ημίν, τής τρισηλίου δόξης, τόν ένα Πανύμνητε, Χριστόν τόν Κύριον, πάντας μυούντα τήν μίαν θεαρχίαν, εν τρισί προσώποις, υμνείν εις τούς αιώνας.

Ωδή θ'  Ησαϊα χόρευε

Λαλιαί σε βρότειαι, κατ' αξίαν Άναρχε μονάς, ου σθένουσιν υμνείν, πλήν ως εφικτόν, τολμώντες εκ πίστεως, θεαρχική σύνθρονε Τριάς, δόξαν προσφέρομεν, τώ σώ κράτει καί τήν αίνεσιν. Δίς

Ισορρόπω δόξη σε, τόν μονάρχην τρίφωτον Θεόν, δοξάζει τά Χερουβείμ, καί τά Σεραφείμ, αχράντοις εν στόμασι, μεθ' ών ημάς τούς αμαρτωλούς, πρόσδεξαι Κύριε, τό σόν κράτος μεγαλύνοντας.

Θεοτοκίον

Ως αγνή καί άμωμος, καί παρθένος τέτοκας Υιόν, λυτρούμενον ημάς, από πειρασμών, Θεόν αναλλοίωτον, αλλά καί νύν άφεσιν ημίν, τών παραπτώσεων, τούτον δούναι καθικέτευε.

Η Υπακοή  Ήχος πλ. α'

Αγγελική οράσει τόν νούν εκθαμβούμεναι, καί θεϊκή Εγέρσει τήν ψυχήν φωτιζόμεναι, αι Μυροφόροι τοίς Αποστόλοις ευηγγελίζοντο. Αναγγείλατε εν τοίς έθνεσι, τήν Ανάστασιν τού Κυρίου, συνεργούντος τοίς θαύμασι, καί παρέχοντος ημίν μέγα έλεος.

## ΕΝ ΟΡΘΡΩ

Απολυτίκιον  Ήχος πλ. α'

Τόν συνάναρχον Λόγον Πατρί καί Πνεύματι, τόν εκ Παρθένου τεχθέντα εις σωτηρίαν ημών, ανυμνήσωμεν πιστοί καί προσκυνήσωμεν, ότι ηυδόκησε σαρκί, ανελθείν εν τώ σταυρώ, καί θάνατον υπομείναι, καί εγείραι τούς τεθνεώτας, εν τή ενδόξω Αναστάσει αυτού.

Δόξα... Καί νύν... Θεοτοκίον

Χαίρε πύλη Κυρίου η αδιόδευτος, χαίρε τείχος καί σκέπη τών προστρεχόντων εις σέ, χαίρε αχείμαστε λιμήν καί Απειρόγαμε, η τεκούσα εν σαρκί τόν Ποιητήν σου καί Θεόν, πρεσβεύουσα μή ελλείπης, υπέρ τών ανυμνούντων, καί προσκυνούντων τόν Τόκον σου.

Καθίσματα  Ήχος πλ. α'
Τόν συνάναρχον Λόγον

Τόν Σταυρόν τού Κυρίου εγκωμιάσωμεν, τήν ταφήν τήν αγίαν ύμνοις τιμήσωμεν, καί τήν Ανάστασιν αυτού υπερδοξάσωμεν, ότι συνήγειρε νεκρούς, εκ τών μνημάτων ως Θεός, σκυλεύσας κράτος θανάτου, καί ισχύν διαβόλου, καί τοίς εν άδη φώς ανέτειλε.

Δόξα...

Κύριε, νεκρός προσηγορεύθης, ο νεκρώσας τόν θάνατον, εν μνήματι ετέθης, ο κιενώσας τά μνήματα, άνω στρατιώται τόν τάφον εφύλαττον, κάτω τούς απ' αιώνος νεκρούς εξανέστησας, Παντοδύναμε καί ακατάληπτε, Κύριε δόξα σοι.

Καί νύν... Θεοτοκίον

Χαίρε άγιον όρος καί θεοβάδιστον, χαίρε έμψυχε βάτε καί ακατάφλεκτε, χαίρε η μόνη πρός Θεόν κόσμου γέφυρα, η μετάγουσα θνητούς, πρός τήν αιώνιον ζωήν, χαίρε ακήρατε Κόρη, η απειράνδρως τεκούσα, τήν σωτηρίαν τών ψυχών ημών.

Κύριε, μετά τήν τριήμερόν σου Ανάστασιν, καί τήν τών Αποστόλων προσκύνησιν, ο Πέτρος εβόα σοι. Γυναίκες απετόλμησαν, καγώ εδειλίασα. Ληστής εθεολόγησε, καγώ ηρνησάμην σε, άρα καλέσεις με τού λοιπού μαθητήν, ή πάλιν δείξεις με αλιέα βυθού; αλλά μετανοούντά με δέξαι, ο Θεός καί σώσόν με.

Δόξα...

Κύριε, εν μέσω σε προσήλωσαν, οι παράνομοι τών καταδίκων, καί λόγχη τήν πλευράν σου εξεκέντησαν, ώ Ελεήμον, ταφήν δέ κατεδέξω, ο λύσας άδου τάς πύλας, καί ανέστης τριήμερος, έδραμον Γυναίκες ιδείν σε, καί απήγγειλαν Αποστόλοις τήν Έγερσιν. Υπερυψούμενε Σωτήρ, όν

υμνούσιν Άγγελοι, ευλογημένε Κύριε δόξα σοι.

Καί νύν... Θεοτοκίον

Απειρόγαμε Νύμφη θεογεννήτρια, η τής Εύας τήν λύπην χαραποιήσασα, ανυμνούμεν οι πιστοί καί προσκυνούμέν σε, ότι ανήγαγες ημάς εκ τής αρχαίας αράς, καί νύν δυσώπει απαύστως, πανύμνητε Παναγία, εις τό σωθήναι ημας.

ΕΥΛΟΓΗΤΑΡΙΑ Ήχος πλ. α'

- Ευλογητός εί, Κύριε, δίδαξόν με τά δικαιώματά σου.

Τών Αγγέλων ο δήμος, κατεπλάγη ορών σε, εν νεκροίς λογισθέντα, τού θανάτου δέ Σωτήρ, τήν ισχύν καθελόντα, καί σύν εαυτώ τόν Αδάμ εγείραντα, καί εξ Άδου πάντας ελευθερώσαντα.

- Ευλογητός εί, Κύριε, δίδαξόν με τά δικαιώματά σου.

Τί τά μύρα, συμπαθώς τοίς δάκρυσιν, ώ Μαθήτριαι κιρνάτε; ο αστράπτων εν τώ τάφω Άγγελος, προσεφθέγγετο ταίς Μυροφόροις, Ίδετε υμείς τόν τάφον καί ήσθητε, ο Σωτήρ γάρ εξανέστη τού μνήματος.

- Ευλογητός εί, Κύριε, δίδαξόν με τά δικαιώματά σου.

Λίαν πρωί, Μυροφόροι έδραμον, πρός τό μνήμά σου θρηνολογούσαι, αλλ' επέστη, πρός αυτάς ο Άγγελος, καί είπε, θρήνου ο καιρός πέπαυται, μή κλαίετε, τήν Ανάστασιν δέ, Αποστόλοις είπατε.

- Ευλογητός εί, Κύριε, δίδαξόν με τά δικαιώματά σου.

Μυροφόροι γυναίκες, μετά μύρων ελθούσαι, πρός τό μνήμά σου, Σώτερ, ενηχούντο. Αγγέλου τρανώς, πρός αυτάς φθεγγομένου. Τί μετά νεκρών, τόν ζώντα λογίζεσθε; ώς Θεός γάρ, εξανέστη τού μνήματος.

Δόξα... Τριαδικόν

Προσκυνούμεν Πατέρα, καί τόν τούτου Υιόν τε, καί τό Άγιον Πνεύμα, τήν Αγίαν Τριάδα, εν μιά τή ουσία, σύν τοίς Σεραφείμ, κράζοντες τό, Άγιος, Άγιος, Άγιος εί, Κύριε.

Καί νύν... Θεοτοκίον

Ζωοδότην τεκούσα, ελυτρώσω Παρθένε, τόν Αδάμ αμαρτίας, χαρμονήν δέ τή Εύα, αντί λύπης παρέσχες, ρεύσαντα ζωής, ίθυνε πρός ταύτην δέ, ο εκ σού σαρκωθείς Θεός καί άνθρωπος.

Αλληλούϊα, Αλληλούϊα, Αλληλούϊα. Δόξα σοι ο Θεός. (εκ γ')

Η Υπακοή Ήχος πλ. α'

Αγγελική οράσει τόν νούν εκθαμβούμεναι, καί θεϊκή Εγέρσει τήν ψυχήν φωτιζόμεναι, αι Μυροφόροι τοίς Αποστόλοις ευηγγελίζοντο. Αναγγείλατε εν τοίς έθνεσι, τήν Ανάστασιν τού Κυρίου, συνεργούντος τοίς θαύμασι, καί παρέχοντος ημίν μέγα έλεος.

Οι Αναβαθμοί Αντίφωνον Α'

- Εν τώ θλίβεσθαί με Δαυϊτικώς, άδω σοι Σωτήρ μου. Ρύσαί μου τήν ψυχήν εκ γλώσσης δολίας.
- Τοίς ερημικοίς ζωή μακαρία εστί, θεϊκώ έρωτι πτερουμένοις.

Δόξα... καί νύν...

Αγίω Πνεύματι, περικρατείται πάντα τά ορατά τε σύν τοίς αοράτοις, αυτοκρατές γάρ όν, τής Τριάδος έν εστιν αψεύστως.

Αντίφωνον Β'

- Εις τά όρη ψυχή αρθώμεν, δεύρο εκείσε, όθεν βοήθεια ήκει.
- Δεξιά σου χείρ καμέ, Χριστέ ιπταμένη, σκαιωρίας πάσης περιφυλαξάτω.

Δόξα... καί νύν...

Αγίω Πνεύματι, θεολογούντες φώμεν, Συ εί Θεός, ζωή, έρως, φώς, νούς, σύ χρηστότης, σύ βασιλεύεις εις τούς αιώνας.

Αντίφωνον Γ'

- Επί τοίς ειρηκόσι μοι. Εις τάς αυλάς προσβώμεν Κυρίου, χαράς πολλής πλησθείς ευχάς αναπέμπω.
- Επί οίκον Δαυϊδ, τά φοβερά τελεσιουργείται, πύρ γάρ εκεί φλέγον, άπαντα αισχρόν νούν.

Δόξα... καί νύν...

Αγίω Πνεύματι, ζωαρχική αξία, εξ ού πάν ζώον εμψυχούται, ως εν Πατρί, άμα τε καί Λόγω.

Προκείμενον

Ανάστηθι Κύριε ο Θεός μου, ότι σύ βασιλεύεις εις τούς αιώνας.

Στίχ. Εξομολογήσομαί σοι, Κύριε, εν όλη καρδία μου.

Κανών Αναστάσιμος

Ωδή α'  Ήχος πλ. α'
Ο Ειρμός
Ίππον και αναβάτην, εις θάλασσαν Ερυθράν, ο συντρίβων πολέμους, εν υψηλώ βραχίονι, Χριστός εξετίναξεν, Ισραήλ δέ έσωσεν, επινίκιον ύμνον άδοντα.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Σέ η ακανθηφόρος, Εβραίων συναγωγή, ου στοργήν ευεργέτα, πρός σέ φυλάξασα, μητρικήν Χριστέ εστεφάνωσε, τόν γενάρχην λύοντα, τής ακάνθης τό επιτίμιον.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Ηγειράς με πεσόντα, τώ βόθρω επικληθείς, ζωοδότα απτώτως, καί τής εμής δυσώδους φθοράς, Χριστέ ανασχόμενος, απειράστως θείας ουσίας, μύρω με ευωδίασας.
Θεοτοκίον
Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Λέλυται η κατάρα, η λύπη πέπαυται, η γάρ ευλογημένη, καί κεχαριτωμένη, πιστοίς χαράν εξανέτειλεν, ευλογίαν πάσιν ανθηφορούσα, Χριστόν τοίς πέρασι.

Κανών Σταυροαναστάσιμος

Ο Ειρμός  Τώ σωτήρι Θεώ
Τώ βουλήσει Σταυρώ, προσηλωθέντι σαρκί, καί τής αρχαίας αποφάσεως, τόν διά ξύλου πεσόντα ελευθερώσαντι, αυτώ μόνω άσωμεν, ότι δεδόξασται.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Τώ εκ τάφου νεκρώ, εξαναστάντι Χριστώ, καί τόν πεσόντα συνεγείραντι, καί συνεδρία Πατρική κατακοσμήσαντι, αυτώ μόνω άσωμεν, ότι δεδόξασται.
Θεοτοκίον
Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Άχραντε Μήτηρ Θεού, τόν σαρκωθέντα εκ σού, καί εκ τών κόλπων τού Γεννήτορος, μή εκφοιτήσαντα Θεόν, απαύστως πρέσβευε, πάσης περιστάσεως, σώσαι ούς έπλασε.

Κανών τής Υπεραγίας Θεοτόκου, ού η Ακροστιχίς:
Φώς η τεκούσα, φώτισόν με Παρθένε.

Ο Ειρμός
Ίππον καί αναβάτην, εις θάλασσαν ερυθράν, ο συντρίβων πολέμους, εν υψηλώ βραχίονι, Χριστός εξετίναξεν, Ισραήλ δέ έσωσεν, επινίκιον, ύμνον άδοντα.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φώς τό κατασκηνώσαν, εν σοί Πανάχραντε, καί φωτίσαν τόν κόσμον, μαρμαρυγαίς θεότητος, Χριστόν εκδυσώπησον, φωτισθήναι άπαντας, τούς υμνούντας σε Μητροπάρθενε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ως ωραϊζομένη, τώ κάλλει τών αρετών, η κεχαριτωμένη, καλλοποιόν ευπρέπειαν, τή αίγλη τού Πνεύματος, υπεδέξω Πάναγνε, τόν τά σύμπαντα καλλωπίσαντα.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σέ πάλαι προτυπούσα, η Βάτος η εν Σινά, ουκ εφλέχθη Παρθένε, τώ πυρί ομιλήσασα. Παρθένος γάρ τέτοκας, καί παρθένος έμεινας, υπέρ έννοιαν Μητροπάρθενε.

## Ωδή γ'

### Ο Ειρμός

Ο πήξας επ' ουδενός τήν γήν τή προστάξει σου, καί μετεωρίσας ασχέτως βρίθουσαν, επί τήν ασάλευτον Χριστέ, πέτραν τών εντολών σου, τήν Εκκλησίαν σου στερέωσον, μόνε αγαθέ καί φιλάνθρωπε.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Χολήν μέν οι εκ πέτρας τό μέλι θηλάσαντες, τώ εν τή ερήμω τερατουργήσαντι, σοί προσενηνόχασι Χριστέ, όξος δ' αντί τού μάννα, ευεργεσίαν σοι ημείψαντο, παίδες Ισραήλ οι αγνώμονες.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Οι πάλαι φωτοειδεί νεφέλη σκεπόμενοι, τήν ζωήν εν τάφω Χριστέ κατέθεντο, αλλ' αυτεξουσίως αναστάς, πάσι πιστοίς παρέσχες, τήν μυστικώς επισκιάζουσαν, άνωθεν τού Πνεύματος έλλαμψιν.

### Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σύ Μήτηρ Θεού ασυνδυάστως γεγένησαι, τού εξ ακηράτου Πατρός εκλάμψαντος, άνευθεν ώδίνων μητρικών, όθεν σε Θεοτόκον, σεσαρκωμένον γάρ εκύησας, Λόγον ορθοδόξως κηρύττομεν.

## Κανών Σταυροαναστάσιμος

### Ο Ειρμός

Δυνάμει τού Σταυρού σου Χριστέ, στερέωσόν μου τήν διάνοιαν, εις τό υμνείν καί δοξάζειν σου, τήν εκούσιον νύν σταύρωσιν.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ανέστης εκ τού τάφου Χριστέ, φθοράς θανάτου λυτρωσάμενος, τούς ανυμνούντας ζωοδότα, τήν εκούσιόν σου σταύρωσιν,

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Μυρίσαι σου τό σώμα Χριστέ, αι Μυροφόροι κατηπείγοντο, καί μή ευρούσαι υπέστρεφον, ανυμνούσαί σου τήν έγερσιν.

### Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ικέτευε απαύστως αγνή, τόν σαρκωθέντα εκ λαγόνων σου, ρυσθήναι πλάνης διαβόλου, τούς υμνούντάς σε Παρθένε αγνή.

## Κανών τής Θεοτόκου

### Ο Ειρμός

Ο πήξας επ' ουδενός, τήν γήν τή προστάξει σου, καί μετεωρίσας ασχέτως βρίθουσαν, επί τήν ασάλευτον Χριστέ, πέτραν τών εντολών σου, τήν Εκκλησίαν σου στερέωσον, μόνε αγαθέ καί φιλάνθρωπε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Η κλίμαξ ή, πρός ημάς, κατέβη ο Ύψιστος, τήν φθαρείσαν φύσιν επανορθώσασθαι, σύ αριδηλότατα σεμνή, πάσι νύν καθωράθης, διά σού γάρ ο υπεράγαθος, κόσμω ομιλήσαι ηυδόκησε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τό πάλαι προορισθέν, Παρθένε μυστήριον, καί πρό τών αιώνων προγινωσκόμενον, τώ πάντα γινώσκοντι Θεώ, χρόνων νύν επ' εσχάτων, εν τή νηδυϊ σου Πανάμωμε, πέρας ειληφός αναδέδεικται.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ελύθη η τής αράς, τής πάλαι κατάκρισις, τή σή μεσιτεία Παρθένε άχραντε, επί σοί γάρ Κύριος οφθείς, πάσι τήν ευλογίαν, ως υπεράγαθος ανέβλυσε, μόνη τών βροτών εγκαλλώπισμα.

## Ωδή δ'

### Ο Ειρμός

Τήν θείαν εννοήσας σου κένωσιν, προβλεπτικώς ο Αββακούμ, Χριστέ εν τρόμω εβόα σοι. Εις σωτηρίαν λαού σου, τού σώσαι τούς χριστούς σου ελήλυθας.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Τής Μερράς τά πικρότατα νάματα, ως εν εικόνι προτυπών, τόν άχραντόν σου Σταυρόν αγαθέ, τής αμαρτίας νεκρούντα, τήν γεύσιν διά ξύλου εγλύκανας.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Σταυρόν κατά τού ξύλου τής γνώσεως, κατά γλυκείας εδωδής, χολήν Σωτήρ μου προσίεσαι, κατά φθοράς δέ θανάτου, τό αίμά σου τό θείον εξέχεας.

### Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Εκτός μέν συναφείας συνέλαβες, αδιαφθόρως εν γαστρί, καί πρίν ωδινήσαι τέτοκας, καί μετά τόκον Παρθένος, Θεόν σαρκί τεκούσα πεφύλαξαι.

## Κανών Σταυροαναστάσιμος

### Ο Ειρμός

Εισακήκοα τήν ακοήν, τής δυναστείας τού Σταυρού σου, ως Παράδεισος ηνοίγη δι' αυτού, καί εβόησα. Δόξα τή δυνάμει σου, Κύριε.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ως επάγη επί γής, εν τώ Κρανίω ο Σταυρός, συνετρίβησαν μοχλοί, καί πυλωροί αιώνιοι, καί εβόησαν. Δόξα τή δυνάμει σου Κύριε.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ως κατήλθεν ο Σωτήρ, πρός τούς δεσμίους ως θνητός, συνανέστησαν αυτώ οι απ' αιώνος θανέντες, καί εβόησαν. Δόξα τή δυνάμει σου Κύριε.

### Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Παρθένος έτεκε, καί τά μητέρων ουκ έγνω, αλλά μήτηρ μέν εστι, παρθένος δέ διέμεινεν, ήν ανυμνούντες, Χαίρε Θεοτόκε κραυγάζομεν.

## Κανών τής Θεοτόκου

### Ο Ειρμός

Τήν θείαν εννοήσας σου κένωσιν, προβλεπτικώς ο Αββακούμ, Χριστέεντρόμω εβόα σοι. Εις σωτηρίαν λαού σου, τού σώσαι τούς χριστούς σου ελήλυθας.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Καρδία, νώ, ψυχή τε καί στόματι, ομολογών πανευσεβώς, σέ Θεοτόκον κυρίως αγνή, τήν σωτηρίαν καρπούμαι, καί σώζομαι Παρθένε πρεσβείαις σου.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ο κτίσας εκ μή όντων τά σύμπαντα, εκ σού κτισθήναι τής αγνής, ως ευεργέτης ηυδόκησε, πρός σωτηρίαν τών πίστει, καί πόθω σε υμνούντων Πανάμωμε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Υμνούσι τόν σόν τόκον Πανάμωμε, οι υπερκόσμιοι Χοροί, τή σωτηρία γηθόμενοι, τών αληθή Θεοτόκον, φρονούντων σε Παρθένε αμόλυντε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σέ ράβδον Ησαϊας ωνόμασεν, εξ ής εβλάστησεν ημίν, ωραίον άνθος Χριστός ο Θεός, πρός σωτηρίαν τών πίστει, καί πόθω προστρεχόντων τή σκέπη σου.

## Ωδή ε'

### Ο Ειρμός

Ο αναβαλλόμενος φώς ως ιμάτιον, πρός σέ ορθρίζω, καί σοί κραυγάζω, τήν ψυχήν μου φώτισον τήν εσκοτισμένην, Χριστέ ως μόνος εύσπλαγχνος.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Ο τής δόξης Κύριος, εν αδοξίας μορφή, επί τού ξύλου ητιμωμένος, εκουσίως κρέμαται, τήν θείαν μοι δόξαν, αφράστως προμηθούμενος.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Σύ μεμετημφίασας, πρός αφθαρσίαν Χριστέ, φθοράς θανάτου αδιαφθόρως, τή σαρκί γευσάμενος, καί εξανατείλας τού μνήματος τριήμερος.

### Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σύ δικαιοσύνην τε, καί απολύτρωσιν ημίν, τεκούσα Χριστόν ασπόρως, ελευθέραν έδρασας αράς, Θεοτόκε τήν φύσιν τού προπάτορος.

## Κανών Σταυροαναστάσιμος

### Ο Ειρμός

Ορθρίζοντες βοώμέν σοι, Κύριε. Σώσον ημάς. Σύ γάρ εί Θεός ημών, εκτός σου άλλον ουκ οίδαμεν.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Εξέτεινας τάς χείρας Σωτήρ ημών, επί τού ξύλου πάντας προσκαλούμενος, πρός εαυτόν ως φιλάνθρωπος.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Εσκύλευσας τόν Άδην Σωτήρ ημών, τή ταφή σου, καί τή Αναστάσει σου, χαράς τά πάντα επλήρωσας.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Παρθένον μετά τόκον υμνούμέν σε, Θεοτόκε, σύ γάρ τόν Θεόν Λόγον, σαρκί τώ κόσμω εκύησας.

Κανών τής Θεοτόκου

Ο Ειρμός

Ο αναβαλλόμενος φώς ως ιμάτιον, πρός σέ ορθρίζω, καί σοι κραυγάζω, τήν ψυχήν μου φώτισον, τήν εσκοτισμένην, Χριστέ ως μόνος εύσπλαγχνος.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Άπαντες Προφήταί σε σαφώς προήγγειλαν, γενησομένην Θεού Μητέρα, Θεοτόκε πάνσεμνε, μόνη γάρ ευρέθης αγνή, τελείως άμωμος.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φωτεινήν νεφέλην σε τού ζώντος ύδατος, ημίν τόν όμβρον τής αφθαρσίας, τόν Χριστόν ομβρήσασαν, τοίς απεγνωσμένοις, σεμνή επιγινώσκομεν.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ως πλησίον όλην σε καλήν καί άμωμον, εσφραγισμένην τή παρθενία, καθαρώς ηγάπησεν, εν σοί ο σκηνώσας Θεός, ως μόνος εύσπλαγχνος.

Ωδή ς'

Ο Ειρμός

Μαινομένην κλύδωνι, ψυχοφθόρω, Δέσποτα Χριστέ, τών παθών τήν θάλασσαν κατεύνασον, καί εκ φθοράς, ανάγαγέ με ως εύσπλαγχνος.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Εις φθοράν κατώλισθεν, ο Γενάρχης, Δέσποτα Χριστέ, παρηκόου βρώσεως γευσάμενος, καί πρός ζωήν ανήκται διά τού πάθους σου.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Η ζωή κατήντησας, πρός τόν Άδην, Δέσποτα Χριστέ, καί φθορά τώ φθείραντι γενόμενος, διά φθοράς επήγασας τήν Ανάστασιν.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Η Παρθένος έτεκε, καί τεκούσα, έμεινεν αγνή, εν χερσί τόν φέροντα τά σύμπαντα, ως αληθώς παρθένος Μήτηρ βαστάσασα.

Κανών Σταυροαναστάσιμος

Ο Ειρμός

Εκύκλωσέ με άβυσσος, ταφή μοι τό κήτος εγένετο, εγώ δέ εβόησα πρός σέ τόν φιλάνθρωπον, καί έσωσέ με η δεξιά σου, Κύριε.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Εξέτεινας παλάμας σου, συνάγων μακράν διεστώτά σου, εθνών τά συστήματα, Χριστέ ο Θεός

ημών, τώ ζωηφόρω Σταυρώ σου ως φιλάνθρωπος.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Εσκύλευσας τόν θάνατον, καί πύλας τού Άδου συνέτριψας. Αδάμ δέ ο δέσμιος, λυθείς ανεβόα σοι. Διέσωσέ με η δεξιά σου Κύριε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Βάτον σε ακατάφλεκτον, καί όρος καί Κλίμακα έμψυχον, καί Πύλην ουράνιον, αξίως δοξάζομεν, Μαρία ένδοξε, ορθοδόξων καύχημα.

Κανών τής Θεοτόκου

Ο Ειρμός

Μαινομένην κλύδωνι, ψυχοφθόρω Δέσποτα Χριστέ, τών παθών τήν θάλασσαν κατεύνασον, καί εκ φθοράς, ανάγαγέ με ως εύσπλαγχνος.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τού παντός ο αίτιος, καί τό είναι, πάσι παρασχών, ως αιτίαν έσχηκε, σαρκούμενος τό καθ' ημάς, σέ Θεομήτορ πανάμωμε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ιαμάτων Δέσποινα, ψυχοτρόφων, βρύουσαν πηγήν, τοίς πιστώς προστρέχουσι, τή σκέπη σου τή ευκλεεί, γινώσκομέν σε Πανάμωμε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σωτηρίας αίτιον, ζωοδότην, τέτοκας ημίν, αιωνίαν λύτρωσιν, δωρούμενον τοίς αληθή, σέ Θεοτόκον κηρύττουσι.

Κοντάκιον Ήχος πλ. α'

Μιμητής υπάρχων Πρός τόν Άδην Σωτήρ μου συγκαταβέβηκας, καί τάς πύλας συντρίψας ως παντοδύναμος, τούς θανόντας ως Κτίστης συνεξανέστησας, καί θανάτου τό κέντρον Χριστέ συνέτριψας, καί Αδάμ τής κατάρας ερρύσω Φιλάνθρωπε, διό πάντες σοί κράζομεν. Σώσον ημάς Κύριε.

Ο Οίκος

Ακούσασαι αι Γυναίκες τού Αγγέλου τά ρήματα, απεβάλοντο τόν θρήνον, προσχαρείς γενόμεναι, καί σύντρομοι τήν Ανάστασιν έβλεπον, καί ιδού Χριστός προσήγγισεν αυταίς, λέγων τό, Χαίρετε, θαρσείτε, εγώ τόν κόσμον νενίκηκα, καί τούς δεσμίους ερρυσάμην, σπουδάσατε ούν πρός τούς Μαθητάς, απαγγέλλουσαι αυτοίς, ότι προάγω υμάς, εν τή πόλει Γαλιλαία τού κηρύξαι. Διό πάντες σοι κράζομεν. Σώσον ημάς Κύριε.

Ωδή ζ

Ο Ειρμός

Ουπερυψούμενος, τών Πατέρων Κύριος, τήν φλόγα κατέσβεσε, τούς Παίδας εδρόσισε, συμφώνως μελωδούντας, ο Θεός ευλογητός εί.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Σάρκα περιθέμενος, ως αγκίστρω δέλεαρ, τή θεία δυνάμει σου, τόν όφιν καθείλκυσας, ανάγων τούς βοώντας, ο Θεός ευλογητός εί.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Ο τής γής τήν άπλετον, ουσιώσας σύστασιν, εν τάφω καλύπτεται, σαρκί ο αχώρητος, ώ πάντες μελωδούμεν, ο Θεός ευλογητός εί.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Μίαν μέν υπόστασιν, εν δυσί ταίς φύσεσι, Πανάμωμε τέτοκας, Θεώ όν σωματούμενον, πάντες μελωδούμεν, ο Θεός ευλογητός εί.

Κανών Σταυροαναστάσιμος

Ο Ειρμός

Ο εν καμίνω πυρός, τούς υμνολόγους σώσας Παίδας, ευλογητός ο Θεός, ο τών πατέρων ημών.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ο διά ξύλου Σταυρού, τήν τών ειδώλων λύσας πλάνην, ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ο αναστάς εκ νεκρών, καί τούς εν Άδη συνεγείρας, ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Οεκ Παρθένου τεχθείς, καί Θεοτόκον ταύτην δείξας, ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Κανών τής Θεοτόκου

Ο Ειρμός

Ο υπερυψούμενος, τών Πατέρων Κύριος, τήν φλόγα κατέσβεσε, τούς Παίδας εδρόσισε, συμφώνως μελωδούντας, ο Θεός ευλογητός εί.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ο απεριόριστος, διαμείνας άτρεπτος, σαρκί καθ' υπόστασιν, ηνώθη ως εύσπλαγχνος, εν σοί τή Παναγία, ο μόνος ευλογημένος.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νύμφην σε πανάμωμον, Θεοτόκε Δέσποινα, συμφώνως δοξάζομεν, καί θρόνον τού Κτίστου σου, ώ πάντες μελωδούμεν, ο Θεός ευλογητός εί.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Μήτηρ τού Παντάνακτος, αγνισθείσα Πνεύματι, Παρθένε γεγένησαι, τού σέ πλαστουργήσαντος, ώ πάντες μελωδούμεν, ο Θεός ευλογητός εί.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Έσωσέ με Κύριος, Θεομήτορ άχραντε, σαρκός περιβόλαιον, εκ σού περιθέμενος, ώ πάντες μελωδούμεν, ο Θεός ευλογητός εί.

Ωδή η'

Ο Ειρμός

Σοί τώ παντουργώ, εν τή καμίνω Παίδες, παγκόσμιον πλέξαντες, χορείαν έμελπον. Πάντα τά έργα, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Σύ τό θελητόν, τού σωτηρίου πάθους, απηύξω ποτήριον, ώσπερ αβούλητον, δύο θελήσεις, δυσί γάρ καταλλήλαις, φέρεις ταίς ουσίαις, Χριστέ εις τούς αιώνας.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Σού τού παντουργού, τή καταβάσει Άδης, Χριστέ καταγέλαστος, γεγονώς ήμεσε, πάντας τούς πάλαι, τή πλάνη νεκρωθέντας, σέ υπερυψούντας, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σέ τήν υπέρ νούν, θεανδρικώς τώ λόγω, τεκούσαν τόν Κύριον, καί παρθενεύουσαν, πάντα τά έργα, Παρθένε ευλογούμεν, καί υπερυψούμεν, εις πάντας τούς αιώνας.

Κανών Σταυροαναστάσιμος

Ο Ειρμός

Τόν εκ Πατρός πρό αιώνων, γεννηθέντα Υιόν καί Θεόν, καί επ' εσχάτων τών χρόνων, σαρκωθέντα εκ Παρθένου Μητρός, ιερείς υμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Τόν εν Σταυρώ εκουσίως, τάς παλάμας εκπετάσαντα, καί τά δεσμά τού θανάτου διαρρήξαντα, Χριστόν τόν Θεόν, ιερείς υμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Τόν ως νυμφίον εκ τάφου, ανατείλαντα Χριστόν τόν Θεόν, καί Μυροφόροις οφθέντα, καί χαράν αυταίς φθεγξάμενον, Ιερείς υμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τών Χερουβείμ υπερτέρα, ανεδείχθης Θεοτόκε αγνή, εν τή γαστρί σου τόν τούτοις, εποχούμενον βαστάσασα, όν σύν Ασωμάτοις, βροτοί δοξολογούμεν, εις πάντας τούς αιώνας.

Κανών τής Θεοτόκου

Ο Ειρμός

Σοί τώ παντουργώ, εν τή καμίνω Παίδες, παγκόσμιον πλέξαντες, χορείαν έμελπον. Πάντα τά έργα, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Πέπαυται τανύν, η προπατόρων λύπη, χαράν τεξαμένης σου, τής Θεομήτορος, όθεν απαύστως, υμνούμέν σε Παρθένε, καί υπερυψούμεν, εις πάντας τούς αιώνας.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Άδει σύν ημίν, τών Ασωμάτων δήμος, Παρθένε τόν τόκον σου τόν ακατάληπτον, μίαν χορείαν, στησάμενοι σύν πόθω, καί υπερυψούντες, αυτόν εις τούς αιώνας.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ρείθρον διαυγές, αθανασίας Κόρη, εκ σού εξελήλυθεν ο πάντων Κύριος, ρύπον εκπλύνων, τών πίστει σε υμνούντων, καί υπερυψούντων, εις πάντας τούς αιώνας.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Θείον αληθώς, καί φωτοφόρον θρόνον, καί πλάκα τής χάριτος, ομολογούμέν σε, Λόγον Παρθένε,

Πατρός ως δεξαμένην, όν υπερυψούμεν, εις πάντας τούς αιώνας.

Ωδή θ'

Ο Ειρμός

Ησαϊα χόρευε, η Παρθένος έσχεν εν γαστρί, καί έτεκεν υιόν τόν Εμμανουήλ, Θεόν τε καί άνθρωπον. Ανατολή, όνομα αυτώ, όν μεγαλύνοντες, τήν Παρθένον μακαρίζομεν.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Τόν πεσόντα άνθρωπον, ανεδέξω Δέσποτα Χριστέ, εκ μήτρας παρθενικής, όλος συναφθείς, μόνος αμαρτίας δέ, μή μετασχών, όλον εκ φθοράς, σύ ηλευθέρωσας, τοίς αχράντοις σου παθήμασι.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Θεορρήτω αίματι, κενωθέντι Δέσποτα Χριστέ, εκ σής αχράντου πλευράς, καί ζωοποιού, θυσία μέν πέπαυται, ειδωλική, πάσα δέ η γή, σού τής αινέσεως, τήν θυσίαν αναφέρομεν.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ου Θεόν ασώματον, ουδέ πάλιν άνθρωπον ψιλόν, προήγαγεν η αγνή, Κόρη καί σεμνή, αλλ' άνθρωπον τέλειον, καί αψευδή, τέλειον Θεόν, όν μεγαλύνομεν, σύν Πατρί τε καί τώ Πνεύματι.

Κανών Σταυροαναστάσιμος

Ο Ειρμός

Σέ τήν υπέρ νούν, καί λόγον μητέρα Θεού, τήν εν χρόνω τόν άχρονον, αφράστως κυήσασαν, οι πιστοί ομοφρόνως μεγαλύνομεν.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Σέ τόν εν Σταυρώ, τά πάθη δεξάμενον, καί θανάτω συντρίψαντα τού Άδου τήν δύναμιν, οι πιστοί ορθοδόξως μεγαλύνομεν.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Σέ τόν αναστάντα, εκ τάφου τριήμερον, καί τόν Άδην σκυλεύσαντα, καί κόσμον φωτίσαντα, οι πιστοί ομοφρόνως μεγαλύνομεν.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Χαίρε Θεοτόκε, Μήτηρ Χριστού τού Θεού, όν εκύησας αίτησαι, πταισμάτων τήν άφεσιν, δωρηθήναι τοίς πίστει ανυμνούσί σε.

Κανών τής Θεοτόκου

Ο Ειρμός

Ησαϊα χόρευε, η Παρθένος, έσχεν εν γαστρί, καί έτεκεν υιόν τόν Εμμανουήλ, Θεόν τε καί άνθρωπον, ανατολή, όνομα αυτώ, όν μεγαλύνοντες, τήν Παρθένον μακαρίζομεν.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Εξ αγνών αιμάτων σου, ετυρώθη σάρξ υπερφυώς, τώ πάντων Δημιουργώ, καί μονογενεί, Υιώ τού Γεννήτορος, ουκ εξ ανδρός, άνευ δέ σποράς, έννους καί έμψυχος, Θεοτόκε αειπάρθενε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νεμομένην έστησας, τού θανάτου άσχετον ορμήν, γεννήσασα σαρκικώς, όντως υπέρ νούν, ζωήν

τήν αιώνιον, ή προσβαλών, στόματι πικρώ, Άδης κατήργηται, Παναγία Μητροπάρθενε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Εν θρόνω καθήμενος, ο Υιός σου τώ δεσποτικώ, χρυσοίς σε εν κροσσωτοίς, θείαις αρεταίς, φαιδρώς διαλάμπουσαν, εκ δεξιών, έστησεν αυτού, νέμων τά αίσια, ως Μητρί σοι Παναμώμητε.

Αίνοι Ήχος πλ. α'

1. Τού ποιήσαι εν αυτοίς κρίμα έγγραπτον. Δόξα αύτη έσται πάσι τοίς οσίοις αυτού.
-- Κύριε, εσφραγισμένου τού τάφου υπό τών παρανόμων, προήλθες εκ τού μνήματος, καθώς ετέχθης εκ τής Θεοτόκου, ουκ έγνωσαν πώς εσαρκώθης, οι ασώματοί σου Άγγελοι, ουκ ήσθοντο πότε ανέστης, οι φυλάσσοντές σε στρατιώται, αμφότερα γάρ εσφράγισται τοίς ερευνώσι, πεφανέρωται δέ τά θαύματα, τοίς προσκυνούσιν, εν πίστει τό μυστήριον, ο ανυμνούσιν, απόδος ημίν αγαλλίασιν, καί τό μέγα έλεος.
2. Αινείτε τόν Θεόν εν τοίς Αγίοις αυτού, αινείτε αυτόν εν στερεώματι τής δυνάμεως αυτού.
-- Κύριε, τούς μοχλούς τούς αιωνίους συντρίψας, καί δεσμά διαρρήξας, τού μνήματος ανέστης, καταλιπών σου τά εντάφια, εις μαρτύριον τής αληθούς τριημέρου ταφής σου, καί προήγες εν τή Γαλιλαία, ο εν σπηλαίω τηρούμενος. Μέγα σου τό έλεος, ακατάληπτε Σωτήρ, ελέησον ημάς.
3. Αινείτε αυτόν επί ταίς δυναστείαις αυτού, αινείτε αυτόν κατά τό πλήθος τής μεγαλωσύνης αυτού.
-- Κύριε, αι Γυναίκες έδραμον επί τώ μνήμα, τού ιδείν σε τόν Χριστόν, τόν δι' ημας παθόντα, καί προσελθούσαι, εύρον Άγγελον επί τόν λίθον καθήμενον, τώ φόβω κυλισθέντα, καί πρός αυτάς εβόησε λέγων, Ανέστη ο Κύριος, είπατε τοίς μαθηταίς, ότι ανέστη εκ νεκρών, ο σώζων τάς ψυχάς ημών.
4. Αινείτε αυτόν εν ήχω, σάλπιγγος, αινείτε αυτόν εν ψαλτηρίω καί κιθάρα.
-- Κύριε, ώσπερ εξήλθες εσφραγισμένου τού τάφου, ούτως εισήλθες καί τών θυρών κεκλεισμένων, πρός τούς μαθητάς σου, δεικνύων αυτοίς τά τού σώματος πάθη, άπερ κατεδέξω Σωτήρ μακροθυμήσας, ως εκ σπέρματος Δαυϊδ, μώλωπας υπήνεγκας, ως Υιός δέ τού Θεού, κόσμον ηλευθέρωσας. Μέγα σου τό έλεος, ακατάληπτε Σωτήρ, ελέησον ημάς.
5. Αινείτε αυτόν εν τυμπάνω καί χορώ, αινείτε αυτόν εν χορδαίς καί οργάνω,
-- Κύριε, ο Βασιλεύς τών αιώνων, καί Ποιητής τών απάντων, ο δι' ημάς σταύρωσιν, καί ταφήν σαρκί καταδεξάμενος, ίνα ημάς τού Άδου ελευθερώσης πάντας, σύ εί ο Θεός ημών, εκτός σου άλλον ουκ οίδαμεν.
6. Αινείτε αυτόν εν κυμβάλοις ευήχοις, αινείτε αυτόν εν κυμβάλοις αλαλαγμού. Πάσα πνοή αινεσάτω τόν Κύριον.
-- Κύριε, τά υπερλάμποντά σου θαύματα τίς διηγήσεται; ή τίς αναγγελεί τά φρικτά σου μυστήρια; ενανθρωπήσας γάρ δι' ημάς, ως αυτός ηθέλησας, τό κράτος εφανέρωσας τής δυνάμεώς σου, εν γάρ τώ Σταυρώ σου, τώ Ληστή Παράδεισον ήνοιξας, καί εν τή Τάφη σου, τούς μοχλούς τού Άδου συνέτριψας, καί έν τή Αναστάσει σου, τα σύμπαντα επλούτισας. Εύσπλαγχνε δόξα σοι.
7. Ανάστηθι, Κύριε, ο Θεός μου, υψωθήτω η χείρ σου, μή επιλάθη τών πενήτων σου εις τέλος.
-- Μυροφόροι γυναίκες, τόν τάφον σου καταλαβούσαι, λίαν πρωϊ, επεζήτουν σε μυρίσαι τόν Αθάνατον Λόγον καί Θεόν, καί τού Αγγέλου τοίς ρήμασιν ενηχηθείσαι, υπέστρεφον εν χαρά, τοίς, Αποστόλοις μηνύσαι έμφανώς, ότι ανέστης η ζωή τών απάντων, καί παρέχεις τώ κόσμω ιλασμόν, καί τό μέγα έλεος.
8. Εξομολογήσομαί σοι, Κύριε, εν όλη καρδία μου, διηγήσομαι πάντα τά θαυμάσιά σου.
-- Τού θεοδέγμονος τάφου, πρός τούς Ιουδαίους οι φύλακες έλεγον. Ώ τής υμών ματαιόφρονος συμβουλής! φυλάττειν τόν απερίγραπτον δοκιμάσαντες, μάτην εκοπιάσατε, κρύψαι τήν Ανάστασιν τού σταυρωθέντος βουλόμενοι, τρανώς εφανερώσατε. Ώ τού υμών ματαιόφρονος συνεδρίου! Τί πάλιν κρύψαι συμβουλεύεσθε, ό ου κρύπτεται; μάλλον δέ παρ' ημών ακούσατε, καί πιστεύσαι θελήσατε τών γενομένων τήν αλήθειαν. Άγγελος αστραπηφόρος, ουρανόθεν κατελθών, τόν λίθον απεκύλισεν, ου τώ φόβω νεκρώσει συνεσχέθημεν, καί φωνήσας ταις κραταιόφροσι Μυροφόροις, έλεγε γυναιξίν, ουχ οράτε τών φυλάκων τήν νέκρωσιν, καί τών σφραγίδων τήν διάλυσιν, τού Άδου τε τήν κένωσιν. Τί τόν τό νίκος τού Άδου, καταργήσαντα, καί τού θανάτου τό κέντρον συντρίψαντα, ως θνητόν επιζητείτε; Ευαγγελίσασθε δέ ταχύ πορευθείσαι τοίς Αποστόλοις τήν Ανάστασιν, αφόβως κραυγάζουσαι. Όντως ανέστη ο Κύριος, ο έχων τό μέγα έλεος.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ
### Οι Μακαρισμοί

Μακάριοι οι ελεήμονες, ότι αυτοί ελεηθήσονται.

Ο Ληστής εν τώ Σταυρώ, Θεόν είναί σε πιστεύσας Χριστέ, ωμολόγησέ σε ειλικρινώς εκ καρδίας. Μνήσθητί μου Κύριε βοών, εν τή βασιλεία σου.

Μακάριοι οι καθαροί τή καρδία ότι αυ τοί τόν Θεόν όψονται.

Τόν εν τώ ξύλω τού Σταυρού, ζωήν ανθήσαντα τώ γένει ημών, καί ξηράναντα τήν εκ τού ξύλου κατάραν, ως Σωτήρα καί Δημιουργόν, συμφώνως υμνήσωμεν.

Μακάριοι οι ειρηνοποιοί, ότι αυτοί υιοί Θεού κληθήσονται.

Τώ θανάτω σου Χριστέ, θανάτου έλυσας τήν δύναμιν, καί συνήγειρας τούς απ' αιώνος θανέντας, σέ υμνούντας τόν, αληθινόν Θεόν, καί Σωτήρα ημών.

Μακάριοι οι δεδιωγμένοι ένεκεν δικαιοσύνης, ότι αυτών εστιν η βασιλεία τών ουρανών.

Επί τό μνήμά σου Χριστέ, παραγενόμεναι Γυναίκες σεμναί, επεζήτουν σε ζωοδότα μυρίσαι, καί ώφθη ταύταις Άγγελος βοών. Ανέστη ο Κύριος.

Μακάριοί εστε όταν ονειδίσωσιν υμάς, καί διώξωσι, καί είπωσι πάν πονηρόν ρήμα καθυμών ψευδόμενοι ένεκεν εμού.

Σταυρωθέντος σου Χριστέ, εν μέσω δύο καταδίκων ληστών, ο μέν είς βλασφημών σε, κατεκρίθη δικαίως, ο δέ άλλος σε ομολογών, Παράδεισον ώκησε.

Χαίρετε καί αγαλλιάσθε, ότι ο μισθός υμών πολύς εν τοίς ουρανοίς.

Τών Αποστόλων τώ χορώ, παραγενόμεναι Γυναίκες σεμναί, ανεβόησαν, ο Χριστός ανέστη, ως Δεσπότην καί Δημιουργόν, αυτόν προσκυνήσωμεν.

Δόξα...

Τριάς αμέριστε Μονάς, η παντουργός καί παντοδύναμος, ο Πατήρ, ο Υιός, καί τό άγιον Πνεύμα, σέ υμνούμεν τόν αληθινόν Θεόν, καί Σωτήρα ημών.

Καί νύν... Θεοτοκίον

Χαίρε έμψυχε ναέ Θεού, καί πύλη αδιόδευτε, χαίρε άφλεκτε καί πυρίμορφε θρόνε, χαίρε Μήτηρ τού Εμμανουήλ, Χριστού τού Θεού ημών.

top

5-2

### Στιχηρά Προσόμοια Δεσποτικά
### Ήχος πλ. α'  Χαίροις ασκητικών

Στίχ. α'. Εάν ανομίας παρατηρήσης, Κύριε, Κύριε τίς υποστήσεται; ότι παρά σοί ο ιλασμός εστιν.

Οίμοι τώ παροργίσαντι σέ, τόν ελεήμονα Θεόν μου καί Κύριον! ποσάκις επηγγειλάμην, μετανοήσαι Χριστέ, καί ψευδής ευρέθην ο ανόητος! Τό πρίν τού Βαπτίσματος, κατερρύπωσα ένδυμα, τών συνθηκών τε, τών πρός σέ μου ηλόγησα, καί τό δεύτερον, πάλιν τούτο επάγγελμα, ό σοι καθωμολόγησα, Αγγέλων ενώπιον, καί τών ανθρώπων τό σχήμα, τό πένθιμον ενδυόμενος, ειμί αθετήσας, λοιπόν Σώτερ μή εις τέλος, αφής ολέσθαι με.

Στίχ. β'. Ένεκεν τού ονόματός σου υπέμεινά σε, Κύριε, υπέμεινεν η ψυχή μου εις τόν λόγον σου, ήλπισεν η ψυχή μου επί τόν Κύριον.

Ποίαν απολογίαν ψυχή, έχεις αθλία εν ημέρα τής κρίσεως; ή τίς σε τής καταδίκης, τού αιωνίου πυρός, καί πασών βασάνων εξαιρήσεται; ουδείς ειμή σύ σαυτή, ιλεώση τόν εύσπλαγχνον, τάς

αθεμίτους, καταλείψασα πράξεις σου, καί θεάρεστον, κτησαμένη βιότευσιν, κλαίουσα καθ' εκάστην σου, τά άπειρα σφάλματα, άπερ καθ' ώραν προσπταίεις, έργω καί λόγω εννοία τε, Χριστόν αιτουμένη, παρασχείν σοι τήν τελείαν, τούτων συγχώρησιν.

Στίχ. γ'. Από φυλακής πρωϊας μέχρι νυκτός, από φυλακής πρωϊας ελπισάτω Ισραήλ επί τόν Κύριον.

Μή μου κατακρατείτω Σωτήρ, τής αμαρτίας η συνήθεια έλκουσα, μηδέ μου κυριευέτω, δαίμων αεί πολεμών, καί καταφερέτω πρός τό θέλημα, αυτού, αλλ' εξάρπασον, τής αυτού δεσποτείας με, καί τυραννίδος, καί ζοφώδους κολάσεως, καί βασιλεύων εν εμοί σύ φιλάνθρωπε, όλον τε σόν γενέσθαι με, καί ζήν καταξίωσον, κατά τό θέλημα Λόγε, τό σόν καί έχειν ανάπαυσιν, εν σοί καί ευρείν με, ιλασμόν καί σωτηρίαν, καί μέγα έλεος.

Έτερα τών Ασωμάτων, όμοια

Στίχ. δ'. Ότι παρά τώ Κυρίω τό έλεος, καί πολλή παρ' αυτώ, λύτρωσις. καί αυτός λυτρώσεται τόν Ισραήλ έκ πασών τών ανομιών αυτού.

Λύμη με τών παθών τυραννεί, καί τής καρδίας μου τάς κόρας εζόφωσε, καί βλέπειν ου σθένω όλως, τάς σωτηρίους οδούς, προϊών πλανώμαι, καί κρημνίζομαι, δεινώς εις τά βάραθρα, τά τού Άδου Αρχάγγελοι, τών δέ θαυμάτων, τών υμών μιμνησκόμενος, θεραπεύομαι, από πάσης τής νόσου μου, ίδοιμι τήν ευμένειαν, υμών νύν ταχύτατα, σπεύσατε σβέσαι τήν φλόγα, τήν τών παθών μου πανσέβαστοι, πρός φώς οδηγούντες, σωτηρίας με καί λύσιν, κακών μοι νέμοντες.

Στίχ. ε'. Αινείτε τόν Κύριον πάντα τά έθνη, επαινέσατε αυτόν, πάντες οι λαοί.

Έσχε τόν τής ευκλείας βαθμόν, τής καθ' υμάς ο πονηρός, Αρχιστράτηγοι, ο πρώην ως Εωσφόρος, συνανατέλλων υμίν, αλλ' εκ πονηρίας ο αντίπαλος, εις γήν κατενήνεκται, καί τώ σκότει ζεζόφωται, καί σύν αυτώ με, καταρράξαι επείγεται, τιμηθέντα με, τή εικόνι τού πλάσαντος, όμως ει καί προπέπτωκα, Χριστός με ανέστησε, φάνητε ούν μοι προστάται, καί προμηθείς καί επίκουροι, σοφοί τώ αθλίω, σωτηρίαν μοι αιτούντες, καί μέγα έλεος.

Στίχ. ς'. Ότι εκραταιώθη τό έλεος αυτού εφ' ημάς, καί η αλήθεια τού Κυρίου μένει εις τόν αιώνα.

Έδει με κατ' εικόνα Θεού, γεγενημένον καί υμίν συναρίθμιον, μηδ' όλως καθυποκύψαι, τώ πονηρώ φεύ! εχθρώ, αλλά συμβουλία τού αλάστορος, υμάς ουκ εζήλωσα, εντολήν δέ ηθέτησα, καί εκπέπτωκα, τής τιμής τού ποιήσαντος, Αρχιστράτηγοι, καί δουλεία καθέλκομαι, όμως περιπαρέντα με, τοίς πάθεσι βλέποντες, δότε μοι χείρα πρός τρίβον, τήν ανωτάτω με φέρουσαν, τυχείν σωτηρίας, εξαιτούντές μοι καί κάλλους, αρχαίαν εύκλειαν.

Δόξα... Καί νύν... Θεοτοκίον όμοιον

Λάμψον τόν φωτισμόν σου εμοί, τώ εν τώ σκότει τών δεινών ενυπάρχοντι, τό φέγγος τής αληθείας, η συλλαβούσα Θεόν, καί σαρκί τεκούσα Μητροπάρθενε, βυθού απογνώσεως, διά τάχους ανάγαγε, καί επί πέτραν, ασφαλούς βιοτεύσεως, επιστήριξον, τής ψυχής μου τά βήματα, δίκασον τούς απαύστως με, πολεμούντας δαίμονας, παύσον τόν πόνον εν τάχει, τής ταλαιπώρου καρδίας μου, ελπίς τών περάτων, η τώ κόσμω δωρουμένη, τό μέγα έλεος.

Απόστιχα Κατανυκτικά

Κύριε, αμαρτάνων ου παύομαι, φιλανθρωπίας αξιούμενος, ου γινώσκω, νίκησόν μου τήν πώρωσιν, μόνε αγαθέ, καί ελέησόν με.

Στίχ. Α'. Πρός σέ ήρα τούς οφθαλμούς μου, τόν κατοικούντα εν τώ ουρανώ. Ιδού, ως οφθαλμοί δούλων εις χείρας τών κυρίων αυτών, ως οφθαλμοί παιδίσκης εις χείρας τής κυρίας αυτής, ούτως οι οφθαλμοί ημών πρός Κύριον τόν Θεόν ημών, έως ού οικτιρήσαι ημάς.

Κύριε, καί τόν φόβον σου πτοούμαι, καί τό πονηρόν ποιείν ου παύομαι, τίς εν δικαστηρίω τόν δικαστήν ου πτοείται; ή τίς ιαθήναι βουλόμενος, τόν ιατρόν παροργίζει ως καγώ; Μακρόθυμε Κύριε, επί τή ασθενεία μου σπλαγχνίσθητι, καί ελέησόν με.

Μαρτυρικόν

Στίχ. Β'. Ελέησον ημάς, Κύριε, ελέησον ημάς, ότι επί πολύ επλήσθημεν εξουδενώσεως, επί πλείον επλ ήσθη η ψυχή ημών, τό όνειδος τοίς ευθηνούσι, καί η εξουδένωσις τοίς υπερηφάνοις.

Τών επι γείων απάντων, καταφρονήσαντες, καί τών βασάνων ανδρειως κατατολμήσαντες, τών μακαρίων ελπίδων ουκ ηστοχήσατε, αλλ' ουρανών Βασιλείας κληρονόμοι γεγόνατε, πανεύφημοι Μάρτυρες, έχοντες παρρησίαν πρός τόν φιλάνθρωπον Θεόν, τώ κόσμω τήν ειρήνην αιτήσασθε, καί ταίς ψυχαίς ημών τό μέγα έλεος.

Δόξα... Καί νύν... Θεοτοκίον

Φοβερόν καί παράδοξον, καί μέγα τό μυστήριον! ο αχώρητος εν γαστρί εχωρήθη, καί η μήτηρ μετά τόν τόκον Παρθένος πάλιν διέμεινε. Θεόν γάρ εγέννησεν, εξ αυτής σαρκωθέντα. Αυτώ βοήσωμεν, αυτώ τόν ύμνον είπωμεν, σύν Αγγέλοις αναμέλποντες. Άγιος εί Χριστός ο Θεός, ο δι' ημάς ενανθρωπήσας δόξα σοι.

Μετά τήν α' Στιχολογίαν

Καθίσματα Κατανυκτικά

Ήχος πλ. α'

Κριτού καθεζομένου, καί Αγγέλων εστώτων, σάλπιγγος ηχούσης, καί φλογός καιομένης, τί ποιήσεις ψυχή μου, απαγομένη εις κρίσιν, τότε γάρ τά δεινά σου παρίστανται, τά κρυπτά σου ελέγχονται εγκλήματα, διό πρό τέλους βόησον, ο Θεός ιλάσθητί μοι, καί σώσόν με.

Ψυχή, τά ώδε πρόσκαιρα, τά δέ εκεί αιώνια, ορώ τό δικαστήριον, καί επί θρόνου τόν Κριτήν, καί τρέμω τήν απόφασιν, λοιπόν σπουδή επίστρεψον, η κρίσις ασυγχώρητος.

Δόξα... Καί νύν... Θεοτοκίον

Τόν συνάναρχον Λόγον

Η θερμή προστασία καί απροσμάχητος, η ελπίς η βεβαία καί ακαταίσχυντος, τείχος καί σκέπη καί λιμήν τών προστρεχόντων σοι, Αειπάρθενε αγνή, τόν Υιόν σου καί Θεόν, ικέτευε σύν Αγγέλοις, ειρήνην δούναι τώ κόσμω, καί σωτηρίαν καί μέγα έλεος.

Μετά τήν β' Στιχολογίαν

Καθίσματα Κατανυκτικά

Πάντες αγρυπνήσωμεν, καί Χριστώ υπαντήσωμεν, μετά πλήθους ελαίου, καί λαμπάδων φαεινων, όπως τού νυμφώνος ένδον αξιωθώμεν, ο γάρ τής θύρας έξω φθανόμενος, άπρακτα τώ Θεώ κέκραγεν. Ελέησόν με.

Εν κλίνη κατακείμενος, αμαρτημάτων πολλών, συλώμαι τήν ελπίδα τής σωτηρίας μου, ο γάρ ύπνος τής εμής ραθυμίας, προξενεί μου τή ψυχή τιμωρίαν, αλλά σύ ο Θεός, ο τεχθείς εκ Παρθένου, διέγειρόν με πρός τήν σήν υμνωδίαν, ίνα δοξάζω σε.

Δόξα... Καί νύν... Θεοτοκίον

Αγιωτέρα τών Χερουβείμ, υψηλοτέρα τών ουρανών Πανύμνητε, Θεοτόκον σε εν αληθεία ομολογούντες, έχομεν αμαρτωλοί προστασίαν, καί ευρίσκομεν εν πειρασμοίς σωτηρίαν, διό μή παύση πρεσβεύουσα υπέρ ημών, κραταίωμα καί καταφυγή τών ψυχών ημών.

Μετά τήν γ' Στιχολογίαν

Καθίσματα Κατανυκτικά

Τόν συνάναρχον Λόγον

Τό κριτήριον τρέμω τό φοβερώτατον, καί Κριτού τήν δικαίαν φρίττω απόφασιν, η συνείδησις καί γάρ αεί ελέγχει με, τή αμελεία δέ συζών, απορώ καί δειλιώ, πρεσβείαις υμών αγίαις, εκλυτρώσασθε τού πυρός με, οι τούς πιστούς φρουρούντες Αρχάγγελοι.

Μαρτυρικόν

Λάμπει σήμερον η μνήμη τών Αθλοφόρων, έχει γάρ καί ουρανόθεν απαύγασμα, ο χορός τών Αγγέλων πανηγυρίζει, καί τών ανθρώπων τό γένος συνεορτάζει, διό πρεσβεύουσι τώ Κυρίω, ελεηθήναι τάς ψυχάς ημών.

Δόξα... Καί νύν... Θεοτοκίον

Τόν συνάναρχον Λόγον

Γαβριήλ σοι τό χαίρε τό επουράνιον, επί γής παραδόξως εναπεκόμισε, τόν γάρ Αγγέλων ποιητήν, εν σοί σαρκούμενον ορών, τό μελώδημα χαράς, αναμέλπει σοι σεμνή, βροτούς δι' αυτού

διδάσκων, ως σύ μόνη χαράς αιτία, πάσιν ανθρώποις πεφανέρωσαι.

Κανών Κατανυκτικός, ού η Ακροστιχίς.
Τόν σοί πταίσαντα οίκτειρον, Λόγε. Ιωσήφ.

Ωδή α' Ήχος πλ. α'
Ο Ειρμός
Άσωμεν τώ Κυρίω, τώ ποιήσαντι θαυμαστά τέρατα, εν Ερυθρά θαλάσση, ωδήν επινίκιον, ότι δεδόξασται.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Τόν πολλαίς απάταις, εξελκόμενον καί δελεαζόμενον, Χριστέ τού αλλοτρίου, επίστρεψον, οίκτειρον, ως παντοδύναμος.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ο τού κωφού τά ώτα, διανοίξας Χριστέ, τής ψυχής μου δέομαι, κωφεύοντα τά ώτα διάνοιξον, όπως σου τούς λόγους ενωτισθώ.

Μαρτυρικά
Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Νεοφανείς αστέρες, χρηματίζοντες τού Ηλίου Μάρτυρες, τού τής δικαιοσύνης, τό σκότος σκεδάζετε, τών καρδιών ημών.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Πεπυρωμένα βέλη, θείοις άνθραξι τού αγίου Πνεύματος, οι Αθληταί δειχθέντες, τά βέλη συντρίβουσι, πάντα τού όφεως.

Θεοτοκίον
Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Πύλη τής θείας δόξης, μετανοίας μοι πύλας αναπέτασον, καί εκ πυλών τού Άδου, εξάρπασον δέομαι, τήν ταπεινήν μου ψυχήν.

Κανών τών Ασωμάτων, ού η Ακροστιχίς
Μέλος Αγγέλοις τό πέμπτον.

Ο Ειρμός
Ίππον καί αναβάτην, εις θάλασσαν ερυθράν, ο συντρίβων πολέμους, εν υψηλώ βραχίονι, Χριστός εξετίναξεν, Ισραήλ δέ έσωσεν, επινίκιον, ύμνον άδοντα.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Μύσται τής θεαρχίας, τής φωτοδότιδος, ως ταίς ταύτης ακτίσι, πρωτοφανώς λαμπόμενοι, φωτί καταυγάζεσθαι, τήν ψυχήν μου Άγγελοι, τόν Δεσπότην καθικετεύσατε.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Έχοντες παρρησίαν, ως θρόνω τώ υψηλώ, παριστάμενοι πάντας, τούς ευσεβώς υμνούντας υμάς, κινδύνων λυτρώσασθε, πρωτοστάται τάξεως ουρανίου, ώ Αρχιστράτηγοι.

Θεοτοκίον
Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Λέλυται η κατάρα, η λύπη πέπαυται, η γάρ ευλογημένη, καί κεχαριτωμένη, πιστοίς χαράν εξανέτειλεν, ευλογίαν πάσιν ανθηφορούσα, Χριστόν τοίς πέρασι.

## Ωδή γ'
### Ο Ειρμός
Επί τά έθνη ο Θεός εβασίλευσεν, ο Θεός κάθηται επί θρόνου αγίου αυτού, καί ψάλλομεν αυτώ συνετώς, ως Βασιλεί καί Θεώ.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Σύ ο μηδένα απολέσθαι βουλόμενος, αγαθέ Κύριε, απολλύμενον οίκτειρον, καί σώσόν με ροπή, πανοικτίρμον τού ελέους σου.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ότι εν γνώσει καί αγνοία ημάρτηκά σοι, Χριστέ Κύριε, τώ πάντα γινώσκοντι, προσέρχομαι, προσπίπτω σοι, δέξαι με ώσπερ τόν Άσωτον.

### Μαρτυρικά
Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ίνα τήν ζώσαν αμαρτίαν νεκρώσητε, καί νεκρόν Μάρτυρες, τόν εχθρόν αποδείξητε, νεκρώσεως σωμάτων, μακάριοι ουκ εφροντίσατε.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Πεποικιλμένοι τοίς παθήμασι Μάρτυρες, καί στολαίς αίμασι, βεβαμμέναις κοσμούμενοι, τώ πάντων Βασιλεί, στεφηφόροι νύν παρίστασθε.

### Θεοτοκίον
Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Παρθενομήτορ η Θεόν σωματώσασα, τάς φωνάς, πρόσδεξαι τών βοώντων σοι πάντοτε, καί λύτρωσαι ημάς, τών ποικίλων περιστάσεων.

## Κανών τών Ασωμάτων
### Ο Ειρμός
Ο πήξας επ' ουδενός, τήν γήν τή προστάξει σου, καί μετεωρίσας ασχέτως βρίθουσαν, επί τήν ασάλευτον Χριστέ, πέτραν τών εντολών σου, τήν Εκκλησίαν σου στερέωσον, μόνε αγαθέ καί φιλάνθρωπε.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Ο λόγω τούς χορευτάς τών άνω Δυνάμεων, σαφώς υποστήσας, τήν σήν χρηστότητα, τήν απειροδύναμον δεικνύς, τούτων ταίς προστασίαις, τήν Εκκλησίαν σου στερέωσον, μόνε αγαθέ καί φιλάνθρωπε.

### Θεοτοκίον
Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σύ Μήτηρ Θεού ασυνδυάστως γεγένησαι, τού τούς Ασωμάτους χορούς φωτίζοντος, μίαν θεαρχίαν εν τρισί, μέλπειν ακαταπαύστως, αγιασμοίς καί κυριότησιν, άχραντε Παρθένε πανύμνητε.

## Ωδή δ'
### Ο Ειρμός
Τά έργα τής οικονομίας σου Κύριε, εξέστησαν τόν προφήτην Αββακούμ, εξήλθες γάρ εις σωτηρίαν λαού σου, τού σώσαι τούς χριστούς σου ελήλυθας.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Τά έργα άπερ εν τώ βίω ετέλεσα, υπάρχουσι χαλεπά καί πονηρά, εξ ών Χριστέ ο Θεός λύτρωσαί με, μετάνοιαν γνησίαν παρέχων μοι.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Απάσης εντολής σεπτής κατεφρόνησα, τόν φόβον σου παρωσάμενος Χριστέ, καί δέδοικα τό αλάθητόν σου βήμα, εν ώ μή κατακρίνης με εύσπλαγχνε.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ιμάσι πανταχόθεν όντως τεινόμενοι, καί μάστιξι δαπανώμενοι σφοδρώς, καί όνυξι καταξεόμενοι Λόγε, οι Αθληταί σου πίστει ηγάλλοντο.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Σαλεύσαι Αθληταί υμάς θείας στάσεως, ουκ ίσχυσε παντελώς ο πονηρός, διό πολλών σαλευομένων γενναίοι, στηρίγματα ενθέως εδείχθητε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σαρκούται εξ αγνών αιμάτων σου Κύριος, μετάνοιαν τοίς τιμώσί σε διδούς Πανύμνητε, τή σή χρηστή μεσιτεία, ως εύσπλαγχνος καί μόνος φιλάνθρωπος.

Κανών τών Ασωμάτων

Ο Ειρμός

Τήν θείαν εννοήσας σου κένωσιν, προβλεπτικώς ο Αββακούμ, Χριστέ εν τρόμω εβόα σοι. Εις σωτηρίαν λαού σου, τού σώσαι τούς χριστούς σου ελήλυθας.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Αγγέλων υποστήσας λαμπρότητας, θεουργικαίς μαρμαρυγαίς, αγαθοδότως ελάμπρυνας, ως δυνατάς εν ισχΰϊ, τόν λόγον σου πληρώσαι φιλάνθρωπε.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Γεώδη τών σωμάτων φρονήματα, αποβαλώμεθα πιστοί, τή πολιτεία μιμούμενοι, τών Ασωμάτων τάς τάξεις, καί νούν αναπτερώσωμεν πνεύματι.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Γενού μοι προστασία Πανάμωμε, καταφυγή τε καί λιμήν, παθών τήν ζάλην διώκουσα, η τάς Αγγέλων χορείας, τώ κάλλει ασυγκρίτως νικήσασα.

Ωδή ε'

Ο Ειρμός

Τό φώς τό αληθινόν, Χριστέ ο Θεός, πρός σέ ορθρίζει τό πνευμά μου εκ νυκτός, επίφανον επ' εμέ τό πρόσωπόν σου.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ανάνηψον ψυχή, ανάνηψον ύπνου, βαρέος τής εμής δεινής αμαρτίας, καί μετανοίας φωτί περιαυγάζου.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Νεώσωμεν τήν ψυχήν, δι' εμμελείας, καί κατανύξεως όμβροις αρδευθώμεν, όπως βλαστήσωμεν

μετανοίας στάχυν.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Τοίς άνθραξι στομωθέντες, τής αγάπης, ουρανοχάλκευτα ξίφη Αθλοφόροι, εδείχθητε δυσμενών κόπτοντες στίφη.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Αδούλωτοι τώ εχθρώ, γεγενημένοι, κατεδουλώσατε τούτον Αθλοφόροι, καί γνήσιοι τού Χριστού ώφθητε φίλοι.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Παρθένε εν γυναιξίν, ευλογημένη, τά σά ελέη παράσχου τώ λαώ σου, τού Ελεήμονος γάρ εδείχθης Μήτηρ.

## Κανών τών Ασωμάτων

Ο Ειρμός

Ο αναβαλλόμενος φώς ως ιμάτιον, πρός σέ ορθρίζω, καί σοι κραυγάζω, τήν ψυχήν μου φώτισον, τήν εσκοτισμένην, Χριστέ ως μόνος εύσπλαγχνος.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Επιπορευόμενοι, τής γής τά πέρατα, τάς τού Δεσπότου ευεργεσίας, τοίς πιστοίς κομίζετε, καί περιφρουρείτε, πανένδοξοι Αρχάγγελοι.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Λόγω σου πειθόμενοι, Λόγε Θεού καί Πατρός, τής ουρανίου ταξιαρχίας, οι κλεινοί διάκοσμοι, τώ τής σής λαμπάδος, φωτί περιαυγάζονται.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Όλην μου τήν έφεσιν, πρός σέ μετάστησον, τής υπέρ λόγον επιθυμίας, γλυκασμόν η φέρουσα, τοίς σέ Θεοτόκον, αγνήν επιγινώσκουσι.

## Ωδή ς'

Ο Ειρμός

Τού κήτους τόν Προφήτην ελυτρώσω, εμέ δέ εκ βυθού αμαρτημάτων, ανάγαγε Κύριε καί σώσόν με.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ουκ έστιν εν τώ βίω αμαρτία, ήν μόνος ουκ ετέλεσα ο τάλας, μόνε αναμάρτητε, οικτείρησόν με.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ιστίω πτερωθώμεν προθυμίας, καί σωτηρίου μετανοίας, όπως προφθάσαντες, άπαντες σωθείημεν.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Κηρύκων, Αποστόλων καί Μαρτύρων, τοίς άθλοις καταυγάζεται η κτίσις, δι' ών ημάς φώτισον φιλάνθρωπε.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Τά σκεύη, τά χωρήσαντα τήν αίγλην, τής θείας καί σεπτής φωτοδοσίας, τούς Μάρτυρας άπαντες τιμήσωμεν.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Παρθένε τών πιστών η προστασία, ρυσθήναι από πάσης αμαρτίας, δυσώπει τόν Κύριον, τούς δούλους σου.

Κανών τών Ασωμάτων

Ο Ειρμός

Μαινομένην κλύδωνι, ψυχοφθόρω Δέσποτα Χριστέ, τών παθών τήν θάλασσαν κατεύνασον, καί εκ φθοράς, ανάγαγέ με ως εύσπλαγχνος.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Ιερώς κοσμούμενοι, τών Αγγέλων δήμοι εκλεκτοί, φωτοδότοις λάμψεσι φαιδρύνονται, τάς θεουργούς εκφαντορίας μιμούμενοι.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Συνέλαβες Άχραντε, τόν τών όλων κτίστην καί Θεόν, όν σύν τρόμω βλέπουσι γηθόμενοι, πανευλαβώς παρεστηκότες οι Άγγελοι.

Ωδή ζ'

Ο Ειρμός

Ευλογητός εί ο Θεός, ο βλέπων αβύσσους, καί επί θρόνου δόξης καθήμενος, ο υπερύμνητος, καί υπερένδοξος.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ευλογητός εί ο Θεός, ο δι' ευσπλαγχνίαν, μετανοούντας πάντας δεχόμενος, ο υπερύμνητος, καί υπερένδοξος.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ίασαι εύσπλαγχνε Σωτήρ, τά πολλά μουπάθη, ο τήν εμήν γινώσκων ασθένειαν, ο υπερύμνητος, καί υπερένδοξος.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ρώμη τή θεία κρατυνθείς, χορός Αθλοφόρων, τούς δυσμενείς βοών κατεπάλαισεν, ο υπερύμνητος, καί υπερένδοξος.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ο ενισχύσας τούς σοφούς, Αθλοφόρους Λόγε, υπενεγκείν πολύπλοκα βάσανα, δεήσεσιν αυτών, πάντας οίκτειρον.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ευλογητός εί ο Θεός, ο μήτραν Παρθένου, καθυποδύς καί σώσας τόν άνθρωπον, ο υπερύμνητος, καί υπερένδοξος.

Κανών τών Ασωμάτων

Ο Ειρμός
Ο υπερυψούμενος, τών Πατέρων Κύριος, τήν φλόγα κατέσβεσε, τούς Παίδας εδρόσισε, συμφώνως μελωδούντας, ο Θεός ευλογητός εί.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Τήν απειροδύναμον, αναφαίνων δύναμιν, υμάς Αρχιστράτηγοι, Χριστός υπεστήσατο, διδάξας αναμέλπειν, ο Θεός ευλογητός εί.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Ο πληθύν αμέτρητον, Ασωμάτων τάξεων, κοσμών αγαθότητι, πιστών τά συστήματα, αξίωσον υμνείν σε, ο Θεός ευλογητός εί.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Πάθεσι κλονούμενον, σύ με νύν στερέωσον, η πάσι πηγάσασα, πιστοίς τήν απάθειαν, τοίς πίστει μελωδούσιν, ο Θεός ευλογητός εί.

Ωδή η'

Ο Ειρμός
Τόν Ποιητήν τής κτίσεως, όν φρίττουσιν Άγγελοι, υμνείτε λαοί, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Νεκρόν ταίς παραβάσεσι, γενόμενον Κύριε, ζώωσόν με, ίνα σε δοξάζω, εις πάντας τούς αιώνας.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Λαμπρύνας μετανοία με, σκότους αμαρτίας ρύσαι Κύριε, ίνα σε δοξάζω, εις πάντας τούς αιώνας.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Οι αθλοφόροι Μάρτυρες, τήν φλόγα τής πλάνης κατεπάτησαν, δρόσον ουρανόθεν, λαβόντες παραδόξως.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Γή ώσπερ πίων Άγιοι, στάχυν αληθώς εκατοστεύοντα, τώ αγωνοθέτη Χριστώ καρποφορείτε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Εκ σού Θεός ανέτειλε, καί θεογνωσία κατελάμπρυνε, τούς εσκοτισμένους, πανύμνητε Παρθένε.

Κανών τών Ασωμάτων

Ο Ειρμός
Σοί τώ παντουργώ, εν τή καμίνω Παίδες, παγκόσμιον πλέξαντες, χορείαν έμελπον. Πάντα τά έργα, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Έλκει με τά νύν, τούς τών Αγγέλων δήμους, υμνήσαι τοίς άσμασι, καρδίας έφεσις, οίς περ συμμέλπω. Τόν Κύριον υμνείτε, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Μύσται τής απλής, καί τρισηλίου αίγλης, σωθήναι πρεσβεύσατε, τούς πίστει μέλποντας. Πάντα τά έργα, τόν Κύριον υμνείτε, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Πύλη τού φωτός, παρθενομήτορ Κόρη, φωτί σου καταύγασον, τούς σοί προστρέχοντας, σύ γάρ υπάρχεις, ελπίς καί προστασία, μόνη Παναγία, αεί ευλογημένη.

## Ωδή θ'

### Ο Ειρμός

Σέ τήν μακαρίαν εν γυναιξί, καί ευλογημένην υπό Θεού, τών ανθρώπων τό γένος, ύμνοις μεγαλύνομεν.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ίλεως γενού μοι Κύριε, άμετρα αφρόνως πταίσαντι, καί τής σής με Λόγε, Βασιλείας καταξίωσον.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ως τούς Νινευϊτας έσωσας, πάλαι μεταγνόντας μόνε Σωτήρ, καί ημάς τούς υμνούντάς σε, σώσον τώ ελέει σου.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Σάρκα παραδόντες πάσαις πληγαίς, άπληγον εσώσατε ψυχήν,, Αθλοφόροι Κυρίου, τής θείας δόξης μέτοχοι.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ημεροφαείς αστέρες εν γή, πάντων καταυγάζοντες τάς ψυχάς, Αθλοφόροι τού πάντων, Κυρίου ανεδείχθητε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φέρεις ώσπερ θρόνος πύρινος, νεύματι τόν πάντα φέροντα, καί θηλάζεις Παρθένε, τόν πάντα διατρέφοντα.

## Κανών τών Ασωμάτων

### Ο Ειρμός

Ησαϊα χόρευε, η Παρθένος, έσχεν εν γαστρί, καί έτεκεν υιόν τόν Εμμανουήλ, Θεόν τε καί άνθρωπον, ανατολή, όνομα αυτώ, όν μεγαλύνοντες, τήν Παρθένον μακαρίζομεν.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Τών ταγμάτων έξαρχοι, πεφυκότες τών Αγγελικών, φαιδρότατε Μιχαήλ, θείε Γαβριήλ, τής θείας σαρκώσεως, παναληθής, κήρυξ γεγονώς, πάντας φρουρήσατε, τούς υμνούντας υμάς ένδοξοι.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Ο πλουσίαις δόσεσιν, υπερχέων σού τόν θησαυρόν, ο τάξεις παραγαγών, τάς Αγγελικάς, μεθ' ών ελευσόμενος, οία κριτής, πάντων καί Θεός, φείσαί μου Δέσποτα, προσπεφευγότος τώ ελέει σου.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νοερώς Αρχάγγελοι, Εξουσίαι, θρόνοι Χερουβείμ, Δυνάμεις καί Σεραφείμ, Άγγελοι φαιδροί,

Αρχαί, Κυριότητες, τώ σώ Υιώ, άχραντε σεμνή, τρόμω λατρεύουσι, Θεοτόκε παμμακάριστε.

Απόστιχα τών Αίνων, Κατανυκτικά

Οίμοι! τί ωμοιώθην εγώ τή ακάρπω συκή, καί πτοούμαι τήν κατάραν, σύν τή εκκοπή; αλλ' επουράνιε γεωργέ, Χριστέ ο Θεός, τήν χερσωθείσάν μου ψυχήν, καρποφόρον ανάδειξον, καί ως τόν Άσωτον υιόν δέξαι με, καί ελέησόν με.

Στίχ. α'. Ενεπλήσθημεν τό πρωϊ τού ελέους σου, Κύριε, καί ηγαλλιασάμεθα καί ηυφράνθημεν έν πάσαις ταίς ημέραις ημών. Ευφρανθείημεν, ανθών ημερών εταπείνωσας ημάς, ετών, ών είδομεν κακά, καί ίδε επί τούς δούλους σου καί επί τά έργα σου, καί οδήγησον τούς υιούς αυτών.

Τά πλήθη τών πταισμάτων μου, πάριδε Κύριε, ο εκ Παρθένου τεχθείς, καί πάσας εξάλειψον τάς ανομίας μου, λογισμόν μοι παρέχων επιστροφής, ως μόνος φιλάνθρωπος δέομαι, καί ελέησόν με.

Μαρτυρικόν

Στίχ. β'. Καί έστω η λαμπρότης Κυρίου τού Θεού ημών εφ' ημάς, καί τά έργα τών χειρών ημών κατεύθυνον εφ' ημάς, καί τό έργον τών χειρών ημών κατεύθυνον.

Ευλογημένος ο στρατός, τού Βασιλέως τών ουρανών, ει γάρ καί γηγενείς υπήρχον οι Αθλοφόροι, αλλά αγγελικήν αξίαν έσπευδον φθάσαι, τών σωμάτων καταφρονήσαντες, καί διά τών παθημάτων, τής τών Ασωμάτων αξιωθέντες τιμής. Ευχαίς αυτών Κύριε, κατάπεμψον ημίν τό μέγα σου έλεος.

Δόξα... Καί νύν... Θεοτοκίον

Παύσον τόν πόνον, τής πολυστενάκτου ψυχής μου, η παύσασα πάν δάκρυον, από προσώπου τής γής, σύ γάρ βροτών τάς οδύνας διώκεις, αμαρτωλών τήν κατήφειαν λύεις. Σέ πάντες κεκτήμεθα, ελπίδα καί στήριγμα, Παναγία Μητροπάρθενε.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

### Οι Μακαρισμοί

Μακάριοι οι ειρηνοποιοί, ότι αυτοί υιοί Θεού κληθήσονται.

Ο Ληστής εν τώ Σταυρώ, Θεόν είναί σε πιστεύσας Χριστέ, ωμολόγησέ σε ειλικρινώς εκ καρδίας. Μνήσθητί μου Κύριε βοών, εν τή Βασιλεία σου.

Μακάριοι οι δεδιωγμένοι ένεκεν δικαιοσύνης, ότι αυτών εστιν η βασιλεία τών ουρανών.

Ψυχοφθόροι με λησταί, οδώ τού βίου συναντήσαντες, κατεπλήγωσάν με, αλλά τή σή ευσπλαγχνία νύν προστρέχων, ίασαι Χριστέ, καί σώσόν με δέομαι.

Μακάριοί εστε όταν ονειδίσωσιν υμάς, καί διώξωσι, καί είπωσι πάν πονηρόν ρήμα καθυμών ψευδόμενοι ένεκεν εμού.

Επουράνιοι χοροί, υμνολογούσί σε τόν πάντων Θεόν, τούτων Δέσποτα ιεραίς μεσιτείαις, τά πολλά μου πάριδε κακά, καί σώσόν με δέομαι.

Μαρτυρικόν

Χαίρετε καί αγαλλιάσθε, ότι ο μισθός υμών πολύς εν τοίς ουρανοίς.

Τών Αγγέλων τοίς χοροίς, συναριθμούμενοι Χριστού Αθληταί, καί πληρούμενοι φωτισμού ανεσπέρου, τά δυσώδη πάθη τής εμής, καρδίας μειώσατε.

Δόξα...

Μετά δόξης ώ Τριάς, ταίς τών Αγγέλων υμνουμένη φωναίς, τήν κεκακωμένην εκ τών δαιμόνων ψυχήν μου, σώ ελέει όλην υγιή, ανάδειξον δέομαι.

Καί νύν... Θεοτοκίον

Ήδι Αγγέλου τήν χαράν, εν τή νηδύϊ δεξαμένη Αγνή, σκυθρωπάζουσαν πονηραίς εργασίαις, τήν ψυχήν μου πλήρωσον χαράς, πρός φώς οδηγούσά με.

top

Στιχηρά Προσόμοια Δεσποτικά
Ήχος πλ. α'  Χαίροις ασκητικών

Στίχ. α'. Εάν ανομίας παρατηρήσης, Κύριε, Κύριε τίς υποστήσεται; ότι παρά σοί ο ιλασμός εστιν.

Λύσόν μου τής καρδίας Σωτήρ, τήν εκ δαιμόνων γενομένην μοι πώρωσιν, καί δός μοι δακρύων όμβρους, τής μετανοίας ώς άν, τά πολλά θρηνήσω μου εγκλήματα, καί πάν τό ρυπαίνον, τόν λογισμόν μου ρυφθήσωμαι, καί τού τής λήθης, σκοτασμού λυτρωθήσωμαι, καί αρθήσωμαι, πρός καλών κατανόησιν, πρόσχες μοι καί εισάκουσον, ιλάσθητι Κύριε, καί τήν αθλίαν ψυχήν μου, τών τυραννούντων απάλλαξον, παθών όπως εύρω, εν σοί άνεσιν καί πράττω, τά σά θελήματα.

Στίχ. β'. Ένεκεν τού ονόματός σου υπέμεινά σε, Κύριε, υπέμεινεν η ψυχή μου εις τόν λόγον σου, ήλπισεν η ψυχή μου επί τόν Κύριον.

Χείλη μεμολυσμένα κινώ, καί ρυπαράς χείρας πρός σέ Υπεράγαθε, καρδίαν συγκεχωσμένην, τοίς πονηροίς λογισμοίς, οφθαλμούς τυφλώττων ο πανάθλιος, ψυχήν περιφέρω, εσκοτισμένην τοίς πάθεσι, καί ταίς ατόποις, ηδοναίς ο παμβέβηλος συγκαλύπτομαι, καί ουκ έχω ανάνευσιν, έκτεινον τάς αχράντους σου, παλάμας φιλάνθρωπε, σώσόν με Σώτερ βοώ σοι, καί μολυσμού αποκάθαρον, πολλών εγκλημάτων, καί δεινών επερχομένων, ως πολυεύσπλαγχνος.

Στίχ. γ'. Από φυλακής πρωϊας μέχρι νυκτός, από φυλακής πρωϊας ελπισάτω Ισραήλ επί τόν Κύριον.

Ψύξον τούς οχετούς Ιησού, τούς θολερούς, καί τούς χειμάρρους ανάστειλον, καί όμβρους πολλών δακρύων, εν κατανύξει ψυχής, αγαθέ παράσχου τή καρδία μου, ιδού απεμάκρυνα, από σού ως ο Άσωτος, καί εγυμνώθην, από πάσης θελήσεως, σής χρηστότητος, πολυέλεε Κύριε, ήμαρτον μή παρίδης με, μή λάβη με τέλεον, ώσπερ υπεύθυνον όντα, ο αλαζών καί παμπόνηρος, εχθρός αλλά τάχει, τής αυτού με τυραννίδος, Δέσποτα λύτρωσαι.

Έτερα τού Προδρόμου, όμοια

Στίχ. δ'. Ότι παρά τώ Κυρίω τό έλεος, καί πολλή παρ' αυτώ, λύτρωσις. καί αυτός λυτρώσεται τόν Ισραήλ έκ πασών τών ανομιών αυτού.

Ρεύμα σφοδρόν καί πάνυ δεινόν, τής καταιγίδος τών παθών τή καρδία μου, εχύθη καί κατακλύζει, καί εις βυθόν ζοφερόν, συνωθεί ατόπου απογνώσεως, αυτός αοράτω, επιστασία σου φάνηθι, καί τή ισχύϊ, τής σεπτής συμπαθείας σου, τούτο ξήρανον, καί εις τέλος αφάνισον, ρείθρά μοι παρεχόμενος, πλημμύρη αοίδιμε, τά καταρδεύοντα φρένας, καί νούν καί έννοιαν άπασαν, δι' ών εκβλαστάνειν, ιλασμόν καί σωτηρίαν, δίδου μοι Πρόδρομε.

Στίχ. ε'. Αινείτε τόν Κύριον πάντα τά έθνη, επαινέσατε αυτόν, πάντες οι λαοί.

Όλην μου τήν καρδίαν σοφέ, καί τήν διάνοιαν εν σοί ανατέθεικα, γενού μοι θερμός προστάτης, καί σωτηρίας ελπίς, βοηθός καί φύλαξ, καί κραταίωμα, φρουρός ασφαλέστατος, κυβερνήτης πανάριστος, λιμήν καί τείχος, εκ κινδύνων ρυόμενος, εξ εχθρών δεινών, αφαρπάζων με Πρόδρομε, έχεις γάρ απροσμάχητον, πρεσβείαν καί δύναμιν, έχεις παμμάκαρ αμέτρους, τούς οικτιρμούς καί συμπάθειαν, δι' ών σκέπε φρούρει, διαφύλαττε διδούς μοι, τό μέγα έλεος.

Στίχ. ς'. Ότι εκραταιώθη τό έλεος αυτού εφ' ημάς, καί η αλήθεια τού Κυρίου μένει εις τόν αιώνα.

Δός μοι κατατρυφήσαι τής σής, ευπρεπεστάτης, καί λαμπράς ωραιότητος, καθάρας τόν ρύπον πάντα, τής εμπαθούς βιοτής, διά μετανοίας καί δακρύων μου, καί γάρ σύ επίστασαι, τής ψυχής μου τόν έρωτα, τόν θείον πόθον, καί τό φίλτρον τό άμετρον, όπερ κέκτημαι, μεγαλύνων σε Πρόδρομε, πλήρωσόν μου τήν έφεσιν, κάν μέγα τό αίτημα, κάν υπερβαίνη τά μέτρα, τής ταλαιπώρου αξίας μου, Χριστόν ικετεύων, τόν παρέχοντα τώ κόσμω, τό μέγα έλεος.

Δόξα... Καί νύν... Θεοτοκίον  όμοιον

Στήσον τούς ποταμούς τών παθών, τής αμαρτίας μου τό πέλαγος ξήρανον, τώ ρείθρω τής σής πρεσβείας, καί πρός λιμένα Θεού, θείων θελημάτων εγκαθόρμισον, εχθρούς καθ' εκάστην, τούς

τήν ψυχήν μου εκθλίβοντας, καί ταίς ατόποις, ηδοναίς εκταράττοντας, καταπόντισον, απωλείας εις βάραθρα, πλήρωσον ευφροσύνης καί χαράς τήν καρδίαν μου, λύσον τό νέφος βοώ σοι, τής αθυμίας μου Πάναγνε, Χριστόν δυσωπούσα, τόν παρέχοντα, τώ κόσμω τό μέγα έλεος.

Απόστιχα Κατανυκτικά

Κύριε, αμαρτάνων ου παύομαι, φιλανθρωπίας αξιούμενος, ου γινώσκω, νίκησόν μου τήν πώρωσιν, μόνε αγαθέ, καί ελέησόν με.

Στίχ. Α'. Πρός σέ ήρα τούς οφθαλμούς μου, τόν κατοικούντα εν τώ ουρανώ. Ιδού, ως οφθαλμοί δούλων εις χείρας τών κυρίων αυτών, ως οφθαλμοί παιδίσκης εις χείρας τής κυρίας αυτής, ούτως οι οφθαλμοί ημών πρός Κύριον τόν Θεόν ημών, έως ού οικτιρήσαι ημάς.

Κύριε, καί τόν φόβον σου πτοούμαι, καί τό πονηρόν ποιείν ου παύομαι, τίς εν δικαστηρίω τόν δικαστήν ου πτοείται; ή τίς ιαθήναι βουλόμενος, τόν ιατρόν παροργίζει ως καγώ; Μακρόθυμε Κύριε, επί τή ασθενεία μου σπλαγχνίσθητι, καί ελέησόν με.

Μαρτυρικόν

Στίχ. Β'. Ελέησον ημάς, Κύριε, ελέησον ημάς, ότι επί πολύ επλήσθημεν εξουδενώσεως, επί πλείον επλ ήσθη η ψυχή ημών, τό όνειδος τοίς ευθηνούσι, καί η εξουδένωσις τοίς υπερηφάνοις.

Τόν θυρεόν τής πίστεως περιβαλλόμενοι, καί τώ τύπω τού Σταυρού, εαυτούς διαναστήσαντες, πρός τάς βασάνους ανδρείως απηυτομόλησαν, καί διαβόλου τήν πλάνην καί τό θράσος κατήργησαν, οι Αγιοί σου Κύριε. Αυτών ταίς ικεσίαις, ως παντοδύναμος Θεός, τώ κόσμω τήν ειρήνην κατάπεμψον, καί ταίς ψυχαίς ημών τό μέγα έλεος.

Δόξα... Καί νύν... Θεοτοκίον

Μακαρίζομέν σε Θεοτόκε Παρθένε, καί δοξάζομέν σε οι πιστοί κατά χρέος, τήν πόλιν τήν άσειστον, τό τείχος, τό άρρηκτον, τήν αρραγή προστασίαν, καί καταφυγήν τών ψυχών ημών.

Μετά τήν α' Στιχολογίαν

Καθίσματα Κατανυκτικά

Ήχος πλ. α'

Κριτού καθεζομένου, καί Αγγέλων εστώτων, σάλπιγγος ηχούσης, καί φλογός καιομένης, τί ποιήσεις ψυχή μου, απαγομένη εις κρίσιν, τότε γάρ τά δεινά σου παρίστανται, τά κρυπτά σου ελέγχονται εγκλήματα. Διό πρό τέλους βόησον, ο Θεός Ιλάσθητι μοι, καί σώσόν με.

Ψυχή, τά ώδε πρόσκαιρα, τά δέ εκεί αιώνια, ορώ τό δικαστήριον, καί επί θρόνου τόν Κριτήν, καί τρέμω τήν απόφασιν, λοιπόν σπουδή επίστρεψον, η κρίσις ασυγχώρητος.

Δόξα... Καί νύν... Θεοτοκίον

Τόν συνάναρχον Λόγον

Η τό άνθος τό θείον, ρίζα βλαστήσασα, κιβωτέ καί λυχνία καί στάμνε πάγχρυσε, αγία τράπεζα Χριστόν, τόν άρτον ζωής φέρουσα, ως Υιόν σου καί Θεόν, εκδυσώπησον αυτόν, σύν τώ αγίω Προδρόμω, τού οικτειρήσαι καί σώσαι, τούς Θεοτόκον ομολογούντάς σε.

Μετά την β' Στιχολογίαν

Καθίσματα Κατανυκτικά

Θρήνησον ψυχή μου, τήν εαυτής ραθυμίαν, θέλησον λοιπόν πρό τελευτής επιστρέψαι, θορύβων απόστηθι βιωτικών, Θεώ προσκολλήθητι τώ αγαθώ, καί σώσει σε, ως μόνος φιλάνθρωπος.

Τόν συνάναρχον Λόγον

Τήν φωνήν τού Κυρίου τού αρχιποίμενος, ακουσώμεθα πάντες οι αμαρτήσαντες, δι' ημάς γάρ επί γής σαρκί επέφανεν, εις μετάνοιαν καλών, τούς κατ' εμέ αμαρτωλούς, θαρσείτε καί μή θροείσθε, μικρός γάρ εστιν ο κόπος, αλλά γλυκεία η ανταπόδοσις.

Δόξα... Καί νύν... Θεοτοκίον όμοιον

Τό εξαίσιον θαύμα τό τής συλλήψεως, καί ο άφραστος τρόπος ο τής κυήσεως, εν σοί εγνώσθη αληθώς, ώ Αειπάρθενε, καταπλήττει μου τόν νούν, καί εξιστά τόν λογισμόν, η δόξα σου Θεοτόκε, τοίς πάσιν εφηπλωμένη, πρός σωτηρίαν τών ψυχών ημών.

Μετά τήν γ' Στιχολογίαν

Καθίσματα Κατανυκτικά
Τό συνάναρχον Λόγον

Ελισάβετ στειρώσεως ηλευθέρωται, η Παρθένος δέ πάλιν παρθένος έμεινεν, ότε φωνή τού Γαβριήλ γαστρί συνέλαβεν, αλλ' εν νηδύϊ προσκιρτά, τόν εν γαστρί παρθενική, Θεόν προγνούς καί Δεσπότην, ο Πρόδρομος Ιωάννης, εις σωτηρίαν ημών σαρκούμενον.

Μαρτυρικόν

Τών αγίων Μαρτύρων τά κατορθώματα, ουρανών αι Δυνάμεις υπερεθαύμασαν, ότι εν σώματι θνητώ, τόν ασώματον εχθρόν, τή δυνάμει τού Σταυρού, αγωνισάμενοι καλώς, ενίκησαν αοράτως, καί πρεσβεύουσι τώ Κυρίω, ελεηθήναι τάς ψυχάς ημών.

Δόξα... Καί νύν... Θεοτοκίον

Πήτηρ Θεού Παναγία, τό τείχος τών Χριστιανών, επιτάχυνον ρύσαι λαόν σου, συνήθως κραυγάζοντά σοι εκτενώς. Αντιτάχθητι αισχροίς, καί αλαζόσι λογισμοίς, ίνα βοώμέν σοι. Χαίρε Αειπάρθενε.

Κανών Κατανυκτικός, ού η Ακροστιχίς,
άνευ τών Θεοτοκίων.
Ιλασμόν, Χριστέ, πταισμάτων δίδου. Ιωσήφ.

Ωδή α'  Ήχος πλ. α'
Ο Ειρμός

Γήν εφ' ήν ουκ έλαμψεν, ουκ είδεν ήλιος ποτέ, άβυσσον, ήν ουχ εώρακε γυμνήν, τό κύτος ουρανού, Ισραήλ διώδευσεν αβρόχως Κύριε, καί εισήγαγες αυτόν, εις όρος αγιάσματός σου, άδοντα ψάλλοντα, επινίκιον ωδήν.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ιλασμόν μοι δώρησαι, τών πεπραγμένων μοι Σωτήρ, καί άνες μοι, πρό τού ένθεν απελθείν, κάθαρον πολλής, σηπεδόνος Κύριε, ο καθαρίσας λεπρούς, καί αξίωσον καμέ αμέμπτως παραστήναί σοι, μέλλοντι έρχεσθαι, κρίναι ζώντας καί νεκρούς.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Λήμην ήν περίκειμαι, τοίς τής ψυχής μου οφθαλμοίς, κωλύουσαν, μή οράν σου τάς αυγάς, άς επιφανείς, εφ' ημάς εξήπλωσας, Ήλιε άδυτε, ταύτην κάθαρον Σωτήρ, καί δίδου ενοπτρίζεσθαι, Κύριε εύσπλαγχνε, τών χαρίτων σου τό φώς.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Άγρυπνοι γενόμενοι, τών προσταγμάτων τού Χριστού, φύλακες, εκοιμίσατε εχθρού κακίαν άπασαν, Αθληταί μακάριοι, διό βαρούμενον ύπνω τών αμαρτιών, πρός μετανοίας δέομαι, θείαν εγρήγορσιν, διεγείρατε καμέ.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Σαρκί συμπλεκόμενοι, τώ πολεμήτορι εχθρώ, Μάρτυρες, ετροπώσασθε αυτόν τώ όπλω τού Σταυρού, καί αιμάτων ρεύμασι κατεποντίσατε, καί στεφάνους εκ Θεού, τής νίκης εκομίσασθε, άδοντες ψάλλοντες, επινίκιον ωδήν.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ρύσαι συνηθείας με, αγνή Παρθένε πονηράς, στήριξον, επί πέτραν εντολών, περιτρεπόμενον μεθοδείαις Δέσποινα, τού παλαιού πτερνιστού, καί αξίωσον καμέ, Χριστώ ευαρεστήσαι καλώς, άδοντα ψάλλοντα, επινίκιον ώδήν.

Κανών τού τιμίου Προδρόμου, ού η Ακροστιχίς.
Βαπτιστά, τήν δε τήν παράκλησιν δέχου. Ιωσήφ.

Ο Ειρμός

Ίππον καί αναβάτην, εις θάλασσαν ερυθράν, ο συντρίβων πολέμους, εν υψηλώ βραχίονι, Χριστός εξετίναξεν, Ισραήλ δέ έσωσεν, επινίκιον, ύμνον άδοντα.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Βίον καθηγνισμένον, ζωήν τε άϋλον, επεδείξω Προφήτα, εν υλικώ τώ σώματι, διό δυσωπούμέν σε, μιμητάς σου έργασαι, τούς εν πίστει σε μακαρίζοντας.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Άβυσσον καταδύσας, τής ευσπλαγχνίας Χριστόν, ποταμίοις εν ρείθροις, αυτόν δυσώπει Πρόδρομε, ξηράναι τήν άβυσσον, τών κακών μου δέομαι, καί φωτίσαι μου τήν διάνοιαν.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Πρόδρομε τού Σωτήρος, εκ μετανοίας μοι, αφορμάς προξενούσας, κατάνυξιν δοθήναί μοι, βορβόρου με πλύνουσαν, αμαρτίας αίτησαι, τόν φιλάνθρωπον ικετεύω σε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τέτοκας απορρήτως, ωδίνων άνευθεν, όν Πατήρ πρό αιώνων, αρρεύστως απεγέννησε, πανύμνητε Δέσποινα, όν δυσώπει σώζεσθαι, από πάσης βλάβης, τούς σοί προστρέχοντας.

## Ωδή γ'

Ο Ειρμός

Σαλευομένην τήν καρδίαν μου Κύριε, τοίς κύμασι τού βίου στερέωσον, εις λιμένα εύδιον, καθοδηγών ως Θεός.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Μετανοείν σοι τώ Θεώ επαγγέλλομαι, καί πάλιν αμαρτάνων τί γένωμαι; πώς σοι εποφθήσωμαι, ηνίκα κρίνης τήν γήν.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ότι εν γνώσει καί αγνοία ημάρτηκα, τώ πάντα γινώσκοντι προσέρχομαι, καί προσπίπτω σοι, δέξαι με ώσπερ τόν Άσωτον.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Νενεκρωμένω λογισμώ οι παράνομοι, τούς τήν ζωήν ποθούντας ηκίζοντο, νικηφόρους Μάρτυρας, Ομολογούντας Χριστόν.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Χοροί Μαρτύρων τοίς χοροίς ηριθμήθησαν, τών νοερών Αγγέλων ισάγγελοι, γεγονότες χάριτι, τού θείου Πνεύματος.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τής μετανοίας πύλας νύν μοι υπάνοιξον, πύλη φωτός Παρθένε καί είσοδον, τών παθών απόκλεισον, τής ταπεινής μου ψυχής.

Κανών τού Προδρόμου

Ο Ειρμός
Ο πήξας επ' ουδενός, τήν γήν τή προστάξει σου, καί μετεωρίσας ασχέτως βρίθουσαν, επί τήν ασάλευτον Χριστέ, πέτραν τών εντολών σου, τήν Εκκλησίαν σου στερέωσον, μόνε αγαθέ καί φιλάνθρωπε.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Ιάσεις τοίς προσιούσι πίστει τώ οίκω σου, θαυμαστέ προφήτα πηγάζων πάντοτε, ίασαι τά πάθη τής εμής, καρδίας δυσωπώ σε, τά παναθλίως συμφυέντα μοι, εξ απροσεξίας πανόλβιε.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Στενάζω καί οδυρμοίς συνέχομαι πάντοτε, εννοών τό βήμά σου τό αδέκαστον, μόνε δικαιότατε Κριτά, εν ώ με ικεσίαις, τού Βαπτιστού σου ακατάκριτον, Κύριε Θεέ μου συντήρησον.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Τής νέας καί παλαιάς μεσίτης γενόμενος, μεσιτείαις θείαις ένδοξε Πρόδρομε, πεπαλαιωμένον με πολλαίς, βοώ σοι αμαρτίαις. Τή μετανοία καινοποίησον, όπως εν αινέσει γεραίρω σε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Αγία Παρθενομήτορ μόνη Πανύμνητε, εγκλημάτων μώμου ημάς απάλλαξον, φώτισον ημών τόν λογισμόν, αγίασον καρδίαν, καί αιωνίου ημάς λύτρωσαι, πάντας καταδίκης δεόμεθα.

Ωδή δ

Ο Ειρμός
Ακήκοα Κύριε, τήν ακοήν σου καί εφοβήθην, κατενόησα τήν οικονομίαν σου, καί εδόξασά σε, μόνε φιλάνθρωπε.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ρημάτων σου Κύριε, καταφρονήσας φωταγωγούντων, σκότους έργα έπραξα, καί πτοούμαί σου, τό εκείθεν μέγα κριτήριον.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ιστίω πτερώσωμεν, ενθέου φόβου ψυχής τό σκάφος, πρός λιμένα τε μετανοίας φθάσωμεν, τών κακών φυγόντες τά κύματα.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Σταλάζοντα Μάρτυρες γλυκασμόν, ώφθητε θεία όρη, καί παράδεισος θεοφύτευτος, ζωής ξύλον, έχοντες τόν Κύριον.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Τοξεύμασιν Άγιοι, υπομονής τε καί καρτερίας, κατεσφάξατε πολεμίους δαίμονας, καί στεφάνους δόξης ελάβετε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Η πάναγνος Δέσποινα, αμαρτανόντων η προστασία, τών πιπτόντων θεία επανόρθωσις, ως Θεόν τεκούσα δοξάζεται.

Κανών τού Προδρόμου

Ο Ειρμός

Τήν θείαν εννοήσας σου κένωσιν, προβλεπτικώς ο Αββακούμ, Χριστέ εν τρόμω εβόα σοι. Εις σωτηρίαν λαού σου, τού σώσαι τούς χριστούς σου ελήλυθας.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Τά άνω κατοικήσας βασίλεια, ως στρατιώτης αληθής, τού Βασιλέως Χριστού Βαπτιστά, αυτόν δυσώπει απαύστως, λαόν κατοικτειρήσαι τιμώντά σε.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Ηγίασεν εκ μήτρας σε Κύριος, ο προειδώς τό ευγενές, τής σής καρδίας αοίδιμε, αυτόν ικέτευε πάντας, ημάς καθαγιάσαι δεόμεθα.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Νεκροίς ευηγγελίσω τήν έλευσιν, τού νεκρωθέντος δι' ημάς, αυτόν ικέτευε Πρόδρομε, νενεκρωμένον ζωώσαι, καμέ ταίς αμαρτίαις καί σώσαί με.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Δεσμοίς προσομιλήσας μακάριε, καί φυλακαίς διά Χριστόν, δεσμά κακών μου διάλυσον, καί τά σεπτά με φυλάττειν, προστάγματα δυνάμωσον δέομαι.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ελέησόν με μόνη Πανύμνητε, τόν ελεήμονα Θεόν, υπερβολή αγαθότητος, ανερμηνεύτως τεκούσα, καί ρύσαι αιωνίου κολάσεως.

## Ωδή ε'

Ο Ειρμός

Τήν τάλαιναν ψυχήν μου, νυκτομαχούσαν τώ σκότει τών παθών, προφθάσας οίκτειρον, καί λάμψον νοητέ Ήλιε, ημεροφαείς ακτίνας εν εμοί, τού διατμήξαι τήν νύκτα τό φώς.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Εξ έργων σωτηρία, εμοί ουκ έστι, πολλά γάρ επί τής γής, ο τάλας ήμαρτον, καί τρέμω τό φρικτόν βήμά σου, ότε κατακρίναι μέλλεις ο Θεός, τούς παραβάτας τών σών εντολών.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Πώς άφρων εγενόμην, πώς εσκοτίσθην ποιών τό πονηρόν; πώς ου συνήκά σου τόν φόβον; αλλ' εις γήν νένευκα, καί εξωμοιώθην κτήνεσι πολλοίς; επίστρεψόν με Θεέ τού παντός.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Τό νέφος τών Μαρτύρων, διεσκέδασαν τά νέφη τών πικρών βασάνων, καί ηΰγασαν ημέραν αληθούς γνώσεως, καί πολυθεΐας έλυσαν αχλύν, καί πρός τό άδυτον έφθασαν φώς.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Αγίασον τόν νούν μου, ταίς τών αγίων Μαρτύρων σου, Χριστέ πρεσβείαις δέομαι, καί δείξον φωτισμού έμπλεων, καί τής αιωνίου δόξης κοινωνόν, ίνα δοξάζων υμνώ σε Σωτήρ.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Θεόν αρρήτω Λόγω, Παρθενομήτορ εκύησας, ημίν πάσι μετάνοιαν διδούντα, τοίς πολλά πταίουσι, διά μεσιτείας σου τής αγαθής, καταφυγή τών πιστών καί λιμήν.

### Κανών τού Προδρόμου

### Ο Ειρμός

Ο αναβαλλόμενος φώς ως ιμάτιον, πρός σέ ορθρίζω, καί σοι κραυγάζω, τήν ψυχήν μου φώτισον, τήν εσκοτισμένην, Χριστέ ως μόνος εύσπλαγχνος.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Τέτοκε στειρεύουσα γαστήρ σε Πρόδρομε, τάς στειρευούσας καλών καρδίας, ευτέκνους δεικνύοντα, εγκάρποις σου λόγοις, διό σε μακαρίζομεν.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Ήνθησας ως εύοσμον κρίνον αοίδιμε, εν ταίς ερήμοις, διό βοώ σοι. Τής ψυχής μου Πρόδρομε, πάσαν δυσωδίαν, κακίας αποδίωξον.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Νόμου μέσον έστηκας σοφέ καί χάριτος, διό κραυγάζω. Τροπούμενόν με αμαρτίας Πρόδρομε, νόμω οικτειρήσαι, τόν Κύριον ικέτευε.

### Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Πύλη αδιόδευτε τής δόξης Άχραντε, διάνοιξόν μοι τής μετανοίας πύλας, προξενούσας μοι τάς θείας εισόδους, καί τήν εκεί κατάπαυσιν.

### Ωδή ς'

### Ο Ειρμός

Ως τόν Προφήτην τού θηρός, ερρύσω Κύριε, καμέ τού βυθού τών ακαθέκτων παθών, ανάγαγε δέομαι, ίνα προσθήσω τού επιβλέψαι με, πρός Ναόν τόν άγιόν σου.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ιδού καιρός επιστροφής, καγώ κατάκειμαι, ύπτιος αεί, αναισθησία πολλή, κρατούμενος πάντοτε Λόγε, τήν πώρωσιν τής καρδίας μου, διαλύσας ελέησόν με.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Στενάζοντα ως ποτέ, τόν Τελώνην οίκτειρον, οικτίρμον Χριστέ, καί ώς τήν Πόρνην θερμώς, δακρύειν αξίωσον, ίνα εκπλύνω καγώ τόν βόρβορον, τών πολλών μου εγκλημάτων.

### Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Μεγαλομάρτυρες Χριστού, μεγάλως πταίσαντα, μεγάλης φλογός τής εν γεέννη εκεί, μενούσης με ρύσασθε, ίνα μεγάλως καγώ πανένδοξοι, τήν υμών δοξάζω μνήμην.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Αγωνισάμενοι καλώς, λαμπρώς εστέφθησαν οι Αθληταί σου, ζωαρχική δεξιά, ώ Θεέ καί Κύριε, διό τούτων σεπταίς παρακλήσεσι, σώσον πάντα τόν λαόν σου.

### Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Θεοχαρίτωτε σκηνή, τού αγιάσματος σεπτή κιβωτέ, λυχνία θείου φωτός, άρτου ζωής τράπεζα,

Λόγου παλάτιον έμψυχον, οίκον Πνεύματός με δείξον.

Κανών τού Προδρόμου
Ο Ειρμός
Μαινομένην κλύδωνι, ψυχοφθόρω Δέσποτα Χριστέ, τών παθών τήν θάλασσαν κατεύνασον, καί εκ φθοράς, ανάγαγέ με ως εύσπλαγχνος.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Απορρήτοις λάμψεσι, διαλάμπων Πρόδρομε Χριστού, ενεργεί πρεσβεία σου καταύγασον, τάς καρδίας τών ευσεβώς ανυμνούντων σε.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Ραθυμίας ύπνω με, συσχεθέντα Πρόδρομε Χριστού, καταυγάσας χάριτι διέγειρον, τού προθύμως τά θεία πράττειν θελήματα.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Από πάσης θλίψεως, εναντίας λύτρωσαι ημάς, τούς προστάτην θείόν σε πλουτήσαντας, καί πρεσβευτήν πρός τόν Δεσπότην μακάριε.

Θεοτοκίον
Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Καταιγίς χειμάζει με, αμαρτίας Άχραντε αγνή, σπεύσον εξελέσθαι με εισάγουσα, μετανοίας πρός τούς λιμένας Πανάμωμε.

Ωδή ζ'
Ο Ειρμός
Πυρός σβεστήριον, τών παίδων η προσευχή, δροσίζουσα κάμινον, κήρυξ τού θαύματος μή φλογίζουσα, μηδέ συγκαίουσα, τούς υμνολόγους Θεού, τών Πατέρων ημών.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Τάς ανομίας μου, τάς αδικίας μου Σωτήρ, τά άπειρα πταίσματα, Χριστέ συγχώρησον, καί μελλούσης με ρύσαι κολάσεως, διά τό πλήθος τών σών οικτιρμών.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ώσπερ ο Άσωτος, κατεδαπάνησα νύν, τόν πλούτον όν είληφα, καί λιμώ φθείρομαι, υστερούμενος ενθέου βρώσεως, μετανοούντα Σωτήρ, δέξαι καί σώσόν με.

Μαρτυρικά
Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Νεκρόν ειργάσασθε, τόν πολεμούντα εχθρόν, τά μέλη νεκρούμενοι, πολλαίς κολάσεσιν, αξιάγαστοι Κυρίου Μάρτυρες, διό οι πιστοί ευσεβώς, ευφημούμεν υμάς.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Δαιμόνων φάλαγγας, τυράννων πάσαν πληθύν, τοξεύμασι Μάρτυρες, ετραυματίσατε, καρτερίας τε καί γενναιότητος, καί πρός ζωήν αληθή, μετετέθητε νύν.

Θεοτοκίον
Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Λιμήν σωτήριος, εδείχθης πάσιν Αγνή, παθών τό κλυδώνιον καταπραΰνουσα, πρός γαλήνην τε πάντας μετάγουσα, τής μετανοίας σεμνή, τούς εν γή ταπεινούς.

Κανών τού Προδρόμου
Ο Ειρμός

Ο υπερυψούμενος, τών Πατέρων Κύριος, τήν φλόγα κατέσβεσε, τούς Παίδας εδρόσισε, συμφώνως μελωδούντας, ο Θεός ευλογητός εί.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Λόγοις δυσωπούμέν σε, τόν τού Λόγου Πρόδρομον, πατρώαν ως έλυσας, φωνήν εν τώ τίκτεσθαι, διάλυσον τούς βρόχους, τών ημών αμαρτημάτων.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Ήλιε πολύφωτε, λάμψον μετανοίας μοι, σωτήριον έλλαμψιν, καί σκότους με λύτρωσαι παθών παρενοχλουντων, τήν ζοφώδη μου καρδίαν.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Στείραν ψυχήν κέκτημαι, καί καρδίαν άτεκνον, στείρας θείον βλάστημα, καρπούς μετανοίας με, βλαστάνειν εκδυσώπει, Βαπτιστά Χριστού απαύστως.

Τριαδικόν

Στίχ. Αγία Τριάς ο Θεός ελέησον καί σώσον ημάς.

Ίσον τώ Γεννήτορι, τόν Υιόν δοξάζομεν, καί Πνεύμα τό άγιον, Τριάδα αχώριστον, ενθέως μελωδούντες, ο Θεός ευλογητός εί.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Θέον απεκύησας, παιδίον Πανάμωμε, Χριστόν τήν ανάπλασιν, ημών εργαζόμενον, τών πεπαλαιωμένων, τή αρχαία παραβάσει.

Ωδή η'
Ο Ειρμός

Αγγέλων σύστημα, ανθρώπων σύλλογος, τόν Βασιλέα καί Κτίστην τού παντός, Ιερείς υμνείτε, ευλογείτε Λευίται, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ιδού προσώζεσαν, καί κατεσάπησαν, οι τής ψυχής μου μώλωπες Χριστέ, καί ταλαιπωρήσας, κατεκάμφθην διόλου, φαρμάκοις μετανοίας, Σωτήρ ιάτρευσόν με.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Δολίως όφις με, ο πονηρότατος, αποσυλήσας, επλήρωσε κακών, καί στενάζων κράζω. Μή απώση με Λόγε, τόν κατακεκριμένον, καί τεταπεινωμένον.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ου παρετράπητε, κρείττονος στάσεως, τούς τού Σταυρού δέ, Πανεύφημοι εχθρούς, τούς υποσκελίζειν, υμάς υπολαβόντας, επτώσατε τελείως, σοφοί ανατραπέντας.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Υμάς πανεύφημοι, Κυρίου Μάρτυρες, ου πύρ, ου ξίφος, ου θήρες, ου λιμός, ου τροχός μερίζων, ουδέ βάσανος άλλη, κατίσχυσε χωρίσαι, Θεού τού φιλανθρώπου.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Αγγέλών καύχημα, βροτών διάσωσμα, εγγυητής μου γενού, Μήτερ Θεού, όπως επιστρέψω, καί κομίσωμαι λύσιν, τών προημαρτημένων, εν γνώσει καί αγνοία.

### Κανών τού Προδρόμου

### Ο Ειρμός

Σοί τώ Παντουργώ, εν τή καμίνω Παίδες, παγκόσμιον πλέξαντες, χορείαν έμελπον, Πάντα τά έργα, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Δήμον προχοαίς, ταίς Ιορδάνου λούεις, κηρύττων μετάνοιαν, μέγιστε Πρόδρομε, όθεν βοώ σοι. Τά τών παθών μου ρείθρα, ξήρανον πηγάς μοι, δακρύων επιπέμπων.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Έντρομος γενού, εννοουμένη όλη, ψυχή τό κριτήριον, τού Παντοκράτορος, κράζουσα, οικτίρμον, διά τού Βαπτιστού σου, οίκτειρόν με σώσον, καί τών βασάνων ρύσαι.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Χείλη ρυπαρά, καί μολυνθείσαν γλώσσαν, κινώ σοι πρός δέησιν, άγιε Πρόδρομε, σπεύσον εν τάχει, βοήθει μοι παντοίαις, προσβολαίς τού πλάνου, απαύστως κλονουμένω.

### Τριαδικόν

Στίχ. Αγία Τριάς ο Θεός ελέησον καί σώσον ημάς.

Όμβρισον ημίν, Πάτερ Υιέ καί Πνεύμα, Τριάς ομοούσιε, πταισμάτων άφεσιν, όπως τυχόντες, παντελούς σωτηρίας, σέ υπερυψούμεν, εις πάντας τούς αιώνας.

### Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

'Υψωσας ημάς, τώ υψηλώ σου τόκω, βαράθρων συμπτώσεως, θεοχαρίτωτε, όθεν φωναίς σε, χαριστηρίοις πίστει, Κόρη ανυμνούμεν, εις πάντας τούς αιώνας.

### Ωδή θ'

### Ο Ειρμός

Ότι εποίησέ σοι μεγαλεία ο δυνατός, Παρθένον αναδείξας σε, Αγνήν μετά τήν κύησιν, ως τεκούσαν ασπόρως, τόν εαυτής ποιητήν, διό σε Θεοτόκε μεγαλύνομεν.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ίνα σου μεγαλύνω τό μακρόθυμον δυνατέ, μακροθύμησον έτι επ' εμοί, καί μή εκκόψης με, ως τήν άκαρπον Λόγε συκήν, κραυγάζω σοι, όπως τής μετανοίας, καρπούς προσφέρω σοι.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ως φοβερός σύ μόνε κραταιέ καί δυνατέ! καί τίς σου υποστήσεται τήν φοβεράν απειλήν, όταν μέλλης εις κρίσιν αυτός καθέζεσθαι; εν ή συντήρησόν με ακατάκριτον.

### Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Σωμάτων αλγηδόνας αλγηδόσι θείαις υμών, εξαίρετε Κυρίου Αθληταί, διό ιάσασθε, τής ψυχής μου τά πάθη χαλεπώτατα, ιατήρες ως όντες εμπειρότατοι.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ηλιακών ακτίνων εξαστράπτει πλέον υμών, η θήκη τών λειψάνων, τάς αυγάς, τής θείας χάριτος, καί λαμπρύνει καρδίας, καί καταυγάζει ψυχάς, τών πίστει Αθλοφόροι ευφημούντων υμάς.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φωτοειδής νεφέλη προηγουμένη νέου λαού, πρός γήν επαγγελίας αληθώς, θεοχαρίτωτε ανεδείχθης, καί πύλη εισάγουσα πρός ζωήν, διό σε Θεοτόκε μεγαλύνομεν.

Κανών τού Προδρόμου

Ο Ειρμός

Ησαϊα χόρευε, η Παρθένος, έσχεν εν γαστρί, καί έτεκεν υιόν τόν Εμμανουήλ, Θεόν τε καί άνθρωπον, ανατολή, όνομα αυτώ, όν μεγαλύνοντες, τήν Παρθένον μακαρίζομεν.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Ιδού η ευπρέπεια, τού σού οίκου, οία ουρανός, γνωρίζεται επί γής, Πρόδρομε Χριστού, εν ώ αφικόμενος, αγλαΐαις θείαις φρυκτωρείς, τούς καθ' εκάστην σε, νύν εν τούτω, μακαρίζοντας.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Ως υπάρχων γνήσιος, τού Δεσπότου, φίλος Βαπτιστά, φιλείν με τούτον ευθεί, γνώμη ακλινεί, παμμάκαρ καρδίωσον, καί τά πάθη τά φθοροποιά, αποβδελύττεσθαι, συνωθούντα πρός απώλειαν.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Σύ ουκ έφυς κάλαμος, εναντίοις, πνεύμασι σοφέ, κλονούμενος, αλλ' ημών, θείος στηριγμός, καί άσειστον έρεισμα, Εκκλησίας, ήν ταίς σαίς ευχαίς, τήρει ακλόνητον, αποπαύων άπαν σκάνδαλον.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Η τού Κτίστου έλευσις, επί θύραις, τί ούν πενθείς, σαυτήν αθλία ψυχή, ζώσα αμελώς; ανάνηψον βόησον, τώ Κυρίω. Φείσαί μου Σωτήρ, ταίς παρακλήσεσι, τού Προδρόμου ως φιλάνθρωπος.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φωτοφόρον όχημα, τού Ηλίου, ώφθης αληθώς, τού λάμψαντος εκ τών σών, άχραντε αγνή, λαγόνων καί λύσαντος, τής απάτης σκότος χαλεπόν, όθεν εν πίστει σε, κατά χρέος μεγαλύνομεν.

Απόστιχα τών Αίνων, Κατανυκτικά

Οίμοι! τί ωμοιώθην εγώ τή ακάρπω συκή, καί πτοούμαι τήν κατάραν σύν τή εκκοπή; αλλ' επουράνιε γεωργέ, Χριστέ ο Θεός, τήν χερσωθείσάν μου ψυχήν, καρποφόρον ανάδειξον, καί ως τόν Άσωτον υιόν δέξαι με, καί ελέησόν με.

Στίχ. α'. Ενεπλήσθημεν τό πρωϊ τού ελέους σου, Κύριε, καί ηγαλλιασάμεθα καί ηυφράνθημεν έν πάσαις ταίς ημέραις ημών. Ευφρανθείημεν, ανθών ημερών εταπείνωσας ημάς, ετών, ών είδομεν κακά, καί ίδε επί τούς δούλους σου καί επί τά έργα σου, καί οδήγησον τούς υιούς αυτών.

Τά πλήθη τών πταισμάτων μου πάριδε Κύριε, ο εκ Παρθένου τεχθείς, καί πάσας εξάλειψον τάς ανομίας μου, λογισμόν μοι παρέχων επιστροφής, ως μόνος φιλάνθρωπος δέομαι, καί ελέησόν με.

Μαρτυρικόν

Στίχ. β'. Καί έστω η λαμπρότης Κυρίου τού Θεού ημών εφ' ημάς, καί τά έργα τών χειρών ημών κατεύθυνον εφ' ημάς, καί τό έργον τών χειρών ημών κατεύθυνον.

Οι άγιοι Μάρτυρες, επί τής γής ηγωνίσαντο, τώ αέρι ενεκαρτέρησαν, τώ πυρί παρεδόθησαν, τό

ύδωρ αυτούς υπεδέξατο, εκείνων εστίν η φωνή. διήλθομεν διά πυρός καί ύδατος, καί εξήγαγες ημάς εις αναψυχήν. Ταίς πρεσβείαις αυτών, ο Θεός ελέησον ημάς.

Δόξα... Καί νύν... Θεοτοκίον

Η ελπίς τών απηλπισμένων, η ζωή τών απεγνωσμένων, η αντίληψις τών εις σέ προστρεχόντων, αγία Δέσποινα Θεοτόκε Παρθένε, τήν βοήθειάν σου κατάπεμψον ημίν.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

### Οι Μακαρισμοί

Μακάριοι οι ειρηνοποιοί, ότι αυτοί υιοί Θεού κληθήσονται.

Ο Ληστής εν τώ Σταυρώ, Θεόν είναί σε πιστεύσας Χριστέ, ωμολόγησέ σε ειλικρινώς εκ καρδίας. Μνήσθητί μου Κύριε βοών, εν τή Βασιλεία σου.

Μακάριοι οι δεδιωγμένοι ένεκεν δικαιοσύνης, ότι αυτών εστιν η βασιλεία τών ουρανών.

Ως εδικαίωσας Χριστέ, τήν Πόρνην κλαύσασαν εξ όλης ψυχής, ούτω Δέσποτα, καί εμέ απογνόντα, από πάσης ρύσαι αγαθέ, κολάσεως δέομαι.

Μακάριοί εστε όταν ονειδίσωσιν υμάς, καί διώξωσι, καί είπωσι πάν πονηρόν ρήμα καθυμών ψευδόμενοι ένεκεν εμού.

Τόν προδραμόντα τού Χριστού, καί ετοιμάσαντα οδούς αγαθάς, μακαρίσωμεν Ιωάννην συμφώνως, όπως τούτου θείαις προσευχαίς, πταισμάτων ρυσθείημεν.

Μαρτυρικόν

Χαίρετε καί αγαλλιάσθε, ότι ο μισθός υμών πολύς εν τοίς ουρανοίς.

Οι τό ποτήριον Χριστού, πιόντες Μάρτυρες προθύμω ψυχή, θολερών ημάς αμαρτημάτων καί νόσων, επομβρίαις θείων προσευχών, λυτρώσασθε Άγιοι.

Δόξα...

Ακατάληπτε Θεέ, η παντοδύναμος Τριάς καί Μονάς, τού Προδρόμου σου ταίς πρεσβείαις με σώσον, λυτρουμένη σκότους καί φλογός, τής αποκειμένης μοι.

Καί νύν... Θεοτοκίον

Διά παντός ταίς πονηραίς, Παρθένε πράξεσι σπιλούμενος, σέ τήν άσπιλον τού Δεσπότου Μητέρα, ικετεύω, ρύπου με παντός, καθάρισον Δέσποινα.

top

5-4

### Στιχηρά Προσόμοια, Δεσποτικά

### Ήχος πλ. α'  Χαίροις ασκητικών

Στίχ. α'. Εάν ανομίας παρατηρήσης, Κύριε, Κύριε τίς υποστήσεται; ότι παρά σοί ο ιλασμός εστιν.

Παύσον τάς τών δαιμόνων ορμάς, τάς κατ' εμού επερχομένας φιλάνθρωπε, ζητούντων τού θανατώσαι, τήν ταπεινήν μου ψυχήν, καί καταγαγείν με εις απώλειαν, αυτών τάς βουλάς τε, καί τάς ενέδρας ματαίωσον, τάς καθ' εκάστην, εν νυκτί καί ημέρα τε, καί εκλύτρωσαι, από τούτων με Δέσποτα, παύσον τό πολυτάραχον, τού βίου κλυδώνιον, ρύσαι γεέννης καί σκότους, τού αιωνίζοντος δέομαι, Χριστέ όταν έλθης, κρίναι κόσμον μετά δόξης, ως υπεράγαθος.

Στίχ. β'. Ένεκεν τού ονόματός σου υπέμεινά σε, Κύριε, υπέμεινεν η ψυχή μου εις τόν λόγον σου, ήλπισεν η ψυχή μου επί τόν Κύριον.

Βίβλων ανοιγομένων Χριστέ, εν τή ημέρα τής φρικτής παρουσίας σου, καί πάντων παρισταμένων, τώ κριτηρίω τώ σώ, καί αποβλεπόντων τήν απόφασιν, πυρός πρό τού βήματος, ελκομένου καί σάλπιγγος, σφοδρώς ηχούσης, τί ποιήσω ο άθλιος, ελεγχόμενος, υπό τής συνειδήσεως, καί καταδικαζόμενος, εις φλόγα τήν άσβεστον. Δέομαι ούν πρό τού τέλους, λύσιν ευρείν τών πταισμάτων μου, Χριστέ ο Θεός μου, ο δωρούμενος τώ κόσμω, τό μέγα έλεος.

Στίχ. γ'. Από φυλακής πρωϊας μέχρι νυκτός, από φυλακής πρωϊας ελπισάτω Ισραήλ επί τόν Κύριον.

Ήρας επί τών ώμων Χριστέ, τόν σόν Σταυρόν, επί τό πάθος ερχόμενος, καί τύπον ημίν παρέσχες, εν σοί τοίς θέλουσι ζήν, πώς συνδοξασθώμέν σοι καί ζήσωμεν, αυτός καταξίωσον, καί ημάς συμμετόχους σοι, τών παθημάτων, καί τής δόξης γενήσεσθαι, τήν σήν νέκρωσιν, εαυτοίς περιφέροντας, νέκρωσόν μου φιλάνθρωπε, σαρκός τά σκιρτήματα, καί εκ τού θείου σου φόβου, μέλη τά ταύτης καθήλωσον, νεκρόν πρός τόν κόσμον, ζώντα δέ ταίς εντολαίς σου, μόνον ποιήσας με.

Έτερα, τής Θεοτόκου, όμοια

Στίχ. δ'. Ότι παρά τώ Κυρίω τό έλεος, καί πολλή παρ' αυτώ, λύτρωσις. καί αυτός λυτρώσεται τόν Ισραήλ έκ πασών τών ανομιών αυτού.

Κλαίω καί σκυθρωπάζω πικρώς, κατανοών τό φοβερόν λογοθέσιον, εξ έργων μή κεκτημένος, απολογίας μικράς, αφορμήν ο τάλας, διό δέομαι, πρίν ή επιφθάση με, τέλος βίου τό άδηλον, πρό τής δρεπάνης, πρό θανάτου, πρό κρίσεως, πρό τού μέλλειν με, τάς ευθύνας εισπράττεσθαι, ένθα τό πύρ τό άσβεστον, καί σκότος εξώτερον, όπου ο σκώληξ εκείνος, ο κατεσθίων τούς πταίοντας, Αγνή τών πταισμάτων, απολύτρωσίν μοι δίδου, καί μέγα έλεος.

Στίχ. ε'. Αινείτε τόν Κύριον πάντα τά έθνη, επαινέσατε αυτόν, πάντες οι λαοί.

Θρόνος Χερουβικός αληθώς, ως υπερτέρα τών κτισμάτων γεγένησαι, εν σοί γάρ ο θείος Λόγος, τήν ημετέραν μορφήν, αναπλάσαι θέλων κατεσκήνωσε, καί σού εξελήλυθε, σαρκοφόρος ως εύσπλαγχνος, Σταυρόν καί πάθος, δι' ημάς κατεδέξατο, καί Ανάστασιν, ως Θεός εδωρησατο, όθεν ως καταλλάξασαν, ημών τήν κατάκριτον, φύσιν τώ Πλάστη σύν τούτω, ευχαριστούντές σοι κράζομεν. Παράσχου πταισμάτων, τήν συγχώρησιν ευχαίς σου, ημίν καί έλεος.

Στίχ. ς'. Ότι εκραταιώθη τό έλεος αυτού εφ' ημάς, καί η αλήθεια τού Κυρίου μένει εις τόν αιώνα.

Ρείθρα δακρυρροϊας εμής, τής εξ ομμάτων μου, Υιέ ποθεινότατε, ο χρόνος ξηράναι όλως, ου κατισχύσει ποτέ, η Αγνή θρηνούσα απεφθέγγετο, σύ φώς γάρ τό άδυτον, τό φωτίζον φωτίσματι, δι' ού φωστήρες, οι μεγάλοι πεπήγασιν, οι ουράνιοι, καί τό πάν κατουσίωται, τί μοι τό βλέπειν ήλιον, φωτός εμού δύναντος; φώς μου γλυκύ πώς εσβέσθης, ο φωτισμός τού προσώπου μου; Λοιπόν απαλείψω τών δακρύων μου τοίς ρείθροις, κόρας ομμάτων μου.

Δόξα... Καί νύν...

Σταυροθεοτοκίον όμοιον

Άρνα τόν εαυτής η Αμνάς, ποτέ ορώσα πρός σφαγήν επισπεύδοντα, προθύμως κατηκολούθει, ταύτα βοώσα αυτώ. Πού πορεύη, τέκνον μου γλυκύτατον. Χριστέ τίνος χάριν, τόν δρόμον τούτον μακρόθυμε, τρέχεις αόκνως, Ιησού ποθεινότατε, αναμάρτητε, πολυέλεε Κύριε; Δός μοι λόγον τή δούλη σου, Υιέ μου παμφίλτατε, μή με παρέλθης οικτίρμον, σιγών φρικτώς τήν τεκούσάν σε, Θεέ ζωοδότα, ο δωρούμενος τώ κόσμω, τό μέγα έλεος.

Απόστιχα Σταυρώσιμα

Ο Σταυρός σου Χριστέ, ει καί ξύλον οράται τή ουσία, αλλά θείαν περιβέβληται δυναστείαν, καί αισθητώς τώ κόσμω φαινόμενος, νοητώς τήν ημών θαυματουργεί σωτηρίαν, όν προσκυνούντες, δοξάζομέν σε Σωτήρ, ελέησον ημάς.

Στίχ. Α'. Πρός σέ ήρα τούς οφθαλμούς μου, τόν κατοικούντα εν τώ ουρανώ. Ιδού, ως οφθαλμοί δούλων εις χείρας τών κυρίων αυτών, ως οφθαλμοί παιδίσκης εις χείρας τής κυρίας αυτής, ούτως οι οφθαλμοί ημών πρός Κύριον τόν Θεόν ημών, έως ού οικτιρήσαι ημάς.

Μόνον παγέντος τού ξύλου Χριστέ τού Σταυρού σου, η πλάνη πεφυγάδευται, καί η χάρις εξήνθησεν, ου γάρ έτι καταδίκης εστί τιμωρία, αλλά τρόπαιον εδείχθη ημίν σωτηρίας. Σταυρός ημών στήριγμα. Σταυρός ημών καύχημα. Σταυρός ημών αγαλλίαμα.

Μαρτυρικόν

Στίχ. Β'. Ελέησον ημάς, Κύριε, ελέησον ημάς, ότι επί πολύ επλήσθημεν εξουδενώσεως, επί

πλείον επλ ήσθη η ψυχή ημών, τό όνειδος τοίς ευθηνούσι, καί η εξουδένωσις τοίς υπερηφάνοις.

Πρεσβεύσατε υπέρ ημών, άγιοι Μάρτυρες, ίνα ρυσθώμεν τών ανομιών ημών, υμίν γάρ εδόθη χάρις, πρεσβεύειν υπέρ ημών.

Δόξα... Καί νύν... Σταυροθεοτοκίον

Χαίροις ασκητικών

Στάσα επί Σταυρού Ιησού, η σέ τεκούσα, θρηνωδούσα ωδύρετο, βοώσα, ου φέρω Τέκνον, προσηλωμένον οράν, επί ξύλου όν περ απεκύησα, εγώ γάρ διέφυγον, τάς ωδίνας ως άνανδρος, καί πώς αρτίως, τή οδύνη συνέχομαι, καί σπαράττομαι, τήν καρδίαν η άμεμπτος; άρτι γάρ εκπεπλήρωται, τό ρήμα ο είρηκεν, ο Συμεών τή καρδία, εμή ρομφαίαν ελεύσεσθαι, αλλ' ώ νύν Υιέ μου, εξανάστηθι καί σώσον, τούς ανυμνούντάς σε.

Μετά τήν α' Στιχολογίαν

Καθίσματα Σταυρώσιμα

Ήχος πλ. α'

Τόπος Κρανίου, Παράδεισος γέγονε, μόνον γάρ ως επάγη τό ξύλον τού Σταυρού, ευθύς εβλάστησε τόν βότρυν τής ζωής, σέ Σωτήρ, εις ημών ευφροσύνην. Δόξα σοι.

Τό ξύλον τού Σταυρού σου, Σωτήρ ημών, τού κόσμου ανεδείχθη σωτήριον, εν αυτώ γάρ βουλήσει προσηλωθείς, τής κατάρας ερρύσω τούς γηγενείς, η πάντων ζωή. Κύριε δόξα σοι.

Δόξα... Καί νύν... Σταυροθεοτοκίον

Τόν συνάναρχον Λόγον

Εν Σταυρώ σε ορώσα Χριστέ η μήτηρ σου, εκουσίως εν μέσω ληστών κρεμάμενον, κοπτομένη μητρικώς, τά σπλάγχνα έλεγεν. Αναμάρτητε Υιέ, πώς αδίκως εν Σταυρώ, ως κακούργος επάγης; τό γένος τό τών ανθρώπων, ζωώσαι θέλων ως υπεράγαθος.

Μετά τήν β' Στιχολογίαν

Καθίσματα Σταυρώσιμα

Τόν συνάναρχον Λόγον

Τόν σταυρωθέντα Σωτήρα καί λυτρωτήν ημών, εκουσίως ως οίδε καί ως ηυδόκησεν, ανυμνήσωμεν πιστοί καί προσκυνήσωμεν, ότι προσήλωσε Σταυρώ, τάς αμαρτίας τών βροτών, ρυσάμενος εκ τής πλάνης, τό γένος τό τών ανθρώπων, καί Βασιλείας κατηξίωσεν.

Σταυρόν υπομείνας σού εκουσία βουλή, καί φθοράς τούς ανθρώπους ελευθερώσας Σωτήρ, ανυμνούμεν οι πιστοί καί προσκυνούμέν σε, ότι εφώτισας ημάς, τή δυνάμει τού Σταυρού, καί φόβω δοξάζομέν σε, φιλάνθρωπε καί οικτίρμον, ως ζωοδότην καί Κύριον.

Δόξα... Καί νύν... Θεοτοκίον  όμοιον

Τώ Σταυρώ τού Υιού σου θεοχαρίτωτε, τών ειδώλων η πλάνη πάσα κατήργηται, καί τών δαιμόνων η ισχύς καταπεπάτηται, διά τούτο οι πιστοί, κατά χρέος σε αεί, υμνούμεν καί ευλογούμεν, καί Θεοτόκον κυρίως, ομολογούντες μεγαλύνομεν.

Μετά τήν γ' Στιχολογίαν

Καθίσματα Σταυρώσιμα

Τόν συνάναρχον Λόγον

Προφητών αι προρρήσεις ιδού πεπλήρωνται, η αρχαία βουλή σου τό πέρας είληφε, σύ γάρ εκών Παμβασιλεύ, σαρκί επτώχευσας Χριστέ, καί κατεδέξω δι' ημάς, ανελθείν εν τώ Σταυρώ, καί θάνατον υπομείναι, διό δοξάζομεν Λόγε, τήν υπέρ νούν σου συγκατάβασιν.

Μαρτυρικόν

Τά θαύματα τών αγίων σου Μαρτύρων, τείχος ακαταμάχητον, ημίν δωρησάμενος, Χριστέ ο Θεός, ταίς αυτών ικεσίαις, βουλάς εθνών διασκέδασον, τής Βασιλείας τά σκήπτρα κραταίωσον, ως μόνος αγαθός καί φιλάνθρωπος.

Δόξα... Καί νύν... Θεοτοκίον

Τόν συνάναρχον Λόγον

Μεμυκότα σε κόρας, Υιέ παμφίλτατε, οφθαλμοίς καθορώσης, τό φώς μου σβέννυται, ουδέ γάρ ήλιον οράν όλως ανέχομαι, ήθελον Λόγε τούς εμούς, εξορυχθήναι οφθαλμούς, σκοτίσθητι φώς ηλίου, ο γάρ δούς σοι τό φώς εν λόγω, εν τώ Σταυρώ τάς κόρας έμυσε.

Κανών Σταυρώσιμος, ού η Ακροστιχίς.
Τόν κόσμον υψοί Χριστός, υψωθείς ξύλω. Ιωσήφ.

Ωδή α' Ήχος πλ. α'
Ο Ειρμός
Ίππον καί αναβάτην, εις θάλασσαν ερυθράν, ο συντρίβων πολέμους, εν υψηλώ βραχίονι, Χριστός εξετίναξεν, Ισραήλ δέ έσωσεν, επινίκιον, ύμνον άδοντα.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Τόν ακαταληψία κατανοούμενον, σαρκωθέντα, καί κόσμω εμφανισθέντα σώματι, ξύλω απηώρησε, βουληθέντα πάλαι, Εβραίων δήμος παρανομώτατος.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ότε τήν καρποφόρον, Χριστέ σε άμπελον, επί ξύλου Εβραίοι, Σταυρού μανέντες ύψωσαν, τότε οίνον έσταξας, ευφροσύνης άπασαν, μέθην Λόγε κακών εξαίροντα.
Μαρτυρικά
Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Νόμοις ουχ υποπίπτει, επαίνων Μάρτυρες, η υμών καρτερία, υπέρ γάρ φύσιν πάσαν βροτών, πόνους υπηνέγκατε, καί πρός λήξιν άπονον, εσκηνώσατε ευφραινόμενοι.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Κύματα τών βασάνων, υπερνηξάμενοι, κυβερνήσει τού Λόγου πανεύφημοι, Χριστού Αθληταί, λιμένας εφθάσατε ουρανίους, θείας γαλήνης όντως επαπολαύοντες.
Σταυροθεοτοκίον
Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ότε τόν εκ γαστρός σου, τεχθέντα Κύριον, κατενόησας ξύλω αδίκως ανυψούμενον, Παρθένε εδάκρυσας, καί τούτου ύμνησας όντως, τήν άπειρον συγκατάβασιν.

Κανών τής Υπεραγίας Θεοτόκου. ού η Ακροστιχίς.
Πέμπτον πέφυκεν άσμα νύν τή Παρθένω.

Ειρμός ο αυτός
Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Πύλη τής θείας δόξης η διανοίξασα, Παραδείσου τήν πύλην, τής μετανοίας πύλας μοι, διάνοιξον δέομαι, καί τόν νούν μου φώτισον, τού υμνείν σε θεοχαρίτωτε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Έστησας τού θανάτου τήν ρύμην, τέξασα τόν ζωής, καί θανάτου δεσπόζοντα Πανάμωμε, αυτόν ούν ικέτευε, τά νεκρούντα πταίσματα, τήν ψυχήν μου στήσαι, καί σώσαί με.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Μόνην εκ γενεών σε, τήν καλλονήν Ιακώβ, εξελέξατο Λόγος, ο τώ Πατρί συνάναρχος, καί σού σεσωμάτωται, εξ αιμάτων Δέσποινα, διασώζων με μεσιτείαις σου.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Πόκος καθάπερ όμβρον τόν επουράνιον, επί σέ κατελθόντα, κατεδέξω Πάναγνε, διό τά

ομβρήματα, τών παθών μου ξήρανον, ικετεύω σε Μητροπάρθενε.

Ωδή γ'
Ο Ειρμός
Ο πήξας επ' ουδενός, τήν γήν τή προστάξει σου, καί μετεωρίσας ασχέτως βρίθουσαν, επί τήν ασάλευτον Χριστέ, πέτραν τών εντολών σου, τήν Εκκλησίαν σου στερέωσον, μόνε αγαθέ καί φιλάνθρωπε.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Σταυρούσαι, καί παράδεισος πάλιν ανοίγεται, καί Ληστής πρό πάντων χαίρων εισέρχεται, θνήσκεις Ιησού μου, καί εχθρός ο πλάνος θανατούται, ο νεκρωθείς Αδάμ ζωούται δέ. Δόξα τή πολλή ευσπλαγχνία σου.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Μαραίνεις τής αμαρτίας, φλόγα σταυρούμενος, Ιησού εν ξύλω δι' αγαθότητα, λύεις τήν απάτην δεσμευθείς, γυμνούμενος ενδύεις, καταστολήν δόξης τόν άνθρωπον. Δόξα τή πολλή ευσπλαγχνία σου.

Μαρτυρικά
Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Οδείξας αειφανείς, αστέρας τούς Μάρτυρας, ασεβείας σκότος διασκεδάζοντας, τούτων παρακλήσεσι Χριστέ, τήν νύκτα τών παθών μου αποδίωξον, καί φώτισον, τήν εσκοτισμένην καρδίαν μου.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Νομίμως οι ευκλεείς, ηρίστευσαν Μάρτυρες, νομίμω πίστει εστεφανώθησαν, καί παρανομούντων τάς βουλάς, εξέκλιναν εμφρόνως, καί τήν τρυφήν τήν θείαν έλαβον, καί τού Παραδείσου τήν οίκησιν.

Σταυροθεοτοκίον
Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Υμνούσιν Αγγελικοί, χοροί σε Πανύμνητε, ασυγκρίτως τούτους τήν υπερέχουσαν, τέτοκας Θεόν γάρ έν σαρκί, τόν ξύλω τήν κατάραν, τήν εκ τού ξύλου αφανίσαντα, καί τήν ευλογίαν πηγάσαντα.

Κανών τής Θεοτόκου
Ειρμός ο αυτός
Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τώ βέλει τής αμαρτίας, τραυματισθέντα με, τώ εν σοί φαρμάκω όλον υγείωσον, καί τής συνεχούσης με Αγνή, απάλλαξον οδύνης, τών οδυνών η απαλλάξασα, γένος τών ανθρώπων τώ τόκω σου.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Οι μάτην τήν ταπεινήν, καρδίαν μου θλίβοντες, καί επιζητούντες τού θανατώσαί με, Δέσποινα αόρατοι εχθροί, τή σή καταβληθέντες, επιστασία διαμένουσιν, άπρακτοι, αισχύνης πληρούμενοι.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ναμάτων ζωοποιών με, πλήρωσον Δέσποινα, η τό θείον ύδωρ κόσμω πηγάσασα, τών ανομιών μου τούς δεινούς, ξηράνασα χειμάρρους, καί τής καρδίας μου τά κύματα, θεία σου γαλήνη πραΰνουσα.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Παρήλθον τά σκιωδώς, τώ νόμω τελούμενα, τόν γάρ νομοδότην Χριστόν εκύησας, χάριν ιλασμόν καί φωτισμόν, ημίν νομοθετούντα, καί τής κατάρας εξαιρούμενον, άχραντε Παρθένε πανύμνητε.

Ωδή δ'

Ο Ειρμός

Τήν θείαν εννοήσας σου κένωσιν, προβλεπτικώς ο Αββακούμ, Χριστέ εν τρόμω εβόα σοι. Εις σωτηρίαν λαού σου, τού σώσαι τούς χριστούς σου ελήλυθας.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ψυχών τήν παντελή απολύτρωσιν, περιποιούμενος Χριστέ, Πατρός εις χείρας παρέδωκας, τήν παναγίαν ψυχήν σου, εν ξύλω εκουσίως κρεμάμενος.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ο άδικος κριτής κατακρίνει σε, δικαιοκρίτα Ιησού, τεθνάναι ξύλω κρεμάμενον, όπως ημάς δικαιώσης, αδίκω δυσμενεί υποκύψαντας.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ιδείν κατηξιώθητε Μάρτυρες, τά δι' αιώνος αγαθά, κινδύνοις πλείστοις καί θλίψεσι, καί ανηκέστοις βασάνοις, εν γή περιφανώς ομιλήσαντες.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Χειμώνα πειρασμών υπεξήλθετε, καί πρός τό έαρ αμοιβών, επουρανίων εφθάσατε, καί τοίς χοροίς τών Αγγέλων, σεπτοί κατηριθμήθητε Μάρτυρες.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ρομφαία Θεομήτορ δι' ήλθέ σου, ευλογημένη τήν ψυχήν, ηνίκα είδες σταυρούμενον, τόν σόν Υιόν καί εις χείρας, ψυχήν τάς πατρικάς παραθέμενον.

Κανών τής Θεοτόκου

Ειρμός ο αυτός

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Εξ έργων σωτηρία ουκ έστι μοι, υπό τήν σκέπην σου διό, εν πεποιθήσει προσέδραμον, απεγνωσμένον με σώσον, πρεσβείαις σου πανύμνητε Δέσποινα.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φωτός τό καθαρόν ενδιαίτημα, Ηλίου όχημα σεπτόν, τήν σκοτισθείσαν καρδίαν μου, τή τών δεινών αμαυρώσει, καταύγασον καί σώσόν με Δέσποινα.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Υφάνασα ιστόν εξ αιμάτων σου, παρθενικων τόν ουρανόν, νεφέλαις Κόρη ενδύοντα, καταστολήν αφθαρσίας, απάτη γυμνωθέντα με ένδυσον.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Κοιλάδων τών τού βίου ως κρίνον σε, αναλαβών ο πλαστουργός, εκ σού τώ κόσμω διέπνευσε, πνευματικήν ευωδίαν, Παρθένε Παναγία Θεόνυμφε.

## Ωδή ε'

### Ο Ειρμός

Ο αναβαλλόμενος φώς ως ιμάτιον, πρός σέ ορθρίζω, καί σοι κραυγάζω, τήν ψυχήν μου φώτισον, τήν εσκοτισμένην, Χριστέ ως μόνος εύσπλαγχνος.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ίστασο κρινόμενος δικαιοκρίτα Χριστέ, καί κατακρίνων σαρκί τήν έχθραν, καλάμω τυπτόμενος, καί ελευθερίαν, τελείαν υπογράφων μοι.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Σέ ως εθεάσατο σαρκί κρεμάμενον, Χριστέ εν ξύλω, τό φώς εις σκότος, μετέβαλεν ήλιος, καί γή εσαλεύθη, καί πέτραι διερράγησαν.

### Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Τά τής γής πληρώματα καθηγιάσατε, ως πληρωταί γάρ τών θείων νόμων, πανεύφημοι Μάρτυρες, τήν αγιωσύνην, αθλούντες εκληρώσασθε.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Οι περικαλλέστατοι καί θεαυγέστατοι, οι θείαν δόξαν ενδεδυμένοι, καί απογυμνώσαντες, εχθρού τήν κακίαν, οι Μάρτυρες τιμάσθωσαν.

### Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σέ τήν Παναμώμητον Θεού λοχεύτριαν, δι' ής κατάρα απεστειρώθη, καί η απολύτρωσις καί η ευλογία, εδόθη μακαρίζομεν.

### Κανών τής Θεοτόκου

### Ειρμός ο αυτός

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Εύρω σε βοήθειαν, εξαιρουμένην με, εν ώρα δίκης τής καταδίκης, ότε επί βήματος, τού εκ σού τεχθέντος, Παρθένε παραστήσομαι.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νόμω με τροπούμενον, τής αμαρτίας Αγνή, καί ταίς απάταις τού αλλοτρίου, συνεχώς πλανώμενον, καί κρημνοίς πταισμάτων, ωθούμενον επίστρεψον.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Άνθρακα κυήσασα, όν εθεάσατο, ο Ησαϊας κατάφλεξόν μου, τήν ύλην Πανάμωμε, τών αμαρτημάτων, καί φώτισόν με δέομαι.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σάρκα εξ αιμάτων σου, Χριστώ δανείσασα, τά σαρκικά μου Παρθένε πάθη, δι' όλου καθάρισον, καί τής απαθείας, τήν τρίβον μοι υπόδειξον.

## Ωδή ς'

### Ο Ειρμός

Μαινομένην κλύδωνι, ψυχοφθόρω Δέσποτα Χριστέ, τών παθών τήν θάλασσαν κατεύνασον, καί

εκ φθοράς, ανάγαγέ με ως εύσπλαγχνος.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Υψωθείς μακρόθυμε, επί ξύλου πάσας τού εχθρού, τάς επάρσεις έπτωσας, καί έσωσας τούς πεσόντας, διά πολλήν αγαθότητα.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ψυχαί τών Δικαίων σε, επί ξύλου πάλαι τήν ψυχήν, παραδόντα Δέσποτα, ως ήσθοντο αιωνίων Λόγε, δεσμών απελύοντο.

Μαρτυρικόν

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ως στερροί αδάμαντες, τών βασάνων πάσαν τήν πυράν, καρτερία γνώμης υπηνέγκατε, καί τόν εχθρόν, ταπεινωθέντες επτώσατε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Θαυμαστός ο Τόκος σου, ο μεγάλα θαύματα ποιών, καί εν τοίς Αγίοις δοξαζόμενος, Θεοτόκε μόνη, πανθαύμαστε Δέσποινα.

Κανών τής Θεοτόκου

Ειρμός ο αυτός

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Μή καταπιέτω με, ραθυμίας Δέσποινα βυθός, αμαρτίας κύμα μή καλύψαι με, αλλά μόνη η σή πρεσβεία σωσάτω με.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Αγαθόν κυήσασα, ευεργέτην καί δημιουργόν, παναγία Δέσποινα φιλάγαθε, τήν ψυχήν μου, κεκακωμένην αγάθυνον.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νόμω προετύπου σε, ηλυχνία τέξασαν τό φώς, τό φωτίσαν Πάναγνε τά σύμπαντα, διό βοώ, Εσκοτισμένον με φώτισον.

Ωδή ζ

Ο Ειρμός

Ο υπερυψούμενος, τών Πατέρων Κύριος, τήν φλόγα κατέσβεσε, τούς Παίδας εδρόσισε, συμφώνως μελωδούντας, ο Θεός ευλογητός εί.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Έστεψαν ακάνθαις σε, Βασιλεύ αθάνατε, δήμος ο παράνομος, προρρίζους εκτέμνοντα, τής πλάνης τάς ακάνθας, ο Θεός ευλογητός εί.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ίνα επενδύσης με, στολήν Λόγε άφθαρτον, γυμνούσαι θελήματι, καί φέρεις εμπτύσματα, καί σταύρωσιν καί πάθος, απαθής ών κατ' ουσίαν.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Σύμμορφοι γενόμενοι, παθημάτων Άγιοι, τού πάντων δεσπόζοντος, εικότως υπάρχετε υιοί, καί κληρονόμοι, Βασιλείας ασαλεύτου.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ξύλοις ουκ ενείματε, σέβας αλογώτατον, τόν ξύλω τανύσαντα, χείρας Χριστομάρτυρες, σεβόμενοι ως πάντων, Βασιλέα καί Δεσπότην.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ξένη σου η γέννησις, υπάρχει Πανάμωμε, Θεόν γάρ εγέννησας, τόν ξύλω μαράναντα, τήν φλόγα τής κακίας, καί φωτίσαντα τόν κόσμον.

Κανών τής Θεοτόκου

Ειρμός ο αυτός

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Υμνώ σε Πανάμωμε, Θεόν υπερύμνητον, ασπόρως γάρ έτεκες, Θεούντα τούς μέλποντας, Παρθένε Παναγία, ο Θεός ευλογητός εί.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νέκρωσον τά πάθη μου, ζωήν η κυήσασα, έγειρόν με κείμενον, εκ τάφου Θεόνυμφε, τού τής αναισθησίας, ίνα πόθω σε δοξάζω.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τόν απειροδύναμον, τήν ημών ασθένειαν, φορέσαντα τέτοκας, Αγνή, όν ικέτευε, δεινώς εξασθενούσαν, θεραπεύσαι τήν ψυχήν μου.

Ωδή η'

Ο Ειρμός

Σοί τώ παντουργώ, εν τή καμίνω Παίδες, παγκόσμιον πλέξαντες, χορείαν έμελπον. Πάντα τά έργα, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ύψιστε Θεέ, επί Σταυρού υψώθης, χολήν ποτιζόμενος, ο γλυκασμός τής ζωής, λόγχη κεντάσαι, εναποσφάττων όφιν, τόν εν Παραδείσω, Αδάμ καταβαλόντα.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Λύεις με δεσμών, τής αμαρτίας Λόγε, θελήσει δεσμούμενος, καί αιωνίοις δεσμοίς, Σώτερ δεσμεύων τόν δυσμενή Βελίαρ, όθεν σου δοξάζω, τό πάθος εις αιώνας.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ώφθητε φωτός, εν μετοχή αϋλω, φώτα όντες δεύτερα, άγιοι Μάρτυρες, σκότος τής πλάνης εξαίροντα, καί πάντων, πιστών τάς καρδίας, φωτίζοντα ενθέως.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ιερουσαλήμ, τής άνω ελευθέρας, υιοί χρηματίζετε, καταφαιδρύνοντες, τών πρωτοτόκων, Μάρτυρες Εκκλησίαν, καί υπερυψούντες, Χριστόν εις τούς αιώνας.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ίστασο Σταυρώ, κατανοούσα Κόρη, πηγνύμενον Δέσποινα, Χριστόν όν έτεκες, όθεν εβόας. Μή άτεκνόν με δείξης, άναρχε ανάρχου, Πατρός Υιέ καί Λόγε.

Κανών τής Θεοτόκου
Ειρμός ο αυτός

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Η περικαλλής, καί θεαυγής Παρθένος, καλώς ταίς ιδέαις με, κάλλυνον φαίδρυνον, όπως κραυγάζω. Τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Πύλη τού φωτός, τής μετανοίας πύλην, φωταυγή μοι άνοιξον, αποδεικνύουσα πάσαν ευθείαν, οδόν δικαιοσύνης, φέρουσαν εις θείου, θελήματος εισόδους.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Άγιον Αγνή, υπεραγία Λόγον, πιστούς αγιάζοντα, αρρήτως τέτοκας, τούτον δυσώπει, τήν ταπεινήν ψυχήν μου, νύν καθαγιάσαι, κακία μιανθείσαν.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ρείθρον διαυγές, πηγή αθανασίας, εκ σού προελήλυθεν, αγία Δέσποινα, όθεν βοώ σοι. Τά ρείθρα τών κακών μου, ξήρανον τοίς όμβροις, τής σής Αγνή πρεσβείας.

Ωδή θ'
Ο Ειρμός

Ησαϊα χόρευε, η Παρθένος έσχεν εν γαστρί, καί έτεκεν Υιόν τόν Εμμανουήλ, Θεόν τε καί άνθρωπον. Ανατολή όνομα αυτώ, όν μεγαλύνοντες, τήν Παρθένον μακαρίζομεν.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ως αμνός ανήρτησαι, επί ξύλου Δέσποτα Χριστέ, τάς σιαγόνας συνθλών, λύκου νοητού, καί τούτου εκ στόματος, αφαρπάζων σού τά λογικά, Δέσποτα πρόβατα, καί προσάγων τώ Γεννήτορι.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Στέφανον ακάνθινον, ανεδήσω οία Βασιλεύς, βασιλευόντων Χριστέ, τά τού πονηρού, καθαίρων βασίλεια, καί εκ ριζών τέμνων αγαθέ, πλάνης τήν άκανθαν, όθεν πίστει σε δοξάζομεν.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ήστραψεν ως ήλιος, η βεβαία ένστασις υμών, καί πάσαν τών δυσμενών, έλυσεν αχλύν, Μάρτυρες αήττητοι, φωταγωγοί πάντων τών πιστών, πύργοι ακλόνητοι, ευσεβείας αξιάγαστοι.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Φάλαγξ θεοσύλλεκτος, στρατός θείος, δήμος εκλεκτός, αγία παρεμβολή, ώφθητε υμείς, Μάρτυρες πανεύφημοι, τού πονηρού, τάς παρεμβολάς, εξαφανίζοντες, τού Σωτήρος θεία χάριτι.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φυτουργόν εκύησας, ευσεβείας τόν Δημιουργόν, φυτεύοντα επί γής, γνώσιν αληθή, καί τήν εκβλαστήσασαν, από φυτού, λύοντα αράν, όν μεγαλύνοντες, σέ Παρθένε μακαρίζομεν.

Κανών τής Θεοτόκου
Ειρμός ο αυτός

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Θεμέλιον άσειστον, σωτηρίας τέτοκας Αγνή, επί υδάτων τήν γήν, θείαις προσταγαίς, τόν θεμελιώσαντα, εν ώ ημάς, τούς ειλικρινώς, σέ μακαρίζοντας, στηριχθήναι καθικέτευε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Εν οδώ ειρήνης με, προσταγμάτων θείων απλανών, πορεύεσθαι ακλινώς, ποίησον Αγνή, δαιμόνων τόν τάραχον, καί τών παθών, τάς επαγωγάς, αποδιώκουσα, καί τόν νούν μου καταυγάζουσα.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νυσταγμώ κρατούμενον, αμελείας βλέπων ο εχθρός, επέρχεται αναιδώς, ύπνω ηδονής, ελπίζων συλήσαί με, αλλ' αυτή με, φύλαξον Αγνή, τή ακοιμήτω σου, μεσιτεία Μητροπάρθενε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ως αυτοκατάκριτος, εννοώ μου τών αμαρτιών, τό πλήθος καί τό φρικτόν, βήμα τού Κριτού, εν ώ μέλλω κρίνεσθαι, αλλ' η κριτήν, τέξασα Θεόν, τότε με τήρησον, Θεοτόκε ακατάκριτον.

Απόστιχα τών Αίνων, Σταυρώσιμα

Κύριε, επί Μωϋσέως ποτέ τού Προφήτου, μόνον ο τύπος τού Σταυρού σου δεικνύμενος, ενίκα τούς εχθρούς σου, νύν δέ αυτόν τόν Σταυρόν σου κατέχοντες, βοήθειαν αιτούμεν, κράτυνον τήν Εκκλησίαν σου, καί δώρησαι τοίς Βασιλεύσιν ημών, ως Κωνσταντίνω τό τρόπαιον, διά πλήθος ελέους φιλάνθρωπε.

Στίχ. α'. Ενεπλήσθημεν τό πρωϊ τού ελέους σου, Κύριε, καί ηγαλλιασάμεθα καί ηυφράνθημεν έν πάσαις ταίς ημέραις ημών. Ευφρανθείημεν, ανθών ημερών εταπείνωσας ημάς, ετών, ών είδομεν κακά, καί ίδε επί τούς δούλους σου καί επί τά έργα σου, καί οδήγησον τούς υιούς αυτών.

Ο Σταυρός σου Χριστέ, καί τού Άδου κατήργησε τό κράτος, καί το γένος διέσωσε τών ανθρώπων, καί εκ φθοράς τόν κόσμον ρυσάμενος, τώ Ληστή τόν Παράδεισον ήνοιξεν, όν προσκυνούντες, δοξάζομέν σε Σωτήρ, ελέησον ημάς.

Μαρτυρικόν

Στίχ. β'. Καί έστω η λαμπρότης Κυρίου τού Θεού ημών εφ' ημάς, καί τά έργα τών χειρών ημών κατεύθυνον εφ' ημάς, καί τό έργον τών χειρών ημών κατεύθυνον.

Οι Αθλοφόροι σου Κύριε, τάς τάξεις τών αγγέλων μιμησάμενοι, ως ασώματοι ταίς βασάνοις ενεκαρτέρησαν, μονολόγιστον ελπίδα έχοντες, τών επηγγελμένων αγαθών τήν απόλαυσιν. Ταίς πρεσβείαις αυτών, Χριστέ ο Θεός ημών, τήν ειρήνην δώρησαι τώ κόσμω σου, καί ταις ψυχαίς ημών τό μέγα έλεος.

Δόξα... Καί νύν... Σταυροθεοτοκίον
Μακαρίζομέν σε

Ως αμνόν σε Λόγε, η Αμνάς καί Παρθένος, πρός σφαγήν χωρούντα, καθορώσα εβόα. Ώ ξένου τολμήματος! πώς άνομοι σφάττουσι τόν τούς ανθρώπους ζωούντα; Μέγα σου Υιέ μου τό έλεος!

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ
Οι Μακαρισμοί

Μακάριοι οι ειρηνοποιοί, ότι αυτοί υιοί Θεού κληθήσονται.

Ο Ληστής εν τώ Σταυρώ, Θεόν είναί σε πιστεύσας Χριστέ, ωμολόγησέ σε ειλικρινώς εκ καρδίας. Μνήσθητί μου Κύριε βοών, εν τή βασιλεία σου.

Μακάριοι οι δεδιωγμένοι ένεκεν δικαιοσύνης, ότι αυτών εστιν η βασιλεία τών ουρανών.

Αναβάς εν τώ Σταυρώ, πάσαν εκλόνησας δαιμόνων πληθύν, καί κατέρραξας τό ολέθριον κράτος, τού τυράννου Δέσποτα Χριστέ, σώσας τό ανθρώπινον.

Μακάριοί εστε όταν ονειδίσωσιν υμάς, καί διώξωσι, καί είπωσι πάν πονηρόν ρήμα καθυμών ψευδόμενοι ένεκεν εμού.

Εκεντήθης τήν πλευράν, κρουνούς αφέσεως πηγάσας μοι, προσηλώθης δέ επί ξύλου τάς χείρας, εξηλώσας άπαν εμπαθές, τών ανθρώπων νόημα.

Μαρτυρικόν

Χαίρετε καί αγαλλιάσθε, ότι ο μισθός υμών πολύς εν τοίς ουρανοίς.

Μιμηταί τών τού Χριστού, παθών γενόμενοι μακάριοι, πάσαν βάσανον Αθλοφόροι Κυρίου, διελθόντες τών εν ουρανοίς, τερπνών ηξιώθητε.

Δόξα...

Προσκυνούμέν σε πιστώς, Θεόν τόν ένα εν προσώποις τρισί, τήν αδιαίρετον, καί ομότιμον φύσιν, κράζοντές σοι. Δόξα σοι Μονάς, Τριάς ομοούσιε.

Καί νύν... Σταυροθεοτοκίον

Παρισταμένη τώ Σταυρώ, θεοχαρίτωτε, καί τάς τού Υιού τρώσεις βλέπουσα, τήν ψυχήν κατετρώθης, ανυμνούσα τούτου τήν πολλήν, όντως συγκατάβασιν.

top
5-5

Στιχηρά Προσόμοια τών Αποστόλων

Ήχος πλ. α'

Χαίροις ασκητικών αληθώς

Στίχ. α'. Εάν ανομίας παρατηρήσης, Κύριε, Κύριε τίς υποστήσεται; ότι παρά σοί ο ιλασμός εστιν.

Βέλη ηκονημένα υμείς, τού δυνατού αποσταλέντες Απόστολοι, εις πάσαν τήν οικουμένην, απτέρω τάχει σαφώς, πάντα τών δαιμόνων απημβλύνατε, δεινά καί πυρίφλογα, βέλη όντως μακάριοι, πολυθεϊαν, εκποδών ποιησάμενοι, καί διδάξαντες, τήν ευσέβειαν άπαντας, πρόβατα χρηματίσαντες, Χριστού τού Θεού ημών, τού αρχιποίμενος όντως, ός λύκων μέσον απέστειλεν, υμάς τού πραϋναι, τήν αυτών θηριωδίαν, διά τής πίστεως.

Στίχ. β'. Ένεκεν τού ονόματός σου υπέμεινά σε, Κύριε, υπέμεινεν η ψυχή μου εις τόν λόγον σου, ήλπισεν η ψυχή μου επί τόν Κύριον.

Λόγω μαθητευθέντες Θεού, ενυποστάτω τώ βροτοίς ομιλήσαντι, δι' άκραν φιλανθρωπίαν, καί προσλαβόντι αυτών, αληθώς τήν φύσιν καί Θεώσαντι, αυτώ ούν επόμενοι, θείοις ίχνεσι πάνσοφοι, καί τήν πτωχείαν, τήν αυτού εμιμήσασθε, πάντα σκύβαλα, ηγησάμενοι ένδοξοι, όθεν καί απερρίψατε, χιτώνα τόν δεύτερον, μή βακτηρίαν, μή πήραν, εν τή οδώ επαγόμενοι, καί νύν ουρανίους, θησαυρούς κληρονομήσαι, κατηξιώθητε.

Στίχ. γ'. Από φυλακής πρωϊας μέχρι νυκτός, από φυλακής πρωϊας ελπισάτω Ισραήλ επί τόν Κύριον.

Σάλου τών πειρασμών καί δεινής, ερεσχελίας τών ασέμνων αιρέσεων, δαιμόνων κακοβουλίας, καί τών ανθρώπων πικράς, συστροφής καί ζάλης παμμακάριστοι, πυρός αφεγγούς τε, καί αιωνίζοντος σκώληκος, βρυγμού οδόντων, καί πάσης άλλης κολάσεως, ταίς πρός Κύριον, ικεσίαις λυτρώσασθαι, πάντας ημάς, καί τεύξασθαι, αυτόν δυσωπήσατε, δι' εγκρατείας, καί πόνων, τών αρετής αντιδόσεων, τυχείν κληρουχίας, ουρανών τε Βασιλείας, καί μέγα έλεος.

Έτερα τού Αγίου Νικολάου, όμοια

Στίχ. δ'. Ότι παρά τώ Κυρίω τό έλεος, καί πολλή παρ' αυτώ, λύτρωσις. καί αυτός λυτρώσεται τόν Ισραήλ έκ πασών τών ανομιών αυτού.

Χαίροις, η ιερά κεφαλή, τό καθαρόν τών αρετών καταγώγιον, ο θείος τής θειοτάτης, ιερωσύνης κανών, ο ποιμήν ο μέγας ο φανότατος, πυρσός ο τής νίκης, επιφερόμενος όνομα, ο δεομένοις, συμπαθώς επικλώμενος, ο καμπτόμενος, ασθενών ταίς δεήσεσι, ρύστης ο ετοιμότατος, φρουρός ο σωτήριος, πάσι τοίς πίστει τιμώσι, τήν πανσεβάσμιον μνήμην σου, Χριστόν εκδυσώπει, ταίς ψυχαίς ημών δοθήναι, τό μέγα έλεος.

Στίχ. ε'. Αινείτε τόν Κύριον πάντα τά έθνη, επαινέσατε αυτόν, πάντες οι λαοί.

Χαίροις, ο ιερώτατος νούς, τό τής Τριάδος καθαρόν ενδιαίτημα, ο στύλος τής Εκκλησίας, ο τών πιστών στηριγμός, καταπονουμένων η βοήθεια, αστήρ ο ταίς λάμψεσιν, ευπροσδέκτων δεήσεων, διασκεδάζων, πειρασμών τε καί θλίψεων, σκότος πάντοτε, Ιεράρχα Νικόλαε, όρμος ο γαληνότατος, εν ώ καταφεύγοντες, οι τρικυμίαις τού βίου, περιστατούμενοι σώζονται, Χριστόν εκδυσώπει, ταίς ψυχαίς ημών δοθήναι, τό μέγα έλεος.

Στίχ. ς'. Ότι εκραταιώθη τό έλεος αυτού εφ' ημάς, καί η αλήθεια τού Κυρίου μένει εις τόν αιώνα.

Χαίροις, ο θείου ζήλου πλησθείς, απαγωγής τε πονηράς λυτρωσάμενος, αδίκως μέλλοντας θνήσκειν, επιστασία φρικτή, καί ταίς δι' ονείρων προσφοιτήσεσι, πηγή η πηγάζουσα, εν τοίς Μύροις Νικόλαε, μύρα πλουσίως, καί ψυχάς καταρδεύουσα, τά δυσώδη τε, τών παθών απελαύνουσα, μάχαιρα τά ζιζάνια, τής πλάνης εκτέμνουσα, πτύον λικμίζον Αρείου, τά αχυρώδη διδάγματα, Χριστόν εκδυσώπει, ταίς ψυχαίς ημών δοθήναι, τό μέγα έλεος.

Δόξα... Καί νύν... Θεοτοκίον όμοιον

Έχων αμαρτημάτων πληθύν, πεπωρωμένος, καί τόν νούν σκοτιζόμενος, βοώ σοι εν κατανύξει, καί συντριβή λογισμών. Κόρας τής ψυχής μου φωταγώγησον, καί γάρ τό ανέσπερον, φώς εκύησας Άχραντε, τό καταυγάζον, οικουμένης τά πέρατα, τοίς πυρσεύμασι, τής αυτού επιγνώσεως, φώτισόν μου Πανάμωμε, τόν νούν ταίς λαμπρότησι, τής σής πρεσβείας γενέ. σθαι, υιόν φωτός αξιούσά με, Χριστόν δυσωπούσα, τόν παρέχοντα τώ κόσμω, τό μέγα έλεος.

Απόστιχα Αποστολικά

Μαθηταί τού Σωτήρος, μυστηρίων αυτόπται γενόμενοι, τόν μή θεωρούμενον, και αρχήν μή έχοντα, εκηρύξατε λέγοντες. Εν αρχή ήν ο Λόγος, ουκ εκτίσθητε πρό τών Αγγέλων, ουκ εμάθετε παρά ανθρώπων, αλλ' εκ τής άνωθεν σοφίας, διό παρρησίαν έχοντες, πρεσβεύσατε υπέρ τών ψυχών ημών.

Στίχ. Α'. Πρός σέ ήρα τούς οφθαλμούς μου, τόν κατοικούντα εν τώ ουρανώ. Ιδού, ως οφθαλμοί δούλων εις χείρας τών κυρίων αυτών, ως οφθαλμοί παιδίσκης εις χείρας τής κυρίας αυτής, ούτως οι οφθαλμοί ημών πρός Κύριον τόν Θεόν ημών, έως ού οικτιρήσαι ημάς.

Τούς Αποστόλους Κυρίου μελωδικώς, εν ωδαίς ανευφημήσωμεν, ενδυσάμενοι γάρ τήν τού Σταυρού πανοπλίαν, τήν τών ειδώλων πλάνην κατήργησαν, καί νικηφόροι ανεδείχθησαν στεφανίται, ών ταίς πρεσβείαις ο Θεός, ελέησον ημάς.

Μαρτυρικόν

Στίχ. Β'. Ελέησον ημάς, Κύριε, ελέησον ημάς, ότι επί πολύ επλήσθημεν εξουδενώσεως, επί πλείον επλ ήσθη η ψυχή ημών, τό όνειδος τοίς ευθηνούσι, καί η εξουδένωσις τοίς υπερηφάνοις.

Ακορέστω διαθέσει ψυχής, Χριστόν ουκ αρνησάμενοι, άγιοι Μάρτυρες, τούς δεινούς καί διαφόρους αικισμούς, παθημάτων υπεμείνατε, τών τυράννων τά θράση κατηδαφίσατε, ακλινή καί άτρωτον τήν πίστιν φυλάξαντες, εις ουρανούς μετέστητε, όθεν καί παρρησίας τυχόντες πρός αυτόν, αιτήσασθε δωρηθήναι, ημίν τό μέγα έλεος.

Δόξα... Καί νύν... Θεοτοκίον

Χαίρε κεχαριτωμένη, Μήτηρ Χριστού τού Θεού, ότι επέφανέ σοι ο Βασιλεύς τής δόξης, καί επεσκίασέ σοι, τό πανάγιον Πνεύμα, ως παρρησίαν έχουσα, πρέσβευε τού σωθήναι τάς ψυχάς ημών.

Μετά τήν α' Στιχολογίαν

Καθίσματα Αποστολικά

Ήχος πλ. α'  Τόν συνάναρχον Λόγον

Ως αυτόπτας τού Λόγου καί υπηρέτας Χριστού, τούς σοφούς Αποστόλους ανευφημήσωμεν, εν ωδαίς πνευματικαίς, καί ύμνοις άπαντες πιστοί, τόν Χριστόν γάρ εκτενώς, καθικετεύουσιν αυτοί, υπέρ ημών τών υμνούντων, τήν ιεράν αυτών μνήμην, καί προσκυνούντων αυτών τά λείψανα.

Τούς Αποστόλους συμφώνως ανευφημήσωμεν, ως κηρύξαντας πάσι πιστοίς τήν άψευστον, καί ορθόδοξον τού Κυρίου διδαχήν, καί εκδιώξαντας τήν τών αιρέσεων αχλύν, καί φωτισμόν πνευματικόν, εκλάμψαντας εν τώ κόσμω, τήν χάριν τήν τών δογμάτων, καί δυσωπούντας τού σωθήναι ημάς.

Δόξα... Καί νύν... Θεοτοκίον  όμοιον

Απειρόγαμε Νύμφη καί αειπάρθενε, σύν τοίς θείοις αυτόπταις ανευφημούμέν σε, ότι εν σοί ο δυνατός μεγαλεία εποίησε, δι' ημάς γάρ καθ' ημάς, ο πρό αιώνων εκ Πατρός, τή μήτρα σου ενοικήσας, ευδόκησε γεννηθήναι, ίνα εκ πλάνης σώση τό γένος ημών.

Μετά τήν β' Στιχολογίαν

Καθίσματα Αποστολικά

Τόν συνάναρχον Λόγον

Τούς Αποστόλους εν ύμνοις ανευφημήσωμεν, ως αυτόπτας τού Λόγου καί θείους κήρυκας, καί τών εθνών πνευματικούς σαγηνευτάς σαφώς, ότι προσήγαγον ημάς, εις τήν επίγνωσιν Χριστού, ρυσάμενοι εκ τής πλάνης, τό γένος τό τών ανθρώπων, καί Βασιλείας κατηξίωσαν.

Μαθηταί τού Σωτήρος θείοι Απόστολοι, οι σωτήριον Λόγον εγκατασπείραντες, εις τά πέρατα τής γής, καί καταυγάσαντες, τούς εν τώ σκότει καί σκιά, καθημένους τήν εμήν, φωτίσατε σκοτισθείσαν, ψυχήν παθών αμαυρώσει, ταίς ικεσίαις υμών πάνσοφοι.

Δόξα... Καί νύν... Θεοτοκίον  όμοιον

Τών εν σοί τάς ελπίδας Παρθένε άχραντε, εκ ψυχής κεκτημένων σκέπη υπάρχουσα, καί ημάς εκ πειρασμών καί περιστάσεων, καί κινδύνων χαλεπών, ελευθέρωσον Αγνή, πρεσβεύουσα τώ Υιώ σου, σύν τοίς αυτού Αποστόλοις, σωθήναι πάντας τούς υμνούντάς σε.

Μετά τήν γ' Στιχολογίαν

Καθίσματα Αποστολικά

Κύριε, τό ποτήριον τού πάθους σου

Κύριε, τό απόρρητον μυστήριον, τής σής σαρκώσεως κηρύξαντες οι άσοφοι, φιλοσόφους κατήσχυναν, τούς ρήτορας αλιείς επεστόμισαν, καί γεγόνασι τών εθνών σοφοί διδάσκαλοι, φωτίσαντες τά πέρατα, φωτί τής θείας γνώσεως, δι' αυτών δίδου ημίν, τό μέγα έλεος.

Μαρτυρικόν, αυτόμελον

Κύριε, τό ποτήριον τού πάθους σου, οι Αθλοφόροι σου ζηλώσαντες, κατέλιπον τήν τού βίου τερπνότητα, καί γεγόνασι τών Αγγέλων συμμέτοχοι. Αυτών ταίς παρακλήσεσι, παράσχου ταίς ψυχαίς ημών, ιλασμόν αμαρτιών, καί τό μέγα έλεος.

Δόξα... Καί νύν... Θεοτοκίον

Τόν συνάναρχον Λόγον

Τήν ταχείάν σου σκέπην καί τήν βοήθειαν, καί τό έλεος δείξον επί τόν δούλόν σου, καί τά κύματα Αγνή καταπράϋνον, τών ματαίων λογισμών, καί τήν πεσούσάν μου ψυχήν, ανάστησον Θεοτόκε. Οίδα γάρ οίδα Παρθένε, ότι ισχύεις όσα καί βούλεσαι.

Κανών τών Αγίων Αποστόλων

Ωδή α'  Ήχος πλ. α'

Ο Ειρμός

Ίππον καί αναβάτην, εις θάλασσαν ερυθράν, ο συντρίβων πολέμους, εν υψηλώ βραχίονι, Χριστός εξετίναξεν, Ισραήλ δέ έσωσεν, επινίκιον, ύμνον άδοντα.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Έλλαμψιν πρωτοδότως, τήν φωτοδότιδα, τού σαρκί ομιλήσαι, βροτοίς καταξιώσαντος, πλουτήσαντες ένδοξοι, τής ψυχής μου λύσατε, πάντα ζόφον θείοι Απόστολοι.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Τείνας καθάπερ βέλη, τό θείον τόξον υμάς, εις τόν σύμπαντα κόσμον, απέστειλεν Απόστολοι, τά βέλη συντρίβοντας, τού Βελίαρ άπαντα, καί ιωμένους πιστών τά τραύματα.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Έχοντες τήν σοφίαν, αυτήν διδάσκαλον, εσοφίσατε πάντα, Απόστολοι τά πέρατα, διό με φωτίσατε, τού δυσμενούς άπασαν, κακουργίαν αποκρουόμενοι.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Μόνη ευλογημένη, θεοχαρίτωτε, ευλογίαις ανθρώπων, τό γένος χαριτώσασα, Χριστόν καθικέτευε, σύν τοίς θείοις Άχραντε, Αποστόλοις ελεηθήναι ημάς.

Κανών τού Αγίου Νικολάου, ού η Ακροστιχίς.
Πέμπτον προσάξω σοι, Νικόλαε, μέλος. Ιωσήφ.

Ειρμός ο αυτός

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Πίστει καί πόθω Πάτερ, οικειωθείς τώ Θεώ, τά πανάγια τούτου, επλήρωσας θελήματα, διών εχρημάτισας, κατά πάντα άγιος, θεοφόρε Πάτερ Νικόλαε.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Έχοντές σε προστάτην, πρός τόν οικτίρμονα, περιστάσεσι μάκαρ, καί θλίψεσι κλονούμενοι, πρός σέ καταφεύγομεν, δίδου χείρα σώζουσαν, από πάσης ημάς στενώσεως.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Μύρων Αρχιερέα, Χριστός σε έχρισεν, ευωδίαις θαυμάτων, ημάς ευωδιάζοντα, όθεν δυσωπούμέν σε, δυσωδίας λύτρωσαι, αμαρτίας ημάς Νικόλαε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Πάλαι τών Προφητών σε, χορός εκάλεσεν, όρος θείον Παρθένε, πύλην αδιόδευτον, όθεν δυσωπούκαι μέν σε, μετανοίας πύλας, Παρθενομήτορ ημίν υπάνοιξον.

Ωδή γ'

Ο Ειρμός

Ο πήξας επ' ουδενός, τήν γήν τή προστάξει σου, καί μετεωρίσας ασχέτως βρίθουσαν, επί τήν ασάλευτον Χριστέ, πέτραν τών εντολών σου, τήν Εκκλησίαν σου στερέωσον, μόνε αγαθέ καί φιλάνθρωπε.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Ο σάρκα υπερβολή, πτωχεύσας χρηστότητος, δι' αυτόν πτωχεύσαντας κατεπλούτησεν, ένδοξοι Απόστολοι υμάς, χαρίσμασι παντοίοις, καταφωτίζοντας τά πέρατα, θείαις καί σεπταίς επιγνώσεσι.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Επλήγην τώ ιοβόλω, όφεως δήγματι, καί τραυματισθείσαν καρδίαν κέκτημαι, όθεν σοι βοώ τώ δι' εμέ, Χριστέ τραυματισθέντι. Τών Αποστόλων σου δεήσεσιν, ίασαι καί σώσόν με δέομαι.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Σαγήνη τών πρεσβειών, υμών παμμακάριστοι, εκ βυθού κακίας τού πολεμήτορος, καί εκ τρικυμίας λογισμών, παθών τε ψυχοφθόρων, αναγαγόντες με προσάξατε, τώ Θεώ τών όλων σωζόμενον.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τόν όμβρον δεξαμένη, τόν επουράνιον, σύν τοίς Αποστόλοις τούτον ικέτευε, στήσαί μου τούς όμβρους τών παθών, τό πέλαγος ξηράναι τής αμαρτίας μου, καί σώσαί με τόν ειλικρινώς σε δοξάζοντα.

Κανών τού Αγίου Νικολάου

Ειρμός ο αυτός

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Τά βέλη τού πονηρού απήμβλυνας Όσιε, ταίς αντιτυπίαις τών θείων πόνων σου, αλλά ταίς πρεσβείαις σου σοφέ, τής τούτου κακουργίας, καί επηρείας διατήρησον, καί ημάς ατρώτους Νικόλαε.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Ο βίον αγγελικόν, εν γή ενδειξάμενος, νύν σύν τοίς Αγγέλοις αεί παρίστασαι, θρόνω τής Τριάδος ιερώ, ημίν αμαρτημάτων, καί πειρασμών λύσιν αιτούμενος, Πάτερ Ιεράρχα Νικόλαε.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Νοός μου τάς αμαυρώσεις, πάσας απέλασον, σού ταίς σελασφόροις ευχαίς Νικόλαε, κόπασον τόν σάλον τών παθών, κυβέρνησόν με Πάτερ, πρός απαθείας όρμον δέομαι, όπως εν αινέσει δοξάζω σε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Παρέστης εκ δεξιών, Χριστού ως Βασίλισσα, κροσσωτοίς χρυσέοις θεοχαρίτωτε, περιβεβλημένη αληθώς, ημίν τήν Βασιλείαν, τών ουρανών τή μεσιτεία σου, Κόρη προξενούσα πρεσβείαις σου.

Ωδή δ'

Ο Ειρμός

Τήν θείαν εννοήσας σου κένωσιν, προβλεπτικώς ο Αββακούμ, Χριστέ εν τρόμω εβόα σοι. Εις σωτηρίαν λαού σου, τού σώσαι τούς χριστούς σου ελήλυθας.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Η θύρα Ιησούς ο Θεός ημών, καθυπανοίξας τήν αυτού, τοίς Αποστόλοις επίγνωσιν, πάσι τοίς έθνεσι θύραν, διήνοιξε τοίς τούτων διδάγμασι.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Υιέ Θεού υιούς κατά μέθεξιν, τού ουρανίου σου Πατρός, τούς Αποστόλους ανέδειξας, ταίς παρακλήσεσι τούτων, υιούς φωτός ημάς πάντας ποίησον.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Οι θρόνων επί δώδεκα μέλλοντες, σύν τώ Κριτή καί Βασιλεί, δεδοξασμένως καθέζεσθαι, τής φοβεράς καί φρικτής με, Απόστολοι λυτρώσασθε κρίσεως.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τού θείου κιβωτέ αγιάσματος, αγίασόν μου τήν ψυχήν, τόν λογισμόν φωταγώγησον, διαπαντός δυσωπούσα Χριστόν σύν Αποστόλοις σωθήναί με.

Κανών τού Αγίου Νικολάου

Ειρμός ο αυτός

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Ρεόντων αντηλλάξω τά μέλλοντα, ών κληρονόμους καί ημάς, ευχαίς αγίαις σου ποίησον, πειρατηρίων παντοίων, λυτρούμενος τού βίου Νικόλαε.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Ο Μύρων προεδρεύσας Νικόλαε, πάσας αισθήσεις τής εμής, καρδίας μύρισον Άγιε, πάθη δυσώδη εκ ταύτης, ευχαίς σου εκδιώκων εκάστοτε.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Συντρίψας τού εχθρού μηχανήματα, τούς ορατούς ημών εχθρούς, καί αοράτους Νικόλαε, διηνεκώς πολεμούντας, τελεία αφανεία παράπεμψον.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Αγία Θεοτόκε βοήθει μοι, ταίς ηδοναίς διηνεκώς, βυθιζομένω τού σώματος, καί ραθυμίας εν κλίνη, αεί κατακειμένω καί στένοντι.

Ωδή ε'

Ο Ειρμός

Ο αναβαλλόμενος φώς ως ιμάτιον, πρός σέ ορθρίζω, καί σοί κραυγάζω. Τήν ψυχήν μου φώτισον τήν εσκοτισμένην, Χριστέ ως μόνος εύσπλαγχνος.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Οι πνευματορρήτορες σοφοί Απόστολοι, εν υπερώω πυρός εν είδει, τό Πνεύμα τό άγιον, αυτοίς προσφοιτήσαν, φρικτώς καθυπεδέξαντο.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Βέλη εκλεκτά υμάς Χριστός απέστειλε, συνθλώντας βέλη τής πονηρίας, διό με ιάσασθε, τετραυματισμένον, τού δυσμενούς τοίς βέλεσι.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Οι καταστρεψάμενοι τής ασεβείας τήν γήν, καταστραφείσαν ταίς πλημμελείαις, τήν εμήν διάνοιαν, δρόσω ιαμάτων, Απόστολοι ιάσασθε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τή καταδικάσης με, μή απορρίψης με, τού σού προσώπου, εκδυσωπεί σε, η αγνώς τεκούσά σε, καί τών Αποστόλων, ο δήμος πολυέλεε.

Κανών τού Αγίου Νικολάου

Ειρμός ο αυτός

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Ξόανα κατέαξας ειδώλων Άγιε, βουλάς απράκτους αιρετιζόντων, έδειξας Νικόλαε, καί απαγομένους πρός θάνατον εξήρπασας.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Ώρθρισας πρός Κύριον εκ βρέφους Όσιε, καί ταίς εκείθεν φωτοχυσίαις, όλως κατηγλάϊσαι, διό τής ψυχής μου, τά νέφη αποδίωξον.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Σέ καθικετεύομεν Πάτερ Νικόλαε, τή ώρα ταύτη, εν μέσω πάντων, γενού τών καλούντων σε, τά πρός σωτηρίαν διδούς ημίν αιτήματα.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ο απερινόητος θεοχαρίτωτε, περιοχήν σε σωματοφόρος γενόμενος έσχηκε, βροτούς απαλλάττων, περιεχούσης θλίψεως.

## Ωδή ς'

### Ο Ειρμός

Μαινομένην κλύδωνι, ψυχοφθόρω Δέσποτα Χριστέ, τών παθών καί εκ τήν θάλασσαν κατεύνασον, φθοράς, ανάγαγέ με ως εύσπλαγχνος.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Νεμομένην έστησας, τής κακίας σήψιν τών εθνών, τάς ψυχάς φιλάνθρωπε, τώ άλατι, τών διδαχών τών ιερών Αποστόλων σου.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Τόν βυθόν επίστασαι, τών κακών μου Δέσποτα Χριστέ, δός μοι χείρα σώσόν με φιλάνθρωπε, ικεσίαις τών ιερών Αποστόλων σου.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Κριτά δικαιότατε, εν ημέρα δίκης φοβεράς, τής φρικτής με ρύσαι κατακρίσεως, τών ευκλεών σου Αποστόλων δεήσεσι.

Θεοτοκίον

Τόν απεγνωσμένον με, υπό πλήθους τών ανομιών, σωτηρίας Κύριε αξίωσον, τών Μαθητών, καί τής Μητρός σου δεήσεσι.

### Κανών τού Αγίου Νικολάου

### Ειρμός ο αυτός

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Ίλεων απέργασαι, τόν Δεσπότην σού ταίς προσευχαίς, πάσι τοίς τιμώσί σε Νικόλαε, όπως ημίν λύσιν πταισμάτων δωρήσηται.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Νοσημάτων λύτρωσαι, καί σκανδάλων τών βιωτικών, πειρασμών καί θλίψεων Νικόλαε, τούς πρεσβευτήν σε κεκτημένους πρός Κύριον.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Ιατρόν σε άριστον, ο Δεσπότης έδειξε Χριστός, διό τά νοσήματα θεράπευσον, τών ευσεβώς σοι

προσιόντων Νικόλαε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Κυοφόρος άνανδρος, Θεομήτορ πέφηνας Αγνή, διά τούτο πίστει ικετεύωσε, τής ψυχής μουτήν ραθυμίαν απέλασον.

Ωδή ζ'

Ο Ειρμός

Ο υπερυψούμενος, τών Πατέρων Κύριος, τήν φλόγα κατέσβεσε, τούς Παίδας εδρόσισε, συμφώνως μελωδούντας, ο Θεός ευλογητός εί.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Ο υπερυψούμενος, τών Πατέρων Κύριος, υμάς υπερύψωσε, καί πάσαν κατέρραξεν, εχθρού τήν δυναστείαν, Μαθηταί Χριστού θεόπται.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Ρύπον τής κακίας μου, ρείθροις κατανύξεως, υμών παρακλήσεσιν, Απόστολοι πλύνατε, διδάσκοντες κραυγάζειν, ο Θεός ευλογητός εί.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Πυρί θείου, Πνεύματος, ύλην κατεφλέξατε, πάσης ματαιότητος, διό φλογιζούσης με, λυτρώσασθε γεέννης, Μαθηταί Θεού τού Λόγου.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Η τής καταπτώσεως, τού Αδάμ ανόρθωσις, έγειρον πεσόντα με, κακίας πρός βάραθρα, πρεσβείαις σου Παρθένε, καί τών θείων Αποστόλων.

Κανών τού Αγίου Νικολάου

Ειρμός ο αυτός

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Όλος ανακείμενος, τώ Θεώ Νικόλαε, όλον με διάσωσον, τού βίου τοίς πάθεσιν, αθλίως καθ' εκάστην, περιπίπτοντα θεόφρον.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Λαμπτήρ θεαυγέστατε, τόν νούν μου καταύγασον, παθών αμαυρότησιν, αεί σκοτιζόμενον, καί δίδου ευσχημόνως, παροδεύειν εν τώ βιω.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Άπαν ανοιγόμενον, κατ' εμού Νικόλαε, ευχαίς σου απόφραξον, στόμα πονηρότατον, καί ρύσαι ορατών με, δυσμενών καί αοράτων.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Εκ σού ημίν έλαμψεν, ανέσπερος Ήλιος, νεφέλη ολόφωτε, Χριστός ο Θεός ημών, φωτίζων τούς εν σκότει, αγνωσίας Θεοτόκε.

Ωδή η'

Ο Ειρμός

Σοί τώ παντουργώ, εν τή καμίνω Παίδες, παγκόσμιον πλέξαντες, χορείαν έμελπον. Πάντα τά έργα, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Σύ τάς νοητάς, τών Αποστόλων Λόγε, νεφέλας εξήπλωσας, επιρραινούσας, ημίν, όμβρους πανσόφων, καί θείων διδαγμάτων, καί καταρδευούσας, ημάς εις τούς αιώνας.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Οι περικαλλείς, τής Εκκλησίας στύλοι, οι ταύτην βαστάζοντες, πίστεως δόγμασι, σεσαθρωμένην, ψυχής μου τήν οικίαν, θεία τεχνουργία, στηρίξατε θεόπται.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Στέναξον ψυχή, καί οχετούς δακρύων, εξ όλης προσάγαγε, καρδίας κράζουσα, μόνε οικτίρμον, σώσον ιλάσθητί μοι, ταίς τών Μαθητών σου, πρεσβείαις ευπροσδέκτοις.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σιών εκλεκτή, τού Βασιλέως πόλις, τής άνω πολίτην με, ποίησον πόλεως, μετά τών θείων, Μαθητών δυσωπούσα, άχραντε Παρθένε, τόν άχρονον Υιόν σου.

Κανών τού Αγίου Νικολάου

Ειρμός ο αυτός

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Μύρων γεγονώς, Αρχιεράρχης μέγας, ψυχής μου Νικόλαε, αισθήσεις μύρισον, όπως εκφύγω, παθών τήν δυσωδίαν, καί τού Παρακλήτου, εισδέξωμαι τήν χάριν.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Έστησας σοφέ, τής σής αγίας γλώσσης, τοίς ρεύμασι ρεύματα, Αρείου δύσφημα, όθεν βοώ σοι, τήν ρύσιν τών παθών μου, ξήρανον, ευχαίς σου, Νικόλαε παμμάκαρ.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Λύτρωσαι ημάς, αμαρτιών ευχαίς σου, δαιμόνων κακώσεως, εθνών αλώσεως, πάντων ανθρώπων, πονηροτάτης βλάβης, ίνα σε ως ρύστην, ημών ανευφημώμεν.

Τριαδικόν

Στίχ. Αγία Τριάς ο Θεός ελέησον καί σώσον ημάς.

Οι τριαδικώς, τήν μοναρχίαν πίστει, απαύστως δοξάζοντες, αναβοήσωμεν. Πάτερ καί Λόγε, καί πανάγιον Πνεύμα, σέ υμνολογούμεν, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σάρκα δι' ημάς, εκ σού Θεός φορέσας, αγνήν σε Πανάμωμον, παντός τού γένους ημών, θείαν Παρθένε, δεικνύει προστασίαν, όθεν σε υμνούμεν, πιστοί μεγαλοφώνως.

Ωδή θ'

Ο Ειρμός

Ησαϊα χόρευε, η Παρθένος έσχεν εν γαστρί, καί έτεκεν Υιόν τόν Εμμανουήλ, Θεόν τε καί άνθρωπον. Ανατολή όνομα αυτώ, όν μεγαλύνοντες, τήν Παρθένον μακαρίζομεν.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Ουρανοί κατάστεροι, αγλαΐαις θείων αρετών, εδείχθητε νοητώς, μέσον τόν Χριστόν, ως Ήλιον έχοντες, καί τό τής γής, πλήρωμα σοφοί, κατενεώσατε, διά τούτο μακαρίζεσθε.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Τού Χριστού τά στίγματα, εν τώ θείω σώματι υμών, ως κόσμον πανευπρεπή, φέροντες σοφοί, τήν κατατακείσάν μου, δαιμονικοίς βέλεσι ψυχήν, ταίς πρός τόν Κύριον, μεσιτείαις θεραπεύσατε.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Λάκκω κατωτάτω με, αμαρτίας κείμενον Χριστέ, καί ραθυμίας δεινής, ύπνω τήν ψυχήν, επιβαρυνόμενον, διά τών σών Λόγε μαθητών, ώσπερ τόν Λάζαρον, εξεγείρας σώσον Κύριε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τής ψυχής μου εύθυνον, τάς πορείας, Λόγε τού Θεού, πρός τρίβους τών εντολών, σού τών απλανών, έχων τήν τεκούσάν σε, δυσωπούσαν άχραντον Αγνήν καί τούς πανσόφους σου, Αποστόλους πολυέλεε.

## Κανών τού Αγίου Νικολάου

Ειρμός ο αυτός

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Ιεράρχης ένθεος, χρηματίσας πάσας τού Χριστού, εφύλαξας εντολάς, όθεν τών πιστών, φύλαξ θείος γέγονας, από πάσης τούτους συντηρών, Πάτερ Νικόλαε, επηρείας καί κακώσεως.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Ως ποτέ διέθρεψας, απορούσαν άρτου εν λιμώ, τήν πόλιν σου ως καλός, Όσιε ποιμήν, ωσαύτως διάθρεψον, τήν ψυχήν μου άρτω νοητώ, Πάτερ Νικόλαε, σέ προστάτην ευμοιρήσασαν.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Σέ τόν μέγαν ήλιον, τόν εν ύψει κείμενον αεί, τής Εκκλησίας Χριστού, Όσιε ποιμήν, πιστώς ικετεύομεν, σελασφόροις λάμψεσι φωτός, σκότος απέλασον, αμαρτίας τών ψυχών ημών.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Ήγγικεν ως γέγραπται, η ημέρα η περιφανής, τής παρουσίας Χριστού, άγονε ψυχή, απόθου τό ράθυμον, καί προθύμως βόησον Χριστώ. Κύριε σώσόν με, Νικολάου παρακλήσεσι.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φαεινήν λυχνίαν σε, ο Προφήτης έβλεψεν Αγνή, λαμπάδιον νοητόν, φέρουσαν Χριστόν, δι' ού εφωτίσθημεν, οι εν σκότει κείμενοι κακών, σέ μακαρίζοντες, Θεοτόκε αειπάρθενε.

## Απόστιχα τών Αίνων, Αποστολικά

Μαθηταί τού Σωτήρος, μυστηρίων αυτόπται γενόμενοι, τόν μή θεωρούμενον, καί αρχήν μή έχοντα, εκηρύξατε λέγοντες. Εν αρχή ήν ο Λόγος, ουκ εκτίσθητε πρό τών Αγγέλων, ουκ εμάθετε παρά ανθρώπων, αλλ' εκ τής άνωθεν σοφίας, διό παρρησίαν έχοντες, πρεσβεύσατε υπέρ τών ψυχών ημών.

Στίχ. α'. Ενεπλήσθημεν τό πρωϊ τού ελέους σου, Κύριε, καί ηγαλλιασάμεθα καί ηυφράνθημεν έν πάσαις ταίς ημέραις ημών. Ευφρανθείημεν, ανθών ημερών εταπείνωσας ημάς, ετών, ών είδομεν κακά, καί ίδε επί τούς δούλους σου καί επί τά έργα σου, καί οδήγησον τούς υιούς αυτών.

Τούς Αποστόλους Κυρίου, μελωδικώς εν ωδαίς ανευφημήσωμεν, ενδυσάμενοι γάρ τήν τού Σταυρού πανοπλίαν, τήν τών ειδώλων πλάνην κατήργησαν, καί νικηφόροι ανεδείχθησαν στεφανίται, ών ταίς Πρεσβείαις ο Θεός, ελέησον ημάς.

Μαρτυρικόν

Στίχ. β'. Καί έστω η λαμπρότης Κυρίου τού Θεού ημών εφ' ημάς, καί τά έργα τών χειρών ημών κατεύθυνον εφ' ημάς, καί τό έργον τών χειρών ημών κατεύθυνον.

Εν ταίς βασάνοις όντες οι Άγιοι, αγαλλόμενοι εβόων, Συναλλάγματα ημίν εστι ταύτα πρός τόν Δεσπότην, αντί γάρ τών επανισταμένων μωλώπων τώ σώματι, φωτεινόν ένδυμα εν τή αναστάσει επανθήσει ημίν, αντί δεσμωτηρίων, ο Παράδεισος, καί αντί τής μετά τών κακούργων καταδίκης, η μετά τών Αγγέλων διαγωγή. Ευχαίς αυτών Κύριε, σώσον τάς ψυχάς ημών.

Δόξα... Καί νύν... Θεοτοκίον

Η προεκλελεγμένη, εισάκουσον τής αιφωνής ημών, καί δώρησαι τα τήματα ταίς ψυχαίς ημών, λύτρωσαι ημάς παθών καί τών οδυνών, διά τών Αποστόλων, πάντα δυναμένη ως Μήτηρ Θεού.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

### Οι Μακαρισμοί

Μακάριοι οι ειρηνοποιοί, ότι αυτοί υιοί Θεού κληθήσονται.

Ο Ληστής εν τώ Σταυρώ, Θεόν είναί σε πιστεύσας Χριστέ, ωμολόγησέ σε ειλικρινώς εκ καρδίας. Μνήσθητί μου Κύριε βοών, εν τή Βασιλεία σου.

Μακάριοι οι δεδιωγμένοι ένεκεν δικαιοσύνης, ότι αυτών εστιν η βασιλεία τών ουρανών.

Ώσπερ νεφέλαι φωτειναί, τήν γήν δι' ήλθετε, τό ύδωρ τό ζών, επιρραίνοντες, καί καρδίας τακείσας, αμαρτίαις θείοι Μαθηταί, πλουσίως ηρδεύσατε.

Μακάριοί εστε όταν ονειδίσωσιν υμάς, καί διώξωσι, καί είπωσι πάν πονηρόν ρήμα καθυμών ψευδόμενοι ένεκεν εμού.

Ώσπερ ακτίνες μυστικαί, Ηλίου λάμψαντος εκ Κόρης αγνής, εφωτίσατε τούς εν σκότει αγνοίας, καθημένους θείοι Μαθηταί, Χριστού τού Θεού ημών.

Μαρτυρικόν

Χαίρετε καί αγαλλιάσθε, ότι ο μισθός υμών πολύς εν τοίς ουρανοίς.

Τάς πυρακτώσεις τών δεινών, καθυπομείναντες προθύμω ψυχή, κατεφλέξατε τών ειδώλων τήν πλάνην, καί πρός θείαν επαναψυχήν, μετήλθετε Μάρτυρες.

Δόξα...

Ίνα δραχμήν τήν εν βυθώ, τώ τών πταισμάτων συγχωσθείσαν, Χριστέ εξάρης, καί Πατρί προσαγάγης, Αποστόλους κήρυκας τελείς, διά θείου Πνεύματος.

Καί νύν... Θεοτοκίον

Τών Αποστόλων καλλονή, θεοχαρίτωτε υπάρχουσα, αμαυρούμενον ηδοναίς με τού βίου, μετανοίας λάμπρυνον αυγαίς, όπως μακαρίζω σε.

top

5-6

### Στιχηρά Προσόμοια Σταυρώσιμα

Ήχος πλ. α'

Χαίροις ασκητικών

Στίχ. α'. Εάν ανομίας παρατηρήσης, Κύριε, Κύριε τίς υποστήσεται; ότι παρά σοί ο ιλασμός εστιν.

Παύσαι τούς πόνους θέλων βροτών, καί τά ονείδη, υπεράγαθε Κύριε, Σωτήρ μου σταύρωσιν φέρεις, τήν επονείδιστον, χολής δέ εγεύσω ανεξίκακε, ημών τήν πικρίαν, πάσαν εξαίρων τήν κάκιστον, επλήγης λόγχη, τήν πλευράν τήν ακήρατον, τάς πληγάς ημών, ως Δεσπότης ιώμενος, όθεν νύν ανυμνούμέν σου, τήν ένδοξον σταύρωσιν, καί προσκυνούντες τιμώμεν, λόγχην, τόν

σπόγγον, τόν κάλαμον, δι' ών εδωρήσω, σού τώ κόσμω τήν ειρήνην, καί μέγα έλεος.

Στίχ. β'. Ένεκεν τού ονόματός σου υπέμεινά σε, Κύριε, υπέμεινεν η ψυχή μου εις τόν λόγον σου, ήλπισεν η ψυχή μου επί τόν Κύριον.

Πάθος τό σόν Χριστέ προτυπών, Μωσής ο μέγας σου θεράπων ανύψωσεν, οικτίρμον χαλκούν τόν όφιν, όφεων βλάβης βροτούς, ιοβόλου δήγματος εξαιρούμενος, καί νύν σταυρωθέντος σου, επί ξύλου μακρόθυμε, κόσμος εκ βλάβης, ελυτρώθη τού όφεως, καί ανυψώθη, από γής πρός ουράνια, όθεν καί αγαλλόμενοι, υμνούμεν τό κράτος σου, καί τόν Σταυρόν σου τιμώμεν, καί προσκυνούμεν φιλάνθρωπε, δι' ού πάσα κτίσις, εύρεν άπονον αξίαν, καί μέγα έλεος.

Στίχ. γ'. Από φυλακής πρωϊας μέχρι νυκτός, από φυλακής πρωϊας ελπισάτω Ισραήλ επί τόν Κύριον.

Θέλων τάς διαθέσεις Αδάμ, τού πρωτοπλάστου εξηλώσαι φιλάνθρωπε, εις τέλος πάσαν οδύνην, ο πλαστουργός τού Αδάμ, ήλοις προσηλώθης αναμάρτητε, Χριστέ καί τή λόγχη, θείαν πλευράν τρωθείς δι' ημάς, κωλύεις Λόγε, τήν ρομφαίαν τήν φλέγουσαν, μή κωλύειν ημίν, τοίς σοίς δούλοις τήν είσοδον, όθεν δοξολογούντές σε, υμνούμεν τό κράτος σου, καί τόν Σταυρόν σου τιμώμεν, καί προσκυνούμεν φιλάνθρωπε, δι' ού πάσα κτίσις, εύρεν άπονον αξίαν, καί μέγα έλεος.

Έτερα τής Θεοτόκου όμοια

Στίχ. δ'. Ότι παρά τώ Κυρίω τό έλεος, καί πολλή παρ' αυτώ, λύτρωσις. καί αυτός λυτρώσεται τόν Ισραήλ έκ πασών τών ανομιών αυτού.

Έχων πεφορτισμένον αεί, τό τής ψυχής μου επαυχένιον Δέσποινα, εκ πλήθους αμαρτημάτων, καί συμφορών χαλεπών, ου τολμώ πρός ύψος άραι όμματα, διό νενευκώς εις γήν, εκ καρδίας κραυγάζω σοι, Ελέησόν με, η Θεόν πολυεύσπλαγχνον, ανατείλασα, εξ αχράντου νηδύος σου, δείξον τών θαυμασίων σου, τό πλήθος τό άπειρον, καί τάς αχράντους καί θείας, πρός τόν Υιόν σου εκτείνασα, Παρθένε παλάμας, σωτηρίαν μοι παράσχου, ταίς ικεσίαις σου.

Στίχ. ε'. Αινείτε τόν Κύριον πάντα τά έθνη, επαινέσατε αυτόν, πάντες οι λαοί.

Λαίλαψ αμαρτιών χαλεπή, εν τώ πελάγει με τού βίου κατέλαβε, καί ζάλη καί τρικυμία, καί πρός βυθόν συνωθεί, τήν εμήν καρδίαν απογνώσεως. Αγνή ταίς πρεσβείαις σου, τήν ζωήν μου κυβέρνησον, πρός τόν λιμένα, τής ζωής τόν ακύμαντον, πρός μετάνοιαν, καί τελείαν διόρθωσιν, ίδε μου τήν ασθένειαν, καί πρόσχες τή κρίσει μου, δίδου μοι χείρα κειμένω, σής βοηθείας Πανύμνητε, Χριστόν η τεκούσα, τόν παρέχοντα τώ κόσμω, τό μέγα έλεος.

Στίχ. ς'. Ότι εκραταιώθη τό έλεος αυτού εφ' ημάς, καί η αλήθεια τού Κυρίου μένει εις τόν αιώνα.

Ύλην αμαρτιών χαλεπών, επισυνάξας εμαυτώ εθησαύρισα, καί τρέμω από προσώπου, τού σού Υιού Αγαθή, πώς υποίσω τότε τό κριτήριον, καί γάρ ποταμός πυρός, έλκει βήματος έμπροσθεν, καί μυριάδες, τών Αγγέλων παρίστανται, τούς ανομούντας, εν αυτώ απορρίπτοντες, όθεν πρό τής εξόδου μου, τού βίου Πανάχραντε, καθικετεύω πρεσβεύσαι, υπέρ εμού τόν φιλάνθρωπον, κριτήν ελεήσαι, καί συγχώρησίν μοι δούναι, καί μέγα έλεος.

Δόξα... Καί νύν...

Σταυροθεοτοκίον όμοιον

Όλην αναλαβών τήν εμήν, μορφήν ο πλάστης καί Θεός ενεδύσατο, μορφώσαι τήν πρίν πεσούσαν μορφήν Αδάμ βουληθείς, εν Σταυρώ υψώθη, ως υπεύθυνος, εκών καί τάς χείρας, προσηλωθείς νύν ιάσατο, τας πρίν τώ ξύλω, παρειμένας τής βρώσεως, όν η Πάναγνος, θεωρούσα ηλάλαζε. Τίς εστιν η τοσαύτη σου, Υιέ μου ανείκαστος, μακροθυμία; ου φέρω, επί Σταυρού αναρτώμενον, οράν σε τόν πάντα, τή δρακί διακρατούντα, Χριστέ τά σύμπαντα.

Απόστιχα, Σταυρώσιμα

Κύριε, επί Μωσέως ποτέ τού Προφήτου, μόνος ο τύπος τού Σταυρού σου δεικνύμενος, ενίκα τούς εχθρούς σου, νύν δέ αυτόν τόν Σταυρόν σου κατέχοντες, βοήθειαν αιτούμεν, κράτυνον τήν Εκκλησίαν σου, καί δώρησαι τοίς Βασιλεύσιν ημών, ως Κωνσταντίνω τό τρόπαιον, διά πλήθος

ελέους φιλάνθρωπε.

Στίχ. Α'. Πρός σέ ήρα τούς οφθαλμούς μου, τόν κατοικούντα εν τώ ουρανώ. Ιδού, ως οφθαλμοί δούλων εις χείρας τών κυρίων αυτών, ως οφθαλμοί παιδίσκης εις χείρας τής κυρίας αυτής, ούτως οι οφθαλμοί ημών πρός Κύριον τόν Θεόν ημών, έως ού οικτιρήσαι ημάς.

Ο Σταυρός σου Κύριε, ει καί ξύλον οράται τή ουσία, αλλά θείαν περιβέβληται δυναστείαν, καί αισθητώς τώ κόσμω φαινόμενος, νοητώς τήν ημών θαυματουργεί σωτηρίαν, όν προσκυνούντες, δοξάζομέν σε Σωτήρ, ελέησον ημάς.

Μαρτυρικόν

Στίχ. Β'. Ελέησον ημάς, Κύριε, ελέησον ημάς, ότι επί πολύ επλήσθημεν εξουδενώσεως, επί πλείον επλ ήσθη η ψυχή ημών, τό όνειδος τοίς ευθηνούσι, καί η εξουδένωσις τοίς υπερηφάνοις.

Τών επιγείων απάντων καταφρονήσαντες, καί τών βασάνων ανδρείως κατατολμήσαντες, τών μακαρίων ελπίδων ουκ ηστοχήσατε, αλλ' ουρανών Βασιλείας κληρονόμοι γεγόνατε, πανεύφημοι Μάρτυρες, έχοντες παρρησίαν πρός τόν φιλάνθρωπον Θεόν, τώ κόσμω τήν ειρήνην αιτήσασθε, καί ταίς ψυχαίς ημών τό μέγα έλεος.

Δόξα... Καί νύν... Σταυροθεοτοκίον

Χαίροις ασκητικών

Λόγχη σου τήν πλευράν ώ Υιέ, Ορυττομένην καθορώσα τιτρώσκομαι, τής λύπης δεινή ρομφαία, καί στεναγμόν εκ ψυχής, προϊέναι όλως ου δεδύνημαι, η Πάναγνος έλεγε, παρεστώσα τώ πάθει σου, καί τήν σφαγήν σου, καθορώσα τήν άδικον, ανεξίκακε, υπεράγαθε Κύριε, πού μοι τά ευαγγέλια, βοώσα σύν δάκρυσι, πού ο τό Χαίρέ μοι λέξας; πού η λοχεία η άφραστος; πού Πέτρος ο φίλος; αλλά δόξα τή αφάτω μακροθυμία σου.

Μετά τήν α' Στιχολογίαν

Καθίσματα Σταυρώσιμα

Ήχος πλ. α'  Τό ξένον τής Παρθένου

Τό ξύλον τού Σταυρού σου, Σωτώ κόσμω ανεδείχθη τήρ ημών, σωτήριον, εν αυτώ γάρ βουλήσει προσηλωθείς, τής κατάρας ερρύσω τούς γηγενείς, η πάντων ζωή. Κύριε δόξα σοι.

Τόν συνάναρχον Λόγον

Εκουσίως οικτίρμον Σταυρόν υπέμεινας, καί τήν πάλαι κατάραν τήν διά βρώσεως, ως παντοδύναμος Θεός σύ εξηφάνισας, διό τά θεία καί σεπτά, πάθη σου Δέσποτα Χριστέ, υμνούμεν καί προσκυνούμεν, δοξολογούντες απαύστως, τήν υπέρ νούν οικονομίαν σου.

Δόξα... Καί νύν... Σταυροθεοτοκίον

Τώ Σταυρώ τού Κυρίου παρισταμένη, θρηνωδούσα εβόα η Θεοτόκος. Οίμοι Τέκνον θείον, φώς μου γλυκύτατον! πώς ετανύθης εν Σταυρώ, ο τείνας θεϊκώς τόν ουρανόν ωσεί δέρριν, καί εκ θαλάσσης ανάγων, πηγάς υδάτων τώ σώ προστάγματι.

Μετά τήν β' Στιχολογίαν

Καθίσματα Σταυρώσιμα

Τόν συνάναρχον Λόγον

Ο Σταυρόν υπομείνας εκουσία βουλή, καί φθοράς τούς ανθρώπους ελευθερώσας Σωτήρ, ανυμνούμεν οι πιστοί καί προσκυνούμεν σε, ότι εφώτισας ημάς, τή δυνάμει τού Σταυρού, καί φόβω δοξάζομέν σε, φιλάνθρωπε καί οικτίρμον, ως ζωοδότην καί Κύριον.

Τόπος Κρανίου, Παράδεισος γέγονε, μόνον γάρ ως επάγη τό ξύλον τού Σταυρού, ευθύς εβλάστησε τόν βότρυν τής ζωής, σέ Σωτήρ, εις ημών ευφροσύνην, δόξα σοι.

Δόξα... Καί νύν... Σταυροθεοτοκίον

Εν τώ Σταυρώ σε ορώσα Χριστέ η Μήτηρ σου, εκουσίως παγέντα αμνόν ως άκακον, θρήνον εκίνει γοερόν, καί κατετρύχετο, Οίμοι! βοώσα τό εμόν, πώς απεσβέσθης φώς πικρώς; καί πώς ως άδικος θνήσκεις, μέσον κακούργων Υιέ μου, ο Βασιλεύς πάσης κτίσεως;

Μετά τήν γ' Στιχολογίαν

Καθίσματα Σταυρώσιμα

Τόν συνάναρχον Λόγον

Εκ τού ξύλου πικρίαν Αδάμ ετρύγησε, πρός φθοράν ολισθήσας φθόνω τού όφεως, σου δέ παγέντος Ιησού, ζωήν ετρύγησε, καί διά ξύλου τού Σταυρού, πάλιν οικεί τούς ουρανούς, καί κατηργήθη ο όφις, καί η φθορά κατεπόθη, καί πάντες δόξαν σοι προσάγομεν.

Μαρτυρικόν

Λάμπει σήμερον η μνήμη τών Αθλοφόρων, έχει γάρ καί ουρανόθεν απαύγασμα, ο χορός τών Αγγέλων πανηγυρίζει, καί τών ανθρώπων τό γένος συνεορτάζει, διό πρεσβεύουσι τώ Κυρίω, ελεηθήναι τάς ψυχάς ημών.

Δόξα... Καί νύν... Σταυροθεοτοκίον

Τόν συνάναρχον Λόγον

Γαβριήλ μοι τό Χαίρε πρίν προσεκόμισε, μετ' εμού σε φωνήσας έσεσθαι Κύριε, η Θεοτόκος εν κλαυθμώ πικρώς εφθέγγετο, πώς ούν εις λύπην η χαρά, νύν μοι εγένετο Υιέ; καί πώς ως άπαις φανούμαι, η απειράνδρως τεκούσα, σέ τόν Σωτήρα τών ψυχών ημών.

Κανών Σταυρώσιμος, ού η Ακροστιχίς.

Παθών με σώζεις τώ πάθει σου, Χριστέ μου, τόν Ιωσήφ.

Ωδή α' Ήχος πλ. α'

Ο Ειρμός

Τώ Σωτήρι Θεώ, τώ εν θαλάσση λαόν, ποσίν αβρόχοις οδηγήσαντι καί Φαραώ πανστρατιά καταποντίσαντι, αυτώ μόνω άσωμεν, ότι δεδόξασται.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Παθοκτόνον Χριστέ, εθελουσίως αυτός, υπέστης πάθος, καί απέκτεινας τόν αποκτείναντα, πάλαι εν Παραδείσω ημάς, διό σου δοξάζομεν, τήν αγαθότητα.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ανυψώθης Σταυρώ, καί κατεπόθη εχθρός, καί οι πεσόντες ανυψώθημεν, καί Παραδείσου πολίται, Χριστέ γεγόναμεν, τό κράτος δοξάζοντες, τής ευσπλαγχνίας σου.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Θυρεώ τού Σταυρού, καθοπλισθέντες καλώς, πρός πάλην πάσαν τού αλάστορος, προσεχωρήσατε σοφοί Μεγαλομάρτυρες, καί τούτον νικήσαντες, δόξης ετύχετε.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ως αρνία σεμνά, τώ δι' ημάς Αθληταί, αμνώ τυθέντι προσηνέχθητε, τάς εναγείς περιφανώς θυσίας παύοντες, διό μακαρίζομεν, υμάς πανεύφημοι.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νέον βρέφος ημίν, τόν παλαιόν ημερών, αγνή Παρθένε απεκύησας, παλαιωθείσαν τήν φύσιν ανακαινίσαντα, ανθρώπων Πανάμωμε, τώ θείω πάθει αυτού.

Κανών τής Υπεραγίας Θεοτόκου, ού η Ακροστιχίς

Πέμπτη δέησις τή Θεοτόκω πέλει.

Ο Ειρμός

Ίππον καί αναβάτην, εις θάλασσαν ερυθράν, ο συντρίβων πολέμους, εν υψηλώ βραχίονι, Χριστός εξετίναξεν, Ισραήλ δέ έσωσεν, επινίκιον, ύμνον άδοντα.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Πύλη τού απροσίτου, φωτός Πανάμωμε, μετανοίας τάς πύλας τή ψυχή μου διάνοιξον, καί δίδου

τήν είσοδον, τής εκείσε Κόρη, αγαλλιάσεως καί τερπνότητος.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Έχων σε Θεοτόκε, προστάτιν άμαχον, καί απόρθητον τείχος, καί σκέπην ανυπέρβλητον, ρυσθείην τού δράκοντος, τού δολίου Πάναγνε, τού πάλαι εκζητούντος, καταπιείν με σφοδρώς.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Μή με απογυμνώσης, τής θείας σκεπης σου, μή κενόν αποδείξης, τής χάριτός σου Άχραντε, μηδέ αποπέμψης, κατησχυμένον Δέσποινα, αλλά παράσχου μοι τό σόν έλεος.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Παύσον τής ταλαιπώρου, καί παναθλίας μου, Θεοτόκε καρδίας, πόνον τόν αφόρητον, καί τού σωτηρίου σου παράσχου μοι, Θεομήτορ, θείαν αίγλην καί σωτήριον.

## Ωδή γ'

### Ο Ειρμός

Δυνάμει τού Σταυρού σου, Χριστέ, στερέωσόν μου τήν διάνοιαν, εις τό υμνείν καί δοξάζειν σου, τήν σωτήριον νύν Σταύρωσιν.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Μαραίνεις τόν καρπόν τής φθοράς, εν ξύλω Σωτήρ ανυψούμενος, καί αφθαρσίας πηγάς ημίν, εκ πλευράς εκβλύζεις Δέσποτα.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ετύθης εν Σταυρώ ως αμνός, φλοιάς σφραγίζων τών ψυχών ημών, θείω σου αίματι Δέσποτα, όθεν φόβω σε δοξάζομεν.

### Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Στρεβλούμενοι Χριστού Αθληταί, καί πολυτρόπως αικιζόμενοι, καί τοίς θηρίοις ριπτόμενοι, απερίτρεπτοι εμείνατε.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ως βότρυες αμπέλου ζωής, τού μαρτυρίου οίνον έβλυσαν, πιστών καρδίας ευφραίνοντες, τού Θεού ημών οι Μάρτυρες.

### Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ζωής ημίν πρόξενος Αγνή, θανών εν ξύλω αναδέδει κται, ο σός Υιός τε καί Κύριος, δοξάζων τούς υμνούντάς σε.

## Κανών τής Θεοτόκου

### Ο Ειρμός

Ο πήξας επ' ουδενός, τήν γήν τή προστάξει σου, καί μετεωρίσας ασχέτως βρίθουσαν, επί τήν ασάλευτον Χριστέ, πέτραν τών εντολών σου, τήν Εκκλησίαν σου στερέωσον, μόνε αγαθέ καί φιλάνθρωπε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τού κόσμου τό προσφύγιον σύ εί Πανάχραντε, καί εν σοί προστρέχων, εκ διανοίας θερμής, πάς

τις εκλυτρούται τών δεινών, διό με προσδραμόντα, εν τή σή σκέπη απολύτρωσαι, πάσης πονηράς ενοχλήσεως.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Η μόνη τών γηγενών απάντων αντίληψις, σύ αντιλαβού μου ιλέω όμματι, Δέσποινα τού κόσμου αγαθή, καί φρούρησον τή θεία, επισκοπή της δυναστείας σου, έχεις γάρ ισχύν ανυπέρβλητον.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Δυνάμει τή σή χειρός με τού πολεμήτορος, καί τής τυραννίδος τούτου αφάρπασον, Δέσποινα τού κόσμου αγαθή, μή με ισχύσας λάβη, καί καταπίη, καί πρός όλεθρον, άξη αιωνίου κολάσεως.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Εν φόβω καί εν τρόμω προσπίπτων κραυγάζω σοι, Θεοτόκε. Σύ μοι γενού βοήθεια, Δέσποινα τού κόσμου αγαθή, εν ώρα τού θανάτου, ηνίκα τών βεβιωμένων μοι, μέλλω τάς ευθύνας εισπράττεσθαι.

## Ωδή δ'

### Ο Ειρμός

Εισακήκοα τήν ακοήν, τής δυναστείας τού Σταυρού σου, ως Παράδεισος ηνοίγη δι' αυτού, καί εβόησα. Δόξα τή δυνάμει σου, Κύριε.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ότε έδυς εν Σταυρώ, δικαιοσύνης Ήλιε Χριστέ, φώς ανέσπερον ανέτειλας ημίν, τοίς υμνούσί σου Λόγε, τήν φρικτήν συγκατάβασιν.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ιστάμενος πρό δικαστικού, Χριστέ μου βήματος ποτέ, κατεδίκασας τόν άδικον εχθρόν, καί εσταυρώθης μέσον καταδίκων, ημάς δικαιών.

### Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Στεφανούμενοι νικητικώς, οι τού Χριστού Αθληταί, τόν αόρατον κατήσχυναν εχθρόν, καί εκραύγαζον. Δόξα τή δυνάμει σου Κύριε.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Τά αμάραντα άνθη πιστοί, τού νοητού Παραδείσου, τά πολύτιμα σκεύη τού Χριστού, δεύτε τούς Αθλοφόρους, εν ύμνοις ευφημήσωμεν.

### Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ως εώρακας εν τώ Σταυρώ, Χριστόν όν έτεκες Αγνή, απεθαύμαζες τήν άφατον αυτού, μακροθυμίαν, όθεν σύν αυτώ σέ δοξάζομεν.

## Κανών τής Θεοτόκου

### Ο Ειρμός

Τήν θείαν εννοήσας σου κένωσιν, προβλεπτικώς ο Αββακούμ, Χριστέ εν τρόμω εβόα σοι. Εις σωτηρίαν λαού σου, τού σώσαι τούς χριστούς σου ελήλυθας.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Η πάντων γεννητών υπερέχουσα, ως τόν Δεσπότην καί Θεόν, εν τή γαστρί σου βαστάσασα, τόν υπέρ πάντας ανθρώπους, εξαμαρτάνοντά με κατοικτείρησον.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σαρκός μου τάς ατάκτους κατάσβεσον, ορέξεις όμβροις σών ευχών, καί τής ψυχής μου διάναψον, τόν λύχνον τόν εσβεσμένον, πυρί τού θείου έρωτος Πάναγνε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ισχύς τών ασθενούντων Πανάμωμε, απεγνωσμένων η ελπίς, καί τών πενθούντων παράκλησις, χαροποιόν μοι παράσχου πένθος, δι' ού ευρήσω τήν άφεσιν.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σέ τείχος καί ασφάλειαν Δέσποινα, σέ προστασίαν αψευδή, σέ πύργον ακαταμάχητον, πιστώς αεί κεκτημένος, ελπίζω διά σού σωτηρίας τυχείν.

## Ωδή ε'

### Ο Ειρμός

Ορθρίζοντες βοώμέν σοι, Κύριε. Σώσον ημάς. Σύ γάρ εί Θεός ημών, εκτός σου άλλον ουκ οίδαμεν.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Πέτραι σε επί ξύλου αισθόμεναι, υψωθέντα Χριστέ, διεσχίσθησαν, καί γής εσείσθη θεμέλια.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Απέθετο λαμπάδα ο ήλιος, υψωθέντος σου, εν ξύλω Ήλιε, δικαιοσύνης μακρόθυμε.

### Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Θαυμάτων απαστράπτεσθε Άγιοι, λαμπηδόνας, τό σκότος διώκοντες, τών νοσημάτων εν χάριτι.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ετέμνεσθε τό σώμα, ώ Μάρτυρες, τό δέ πνεύμα θείας αγαπήσεως, άτμητον είχετε άγιοι.

### Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ιδούσα επί ξύλου υπνώσαντα, τόν Δεσπότην, θρηνούσα ηλάλαζες, Παρθενομήτορ πανάμωμε.

## Κανών τής Θεοτόκου

### Ο Ειρμός

Ο αναβαλλόμενος φώς ως ιμάτιον, πρός σέ ορθρίζω, καί σοι κραυγάζω, τήν ψυχήν μου φώτισον, τήν εσκοτισμένην, Χριστέ ως μόνος εύσπλαγχνος.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τίς μου τό χειρόγραφον, τών παραπτώσεων, καί τών αμέτρων πλημμελημάτων, Αγνή διαρρήξειεν, ειμή σύ προφθάσης, καί δώης μοι τήν λύτρωσιν.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ήλθον εις απόγνωσιν, εξ απορίας πολλής, τήν τών κακών μου, πληθύν Παρθένε αναλογιζόμενος,

διό σοι κραυγάζω. Ελέησον καί σώσόν με.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Θεού Μήτερ άφθορε, Θεού λοχεύτρια, Θεού τού πάντα νεύματι μόνω, εκτελούντος ρύσαί με, τής αιωνιζούσης, καταδίκης τόν δούλόν σου.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Έχουσα τό καύχημα, παρθενίας φαιδρόν, ως Μήτηρ αύθις Θεού γεραίρη, υπερτέρως Άχραντε, διό σοι τό Χαίρε, τού Γαβριήλ προσφέρομεν.

### Ωδή ς'

### Ο Ειρμός

Εκύκλωσέ με άβυσσος, ταφή μοι τό κήτος εγένετο, εγώ δέ εβόησα πρός σέ τόν φιλάνθρωπον, καί έσωσέ με η δεξιά σου, Κύριε.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Σταυρός εν γή επήγνυτο, καί πτώσις δαιμόνων εγίνετο, καί πίστεως έδρασμα αρχήν υπεδέχετο, καί η κακία εκ μέσου απελήλατο.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ο ήλιος εσβέννυτο, τήν σάρκα ως λύχνον ανάψαντος, εν ξύλω σου Κύριε, δραχμή δέ ευρίσκετο, η κεχωσμένη, εσκοτισμένοις πάθεσι.

### Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Υψούμενος φιλάνθρωπε, εν ξύλω χορούς επομένους σου, τοίς ίχνεσιν έσχηκας, Μαρτύρων τό πάθος σου, εκμιμουμένους, τό απαθείας πρόξενον.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Χειμάρρους εξηράνατε, τής πλάνης, αιμάτων τοίς ρεύμασι, καί πύρ απεσβέσατε, δαιμόνων αλλότριον, τή θεία δρόσω, στεφανηφόροι Μάρτυρες.

### Σταυροθεοτοκίον

Ρομφαία τήν καρδίαν σου, διήλθεν ηνίκα σταυρούμενον τόν κτίστην τεθέασαι, Παρθένε πανάμωμε, καί λόγχη θείαν, πλευράν εξορυττόμενον.

### Κανών τής Θεοτόκου

### Ο Ειρμός

Μαινομένην κλύδωνι, ψυχοφθόρω Δέσποτα Χριστέ, τών παθών τήν θάλασσαν κατεύνασον, καί εκ φθοράς, ανάγαγέ με ως εύσπλαγχνος.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Η ζωήν κυήσασα, ουσιώδη, Δέσποινα αγνή, νοητού θανάτου με εξάρπασον, καί τής ζωής, τής αιωνίου αξίωσον.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τήν όντως ασύγκριτον, εν τώ κάλλει, πάντων γεννητών, σέ αιτούμαι Δέσποινα Θεόνυμφε, τής ειδεχθούς κακίας με ελευθέρωσον.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ουκ έχω αντίληψιν, εν τώ κόσμω, πλήν σου αγαθή, διό σοι προσπίπτω καί κραυγάζω σοι. Μή αποστής, από τού δούλου σου Πάναγνε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Κακουργών ο δόλιος, ταίς ηδοναίς, τόν νούν μου αεί, εκταράσσει. Δέσποινα βοήθει μοι, καί τής τούτου, πονηρίας με εξάρπασον.

## Ωδή ζ'

### Ο Ειρμός

Ο εν καμίνω πυρός, τούς υμνολόγους σώσας Παίδας, ευλογητός ο Θεός, ο τών πατέρων ημών.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ίνα ρυσθώμεν ημείς, τής ενηδόνου αμαρτίας, χολής εγεύσω Χριστέ, ο γλυκασμός τής ζωής.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Σού εν Σταυρώ Ιησού, τραυματισθέντος ιατρεύθη, τά τραύματα τού Αδάμ, τά πολυχρόνια.

### Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Τετιμηκότες Χριστόν, δι' επιπόνου ατιμίας, τής ανωτάτω τιμής ετύχετε Αθληταί.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Εθελουσίοις ορμαίς, κεχωρηκότες πρός τό πάθος, οι Αθληταί νικηταί, εναπεφάνθησαν.

### Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Μετά τόκον Αγνή, ως πρό τού τόκου διαμένεις, Θεός γάρ ήν ο τεχθείς, ίνα Θεώση βροτούς.

## Κανών τής Θεοτόκου

### Ο Ειρμός

Ο υπερυψούμενος, τών Πατέρων Κύριος, τήν φλόγα κατέσβεσε, τούς Παίδας εδρόσισε, συμφώνως μελωδούντας, ο Θεός ευλογητός εί.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ώ Θεομακάριστε, Θεοτόκε πάναγνε, ψυχής μου τήν κάκωσιν, ίασαι καί δώρησαι, γαλήνην σωτηρίας, καί ζωής τήν ευφροσύνην.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Πύλη αδιόδευτε, λόγοις ματαιότητος, τάς πύλας απόκλεισον, δι' ών μοι ο θάνατος, καί ο τής αμαρτίας, όλεθρος υπεισέδυ.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Έβλυσεν ο τόκος σου, αφθαρσίας νάματα, αλλά ταίς πρεσβείαις σου, βλύσαι παρασκεύασον, καμοί τής συμπαθείας, τόν αυτού άμετρον πλούτον.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Λύτρωσαί με Πάναγνε, εκ πάσης κακώσεως, βίου περιστάσεων, συμφορών καί θλίψεων, καί

νόσων καί κινδύνων, καί δεινής συκοφαντίας.

## Ωδή η'

### Ο Ειρμός

Τόν εκ Πατρός πρό αιώνων, γεννηθέντα Υιόν καί Θεόν, καί επ' εσχάτων τών χρόνων, σαρκωθέντα εκ παρθένου Μητρός, Ιερείς υμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ο τήν κατάραν του ξύλου, διά ξύλου ιασάμενος, καί ευλογίαν πηγάσας, τοίς ανθρώποις υπεράγαθε, σέ Σωτήρ υμνούμεν, καί σέ υπερυψούμεν, εις πάντας τούς αιώνας.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Υπεραιρόμενον όφιν, τώ Σταυρώ σου εταπείνωσας, καί τόν δεινώς συμπτωθέντα, ταπεινούμενον ανύψωσας, σέ Σωτήρ υμνούμεν, καί σε υπερυψούμεν, εις πάντας τούς αιώνας.

### Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Τούς καθαιρέτας τής πλάνης, καί προμάχους θείας πίστεως, τής Εκκλησίας τούς στύλους, καί στερρούς όντως αδάμαντας, τούς Χριστού οπλίτας, πιστοί τούς Αθλοφόρους, τιμήσωμεν εν ύμνοις.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Οι ευκλεείς Αθλοφόροι, ώσπερ ήλιος εκλάμψαντες, τών αλγηδόνων τά νέφη, διεσκέδασαν εν χάριτι, καί τής ασεβείας, διέλυσαντόνζόφον, τή πίστει τής Τριάδος.

### Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νυμφαγωγός σοι Παρθένε, Γαβριήλ αποστελλόμενος, Χαίρε εβόησε λέγων, φωτεινότατον παλάτιον, τού παμβασιλέως Χριστού, εν ώ οικήσας, βροτούς Θεώσει πάντας.

## Κανών τής Θεοτόκου

### Ο Ειρμός

Σοί τώ παντουργώ, εν τή καμίνω Παίδες, παγκόσμιον πλέξαντες, χορείαν έμελπον. Πάντα τά έργα, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Εν τοίς πειρασμοίς, εύρημοί σε προστάτιν, εν θλίψεσι πρόμαχον, εν συμφοραίς βοηθόν, εν τοίς κινδύνοις σωτήριον λιμένα, καί εν πάση λύπη, Σεμνή παραμυθίαν.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ίδε τήν εμήν, σεμνή Παρθένε πίστιν, ίδε τόν πόθον μου, όν εις σέ κέκτημαι, ίδε ψυχής μου τόν έρωτα τόν θείον, καί τήν σήν μοι δίδου, πολυπλασίως χάριν.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φώς τό νοητόν, σύ εν γαστρί λαβούσα, φώτισον τά όμματα, τά τής καρδίας μου, λύσον τόν ζόφον τών εμών οφλημάτων, καί τών παθημάτων, σκέδασον τήν ομίχλην.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Η τήν υπέρ νούν, τεκούσα σωτηρίαν, τόν πάσι βραβεύοντα, τήν σωτηρίαν βροτοίς, Κόρη τήν

θείαν δίδου μοι σωτηρίαν, τών αμαρτημάτων, αναστέλλουσα λύμην.

### Ωδή θ'
### Ο Ειρμός

Σέ τήν υπέρ νούν, καί λόγον Μητέρα Θεού, τήν εν χρόνω τόν άχρονον, αφράστως κυήσασαν, οι πιστοί ομοφρόνως μεγαλύνομεν.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ισχύς τού εχθρού, καί κράτος αφήρηται, κραταιέ μόνε Κύριε, Σταυρώ υψωθέντος σου, καί δακτύλους, εν τούτω αιματώσαντος.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ώρυξαν Χριστέ, χείρας καί πόδας σου, καί οστά σου ηρίθμησαν, σταυρούντες οι άνομοι, καί χολήν μετά όξους σε επότισαν.

### Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Στόματι λαμπρώ, Θεόν εκηρύξατε, χρηματίσαντα άνθρωπον, τυράννων ενώπιον, Αθλοφόροι καί δόξαν εκληρώσασθε.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ήλγησαν εχθροί, αλγείνοντες μάστιξι, καί ποικίλαις κολάσεσιν, υμάς πανσεβάσμιοι, ιατροί αλγηδόνων θείοι Μάρτυρες.

### Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φώς ημίν εκ σού, Αγνή ανατέταλκεν, Ιησούς καί εφαίδρυνε, τήν κτίσιν σταυρούμενος, καί δαιμόνων τό σκότος απεδίωξε.

### Κανών τής Θεοτόκου
### Ο Ειρμός

Ησαϊα χόρευε, η Παρθένος, έσχεν εν γαστρί, καί έτεκεν υιόν τόν Εμμανουήλ, Θεόν τε καί άνθρωπον, ανατολή, όνομα αυτώ, όν μεγαλύνοντες, τήν Παρθένον μακαρίζομεν.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Αλγεινοίς κυκλούμενος, πολλοίς γόνυ, κλίνω σοι Σεμνή, τό πρόσωπον εις γήν ρίπτω δυστυχώς, δακρύων κραυγάζω σοι. Τών ζητούντων ρύσαι Αγαθή, καί θυμηδίας μοι, ανατολή επιφάνηθι.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τό τής απογνώσεως, ενισχύει, κράτος εν εμοί, χειλέων εκ ρυπαρών, ποία σοι ωδή; καρδίας αιτήματος κεχραμένης, τίς αποδοχή, αλλά θαυμάστωσον, τοίς αθλίοις τά ελέη σου.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ηλλοιώθην θλίψεσιν, ημαυρώθη νούς καί οφθαλμός, κυκλούσί μου τήν ζωήν, άλγη χαλεπά, πρός τούτοις εκτήκει με, τά εκείθεν δείματα Σεμνή, ών με διάσωσον, τάς οδύνας μεταβάλλουσα.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ο βραχύς ανήλωται, τής ζωής μου, βίος εν κακοίς, καί πλήθει τών λυπηρών, καί τών αλγεινών, διό η κυήσασα, Θεοτόκε πάντων τήν χαράν, ταύτα πρεσβείαις σου, ευπροσδέκτοις επικούφισον.

Απόστιχα τών Αίνων Σταυρώσιμα

Μόνον παγέντος τού ξύλου Χριστέ τού Σταυρού σου, η πλάνη πεφυγάδευται, καί η χάρις εξήνθησεν, ου γάρ έτι καταδίκης εστί τιμωρία, αλλά τρόπαιον εδείχθη ημίν σωτηρίας. Σταυρός ημών στήριγμα. Σταυρός ημών καύχημα. Σταυρός ημών αγαλλίαμα.

Στίχ. α'. Ενεπλήσθημεν τό πρωϊ τού ελέους σου, Κύριε, καί ηγαλλιασάμεθα καί ηυφράνθημεν έν πάσαις ταίς ημέραις ημών. Ευφρανθείημεν, ανθών ημερών εταπείνωσας ημάς, ετών, ών είδομεν κακά, καί ίδε επί τούς δούλους σου καί επί τά έργα σου, καί οδήγησον τούς υιούς αυτών.

Ο Σταυρός σου Χριστέ, καί τού Άδου κατήργησε τό κράτος, καί τό γένος διέσωσε τών ανθρώπων, καί εκ φθοράς τόν κόσμον ρυσάμενος, τώ Ληστή Παράδεισον ήνοιξεν, όν προσκυνούντες, δοξάζομέν σε, Σωτήρ, ελέησον ημάς.

Μαρτυρικόν

Στίχ. β'. Καί έστω η λαμπρότης Κυρίου τού Θεού ημών εφ' ημάς, καί τά έργα τών χειρών ημών κατεύθυνον εφ' ημάς, καί τό έργον τών χειρών ημών κατεύθυνον.

Ευλογημένος ο στρατός τού Βασιλέως τών ουρανών, ει γάρ καί γηγενείς υπήρχον οι Αθλοφόροι, αλλά αγγελικήν αξίαν έσπευδον φθάσαι, τών σωμάτων καταφρονήσαντες, καί διά τών παθημάτων, τής τών Ασωμάτων αξιωθέντες τιμής. Ευχαίς αυτών, Κύριε, κατάπεμψον ημίν τό μέγα έλεος.

Δόξα... Καί νύν... Σταυροθεοτοκίον

Παύσον τό άλγος τής πολυωδύνου ψυχής μου, εβόα η Άμεμπτος οδυρομένη Χριστώ, ει γάρ βροτούς εν τώ πάθει σώζεις, αλλά τιτρώσκεις ψυχήν εμήν Λόγε. Σύ φώς μου γλυκύτατον, σύ τέκνον καί πλάστης μου, ανυμνώ σου τό μακρόθυμον.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

### Οι Μακαρισμοί

Μακάριοι οι ειρηνοποιοί, ότι αυτοί υιοί Θεού κληθήσονται.

Ο Ληστής εν τώ Σταυρώ, Θεόν είναί σε πιστεύσας Χριστέ, ωμολόγησέ σε ειλικρινώς εκ καρδίας, εν τή Μνήσθητι μου Κύριε βοών, Βασιλεία σου.

Μακάριοι οι δεδιωγμένοι ένεκεν δικαιοσύνης, ότι αυτών εστιν η βασιλεία τών ουρανών.

Θανατωθείς επί Σταυρού, τούς διά βρώσεως πεσόντας ημάς, ανεζώωσας, Ζωοδότα οικτίρμον, καί πολίτας πάλιν Αγαθέ, παραδείσου ανέδειξας.

Μακάριοί εστε όταν ονειδίσωσιν υμάς, καί διώξωσι, καί είπωσι πάν πονηρόν ρήμα καθυμών ψευδόμενοι ένεκεν εμού.

Προσηλώθης τώ Σταυρώ, Χριστέ η άμπελος η αληθινή, καί απέσταξας πόμα σωτηριώδες, επευφραίνον πάντων τών πιστών, καρδίας υμνούντων σε.

Μαρτυρικόν

Χαίρετε καί αγαλλιάσθε, ότι ο μισθός υμών πολύς εν τοίς ουρανοίς.

Τυμπανιζόμενοι σοφοί, καί μεληδόν κατατεμνόμενοι, εικονίσατε τήν σφαγήν τού Δεσπότου, διά τούτο Μάρτυρες Χριστού, αεί μακαρίζεσθε.

Δόξα...

Επί Σταυρού ο τού Πατρός, καί θείου Πνεύματος αχώριστος, εθελούσιον καθυπέμεινε πάθος, πάθη πάντα τά φθοροποιά, ημών εξαιρούμενος.

Καί νύν... Σταυροθεοτοκίον

Θρήνοις συνέκοπτες σαυτήν, ορώσα Δέσποινα εν ξύλω Σταυρού, τήν ζωήν ημών εκουσίως θανούσαν, όθεν πάντες θείαις σε φωναίς, αεί μακαρίζομεν.

top

### Στιχηρά Δεσποτικά
### Ήχος πλ. α'
### Χαίροις ασκητικών αληθώς

Στίχ. α'. Εάν ανομίας παρατηρήσης, Κύριε, Κύριε τίς υποστήσεται; ότι παρά σοί ο ιλασμός εστιν.

Φείσαι τού σού οικέτου Χριστέ, ηνίκα μέλλει η ψυχή μου τού σώματος, προστάξει σου χωρισθήναι, τού αγαγόντος εις έν, τόν χούν καί τό πνεύμα, θείω νεύματι, εχθρών αοράτων, επιδρομής καί κακώσεως, ενεδρευόντων, αφειδώς διασπάσαί με, καί κατάβρωμα, εαυτών απεργάσασθαι, ρύσαί με καί αξίωσον, τυχείν αναψύξεως, ένθα απέδρα οδύνη, καί στεναγμός, ένθα πέφυκε, τρυφής ο χειμάρρους, καί φωνή εορταζόντων, καί αγαλλίασις.

Στίχ. β'. Ένεκεν τού ονόματός σου υπέμεινά σε, Κύριε, υπέμεινεν η ψυχή μου εις τόν λόγον σου, ήλπισεν η ψυχή μου επί τόν Κύριον.

Ώραν τής τελευτής δεδοικώς, καί τών δαιμόνων τήν φρικτήν επανάστασιν, βοώ σοι εκ κατωδύνου, ψυχής ο τάλας εγώ. Τάς αυτών παγίδας καί τά σκάνδαλα, τή σή δυναστεία, Δέσποτα Κύριε σύντριψον, καί μή εάσης, τής αυτών με σκαιότητος, παρανάλωμα, χρηματίσαι τόν δούλόν σου, ίδε μου τήν κατήφειαν, καί πρόσχες τή θλίψει μου, καί τήν αθλίαν ψυχήν μου, τών οδυνών ελευθέρωσον, Θεέ πανοικτίρμον, ο δωρούμενος τώ κόσμω τό μέγα έλεος.

Στίχ. γ'. Από φυλακής πρωϊας μέχρι νυκτός, από φυλακής πρωϊας ελπισάτω Ισραήλ επί τόν Κύριον.

Ώσπερ η Χαναναία Σωτήρ, καγώ βοώ σοι. Τήν ψυχήν μου θεράπευσον, καί ρύσαι δαιμόνων βλάβης, καί επηρείας εχθρών, τών παρά τήν φύσιν ενοχλούντων με, αεί καί φθειρόντων, τό κατ' εικόνα σου Κύριε, καί εξελκόντων, λογισμού τό κριτήριον, εις ανόνητα, καί ψεκτά ενθυμήματα, άπερ εκ τής καρδίας μου εξάλειψον δέομαι, καί εν αυτή μοι τόν φόβον, σού τόν αγνότατον φύτευσον, καί δός εν ειρήνη εκτελέσαι μου τόν βίον, εν ταπεινώσει ψυχής.

### Έτερα Μαρτυρικά Αυτόμελα

Στίχ. δ'. Ότι παρά τώ Κυρίω τό έλεος, καί πολλή παρ' αυτώ, λύτρωσις. καί αυτός λυτρώσεται τόν Ισραήλ έκ πασών τών ανομιών αυτού.

Τόν θυρεόν τής πιστεως περιβαλλόμενοι, καί τώ τύπω τού Σταυρού, εαυτούς διαναστήσαντες, πρός τάς βασάνους ανδρείως απηυτομόλησαν, καί διαβόλου τήν πλάνην καί τό θράσος κατήργησαν, οι Άγιοί σου Κύριε. Αυτών ταίς ικεσίαις, ως παντοδύναμος Θεός, τώ κόσμω τήν ειρήνην κατάπεμψον, καί ταίς ψυχαίς ημών τό μέγα έλεος.

Στίχ. ε'. Αινείτε τόν Κύριον πάντα τά έθνη, επαινέσατε αυτόν, πάντες οι λαοί.

Πρεσβεύσατε υπέρ ημών, άγιοι Μάρτυρες, ίνα ρυσθώμεν τών ανομιών ημών, υμίν γάρ εδόθη χάρις, πρεσβεύειν υπέρ ημών.

Στίχ. ς'. Ότι εκραταιώθη τό έλεος αυτού εφ' ημάς, καί η αλήθεια τού Κυρίου μένει εις τόν αιώνα.

Ακορέστω διαθέσει ψυχής, Χριστόν ουκ αρνησάμενοι, άγιοι Μάρτυρες, οίτινες διαφόρους αικισμούς παθημάτων υπομείναντες, τών τυράννων τά θράση κατηδαφίσατε, ακλινή καί άτρωτον τήν πίστιν φυλάξαντες, εις ουρανούς μετέστητε, όθεν καί παρρησίας, τυχόντες πρός αυτόν, αιτήσασθε δωρηθήναι, ημίν τό μέγα έλεος.

### Δόξα καί νύν... Θεοτοκίον

Εν τή Ερυθρά θαλάσση, τής απειρογάμου Νύμφης, εικών διεγράφη ποτέ. Εκεί Μωϋσής διαιρέτης τού ύδατος, ενθάδε Γαβριήλ υπηρέτης τού θαύματος, τότε τόν βυθόν επέζευσεν αβρόχως Ισραήλ, νύν δέ τόν Χριστόν εγέννησεν ασπόρως η Παρθένος, η θάλασσα μετά τήν πάροδον τού Ισραήλ, έμεινεν άβατος, η Άμεμπτος μετά τήν κύησιν τού Εμμανουήλ, έμεινεν άφθορος, ο ών καί προών, καί φανείς ως άνθρωπος, Θεός ελέησον ημάς.

Απόστιχα Μαρτυρικόν

Τών επιγείων απάντων καταφρονήσαντες, καί τών βασάνων ανδρείως κατατολμήσαντες, τών μακαρίων ελπίδων ουκ ηστοχήσατε, αλλ' ουρανών Βασιλείας κληρονόμοι γεγόνατε, πανεύφημοι Μάρτυρες, έχοντες παρρησίαν πρός τόν φιλάνθρωπον Θεόν τώ κόσμω τήν ειρήνην αιτήσασθε, καί ταίς ψυχαίς ημών τό μέγα έλεος.

Νεκρώσιμα

Στίχ. Α'. Πρός σέ ήρα τούς οφθαλμούς μου, τόν κατοικούντα εν τώ ουρανώ. Ιδού, ως οφθαλμοί δούλων εις χείρας τών κυρίων αυτών, ως οφθαλμοί παιδίσκης εις χείρας τής κυρίας αυτής, ούτως οι οφθαλμοί ημών πρός Κύριον τόν Θεόν ημών, έως ού οικτιρήσαι ημάς.

Εμνήσθην τού Προφήτου βοώντος. Εγώ ειμι γή καί σποδός, καί πάλιν κατενόησα εν τοίς μνήμασι, καί είδον τά οστά τά γεγυμνωμένα, καί είπα, Άρα τίς εστι; Βασιλεύς, ή στρατιώτης, ή πλούσιος, ή πένης, ή δίκαιος, ή αμαρτωλός; αλλά ανάπαυσον, Κύριε, μετά δικαίων τούς δούλους σου, ως φιλάνθρωπος.

Στίχ. Β'. Ελέησον ημάς, Κύριε, ελέησον ημάς, ότι επί πολύ επλήσθημεν εξουδενώσεως, επί πλείον επλ ήσθη η ψυχή ημών, τό όνειδος τοίς ευθηνούσι, καί η εξουδένωσις τοίς υπερηφάνοις.

Σύ έπλασάς με, Κύριε, καί έθηκας επ' εμέ τήν χείρά σου, καί ενετείλω μοι, καί είπας. Εις γήν πάλιν πορεύση. Οδήγησόν με εις ευθείαν οδόν σου, συγχώρησόν μοι τά πλημμελήματά μου, καί άνες μοι δέομαι, ως φιλάνθρωπος.

Δόξα... Καί νύν... Θεοτοκίον

Σέ δυσωπούμεν, ως Θεού Μητέρα. Ευλογημένη, πρέσβευε σωθήναι ημάς.

Μετά τήν α' Στιχολογίαν

Καθίσματα Μαρτυρικά

Ήχος πλ. α'

Κύριε, τό ποτήριον τού πάθους σου, οι Αθλοφόροι σου ζηλώσαντες, κατέλιπον τήν τού βίου τερπνότητα, καί γεγόνασι τών Αγγέλων συμμέτοχοι. Αυτών ταίς παρακλήσεσι, παράσχου ταίς ψυχαίς ημών, ιλασμόν αμαρτιών, καί τό μέγα έλεος.

Τόν συνάναρχον Λόγον

Τών αγίων Μαρτύρων τά κατορθώματα, ουρανών αι Δυνάμεις υπερεθαύμασαν, ότι εν σώματι θνητώ, τόν ασώματον εχθρόν, τή δυνάμει τού Σταυρού, αγωνισάμενοι καλώς, ενίκησαν αοράτως, καί πρεσβεύουσι τώ Κυρίω, ελεηθήναι τάς ψυχάς ημών.

Δόξα... Καί νύν... Θεοτοκίον

Χαίρε πύλη Κυρίου η αδιόδευτος, Χαίρε τείχος καί σκέπη τών προστρεχόντων εις σέ. Χαίρε αχείμαστε λιμήν καί απειρόγαμε, η τεκούσα εν σαρκί, τόν ποιητήν σου καί Θεόν, πρεσβεύουσα μή ελλείπης, υπέρ τών ανυμνούντων, καί προσκυνούντων τόν τόκον σου.

Έτερα Καθίσματα

μετά τόν Άμωμον

Μαρτυρικόν

Τά θαύματα τών αγίων σου Μαρτύρων, τείχος ακαταμάχητον, ημίν δωρησάμενος, Χριστέ ο Θεός, ταίς αυτών ικεσίαις, βουλάς εθνών διασκέδασον, τής Βασιλείας τά σκήπτρα κραταίωσον, ως μόνος αγαθός καί φιλάνθρωπος.

Νεκρώσιμον

Ανάπαυσον Σωτήρ ημών, μετά δικαίων τούς δούλους σου, καί τούτους κατασκήνωσον εν ταίς αυλαίς σου, καθώς γέγραπται, παρορών ως αγαθός, τά πλημμελήματα αυτών, τά εκούσια καί τά ακούσια, καί πάντα τά εν αγνοία, καί γνώσει φιλάνθρωπε.

Δόξα... Καί νύν... Θεοτοκίον

Τόν συνάναρχον Λόγον

Θεοτόκε Παρθένε Μήτηρ ανύμφευτε, η τόν Σωτήρα τού κόσμου κυοφορήσασα, καί τεκούσα εν δυσί τελείαις φύσεσιν, εκδυσώπησον αυτόν, σύν Προφήταις ιεροίς, καί Μάρτυσι καί Οσίοις, υπέρ ειρήνης τού κόσμου, καί σωτηρίας τών ψυχών ημών.

Κανών εις πάντας τούς Αγίους, ού η Ακροστιχίς.

Σοίς Χριστέ, δούλοις τούς δε τούς ύμνους φέρω. Ιωσήφ.

Ωδή α' Ήχος πλ. α'
Ο Ειρμός
Γήν εφ' ήν ουκ έλαμψεν, ουκ είδεν ήλιος ποτέ, άβυσσον, ήν ουχ εώρακε γυμνήν τό κύτος ουρανού, Ισραήλ διώδευσεν αβρόχως, Κύριε, καί εισήγαγες αυτόν, εις όρος αγιάσματός σου, άδοντα ψάλλοντα επινίκιον ωδήν.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Σώματα προϊέμενοι, τοίς ανημέροις δικασταίς, ηνέγκατε ανυποίστους αικισμούς, γενναίοι Αθληταί, προσδοκώντες λήψεσθαι βραβεία άνωθεν, καί εισήγαγεν υμάς Χριστός, εις αιωνίους σκηνάς, χαίροντας άδοντας, επινίκιον ωδήν.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Όσιοι καί Δίκαιοι, και Ιεράρχαι ευκλεείς, τελέσαντες τά προστάγματα Θεού, εποίμαναν λαούς, καί καλώς ωδήγησαν εφ' ύδωρ γνώσεως, αξίως ακαί χειμάρρους τής τρυφης, πειλήφασι, βρύοντες πάντοτε, ιαμάτων ποταμούς.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ιθυνόν με, Κύριε, πρός τούς λιμένας τής ζωής, δεήσεσι Προφητών πανευκλεών, σοφών Ιεραρχών, ιερών Γυναίων τε τών αθλησάντων στερρώς, καί τόν άρχοντα αεί, ανδρεία πατησάντων φρενί, άδοντα ψάλλοντα, επινίκιον ωδήν.

Νεκρώσιμον

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Σέ καθικετεύομεν, τόν ευδιάλλακτον Θεόν, ανάπαυσον εν τοίς κόλποις Αβραάμ, τούς δούλους σου, Χριστέ, ούς πιστώς μετέστησας, εκ τής τού βίου ταραχής, καί αξίωσον αυτούς, φωτός διαιωνίζοντος, τούτων τά πταίσματα, παρορών ως αγαθός.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Χαίρέ σοι κραυγάζομεν, τή κυησάση τήν χαράν, Πανύμνητε, φωταγώγησον ημών, τόν νούν καί τήν ψυχήν, καί πρός τρίβους γνώσεως, πάντας οδήγησον, καί πταισμάτων ιλασμόν, δοθήναι πάσιν αίτησαι, Δέσποινα άχραντε, τόν Υιόν σου καί Θεόν.

Κανών εις Κοιμηθέντας, ού η Ακροστιχίς.
Θεοφάνους ο πέμπτος εις νεκρούς κανών.

Ο Ειρμός
Τώ σωτήρι Θεώ, τώ εν θαλάσση λαόν, ποσίν αβρόχοις οδηγήσαντι, καί Φαραω πανστρατιά καταποντίσαντι, αυτώ μόνω άσωμεν, ότι δεδόξασται

Στίχ. Πρεσβείαις τών Μαρτύρων σου ανάπαυσον, Κύριε, τάς ψυχάς τών δούλων σου.

Θειοτάτη στοργή, οι Αθλοφόροι Χριστού, τυράννων θράσος κατηδάφισαν, τοίς μεταστάσι δέ πιστοις, οι συμπαθέστατοι, αιτούνται, τήν άφεσιν καί τήν ανάστασιν.

Στίχ. Αί ψυχαί αυτών εν αγαθοίς αυλισθήσονται.

Εν Αγίων σκηναίς, εν ταίς αυλαίς σου Χριστέ, τούς μεταστάντας κατασκήνωσον, τήν οφειλήν υπέρ αυτών καταβαλλόμενος, τό αίμά σου Δέσποτα τό τιμιώτατον.

Στίχ. Μακάριοι ούς εξελέξω καί προσλάβω Κύριε.

Η σοφίας Θεού, χαρακτήρ ο ακριβής, ο πάντα φέρων τού Γεννήτορος, ούς προσελάβου οικτίρμον, αυτός ανάπαυσον, διδούς τήν αϊδιον μακαριότητα.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φωτοφόρος σκηνή, χρυσοειδής κιβωτός, τόν Θεόν Λόγον περιέχουσα, σεσαρκωμένον δι' ημάς τόν καταλύσαντα, θανάτου τήν δύναμιν, ώφθης Πανάμωμε.

Ωδή γ'

Ο Ειρμός

Σαλευομένη τήν καρδίαν μου, Κύριε, τοίς κύμασι τού βίου, στερέωσόν με, εις λιμένα εύδιον, καθοδηγών ως Θεός.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ραβδιζομένου ουκ εφείσασθε σώματος, πανεύφημοι οπλίται νευρούμενοι, ταίς ελπίσι Μάρτυρες, τών αιωνίων τερπνών.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ιεραρχίας στολήν εφαιδρύνατε, ιδέαις εναρέτοις ποιμάναντες, τού Χριστού τό ποίμνιον, επί νομάς ζωηράς.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Σάρκα νεκρούντες εγκρατεία οι όσιοι, ζωής θείας μετέσχον, αυτών Χριστέ, ιεραίς δεήσεσι, κινδύνων ρύσαι ημάς.

Νεκρώσιμον

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Τοίς κοιμηθείσι τήν εκείθεν ανάπαυσιν, Φιλάνθρωπε παράσχου, ά έπραξαν, επί γής οφλήματα, παρορών ως Θεός.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ευλογημένη γυναικών σε ως έβλεψε, κατάλογος γενναίως ενήθλησε, καί τώ σώ προσήνεκται, Παρθενομήτορ Υιώ.

Κανών τών Κοιμηθέντων

Ο Ειρμός

Στερέωσον ημάς ο Θεός τή σήδυνάμει, καί κατάβαλε Αιρετικών τά φρυάγματα, καί ανύψωσον τό κέρας ημών.

Στίχ. Πρεσβείαις τών Μαρτύρων σου ανάπαυσον, Κύριε, τάς ψυχάς τών δούλων σου.

Ανδρείως ταίς τυράννων ορμαίς, ανθεστηκότες ηγωνίσαντο, οι Αθληταί, καί πρεσβεύουσιν, υπέρ τών κεκοιμημένων Χριστέ.

Στίχ. Αί ψυχαί αυτών εν αγαθοίς αυλισθήσονται.

Νομίμοις εντραφέντας τοίς σοίς, τούς μεταστάντας Υπεράγαθε, εν φωτεινοίς σου σκηνώμασι, προσδεξάμενος ανάπαυσον.

Στίχ. Μακάριοι ούς εξελέξω καί προσλάβω Κύριε.

Ο μόνος ελεήμων Θεός, ούς εξελέξω καταξίωσον, τής τών Αγίων λαμπρότητος, παρορών αυτών τά πταίσματα.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Υμνούμεν τόν σόν τόκον Αγνή, δι' ού τής πρώην κατακρίσεως, καί τής κατάρας ερρύσθημεν, καί θανάτου ελυτρώθημεν.

## Ωδή δ'

### Ο Ειρμός

Ακήκοα, Κύριε, τήν ακοήν σου καί εφοβήθην, κατενόησα τήν οικονομίαν σου, καί εδόξασά σε, μόνε φιλάνθρωπε.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Δυνάμει σου, Κύριε, οι Αθλοφόροι εχθρών δυνάμεις κατεπάτησαν, καί ισχύς γεγόνασι τών πιστών, καί μέγα κραταίωμα.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Οι Όσιοι άπαντες, αγαλλιάσει, αγαλλιώνται, καί ενδέδυνται οι Ιερείς οι ένθεοι, δικαιοσύνην ώσπερ ιμάτιον.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Υμνήσωμεν άπαντες, τούς θεηγόρους Θεού Προφήτας, καί τιμήσωμεν Γυναικών κατάλογον, τόν καλώς τόν δρόμον τελέσαντα.

Νεκρώσιμον

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Λιμένι σου Δέσποτα, τής Βασιλείας εγκαθορμίσας, ούς μετέστησας ταραχής καί κλύδωνος, τού παρόντος βίου ανάπαυσον.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ο Άχρονος γέγονε, νύν υπό χρόνον εκ σού Παρθένε, τούτον αίτησαι διαλύσαι άπαντα, τής ψυχής μου τά χρόνια πταίσματα.

### Κανών τών Κοιμηθέντων

Ειρμός ο αυτός

Στίχ. Πρεσβείαις τών Μαρτύρων σου ανάπαυσον, Κύριε, τάς ψυχάς τών δούλων σου.

Συναΐδιόν σε τώ Πατρί ομολογούντες ευσεβώς, ανηρέθησαν οι Μάρτυρες Χριστέ, καί βοώσί σοι. Σώσον ους προσελάβου δούλους σου.

Στίχ. Αί ψυχαί αυτών εν αγαθοίς αυλισθήσονται.

Ο γενόμενος εν τοίς νεκροίς, νε καί νεκρός ελεύθερος Χριστε, κροίς ζωήν αιώνιον διδούς, τήν ανάπαυσιν δός νύν, τοίς μεταστάσι δούλοις σου.

Στίχ. Μακάριοι ούς εξελέξω καί προσλάβω Κύριε.

Παραγενόμενος εις τό σώσαι, τό πλανωμενον Χριστέ, τον Παράδεισον αξίωσον οικείν, ούς μετέστησας, πίστει δικαιώσας καί χάριτι.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Επεσκίασεν η τού Υψίστου, Κόρη δύναμις εν σοί, καί Παράδεισον ειργάσατο ζωής, ξύλον έχουσα, μέσον τόν μεσίτην καί Κύριον.

Ωδή ε'
Ο Ειρμός
Τήν τάλαιναν ψυχήν μου, νυκτομαχούσαν τώ σκότει τών παθών, προφθάσας οίκτειρον, καί λάμψον, νοητέ Ήλιε, ημεροφαείς ακτίνας εν εμοί, τού διατμήξαι τήν νύκτα τό φώς.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ιάσεις τοίς νοσούσι, πηγάζει Μαρτύρων τά οστά, μή συντριβέντα γάρ κακία, ωσεί χνούν ελέπτυναν, τά τής δυσσεβείας άπαντα οστά, καί τήν ημών ανορθούσι συντριβήν.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Τούς νόμους συντηρούσαι, Ιεραρχίαι εποίμαναν λαούς, καί καθωδήγησαν, Οικτίρμον, πρός ζωήν τήν μένουσαν, οι δέ Όσιοι, ενέκρωσαν παθών, τυραννίδα τελείωνοϊ.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Τιμάσθωσαν Προφήται, καί σύν αυτοίς πάντες Δίκαιοι πιστώς, καί ευφημείσθωσαν οσίως αι πολιτευσάμεναι, καί διά βασάνων λάμψασαι εν γή, θείαι Γυναίκες, ως δούλαι Χριστου.

Νεκρώσιμον
Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ούς εκ γής προσελάβου, εν ουρανίοις κατάταξον σκηναίς, πιστούς οικέτας σου, τούτων παρορών τά πταίσματα, διυπερβολήν χρηστότητος τής σής, ο σαρκωθείς διημάς τούς βροτούς.

Θεοτοκίον
Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Υμνούμέν σε Παρθένε, δι' ής εφάνη ο Θεός επί γής, βροτός γενόμενος. Χαίρε γή εύκαρπε, η καρποφορήσασα στάχυν μυστικόν ημίν, τόν διατρέφοντα πάσαν πνοήν.

Κανών τών Κοιμηθέντων
Ο Ειρμός
Ορθρίζοντες βοώμέν σοι, Κύριε. Σώσον ημάς. Σύ γάρ εί Θεός ημών, εκτός σου άλλον ουκ οίδαμεν.

Στίχ. Πρεσβείαις τών Μαρτύρων σου ανάπαυσον, Κύριε, τάς ψυχάς τών δούλων σου.

Μαρτύρων προσδεξάμενος Κύριε, τάς αιτήσεις, ψυχάς άς μετέστησας, τοίς εκλεκτοίς σου συναρίθμησον.

Στίχ. Αί ψυχαί αυτών εν αγαθοίς αυλισθήσονται.

Προέφησας ουκ όψεται θάνατον, ο πιστεύσας εις σέ, διό Δέσποτα, τούς μεταστάντας ανάπαυσον.

Στίχ. Μακάριοι ούς εξελέξω καί προσλάβω Κύριε.

Τερπνότητος τού οίκου σου Κύριε, τούς σούς δούλους τυχείν καταξίωσον, καί τής γλυκείας μεθέξεως.

Θεοτοκίον
Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ο Λόγος ο Πατρί συναϊδιος, σαρκωθείς εκ Παρθένου ενέκρωσε, διά θανάτου τόν θάνατον.

## Ωδή ς'

### Ο Ειρμός

Ως τόν Προφήτην τού θηρός, ερρύσω, Κύριε, καμέ τού βυθού τών ακαθέκτων παθών, ανάγαγε δέομαι, ίνα προσθήσω τού επιβλέψαι με, πρός ναόν τόν άγιόν σου.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Σώματα προδόντες αικισμοίς, οι Μάρτυρες, τυράννων χερσίν, ηγάλλοντο τή ψυχή, τήν θείαν γάρ έβλεπον, όντως αιώνιον απόλαυσιν, καί τάς θείας αντιδόσεις.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Δόξα σοφών Ιεραρχών, καί τών Οσίων σύ υπάρχεις Χριστέ, ταίς ικεσίαις αυτών, τόν σόν λαόν οίκτειρον, όν περ ιδίω σου αίματι, ως φιλάνθρωπος εκτήσω.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Εκ σού λαμπόμενοι τόν νούν, Προφήται Κύριε, δηλούσι μακράν, τά εσόμενα τρανώς, Γυναίκες δέ σθένει σου, κράτος εχθρού καταλύουσιν, εν ασκήσει καί αθλήσει.

### Νεκρώσιμα

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Τούς μεταστάντας εξ ημών, πιστούς οικέτας σου, χοροίς εκλεκτών, συναριθμών Αγαθέ, ανάπαυσον Κύριε, πάντα τα τούτων εγκλήματα, παρορών δι' ευσπλαγχνίαν.

### Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ο διαπλάσας κατ' αρχάς, τήν Εύαν Κύριε, Παρθένου νηδύν, καθυποδύς τήν εμήν, εργάζη ανάπλασιν, δούλου σχήμα ενδυσάμενος, ο Δεσπότης τών απάντων.

### Κανών τών Κοιμηθέντων

### Ο Ειρμός

Εκύκλωσέ με άβυσσος, ταφή μοι τό κήτος εγένετο, εγώ δέ εβόησα πρός σέ τόν φιλάνθρωπον, καί έσωσέ με η δεξιά σου, Κύριε.

Στίχ. Πρεσβείαις τών Μαρτύρων σου ανάπαυσον, Κύριε, τάς ψυχάς τών δούλων σου.

Στρατεύματα Μαρτύρων σου, τάς άνω Δυνάμεις μιμούμενα, Χριστέ δυσωπούσί σε, παράσχου φιλάνθρωπε, τοίς μεταστάσι τήν παρά σού απόλαυσιν.

Στίχ. Αί ψυχαί αυτών εν αγαθοίς αυλισθήσονται.

Εν τόποις αναψύξεως, εν τόποις Αγίων λαμπρότητος, εν τόποις ανέσεως, ως μόνος φιλάνθρωπος, ούς προσελάβου εγκατάταξον οικέτας σου.

Στίχ. Μακάριοι ούς εξελέξω καί προσλάβω Κύριε.

Ιλάσθητι τοίς δούλοις σου, καί τούτοις πταισμάτων συγχώρησιν, παράσχου δεόμεθα, ζωής καταξίωσον τής ανωλέθρου, καί μακαρίας λήξεως.

### Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Συλλήψεως ασπόρου σου, τίς λόγος ο φράσαι δυνάμενος, τό θαύμα Πανάμωμε; Θεόν γάρ εγέννησας, δι' ευσπλαγχνίαν ημίν επιδημήσαντα.

## Ωδή ζ'
### Ο Ειρμός
Πυρός σβεστήριον, τών παίδων η προσευχή, δροσίζουσα κάμινος, κήρυξ τού θαύματος, μή φλογίζουσα, μηδέ συγκαίουσα, τούς υμνολόγους Θεού, τών Πατέρων ημών.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Υμείς πυρούμενοι, σφοδρών βασάνων φλογί, τό φίλτρον θερμότερον, Μάρτυρες ένδοξοι, εδείκνυτε τό πρός Κύριον, καταδροσίζον υμάς λογισμώ ευσεβεί.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Σοφία Πνεύματος, καλλωπισθέντες σοφοί, λαού προηγήσασθε, ιερουργήσαντες, τής χάριτος τό Ευαγγέλιον, καί ως Χριστού λειτουργούς ευφημούμεν υμάς.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Υμείς νεκρώσαντες, τήν σάρκα πόνοις πολλοίς, ζωής ηξιώθητε, μελλούσης Όσιοι, πρεσβεύοντες αυτής τυχείν ημάς, τούς νεκρουμένους αεί, ταίς τών παθών προσβολαίς.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Μακαριώτατος, χορός Θεού Προφητών, Γυναίων κατάλογος, αγωνισάμενος, δι' ασκήσεώς τε καί αθλήσεως, καί καθελών τόν εχθρόν, ευφημούμεν υμάς.

### Νεκρώσιμον
Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Νεκροίς ομιλήσας, η πάντων Λόγε ζωή, τούς νύν καταλείψαντας, βίου τόν τάραχον, λιμένι σου θείω καθόρμισον, τάς αμαρτίας αυτών παρορών Αγαθέ.

### Θεοτοκίον
Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Οι Θεοτόκον σε, φρονούντες γνώμη ευθεία, πυρός αιωνίζοντος, καί σκότους Δέσποινα, ρυσθεί η μεν τή μεσιτεία σου, καί αοράτων εχθρών πολεμούντων ημάς.

## Κανών τών Κοιμηθέντων
### Ο Ειρμός
Ο εν καμίνω πυρός, τούς υμνολόγους σώσας Παίδας, ευλογητός ο Θεός, ο τών πατέρων ημών.

Στίχ. Πρεσβείαις τών Μαρτύρων σου ανάπαυσον, Κύριε, τάς ψυχάς τών δούλων σου.

Νύν απροσίτου φωτός, εμφορηθήναι δίδου, Σώτερ, τοίς μεταστάσι, λιταίς τών Αθλοφόρων σου.

Στίχ. Αί ψυχαί αυτών εν αγαθοίς αυλισθήσονται.

Εν Εκκλησία, Χριστέ, τών πρωτοτόκων τούς εν πίστει, τελειωθέντας, Οικτίρμον συναρίθμησον.

Στίχ. Μακάριοι ούς εξελέξω καί προσλάβω Κύριε.

Κεκοσμημένους στολαίς, τής αφθαρσίας τούς σούς δούλους, τούς μεταστάντας πρός σέ, Σώτερ ανάπαυσον.

### Θεοτοκίον
Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ρύμην θανάτου Αγνή, ζωήν ασπόρως συλλαβούσα, τήν ουσιώδη Πανάμωμε διέκοψας.

Ωδή η'
Ο Ειρμός

Αγγέλων σύστημα, ανθρώπων σύλλογος, τόν Βασιλέα καί Κτίστην τού παντός, Ιερείς υμνείτε, ευλογείτε Λευϊται, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

περνηξάμενοι, βασάνων πέλαγος, τή κυβερνήσει τού Λόγου Αθληταί, ρείθροις τών αιμάτων, εβυθίσατε πάσας, τάς φάλαγγας τού πλάνου, καί ζήτε εις αιώνας.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Σοφοί γενόμενοι, Ιερουργοί πιστώς, ορθοδοξίας εφ' ύδωρ τήν υμίν, πιστευθείσαν ποίμνην, εξεθρέψατε, όντως, τρυφής τερπνόν χειμάρρουν, τρυφάτε εις αιώνας.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Φωστήρες Όσιοι, πιστών εδείχθητε, ως εκτελέσαντες έργα τού φωτός, καί πρός θείον φέγγος μετετέθητε, σκότους ημάς ελευθερώσαι, Χριστόν εκδυσωπείτε.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ευφραίνου σύλλογος, Γυναικών στάδιον, πλήρες παντοίων ανύσας αικισμών, καί χορός αγάλλου, Προφητών καί Δικαίων, τών ευαρεστησάντων, Χριστώ εις τούς αιώνας.

Νεκρώσιμον

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ρομφαίαν Δέσποτα, τήν στρεφομένην, δίδου τοίς σοίς δούλοις, ακωλύτως διελθείν, μεταστάσι τού βίου, ένδον τού Παραδείσου, αυτούς κατασκηνώσας, ως μόνος ελεήμων.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ως πύλην φέρουσαν, πρός θείαν είσοδον, ως ευδιάβατον κλίμακα Θεού, τών σωζομένων απλανή οδηγίαν, τήν Κεχαριτωμένην υμνήσωμεν Παρθένον.

Κανών τών Κοιμηθέντων
Ο Ειρμός

Τόν εκ Πατρός πρό αιώνων, γεννηθέντα Υιόν καί Θεόν, καί επ' εσχάτων τών χρόνων, σαρκωθέντα εκ Παρθένου Μητρός, ιερείς υμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Στίχ. Πρεσβείαις τών Μαρτύρων σου ανάπαυσον, Κύριε, τάς ψυχάς τών δούλων σου.

Ο τών αγίων Μαρτύρων, τούς αγώνας προσδεξάμενος, καί δι' αυτών αναπαύων, τούς εν πίστει κοιμηθέντας τή σή, σέ Σωτήρ υμνούμεν, καί σέ υπερυψούμεν, εις πάντας τούς αιώνας.

Στίχ. Αί ψυχαί αυτών εν αγαθοίς αυλισθήσονται.

Υπερκοσμίου σου δόξης, λαμπηδόσι καταστράπτεσθαι, τούς εξ ημών μεταστάντας, καταξίωσον ως εύσπλαγχνος, σέ Σωτήρ υμνούντας, καί υπερυψούντας, εις πάντας τούς αιώνας.

Στίχ. Μακάριοι ούς εξελέξω καί προσλάβω Κύριε.

Σύν ταίς αγίων χορείαις, ούς μετέστησας κατάταξον, καί Αβραάμ εν τοίς κόλποις, τώ Λαζάρω συναρίθμησον, σέ Σωτήρ υμνούντας, καί υπερυψούντας, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Κεκοσμημένη τώ κάλλει, τής αγνείας Μητροπάρθενε, καλλοποιόν ευπρεπείας, ενδιαίτημα γεγένησαι, όθεν σε υμνούμεν, καί υπερυψούμεν, εις πάντας τούς αιώνας.

### Ωδή θ'

### Ο Ειρμός

Ότι εποίησέ σοι μεγαλεία ο Δυνατός, Παρθένον αναδείξας σε, Αγνήν μετά τήν κύησιν, ως τεκούσαν ασπόρως, τόν εαυτής Ποιητήν, διό σε, Θεοτόκε, μεγαλύνομεν.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ιερουργοί Ποιμένες, Προφητών αγίων χορός, Δικαίων αναρίθμητον πλήθος, Μαρτύρων σύλλογος, ιεραίς μελωδίαις μακαριζέσθωσαν, πρεσβεύοντες σωθήναι τάς ψυχάς ημών.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ως θαυμαστώς ασκήσας, τών Αγίων δήμος ο σοφός, θαυμάτων επιδείξεσι πολλών, νύν τεθαυμάστωται, ταίς αυτών ικεσίαις, θαυμαστέ Κύριε, θαμάστωσον εις πάντας τά ελέη σου.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Σύν Ιερομάρτυσι, τελεσάντων δρόμον καλώς, Γυναίων αναρίθμητος πληθύς, ή τε αθλήσασα, καί ασκήσασα πόθω, μακαριζέσθω πιστώς, Αγγέλων ταίς χορείαις συνυπάρχουσα.

### Νεκρώσιμον

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Η τών αγίων πάντων, δυσωπεί σε Λόγε πληθύς, ανάπαυσον τά πλήθη τών πιστώς, μετατεθέντων εκ γής, διά πλήθος ελέους, τά πεπραγμένα αυτοίς άπαντα, εν βίω παραβλέπων πολυέλεε.

### Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φρενοβλαβώς Παρθένε, αμαρτίας πράξας πολλάς, τήν κόλασιν εκδέχομαι λοιπόν, αφ' ής με λύτρωσαι, αδιστάκτω καρδία τή θεία σκέπη σου, προστρέχοντα, τής μόνης προστασίας τών πιστών.

### Κανών τών Κοιμηθέντων

### Ο Ειρμός

Σέ τήν υπέρ νούν, καί λόγον μητέρα Θεού, τήν εν χρόνω τόν άχρονον, αφράστως κυήσασαν, οι πιστοί ομοφρόνως μεγαλύνομεν.

Στίχ. Πρεσβείαις τών Μαρτύρων σου ανάπαυσον, Κύριε, τάς ψυχάς τών δούλων σου.

Άθλων ιερών οι Μάρτυρες έπαθλα, ειληφότες δωρήσασθαι, σέ νύν ικετεύουσι, τοίς πιστώς μεταστάσι Σώτερ άνεσιν.

Στίχ. Αί ψυχαί αυτών εν αγαθοίς αυλισθήσονται.

Νέκρωσιν υπέστης μόνε Αθάνατε, ο νεκροίς τήν Ανάστασιν, παρέχων ως εύσπλαγχνος, καί τής αθανασίας τήν λαμπρότητα.

Στίχ. Μακάριοι ούς εξελέξω καί προσλάβω Κύριε.

Ώρθωσας ημάς, πεσόντας εις θάνατον, καί ζωήν τήν αιώνιον, ελπίζειν εδίδαξας, ής τυχείν τούς σούς δούλους Σώτερ δώρησαι.

### Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νόμου αι σκιαί, παρήλθον τώ τόκω σου, η αλήθεια έλαμψεν, η χάρις δεδώρηται, Θεοτόκε, διό σε μεγαλύνομεν.

## Στιχηρά τών Αίνων, Μαρτυρικά

Στίχ. Αινείτε αυτόν επί ταίς δυναστείαις αυτού, αινείτε αυτόν κατά τό πλήθος τής μεγαλωσύνης αυτού.

Στίχ. Αινείτε αυτόν εν ήχω σάλπιγγος, αινείτε αυτόν εν ψαλτηρίω καί κιθάρα.

Στίχ. Αινείτε αυτόν εν τυμπάνω καί χορώ, αινείτε αυτόν εν χορδαίς καί οργάνω.

Στίχ. Αινείτε αυτόν εν κυμβάλοις ευήχοις, αινείτε αυτόν εν κυμβάλοις αλαλαγμού. Πάσα πνοή αινεσάτω τόν Κύριον.

Στίχ. Μακάριοι ούς εξελέξω καί προσελάβου, Κύριε.

Οι άγιοι Μάρτυρες, επί τής γής ήγωνίσαντο, τώ αέρι ενεκαρτέρησαν, τώ πυρί παρεδόθησαν, τό ύδωρ αυτούς υπεδέξατο, εκείνων εστίν η φωνή, δι' ήλθομεν διά πυρός καί ύδατος, καί εξήγαγες ημάς εις αναψυχήν. Ταίς πρεσβείαις αυτών, ο Θεός ελέησον ημάς.

Οι Αθλοφόροι σου Κύριε, τάς τάξεις τών Αγγέλων μιμησάμενοι, ως ασώματοι, ταίς βασάνοις ενεκαρτέρησαν, μονολόγιστον ελπίδα έχοντες, τών επηγγελμένων αγαθών τήν απόλαυσιν. Ταίς πρεσβείαις αυτών, Χριστέ ο Θεός ημών, τήν ειρήνην δώρησαι τώ κόσμω σου, καί ταίς ψυχαίς ημών τό μέγα έλεος.

Εν ταίς βασάνοις όντες οι Άγιοι, αγαλλόμενοι ανεβόων. Συναλλάγματα ημίν εστι ταύτα πρός τόν Δεσπότην, αντί γάρ τών επανισταμένων μωλώπων τώ σώματι, φωτεινόν ένδυμα εν τή αναστάσει επανθήσει ημίν, αντί δεσμωτηρίων, ο Παράδεισος, καί αντί τής μετά τών κακούργων καταδίκης, η μετά Αγγέλων διαγωγή, ευχαίς αυτών Κύριε, σώσον τάς ψυχάς ημών.

## Νεκρώσιμον

Ουκ έστι τών εν βίω τερπνών ουδέν, ό ου παρελεύσεται, ου πλούτος, ου τυραννίς, ου νεότητος άνθος, ο γάρ θάνατος πάντα επίσης λυμαίνεται, διαδέχεται δέ τά μή σαλευόμενα, σπείρεται γάρ εν φθορά, εν αφθαρσία εγείρεται, σπείρεται εν ατιμία, εν δόξη ανίσταται. Διό Χριστέ, ους προσελάβου δούλους σου, μετά δικαιων ανάπαυσον ως φιλάνθρωπος.

## Δόξα... Καί νύν... Θεοτοκίον

Υπό τήν σήν ευσπλαγχνίαν, καταφεύγομεν Θεοτόκε, τάς ημών ικεσίας μή παρίδης εν περιστάσει, άλλ εκ κινδύνων λύτρωσαι ημάς, μόνη Αγνή, μόνη ευλογημένη.

## Απόστιχα Προσόμοια

## Χαίροις ασκητικών αληθώς

Στίχ. α'. Μακάριοι ούς εξελέξω καί προσλάβω Κύριε.

Αίγλη τού σού προσώπου Χριστέ, τούς μεταστάντας, ως οικτίρμων κατάταξον, σκηνώσας εις τόπον χλόης, επί υδάτων τής σής, ακραιφνούς καί θείας απολαύσεως, εν κόλποις ανέσεως, Αβραάμ τού προπάτορος, ένθα τό φώς σου, καθαρώς αναφαίνεται, καί προχέονται, αι πηγαί τής χρηστότητος, ένθα περιχορεύουσι, τρανώς αγαλλόμενοι, πάντων Δικαίων οι δήμοι, περί τήν σήν αγαθότητα, μεθ' ών αριθμήσας, τούς οικέτας σου παράσχου, τό μέγα έλεος.

Στίχ. β'. Αί ψυχαί αυτών εν αγαθοίς αυλισθήσονται.

Ψάλλειν παναρμονίω φωνή, δοξολογείν τε τό σόν κράτος ευδόκησον, Οικτίρμον τούς μεταστάντας, εκ τών προσκαίρων, πρός σέ, τόν Δεσπότην πάντων καί φιλάνθρωπον, διδούς ωραιότητα, τού σού κάλλους ελλάμπεσθαι, καί τής γλυκείας, καί τερπνής μετουσίας σου, απολαύειν τε, καί τρυφάν καθαρώτερον, ένθα περί τόν θρόνον σου, χορεύουσιν Άγγελοι, καί τών Αγίων οι δήμοι, χαρμονικώς περιέπουσι, μεθ' ών τοίς σοίς δούλοις, τήν ανάπαυσιν παράσχου, καί

μέγα έλεος.

Στίχ. γ'. Καί τό μνημόσυνον αυτών, εις τόν αιώνα δοξάσαντα.

Όπου τών Προφητών ο χορός, τών Αποστόλων καί Μαρτύρων τά τάγματα, καί πάντες οι απ' αιώνος, δικαιωθέντες τώ σώ, σωτηρίω πάθει καί τώ αίματι, δι' ού εξηγόρασας, τόν αιχμάλωτον άνθρωπον, εκεί τούς πίστει, κοιμηθέντας ανάπαυσον, ως φιλάνθρωπος, συγχωρών όσα ήμαρτον, μόνος γάρ αναμάρτητος, εν γή πεπολίτευσαι, άγιος μόνος καί μόνος, εν τεθνεώσιν ελεύθερος, διό τοίς σοίς δούλοις, τήν ανάπαυσιν παράσχου, καί μέγα έλεος.

Δόξα... Καί νύν... Θεοτοκίον όμοιον

Νόμω τής αμαρτίας ημάς, δεδουλωμένους ηλευθέρωσας, Δέσποινα, εν μήτρα τόν νομοδότην, καί Βασιλέα Χριστόν, συλλαβούσα μόνη Μητροπάρθενε, δι' ού δικαιούμεθα, δωρεά τε καί χάριτι, όν νύν δυσώπει, τάς ψυχάς τών ειδότων σε, θεομήτορα, βίβλω ζώντων εγγράψασθαι, όπως τή μεσιτεία σου, σωθέντες Πανάμωμε, τής τού Υιού σου ευκταίας, απολυτρώσεως τύχωμεν, αυτόν ανυμνούντες, τόν παρέχοντα τώ κόσμω τό μέγα έλεος.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

### Οι Μακαρισμοί

Μακάριοι οι ειρηνοποιοί, ότι αυτοί υιοί Θεού κληθήσονται.

Ο Ληστής εν τώ Σταυρώ, Θεόν είναί σε πιστεύσας Χριστέ, ωμολόγησέ σε ειλικρινώς εκ καρδίας. Μνήσθητί μου Κύριε βοών, εν τή Βασιλεία σου.

Μακάριοι οι δεδιωγμένοι ένεκεν δικαιοσύνης, ότι αυτών εστιν η βασιλεία τών ουρανών.

Τόν αρχέκακον εχθρόν, θανέντες Μάρτυρες ωλέσατε, καί δι' ήλθετε πρός τά άνω στεφθέντες, θείαις νίκαις τώ παμβασιλεί, Θεώ παριστάμενοι.

Μακάριοί εστε όταν ονειδίσωσιν υμάς, καί διώξωσι, καί είπωσι πάν πονηρόν ρήμα καθυμών ψευδόμενοι ένεκεν εμού.

Ιερωσύνης τώ φωτί, οι Ιεράρχαι λαμπρυνόμενοι, εδοξάσθησαν, καί Οσίων τά πλήθη, αϊδίου έτυχον ζωής, όθεν μακαρίζονται.

Νεκρώσιμον

Χαίρετε καί αγαλλιάσθε, ότι ο μισθός υμών πολύς εν τοίς ουρανοίς.

Σύν τοίς χοροίς τών εκλεκτών, εν τόπω Δέσποτα ανέσεως, ούς μετέστησας, κατασκήνωσον Λόγε, παραβλέψας τούτων τά εν γή, Σώτερ πλημμελήματα.

Δόξα...

Ώ Τριάς, Ιεραρχών, καί τών Μαρτύρων τοίς αγώσι σεπτών, δυσωπήθητι, καί τοίς πίστει θανούσι, σωτηρίαν δώρησαι ψυχής, καί τό μέγα έλεος.

Καί νύν... Θεοτοκίον

Η τόν Αχώρητον παντί, θεοχαρίτωτε, χωρήσασα, καί κυήσασα υπέρ φύσιν καί λόγον, τούτον πάσιν ίλεων ημίν, γενέσθαι ικέτευε.

top

6-1

## ΤΩ ΣΑΒΒΑΤΩ ΕΣΠΕΡΑΣ

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

### Στιχηρά Αναστάσιμα τής Οκτωήχου

Νίκην έχων Χριστέ, τήν κατά τού Άδου, εν τώ Σταυρώ ανήλθες, ίνα τούς εν σκοτει θανάτου καθημένους, συναναστήσης σεαυτώ, ο εν νεκροίς ελεύθερος, ο πηγάζων ζωήν εξ οικείου φωτός, Παντοδύναμε Σωτήρ, ελέησον ημάς. (Δίς)

Σήμερον ο Χριστός, θάνατον πατήσας, καθώς είπεν ανέστη, καί τήν αγαλλίασιν τώ κόσμω εδωρήσατο, ίνα πάντες κραυγάζοντες τόν ύμνον ούτως είπωμεν. Η πηγή τής ζωής, τό απρόσιτον φώς, παντοδύναμε Σωτήρ, ελέησον ημάς.

Σέ Κύριε τόν όντα εν πάση τή κτίσει, αμαρτωλοί πού φύγωμεν; εν τώ ουρανώ; αυτός κατοικείς, εν τώ Άδη; επάτησας θάνατον, εις τά βάθη τα τής θαλάσσης; εκεί η χείρ σου Δέσποτα. Πρός σέ καταφεύγομεν, σοί προσπίπτοντες ικετεύομεν. Ο αναστάς εκ τών νεκρών, ελέησον ημάς.

Δόξα... καί νύν... Θεοτοκίον Δογματικόν
Ήχος πλ. β'

Αξιόν εστιν ως αληθώς, μακαρίζειν σε τήν Θεοτόκον, τήν σήν γάρ άχραντον υποδύς γαστέρα, ο πάντων Δημιουργός, εγένετο σάρξ, ου τραπείς τήν φύσιν, ουδέ φαντάσας τήν οικονομίαν, αλλά τή εκ σού ληφθείση λογικώς εμψυχωμένη σαρκί, καί εν αυτώ τό είναι λαβούση, ενωθείς καθ' υπόστασιν, όθεν ευσεβώς εν δύο φύσεσιν επιδηλουμέναις, τήν διαφοράν ποιούμεθα. Αυτόν ικέτευε, σεμνή Παναγία, καταπέμψαι ημίν ειρήνην, καί μέγα έλεος.

Απόστιχα Προσόμοια τής Θεοτόκου
Όλην αποθέμενοι

Στίχ. Μνησθήσομαι τού ονόματός σου εν πάση γενεά καί γενεά.

Όρκω ως υπέσχετο, τώ σώ προπάτορι πάλαι, Θεός υπερχρόνιος, επ' εσχάτων τών χρόνων τετελείωκε, προελθών Άχραντε, εκ γαστρός σου θείας, καί γάρ όντως εξανέτειλεν, εκ σού ο Κύριος, ο δρακί συνέχων τά πέρατα, όνπερ καμοί ευϊλατον, ποίησον εν ώρα τής κρίσεως, Παρθένε Μαρία, αυτού τής Βασιλείας με τυχείν, δι' αρετών ανυψώσεως, καί παθών νεκρώσεως.

Στιχ. Άκουσον, θύγατερ, καί ίδε, καί κλίνον τό ούς σου, καί επιλάθου τού λαού σου καί τού οίκου τού Πατρός σου.

Νοός καθαρότητι, ο Ησαϊας Παρθένε, πόρρωθεν προέφησε, ποιητήν τής κτίσεως τεξομένην σε, ώ σεμνή Πάναγνε, σύ γάρ ώφθης μόνη, εξ αιώνος παναμώμητος, διό σου δέομαι, τήν μεμολυσμένην καρδίαν μου, καθάρισον καί λάμψεως, θείας κοινωνόν με ανάδειξον, Κόρη τού Υιού σου, καί στάσεως αυτού τής δεξιάς, οταν καθίση ως γέγραπται, κρίναι κόσμον άπαντα.

Στιχ. Τό πρόσωπόν σου λιτανεύσουσιν οι πλούσιοι τού λαού.

Θανάτου κατάλυσις, διά τού τόκου σου ώφθη, σύ γάρ Κόρη πέφηκας, τής ζωής αφθάρτου ενδιαίτημα, διό σου δέομαι, εν πυθμένι τού Άδου, τών παθών μου κατακείμενον, σύ εξανάστησον, καί πρός ευφροσύνην καί ζώωσιν, Παρθένε χειραγώγησον, πρός τήν μακαρίαν αντίδοσιν, καί τής ανωλέθρου, καί θείας καταξίωσον χαράς, ένθα τρυφή η αϊδιος, ένθα φώς ανέσπερον.

Δόξα... καί νύν... Θεοτοκίον Δογματικόν
Ήχος πλ. β'

Δεύτε πάντα τά έθνη, εν φωνή αγαλλιάσεως, τήν Παναγίαν Παρθένον, καί Θεοτόκον ανευφημήσωμεν, τής ανθρωπίνης ουσίας τό χωνευτήριον, τών απορρήτων θαυμάτων τό εργαστήριον, εν αυτή γάρ γέγονε καινά, ο Άναρχος άρχεται, ο Λόγος παχύνεται, ο Θεός άνθρωπος γίνεται, ίνα Θεόν τόν άνθρωπον απεργάσηται, ου τροπή τών φύσεων, αλλ' ενώσει τή καθ' υπόστασιν, προέρχεται γάρ είς εκ δύο τών εναντίων, εν δυσί τελείαις ταίς φύσεσιν, αδιαιρέτως γνωριζόμενος, θεληματικώς τε καί ενεργητικώς, καθ' εκατέραν ουσίαν, ο αυτός τό αληθές πιστούμενος, τής σωτηρίου οικονομίας, Χριστός ο Θεός ημών, ο παρέχων τώ κόσμω ιλασμόν, ειρήνην, καί τό μέγα έλεος.

Απολυτίκιον  Ήχος πλ. β’

Αγγελικαί Δυνάμεις επί τό μνήμά σου, καί οι φυλάσσοντες απενεκρώθησαν, καλί ίστατο οι Μαρία εν τώ τάφω, ζητούσα τό άχραντόν σου σώμα. Εσκύλευσας τόν Άδην, μή πειρασθείς υπ' αυτού, υπήντησας τη Παρθένω, δωρούμενος τήν ζωήν, ο αναστάς εκ των νεκρών, Κύριε δόξα σοι.

Θεοτοκίον

Ο τήν ευλογημένην καλέσας σου Μητέρα ήλθες επί τό πάθος εκουσία βουλή, λάμψας εν τώ Σταυρώ, αναζητήσαι θέλων τόν Αδάμ, λέγων τοίς Αγγέλοις. Συγχάρητέ μοι, ότι ευρέθη η απολομένη δραχμή, ο πάντα σοφώς οικονομήσας, δόξα σοι.

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Στιχηρά Ήχος πλ. β'

Νίκην έχων Χριστέ, τήν κατά τού Άδου, εν τώ Σταυρώ ανήλθες, ίνα τούς εν σκοτει θανάτου καθημένους, συναναστήσης σεαυτώ, ο εν νεκροίς ελεύθερος, ο πηγάζων ζωήν εξ οικείου φωτός, Παντοδύναμε Σωτήρ, ελέησον ημάς.

- εμέ υπομενούσι δίκαιοι, έως ου ανταποδώς μοι.

Σήμερον ο Χριστός, θάνατον πατήσας, καθώς είπεν ανέστη, καί τήν αγαλλίασιν τώ κόσμω εδωρήσατο, ίνα πάντες κραυγάζοντες τόν ύμνον ούτως είπωμεν. Η πηγή τής ζωής, τό απρόσιτον φώς, παντοδύναμε Σωτήρ, ελέησον ημάς.

- εκ βαθέων εκέκραξά σοι, Κύριε, Κύριε εισάκουσον τής φωνής μου.

Σέ Κύριε τόν όντα εν πάση τή κτίσει, αμαρτωλοί πού φύγωμεν; εν τώ ουρανώ; αυτός κατοικείς, εν τώ Άδη; επάτησας θάνατον, εις τά βάθη τα τής θαλάσσης; εκεί η χείρ σου Δέσποτα. Πρός σέ καταφεύγομεν, σοί προσπίπτοντες ικετεύομεν. Ο αναστάς εκ τών νεκρών, ελέησον ημάς.

- γενηθήτω τά ώτά σου προσέχοντα εις τήν φωνήν τής δεήσεώς μου.

Εν τώ Σταυρώ σου Χριστέ καυχώμεθα, καί τήν Ανάστασίν σου, υμνούμεν καί δοξάζομεν, σύ γάρ εί Θεός ημών, εκτός σου άλλον ουκ οίδαμεν.

- εάν ανομίας παρατηρήσης, Κύριε, Κύριε τίς υποστήσεται; ότι παρά σοί ο ιλασμός εστιν.

Διά παντός ευλογούντες τόν Κύριον, υμνούμεν τήν Ανάστασιν αυτού, σταυρόν γάρ υπομείνας, θανάτω θάνατον ώλεσε.

- ένεκεν τού ονόματός σου υπέμεινά σε, Κύριε, υπέμεινεν η ψυχή μου εις τόν λόγον σου, ήλπισεν η ψυχή μου επί τόν Κύριον.

Δόξα τή δυνάμει σου Κύριε, ότι κατήργησας τόν τό κράτος έχοντα τού θάνατου, ανεκαίνισας ημάς διά τού Σταυρού σου, δωρούμενος ημίν ζωήν καί αφθαρσίαν.

- από φυλακής πρωίας μέχρι νυκτός, από φυλακής πρωίας, ελπισάτω Ισραηλ επί τόν Κύριον.

Η ταφή σου Κύριε, τά δεσμά τού Άδου συντρίψασα διέρρηξεν, η εκ νεκρών ανάστασις τόν κόσμον εφώτισε. Κύριε δόξα σοι.

- ότι παρά τώ Κυρίω τό έλεος καί πολλή παρ' αυτώ λύτρωσις' καί αυτός λυτρώσεται τόν Ισραηλ εκ πασών τών ανομιών αυτού.
- αινείτε τόν κύριον πάντα τά έθνη επαινέσατε αυτόν πάντες οι λαοί.
- ότι εκραταιώθη τό έλεος αυτού εφ' ημάς, καί η αλήθεια τού κυρίου μένει εις τόν αιώνα.

Θεοτοκίον

Τίς μή μακαρίσει σε, Παναγία Παρθένε; τίς μή ανυμνήσει σου τόν αλόχευτον τόκον; ο γάρ αχρόνως εκ Πατρός εκλάμψας Υιός μονογενής, ο αυτός εκ σού τής Αγνής προήλθεν, αφράστως σαρκωθείς, φύσει Θεός υπάρχων, καί φύσει γενόμενος άνθρωπος δι' ημάς, ουκ εις δυάδα προσώπων τεμνόμενος, αλλ' εν δυάδι φύσεων, ασυγχύτως γνωριζόμενος. Αυτόν ικέτευε, σεμνή Παμμακάριστε, ελεηθήναι τάς ψυχάς ημών.

Απόστικα Ήχος πλ. β'

Τήν Ανάστασίν σου Χριστέ Σωτήρ, Άγγελοι υμνούσιν εν ουρανοίς, καί ημάς τούς επί γής καταξίωσον, εν καθαρά καρδία σέ δοξάζειν.

- Ο Κύριος εβασίλευσεν, ευπρέπειαν ενεδύσατο, ενεδύσατο Κύριος δύναμιν καί περιεζώσατο.

Πύλας συντρίψας χαλκάς, καί μοχλούς τού Άδου συνθλάσας, ως Θεός παντοδύναμος, γένος ανθρώπων πεπτωκός ανέστησας. Διά τούτο καί ημείς συμφώνως βοώμεν. Ο αναστάς εκ τών νεκρών, Κύριε δόξα σοι.

- καί γάρ εστερέωσεν τήν οικουμένην, ήτις ου σαλευθήσεται.

Ρεύσεως ημάς τής πάλαι Χριστός επανορθώσαι θέλων, σταυρώ προσπήγνυται καί τάφω τέθειται, όν Μυροφόροι Γυναίκες, μετά δακρύων ζητούσαι, θρηνούσαι έλεγον. Οίμοι Σωτήρ τών απάντων , πώς κατεδέξω τάφω οικήσαι; οικήσας δέ θέλων, πώς εκλάπης; πώς μετετέθης; ποίος δέ τόπος τό σόν ζωηφόρον κατέκρυψε σώμα; Αλλά Δέσποτα, ως υπέσχου, ημίν εμφάνηθι, καί παύσον αφ'

ημών, τόν οδυρμόν τών δακρύων, θρηνούσαις δέ αυταίς, Άγγελος πρός αυτάς απεβόησε. Τόν θρήνον παυσάμεναι, τοίς Αποστόλοις είπατε, Ότι ανέστη ο Κύριος, τώ κόσμω δωρούμενος ιλασμόν, καί τό μέγα έλεος.

- τώ οίκω σου πρέπει αγίασμα, Κύριε εις μακρότητα ημερών.
- υ.

Καί ου συνέκλεισάς με εις χείρας - Έ ρωθείς ως ηβουλήθης Χριστέ, καί τόν θάνατον τή ταφή σου σκυλεύσας, τριήμερος ανέστης, ως Θεός μετά δόξης, τώ κόσμω δωρούμενος ατελεύτητον ζωήν, καί τό μέγα έλεος.

Θεοτοκίον

Ο ποιητής καί λυτρωτής μου Πάναγνε, Χριστός ο Κύριος, εκ τής σής νηδύος προελθών, εμέ ενδυσάμενος, τής πρώην κατάρας, τόν Αδάμ ηλευθέρωσε, διό σοι Πάναγνε, ως τού Θεού Μητρί τε καί Παρθένω αληθώς, βοώμεν ασιγήτως, τό Χαίρε τού Αγγέλου. Χαίρε Δέσποινα, προστασία καί σκέπη, καί σωτηρία τών ψυχών ημών.

Απολυτίκιον Ήχος πλ. β’

Αγγελικαί Δυνάμεις επί τό μνήμά σου, καί οι φυλάσσοντες απενεκρώθησαν, καλί ίστατο οι Μαρία εν τώ τάφω, ζητούσα τό άχραντόν σου σώμα. Εσκύλευσας τόν Άδην, μή πειρασθείς υπ' αυτού, υπήντησας τη Παρθένω, δωρούμενος τήν ζωήν, ο αναστάς εκ των νεκρών, Κύριε δόξα σοι.

Θεοτοκίον

Ο τήν ευλογημένην καλέσας σου Μητέρα ήλθες επί τό πάθος εκουσία βουλή, λάμψας εν τώ Σταυρώ, αναζητήσαι θέλων τόν Αδάμ, λέγων τοίς Αγγέλοις. Συγχάρητέ μοι, ότι ευρέθη η απολομένη δραχμή, ο πάντα σοφώς οικονομήσας, δόξα σοι.

## ΕΙΣ ΤΟ ΜΕΣΟΝΥΚΤΙΚΟΝ

Κανών Τριαδικός, ού η Ακροστιχίς.
Τόν έκτον ύμνον προσφέρω σοι, θειότης.

Ωδή α' Ήχος πλ. β' Ο Ειρμός
Ως εν ηπείρω πεζεύσας ο Ισραήλ

Τρείς υποστάσεις υμνούμεν θεαρχικάς, ενιαίας φύσεως, απαράλλακτον μορφήν, αγαθόν φιλάνθρωπον Θεόν, τών πταισμάτων ιλασμόν ημίν δωρούμενον.

Ουπερούσιος μόνος καί τριλαμπής, χαρακτήρσι Κύριος, εν θεότητι μιά, πεφυκώς συνέτισον ημάς, καί αξίωσον τής σής θείας ελλάμψεως.

Νυμφοστολήσας ο Παύλος τήν εξ εθνών, Εκκλησίαν ένα σε, τρισυπόστατον Θεόν, προσκυνείν εδίδαξεν, εξ ού καί δι' ού περ, καί εν ώ τά πάντα γέγονεν.

Θεοτοκίον

Εκ τής γαστρός σου προήλθεν ο νοητός, Θεοτόκε Ηλιος, καί κατηύγασεν ημάς, τριφαούς θεότητος αυγαίς, όν υμνούντες ευσεβώς σε μακαρίζομεν.

Ωδή γ' Ουκ έστιν άγιος

Κοσμήσας τρίφωτε Θεέ, Τάξεις τάς ουρανίους, κατεσκεύασας μέλπειν, τρισαγίαις σε φωναίg, δέξαι μεθ' ών καί ημάς, ανυμνούντάς σου τήν αγαθότητα.

Τήν μόνην άτρεπτον τριττήν, σύμμορφον ενιαίαν, θεαρχίαν υμνούντες, λιτάζομέν σε θερμώς, αμαρτημάτων πολλών, καταπέμψαι νύν ημίν συγχώρησιν.

Ο Νούς ο άναρχος Πατήρ, σύμμορφε Θεού Λόγε, καί τό Πνεύμα τό θείον, τό αγαθόν καί ευθές, τούς ανυμνούντας πιστώς, τό σόν κράτος φρούρησον ως εύσπλαγχνος.

Θεοτοκίον

Νομήν ανέστειλε φθοράς, άνθρωπος κατ' ουσίαν, γεγονώς ο Θεός μου, εν τή μήτρα σου Αγνή, καί τούς γενάρχας τής πρίν, καταδίκης μόνος ηλευθέρωσε.

Κάθισμα Τήν υπέρ ημών

Δέσποτα Θεέ, επίβλεψον ουρανόθεν, ίδε τήν ημών ταπείνωσιν ως οικτίρμων, καί σπλαγχνίσθητι φιλάνθρωπε πανάγαθε, ουδαμόθεν γάρ ελπίζομεν, συγχωρήσεως τεύξασθαι, τών κακών ών ημάρτομεν, διό γενού μεθ' ημών, καί ουδείς καθ' ημών.

Δόξα... καί νύν... Θεοτοκίον όμοιον

Δέσποινα αγνή, επίβλεψον ουρανόθεν, ίδε τών ημών τραυμάτων τάς αλγηδόνας, καί σπλαγχνίσθητι πανάχραντε, καί ίασαι τού συνειδότος τόν καύσωνα, τώ σώ ελέει δροσίζουσα, καί βοώσα τοίς δούλοις σου. Εγώ ειμι μεθ' υμών, καί ουδείς καθ' υμών.

### Ωδή δ' Χριστός μου δύναμις

Υψού διάνοιαν, Μονάς η τρίφωτος, καί ψυχήν καί καρδίαν σών υμνητών, θάττον αναβίβασον, καί τής ελλάμψεως τής σής, καί λαμπρότητος αξίωσον.

Μετασχημάτισον, καί μεταμόρφωσον, εκ κακίας με πάσης πρός αρετήν, μόνη ασχημάτιστε, καί αναλλοίωτε Τριάς, ταίς σαίς αίγλαις καταλάμπρυνον.

Νοήσας πρότερον, σοφώς υπέστησας, τών Αγγέλων τάς τάξεις λειτουργικάς, σού τής αγαθότητος, η τρισυπόστατος Μονάς, μεθ' ών δέξαι μου τήν αίνεσιν.

Θεοτοκίον

Οφύσει άκτιστος, Θεός αϊδιος, τήν κτιστήν τών ανθρώπων προσειληφως, φύσιν ανεμόρφωσεν, εν τή αγία σου γαστρί, Θεοτόκε αειπάρθενε.

### Ωδή ε' Τώ θείω φέγγει σου

Νοούντες φύσιν θεαρχικήν, προνοητικήν καί σωστικήν, πάντων υπάρχουσαν Δέσποτα, τρίφωτόν τε μίαν πρός σέ ορθρίζομεν, συγχώρησιν αιτούντες τών παραπτώσεων.

Πατήρ ο άναρχος καί Θεός, καί ο συναϊδιος Υιός, Πνεύμα τό άγιον στήριξον, μοναρχικωτάτη Τριάς, τούς σούς υμνητάς, καί πάσης επηρείας ρύσαι καί θλίψεως.

Ρυθμίζων λάμψεσι θεουργοίς, καί πρός ευαρέστησιν τής σής, τρισυποστάτου θεότητος, Ήλιε τής δόξης καθοδηγών με αεί, τής άνω Βασιλείας μέτοχον ποίησον.

Θεοτοκίον

Ο πάντα φέρων καί συντηρών, τή παντοδυνάμω σου χειρί, Λόγε Θεού αναλλοίωτε, φρούρει, καί συντήρει, τούς σέ δοξάζοντας, πρεσβείαις τής τεκούσης σε Θεομήτορος.

### Ωδή ς' Τού βίου τήν θάλασσαν

Σοφίαν καί σύνεσιν, θεαρχία τριφαής, τοίς υμνηταίς σου δώρησαι, καί τού κάλλους ακτίσι τού φωτουργού, τής σής αγαθότητος, καταλάμπεσθαι πάντας καταξίωσον.

Φώς τό αδιαίρετον, κατ' ουσίαν τριλαμπές, παντοκρατές απρόσιτον, τάς καρδίας καταύγασον τών πιστώς, αινούντων τό κράτος σου, καί πρός θείαν αγάπην αναπτέρωσον.

Θεοτοκίον

Εν σοί κατεσκήνωσεν, Αειπάρθενε σαφώς, ο συνοχεύς καί Κύριος, τών απάντων, καί μίαν τρισσολαμπή, μορφήν τής θεότητος, προσκυνείν τούς ανθρώπους εισηγήσατο.

### Κάθισμα Τήν υπέρ ημών

Πάτερ καί Υιέ, σύν Πνεύματι τώ αγίω, βλέψον εις ημάς, τούς πίστει σε προσκυνούντας, καί δοξάζοντας τό κράτος σου Εύσπλαγχνε, σύν τοίς πυρίνοις οι πήλινοι, άλλον γάρ πλήν σου ουκ οίδαμεν, καί βόησον τοίς υμνούσί σε. Εγώ ειμι μεθ' υμών, καί ουδείς καθ' υμών.

Δόξα... καί νύν... Θεοτοκίον όμοιον

Βλέψον εις ημάς, πανύμνητε Θεοτόκε, λάμψον φωτισμόν, καρδίαις εσκοτισμέναις, καί καταύγασον τήν ποίμνην σου Πανάχραντε, όσα γάρ θέλεις καί δύνασαι, ως Μήτηρ ούσα τού κτίστου σου, καί βόησον τοίς αιτούσί σε. Εγώ ειμι μεθ' υμών, καί ουδείς καθ' υμών.

### Ωδή ζ' Δροσοβόλον μέν τήν κάμινον

Ρωμαλέαν μοι διάνοιαν πρυτάνευσον, τρίφωτε χαρακτήρσι Μονάς, τού φυλάττειν σου, καί τηρείν τάς θείας εντολάς, καί πάντοτε ψάλλειν σοι πιστώς. Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Ως ταυτότητι τής φύσεως υμνούμενος, αφράστως ενιαίος Θεός, τοίς προσώποις δέ, τής τριάδος φέρων αριθμόν, συντήρησον άπαντας ημάς, από ποικίλων πειρασμών, καί περιστάσεων.

Συμφυή καί συναΐδιον δοξάζομεν, ένα σε κατ' ουσίαν Θεόν, ιδιότησιν ασυγχύτως υποστατικαίς, Τριάς τό διάφορον απλώς, προβαλλομένη εν μορφή, απαραλλάκτω σαφώς.

Θεοτοκίον

Ο Θεός ο υπερούσιος προσείληφεν, Άχραντε, εκ γαστρός σου αγνής, τό ημέτερον φιλανθρώπως, φύραμα σαφώς, καί πάντας εδίδαξε βοάν. Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

## Ωδή η'  Εκ φλογός τοίς οσίοις

Ιλασμόν τών πταισμάτων θάττον παράσχου μοι, καί παθών πολυτρόπων τήν απολύτρωσιν, σύμμορφε Τριάς, καί Μονάς τρισυπόστατε, ίνα σε δοξάζω, εις πάντας τούς αιώνας.

Θελητής τού ελέους καταγγελλόμενος, ως Θεός ελεήμων πάντας ελέησον, τρίφωτε Μονάς, καί Τριάς ομοούσιε, τούς δοξολογούντας, τήν σήν μεγαλωσύνην.

Εκ φωτός αϊδίου, φώς συναΐδιον, τού Πατρός γεννηθέντα Λόγον σύν Πνεύματι, τώ εκπορευτώ φωτί πίστει δοξάζομεν, καί υπερυψούμεν, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Ιατρόν τοίς ανθρώποις Άχραντε τέτοκας, παντοδύναμον Λόγον Χριστόν τόν Κύριον, τής προγονικής πληγής, πάντας ιώμενον, τούς υπερυψούντας, αυτόν εις τούς αιώνας.

## Ωδή θ'  Θεός ανθρώποις ιδείν

Οράν αι τάξεις Χερουβείμ Δέσποτα, κάλλους τού σού την δόξαν ου δυνάμεναι πτέρυξι, κατακαλυπτόμεναι, απαύστως τριττόν, ύμνον αναβοώσι, τό τρισυπόστατον, τής σής θεαρχίας ενικής κράτος δοξάζουσι.

Τάς σάς ελλάμψεις άδυτε Ήλιε, σών οικετών παράσχου ταίς καρδίαις, καί φώτισον τάς ψυχάς, καί λύτρωσαι πταισμάτων πολλών, μόνε παντελεήμον, καί τρισυπόστατε, καί τής ακηράτου σου ζωής, ημάς αξίωσον.

Η φώς ομότιμον καί τρισήλιον, καί φωτουργόν θεότης πεφυκυία καταύγασον, τούς πιστώς σε μέλποντας, καί τής ζοφεράς, ρύσαι κακοπραγίας, καταξίωσον, τών φωτεινοτάτων σου σκηνών, ως υπεράγαθος.

Θεοτοκίον

Σοφώς τόν άνθρωπον πρίν διέπλασεν, ο σός Υιός Παρθένε, καί φθαρέντα ανέπλασε, διά σού Πανυμνητε, καί θείου φωτός, αίγλης τής ανεσπέρου, πάντας επλήρωσε, τούς σέ Θεοτόκον αληθή, αεί δοξάζοντας.

## Η Υπακοή  Ήχος πλ. β'

Τώ εκουσίω καί ζωοποιώ σου θανάτω Χριστέ, πύλας τού Άδου συντρίψας ως Θεός, ήνοιξας ημίν τόν πάλαι Παράδεισον, καί αναστάς εκ τών νεκρών, ερρύσω εκ φθοράς τήν ζωήν ημών.

# ΕΝ ΤΩ ΟΡΘΡΩ

## Απολυτίκιον  Ήχος πλ. β’

Αγγελικαί Δυνάμεις επί τό μνήμά σου, καί οι φυλάσσοντες απενεκρώθησαν, καλί ίστατο οι Μαρία εν τώ τάφω, ζητούσα τό άχραντόν σου σώμα. Εσκύλευσας τόν Άδην, μή πειρασθείς υπ' αυτού, υπήντησας τη Παρθένω, δωρούμενος τήν ζωήν, ο αναστάς εκ των νεκρών, Κύριε δόξα σοι.

Θεοτοκίον

Ο τήν ευλογημένην καλέσας σου Μητέρα ήλθες επί τό πάθος εκουσία βουλή, λάμψας εν τώ Σταυρώ, αναζητήσαι θέλων τόν Αδάμ, λέγων τοίς Αγγέλοις. Συγχάρητέ μοι, ότι ευρέθη η απολομένη δραχμή, ο πάντα σοφώς οικονομήσας, δόξα σοι.

## Καθίσματα  Ήχος πλ. β'

Τού τάφου ανεωγμένου, τού Άδου οδυρομένου, η Μαρία εβόα πρός τούς κεκρυμμένους Αποστόλους. Εξέλθετε οι τού αμπελώνος εργάται, κηρύξατε τόν τής Αναστάσεως λόγον. Ανέστη ο Κύριος, παρέχων τώ κόσμω τό μέγα έλεος.

Δόξα...

Κύριε, παρίστατο τώ τάφω σου Μαρία η Μαγδαληνή, καί έκλαιε βοώσα, καί κηπουρόν σε νομίζουσα έλεγε. Πού έκρυψας τήν αιώνιον Ζωήν; πού έθηκας τόν επί θρόνου Χερουβίμ; οι γάρ τούτον φυλάσσοντες, από τού φόβου απενεκρώθησαν, ή τόν Κύριόν μου δότε μοι, ή σύν εμοί κραυγάσατε, ο εν νεκροίς καί τούς νεκρούς αναστήσας δόξα σοι.

Καί νύν... Θεοτοκίον

Προϊστορεί ο Γεδεών τήν σύλληψιν, καί ερμηνεύει ο Δαυϊδ τόν τόκον σου Θεοτόκε, κατέβη γάρ ως υετός επί πόκον, ο Λόγος εν τή γαστρί σου, καί εβλάστησας άνευ σποράς Γή αγία, τού κόσμου τήν σωτηρίαν, Χριστόν τόν Θεόν ημών η Κεχαριτωμένη.

Η Ζωή, εν τώ τάφω ανέκειτο, καί σφραγίς εν τώ λίθω επέκειτο, ως Βασιλέα υπνούντα, στρατιώται εφύλαττον Χριστόν, καί τούς εχθρούς αυτού αορασία πατάξας, ανέστη ο Κύριος.

Δόξα…

Προϊστορεί ο Ιωνάς τόν τάφον σου, καί ερμηνεύει Συμεών τήν Έγερσιν τήν ένθεον, αθάνατε Κύριε, κατέβης γάρ ωσεί νεκρός εν τώ τάφω, ο λύσας Άδου τάς πύλας, ανέστης δέ άνευ φθοράς ως Δεσπότης, τού κόσμου είς σωτηρίαν, Χριστέ ο Θεός ημών, φωτίσας τούς εν σκότει.

Καί νύν... Θεοτοκίον

Θεοτόκε Παρθένε, ικέτευε τόν Υιόν σου, τόν εκουσίως προσπαγέντα εν σταυρώ, καί αναστάντα εκ νεκρών, Χριστόν τόν Θεόν ημών, σωθήναι τάς ψυχάς ημών.

Η Υπακοή  Ήχος πλ. β'

Τώ εκουσίω καί ζωοποιώ σου θανάτω Χριστέ, πύλας τού Άδου συντρίψας ως Θεός, ήνοιξας ημίν τόν πάλαι Παράδεισον, καί αναστάς εκ τών νεκρών, ερρύσω εκ φθοράς τήν ζωήν ημών.

Οι Αναβαθμοί, Αντίφωνον Α'

- Εν τώ ουρανώ τούς οφθαλμούς μου αίρω, πρός σέ Λόγε, οικτιρόν με, ίνα ζώ σοι.
- Ελέησον ημάς τούς εξουθενουμένους, καταρτίζων εύχρηστα, σκεύη σου Λόγε.

Δόξα... Καί νύν...

Αγίω Πνεύματι, πανσωστική αιτία, εί τινι τούτων κατ' αξίαν πνεύσει, τάχει εξαίρει τών τής γής, πτεροί, αύξει, τάττει άνω.

Αντίφωνον Β'

- Ει μή ότι Κύριος ήν εν ημίν, ουδείς ημών αντισχείν ηδύνατο, εχθρού πάλαισμα, οι νικώντες γάρ ένθεν υψούνται.
- Τοίς οδούσιν αυτών, μή μου ληφθήτω η ψυχή, ως στρουθίον Λόγε, οίμοι! πώς μέλλω τών εχθρών ρυσθήναι, φιλαμαρτήμων υπάρχων.

Δόξα... Καί νύν...

Αγίω Πνεύματι, ενθέωσις τοίς πάσιν, ευδοκία, σύνεσις, ειρήνη καί η ευλογία, ισουργόν γάρ τώ Πατρί εστι καί Λόγω.

Αντίφωνον Γ'

- Οι πεποιθότες επί Κύριον εχθροίς φοβεροί, καί πάσι θαυμαστικοί, άνω γάρ ορώσιν.
- Εν ανομίαις χείρας αυτών, ο τών δικαίων κλήρος, επίκουρόν σε έχων, Σώτερ ουκ εκτείνει.

Δόξα... Καί νύν...

Αγίω Πνεύματι, τό κράτος επί πάντων όπερ αι άνω Στρατηγίαι προσκυνούσι, σύν πάση πνοή τών κάτω.

Προκείμενον

Κύριε, εξέγειρον τήν δυναστείαν σου, καί ελθέ εις τό σώσαι ημάς.
Στίχ. Ο ποιμαίνων τόν Ισραήλ πρόσχες.

## Κανών Αναστάσιμος

Ωδή α'  Ήχος πλ. β'  Ο Ειρμός

Ως εν ηπείρω πεζεύσας ο Ισραήλ, εν αβύσσω ίχνεσι, τόν διώκτην Φαραώ, καθορών ποντούμενον, Θεώ, επινίκιον ωδήν, εβόα άσωμεν.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Εκτεταμέναις παλάμαις επί Σταυρού, πατρικής επλήρωσας, ευδοκίας αγαθέ, Ιησού τά σύμπαντα, διό, επινίκιον ωδήν, σοι πάντες άσωμεν.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Φόβω σοι ως θεραπαινίς η τελευτή, προσταχθείσα πρόσεισι, τώ Δεσπότη τής ζωής, δι' αυτής βραβεύοντι ημίν, ατελεύτητον ζωήν, καί τήν Ανάστασιν.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τόν εαυτής δεξαμένη Δημιουργόν, ως αυτός ηθέλησεν, εξ ασπόρου σου γαστρός, υπέρ νούν σαρκούμενον Αγνή, τών κτισμάτων αληθώς, εδείχθης Δέσποινα.

Κανών Σταυροαναστάσιμος

Ο Ειρμός

Κύματι θαλάσσης, τόν κρύψαντα πάλαι, διώκτην τύραννον, υπόγήν έκρυψαν, τών σεσωσμένων οι Παίδες, αλλ' ημείς ως αινεάνιδες, τώ Κυρίω άσωμεν. Ενδόξως γάρ δεδόξασται.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Βήματι Πιλάτου, παρίσταται θέλων ανόμω κρίματι, ώσπερ κριτός ο κριτής, καί εκ χειρός αδικίας, εις τό πρόσωπον ραπίζεται, ο Θεός όν φρίττουσιν, η γή καί τά ουράνια.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ήπλωσας τάς θείας, παλάμας σου Σώτερ, εν τώ αχράντω σου, καί ζωηφόρω Σταυρώ, καί συνηγάγου τά έθνη, εις επί γνωσίν σου Δέσποτα, προσκυνούντα Κύριε, τήν ένδοξον σου Σταύρωσιν.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ίστατο δακρύων, πηγάς αφιείσα η Υπεράμωμος, εν τώ Σταυρώ σου Σωτήρ, τάς εκ πλευράς σου ρανίδας, τών αιμάτων καθορώσα Χριστέ, καί τήν σήν ανείκαστον, συμπάθειαν δοξάζουσα.

Κανών τής Υπεραγίας Θεοτόκου, ού η Ακροστιχίς.

Μήτερ Θεού, τήν άφθονόν μοι δός χάριν.

Ο Ειρμός

Ως εν ηπείρω πεζεύσας ο Ισραήλ, εν αβύσσω, ίχνεσι, τόν διώκτην Φαραώ, καθορών ποντούμενον, Θεώ επινίκιον ωδήν, εβόα άσωμεν.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Μεταλαβούσα η Εύα τής τού φυτού, παρηκόου βρώσεως, επεισάγει τήν αράν, αλλ' αυτήν διέλυσας Αγνή, ευλογίας απαρχήν Χριστόν κυήσασα.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ημαργαρίτην τής θείας εξαστραπής, τόν Χριστόν κυήσασα, τών παθών μου τήν αχλύν, καί πταισμάτων τάραχον, Αγνή, διασκέδασον φωτί τής σής λαμπρότητος.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τήν τών εθνών προσδοκίαν ο Ιακώβ, τόν εκ σού σαρκούμενον, προεώρα μυστικώς, νοεροίς τοίς

όμμασι Θεόν, τόν ρυσάμενον ημάς τή μεσιτεία σου.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Εκλελοιπότων αρχόντων εκ τής φυλής, τού Ιούδα Πάναγνε, ο Υιός σου καί Θεός, προελθών ηγούμενος τής γής, τών περάτων αληθώς νύν εβασίλευσεν.

Ωδή γ' Ο Ειρμός

Ουκ έστιν άγιος ως σύ, Κύριε, ο Θεός μου, ο υψώσας τό κέρας, τών πιστών σου Αγαθέ, καί στερεώσας ημάς, εν τή πέτρα τής ομολογίας σου.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Θεόν σταυρούμενον σαρκί, καθορώσα η κτίσις, διελύετο φόβω, αλλά τή συνεκτική, παλάμη τού δι' ημάς, σταυρωθέντος, κραταιώς συνείχετο.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Θανάτω θάνατος λυθείς, κείται δείλαιος άπνους, τής ζωής γάρ μή φέρων, τήν ένθεον προσβολήν, νεκρούται ο ισχυρός, καί δωρείται, πάσιν η Ανάστασις.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τού θείου τόκου σου Αγνή, πάσαν φύσεως τάξιν, υπερβαίνει τό θαύμα, Θεόν γάρ υπερφυώς, συνέλαβες εν γαστρί, καί τεκούσα, μένεις αειπάρθενος.

Κανών Σταυροαναστάσιμος

Ο Ειρμός

Σέ τόν επί υδάτων, κρεμάσαντα πάσαν τήν γήν ασχέτως, η κτίσις κατιδούσα, εν τώ Κρανίω κρεμάμενον, θάμβει πολλώ συνείχετο. Ουκ έστιν άγιος, πλήν σου Κύριε, κραυγάζουσα.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Τάφω τριημερεύσας, ανέστησας ζωοποιώ εγέρσει, τούς πρίν θανατωθέντας, οί καταδίκης λυόμενοι, χαρμονικώς ηγάλλοντο, Ιδού η λύτρωσις, ήλθες, Κύριε, κραυγάζοντες.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Δόξα τή σή εγέρσει, Σωτήρ ημών, ότι ημάς εξ Άδου, φθοράς καί τού θανάτου, ερρύσω ως παντοδύναμος, καί μελωδούντες λέγομεν, ουκ έστιν άγιος, πλήν σου Κύριε φιλάνθρωπε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σύ τόν εκ σού τεχθέντα, ως έβλεψας τιτρωσκόμενον λόγχη, ετρώθης τήν καρδίαν Υπεραγία πανάμωμε, καί θαμβουμένη έλεγες. Τί σοι απέδωκε, τέκνον, δήμος ο παράνομος;

Κανών τής Θεοτόκου

Ο Ειρμός

Ουκ έστιν άγιος ως σύ, Κύριε ο Θεός μου, ο υψώσας τό κέρας, τών πιστών σου αγαθέ, καί στερεώσας αυτούς, εν τή πέτρα τής ομολογίας σου.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ρευστήν μου σάρκα καί θνητήν, πάναγνε Θεομήτορ, εκ γαστρός σου αφράστως, προσλαβών ο αγαθός, καί αφθαρτίσας αυτήν, αιωνίως εαυτώ συνέδησε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Θεόν σαρκούμενον εκ σού, καθορώντες Παρθένε, εξεπλήττοντο φόβω, τών Αγγέλων οι χοροί, καί ως Μητέρα Θεού, ασιγήτοις ύμνοις σε γεραίρουσιν.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Εξέστη όρος νοητόν, βλέπων σε ο Προφήτης, Δανιήλ εξ ού λίθος, ετμήθη άνευ χειρών, καί τών δαιμόνων βωμούς, Θεομήτορ κραταιώς συνέτριψεν.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ου σθένει λόγος σε βροτών, ούτε γλώσσα Παρθένε, ευφημήσαι αξίως, εκ σού γάρ άνευ σποράς, ο ζωοδότης Χριστός, σαρκωθήναι Πάναγνε ηυδόκησε.

Ωδή δ'  Ο Ειρμός

Χριστός μου δύναμις, Θεός καί Κύριος, η σεπτή Εκκλησία θεοπρεπώς, μέλπει ανακράζουσα, εκ διανοίας καθαράς, εν Κυρίω εορτάζουσα.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Τό ξύλον ήνθησε, Χριστέ τής όντως ζωής, ο Σταυρός γάρ επάγη καί αρδευθείς, αίματι καί ύδατι, εξ ακηράτου σου πλευράς, τήν ζωήν ημίν εβλάστησεν.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Ουκ έτι όφις μοι ψευδώς, τήν θέωσιν υποβάλλει. Χριστός γάρ ο θεουργός, τής ανθρώπων φύσεως, νύν ακωλύτως τήν τρίβον, τής ζωής μοι ανεπέτασεν.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ως όντως άφθεγκτα, καί ακατάληπτα, τά τής σής Θεοτόκε θεοπρεπούς, πέφυκε κυήσεως, τοίς επί γής καί ουρανού, Αειπάρθενε μυστήρια.

Κανών Σταυροαναστάσιμος

Ο Ειρμός

Τήν εν Σταυρώ σου θείαν κένωσιν, προορών Αββακούμ, εξεστηκώς εβόα. Σύ δυναστών διέκοψας, κράτος Αγαθέ, ομιλών τοίς εν Άδη, ως Παντοδύναμος.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Τόν τίμιον Σταυρόν σου σέβομεν, καί τούς ήλους Χριστέ, καί τήν αγίαν λόγχην, σύν τώ καλάμω, στέφανοντόνεξ ακανθών, διώνεκτής τού Άδου φθοράς ερρύσθημεν.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Τάφος Σωτήρ σε υπεδέξατο, εκουσίως νεκρόν, υπέρ ημών οφθέντα, αλλ' ουδαμώς δεδύνηται Λόγε κατασχείν, ως Θεός γάρ ανέστης, σώζων τό γένος ημών.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Θεοκυήτορ αειπάρθενε, η Σωτήρα Χριστόν, βροτοίς αποτεκούσα, κινδύνων, καί κολάσεων, λύτρωσαι ημάς, τούς προσφεύγοντας πίστει, τή θεία σκέπη σου.

Κανών τής Θεοτόκου

Ο Ειρμός

Χριστός μου δύναμις, Θεός καί Κύριος, η σεπτή Εκκλησία θεοπρεπώς, μέλπει ανακράζουσα, εκ διανοίας καθαράς, εν Κυρίω εορτάζουσα.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Υμνούμεν Άχραντε, σέ τήν πανάμωμον, διά σού οι σωθέντες καί ευσεβώς, μέλποντες κραυγάζομεν. Ευλογημένη η Θεόν, Αειπάρθενε κυήσασα.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τό φώς τό άδυτον, Παρθένε τέτοκας, τοίς εν σκότει τού βίου διά σαρκός, φαίνον Παμμακάριστε, καί τοίς υμνούσί σε χαράν, Αειπάρθενε επήγασας.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Η χάρις ήνθησεν, ο νόμος πέπαυται, διά σού Παναγία, σύ γάρ Αγνή, τέτοκας τόν Κύριον, τόν παρεχόμενον ημίν, Αειπάρθενε τήν άφεσιν.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νεκρόν με έδειξε, φυτού απόγευσις, τής ζωής δέ τό ξύλον εκ σού φανέν, Πάναγνε ανέστησε, καί Παραδείσου τής τρυφής, κληρονόμον με κατέστησε.

### Ωδή ε' Ο Ειρμός

Τώ θείω φέγγει σου Αγαθέ, τάς τών ορθριζόντων σοι ψυχάς, πόθω ειδέναι καταύγασον δέομαι, σε Λόγε Θεού, τόν όντως Θεόν, εκ ζόφου τών πταισμάτων ανακαλούμενον.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Υποχωρεί μοι τά Χερουβείμ, νύν καί η φλογίνη ρομφαία, Δέσποτα νώτά μοι δίδωσι, σέ ιδόντα Λόγε Θεού, τόν όντως Θεόν, Ληστή οδοποιήσαντα τόν Παράδεισον.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Ουκ έτι δέδοικα τήν εις γήν, Δέσποτα Χριστέ επιστροφήν, σύ γάρ εκ γής με ανήγαγες, επιλελησμένον διευσπλαγχνίαν πολλήν, πρός ύψος αφθαρσίας τή Αναστάσει σου.

### Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τούς Θεοτόκον σε εκ ψυχής, Δέσποινα τού κόσμου αγαθή, ομολογούντας διάσωσον, σέ γάρ προστασίαν ακαταμάχητον, κεκτήμεθα τήν όντως Θεογεννήτριαν.

### Κανών Σταυροαναστάσιμος

### Ο Ειρμός

Θεοφανείας σου Χριστέ, τής πρός ημάς συμπαθώς γενομένης, Ησαίας φώς ιδών ανέσπερον, εκ νυκτός ορθρίσας εκραύγαζεν. Αναστήσονται οι νεκροί, καί εγερθήσονται οι εν τοίς μνημείοις, καί πάντες οι γηγενείς αγαλλιάσονται.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Βρώσει τού ξύλου εν Εδέμ, απατηθείς εις φθοράν κατώλισθεν, ο γενάρχης παρακούσας Κύριε, εντολής τής σής Υπεράγαθε, αλλά τούτον διά Σταυρού, πάλιν ανήγαγες εις τό πρώτον κάλλος, υπήκοος τώ Πατρί Σώτερ γενόμενος.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Τώ σώ θανάτω αγαθέ, τό τού θανάτου ηφάνισται κράτος, καί πηγή ζωής ημίν ανέβλυσε, καί αθανασία δεδώρηται, διά τούτό σου τήν Ταφήν, καί τήν Ανάστασιν πίστει προσκυνούμεν, δι' ής ως Θεός, κόσμον πάντα κατεφώτισας.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ο κατοικών εν ουρανοίς, καί ποιητής τών απάντων Κύριος, εν τή σή Πανάμωμε, κατώκησεν, απορρήτως μήτρα δοξάσας σε, υπερτέραν τών ουρανών, αγιωτέραν τε ταγμάτων αϋλων, διό νύν οι επί γής σε μακαρίζομεν.

Κανών τής Θεοτόκου

Ο Ειρμός

Τώ θείω φέγγει σου Αγαθέ, τάς τών ορθριζόντων σοι ψυχάς, πόθω ειδέναι καταύγασον δέομαι, σε Λόγε Θεού, τόν όντως Θεόν, εκ ζόφου τών πταισμάτων ανακαλούμενον.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Αγνεία λάμψασα τηλαυγώς, θείον ενδιαίτημα τού Δεσπότου Πανύμνητε γέγονας, σύ γάρ μόνη μήτηρ όντως εδείχθης Θεού, αγκάλαις ώσπερ βρέφος, τούτον βαστάσασα.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φορούσα κάλλος τό νοητόν, τής ωραιοτάτης σου ψυχής, Νύμφη Θεού εχρημάτισας, κατεσφραγισμένη τή παρθενία σεμνή, καί φέγγει τής αγνείας, κόσμον φαιδρύνουσα.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Θρηνείτω σύστημα δυσσεβών, τών μή κηρυττόντων σε, διαρρήδην αγνήν Θεομήτορα, σύ γάρ πύλη θείου φωτός εδείχθης ημίν, τόν ζόφον τών πταισμάτων διασκεδάζουσα.

Ωδή ς'  Ο Ειρμός

Τού βίου τήν θάλασσαν, υψουμένην καθορών, τών πειρασμών τώ κλύδωνι, τώ ευδίω λιμένι σου προσδραμών, βοώ σοι, ανάγαγε, εκ φθοράς τήν ζωήν μου, Πολυέλεε.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Σταυρούμενος Δέσποτα, τοίς μέν ήλοις τήν αράν, τήν καθ' ημών εξήλειψας, τή δέ λόγχη νυττόμενος τήν πλευράν, Αδάμ τό χειρόγραφον, διαρρήξας, τόν κόσμον ηλευθέρωσας.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Αδάμ κατενήνεκται, δι' απάτης πτερνισθείς, πρός τό τού Άδου βάραθρον, αλλ' ο φύσει Θεός τε καί συμπαθής, κατήλθες πρός έρευναν, καί επ' ώμων βαστάσας, συνανέστησας.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Η πάναγνος Δέσποινα, η τεκούσα τοίς βροτοίς, τόν κυβερνήτην Κύριον, τών παθών μου τόν άστατον καί δεινόν, κατεύνασον τάραχον, καί γαλήνην, παράσχου τή καρδία μου.

Κανών Σταυροαναστάσιμος

Ο Ειρμός

Συνεσχέθη, αλλ' ου κατεσχέθη, στέρνοις κητώοις Ιωνάς, σού τού παθόν γάρ τόν τύπον φέρων, τος καί ταφή δοθέντος, ως εκ θαλάμου τού θηρός ανέθορε, προσεφώνει δέ τή κουστωδία. Οι φυλασσόμενοι μάταια καί ψευδή, έλεον αυτοίς εγκατελίπετε.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Χριστοκτόνος, καί προφητοκτόνος, έφυ Εβραίων η πληθύς, ως γάρ προφήτας πάλαι, αληθείας όντας μυστικάς ακτίνας, κτείναι ουκ εδεδοίκει, ούτω καί νύν τόν Κύριον, όν εκήρυττον εκείνοι τότε, φθόνω βαλλόμενοι έκτειναν, αλλ' ημίν, γέγονε ζωή, αυτού η νέκρωσις.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Συνεσχέθης, αλλ' ου κατεσχέθης, Σώτερ, εν τώ μνήματι, ει γάρ καί εκουσίως, απεγεύσω τού θανάτου Λόγε, αλλ' ανέστης ως Θεός αθάνατος, συνεγείρας τούς δεσμίους τούς εν Άδη, καί χαράν γυναιξίν αντί τής λύπης, τής πρίν ανταλλαξάμενος.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ατιμόν σου, καί εκλείπον ώφθη, είδος σαρκός παρά βροτούς, εν τώ καιρώ τού πάθους, τής θεότητος καί γάρ ουσία, ωραίος κάλλει, τώ Δαυϊδ εδείκνυσο, αλλά ράβδω σου τής Βασιλείας, εχθρών συντρίψας ισχύν, έλεγεν η Αγνή, ώ Υιέ μου, καί Θεέ, τάφου ανάστηθι.

## Κανών τής Θεοτόκου

### Ο Ειρμός

Τού βίου τήν θάλασσαν, υψουμένην καθορών, τών πειρασμών τώ κλύδωνι, τώ ευδίω λιμένι σου προσδραμών, βοώ σοι. Ανάγαγε, εκ φθοράς τήν ζωήν μου πολυέλεε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ο μέγας προέγραψεν, εν Προφήταις Μωϋσής, σέ κιβωτόν καί τράπεζαν, καί λυχνίαν καί στάμνον συμβολικώς, σημαίνων τήν σάρκωσιν, τήν εκ σού τού υψίστου Μητροπάρθενε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νεκρούται ο θάνατος, καταργείται καί φθορά, τό τού Αδάμ κατάκριμα, τώ καρπώ σου, ώ Δέσποινα προσβαλων, ζωήν γάρ εγέννησας, εκ φθοράς λυτρουμένην τούς υμνούντάς σε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ονόμος ησθένησε, καί παρήλθεν η σκιά, τής υπέρ νούν καί έννοιαν, εκφανθείσης μοι χάριτος τής εκ σού Παρθένε κυήσεως, τού Θεού, καί Σωτήρος πολυϋμνητε.

### Κοντάκιον  Ήχος πλ. β'

Τήν υπέρ ημών Τή ζωαρχική παλάμη τούς τεθνεώτας, εκ τών ζοφερών κευθμώνων ο Ζωοδότης, αναστήσας άπαντας Χριστός ο Θεός, τήν ανάστασιν εβράβευσε, τώ βροτείω φυράματι, υπάρχει γάρ πάντων Σωτήρ, ανάστασις καί ζωή, καί Θεός τού παντός.

### Ο Οίκος

Τόν Σταυρόν καί τήν Ταφήν σου Ζωοδότα, ανυμνούμεν οι πιστοί καί προσκυνούμεν, ότι τόν Άδην έδησας Αθάνατε, ως Θεός παντοδύναμος, καί νεκρούς συνανέστησας, καί πύλας τού Άδου συνέτριψας, καί κράτος τού θανάτου καθείλες ως Θεός. Διό οι γηγενείς δοξολογούμέν σε πόθω τόν αναστάντα, καί καθελόντα εχθρού τό κράτος τού πανώλους, καί πάντας αναστήσαντα τούς επί σοί πιστεύσαντας, καί κόσμον λυτρωσάμενον εκ τών βελών τού όφεως, καί ως μόνον δυνατόν, εκ τής πλάνης τού εχθρού λυτρωσάμενον ημάς, όθεν ανυμνούμεν ευσεβώς τήν Ανάστασίν σου, δι' ής έσωσας ημάς, ως Θεός τού παντός.

### Ωδή ζ'  Ο Ειρμός

Δροσοβόλον μέν τήν κάμινον ειργάσατο, Άγγελος τοίς οσίοις Παισί, τούς Χαλδαίους δέ καταφλέγον, πρόσταγμα Θεού, τόν τύραννον έπεισε βοάν. Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Ο δυρόμενος τώ πάθει σου ο ήλιος, ζόφον περιεβάλετο, καί εν ημέρα επί πάσαν Δέσποτα τήν γήν, τό φώς συνεσκότασε βοάν. Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Ημφιάσαντο Χριστέ τή καταβάσει σου, φέγγος τά καταχθόνια, ο προπάτωρ δέ, θυμηδίας έμπλεως οφθείς, χορεύων εσκίρτησε βοών. Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Διά σού μήτηρ Παρθένε φώς ανέτειλε, πάση τή οικουμένη φαιδρόν, τόν γάρ Κτίστην σύ τών απάντων τέτοκας Θεόν, όν αίτησαι Πάναγνε ημίν, καταπεμφθήναι τοις πιστοίς τό μέγα έλεος.

Κανών Σταυροαναστάσιμος

Ο Ειρμός

Άφραστον θαύμα! ο εν καμίνω ρυσάμενος, τούς οσίους Παίδας εκ φλογός, εν τάφω νεκρός, άπνους κατατίθεται, εις σωτηρίαν ημών τών μελωδούντων. Λυτρωτά ο Θεός, ευλογητός εί.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ώ ξένου τρόπου! τόν Ισραήλ ο ρυσάμενος, εκ δουλείας τής τού Φαραώ, σταυρούται εκών υπ' αυτού, καί λύει σειράς αμπλακημάτων, ώ πίστει μελωδούμεν. Λυτρωτά ο Θεός ευλογητός εί.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Σέ τόν Σωτήρα, εν τώ Κρανίω εσταύρωσαν, παρανόμων παίδες ασεβείς, τόν πύλας χαλκάς, καί μοχλούς συνθλάσαντα, εις σωτηρίαν ημών τών μελωδούντων. Λυτρωτά ο Θεός ευλογητός εί.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Εύας τής πάλαι, ελευθερίαν κυήσασα, τής κατάρας λύεις τόν Αδάμ, Παρθένε αγνή, διό μετ' Αγγέλων σε, σύν τώ Υιώ σου υμνούμεν καί βοώμεν. Λυτρωτά ο Θεός ευλογητός εί.

Κανών τής Θεοτόκου

Ο Ειρμός

Δροσοβόλον μέν τήν κάμινον ειργάσατο, Άγγελος τοίς οσίοις Παισί, τούς Χαλδαίους δέ καταφλέγον, πρόσταγμα Θεού, τόν τύραννον έπεισε βοάν. Ευλογητός εί ο Θεός, ο τών πατέρων ημών.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νεανίας τρείς η κάμινος ουκ έφλεξε, γέννησιν προτυπούσα τήν σήν, τό γάρ θείον πύρ, σέ μή φλέξαν ώκησεν εν σοί, καί πάντας εδίδαξε βοάν. Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Μακαρίζουσι τά πέρατα σέ Πάναγνε, μήτερ ως προεφήτευσας, φωτιζόμενα, φωτοβόλοις λάμψεσι ταίς σαίς, καί χάριτι μέλποντα βοάν. Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ολεθρίους μέν οδόντας μοι ενέπειρεν, όφις ο πονηρότατος, αλλ' αυτούς ο σός Θεομήτορ έθλασεν Υιός, ισχύν δέ μοι δέδωκε βοάν. Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ιλαστήριον τής φύσεως σύ πέφυκας, μόνη θεομακάριστε, τόν επ' ώμων γάρ, Χερουβείμ, καθήμενον Θεόν, αγκάλαις βαστάζουσα βοάς. Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

### Ωδή η' Ο Ειρμός

Εκ φλογός τοίς Οσίοις δρόσον επήγασας, καί Δικαίου θυσίαν ύδατι έφλεξας, άπαντα γάρ δράς Χριστέ, μόνω τώ βούλεσθαι, σέ υπερυψούμεν, εις πάντας τούς αιώνας.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Ιουδαίων τόν πάλαι προφητοκτόνον λαόν, θεοκτόνον ο φθόνος νύν απειργάσατο, σέ επί Σταυρού αναρτήσαντα, Λόγε Θεού, όν υπερυψούμεν, εις πάντας τούς αιώνας.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Ουρανίους αψίδας ου καταλέλοιπας, καί εις Άδην φοιτήσας, όλον συνήγειρας, κείμενον Χριστέ, έν σαπρία τόν άνθρωπον, σέ υπερυψούντα, εις πάντας τούς αιώνας.

### Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Εκ φωτός φωτοδότην Λόγον συνέλαβες, καί τεκούσα αφράστως τούτον δεδόξασαι, Πνεύμα γάρ εν σοί, Κόρη, θείον εσκήνωσεν, όθεν σε υμνούμεν, εις πάντας τούς αιώνας.

### Κανών Σταυροαναστάσιμος
### Ο Ειρμός

Έκστηθι φρίττων ουρανέ, καί σαλευθήτωσαν τά θεμέλια τής γής, ιδού γάρ εν νεκροίς λογίζεται, ο εν υψίστοις οικών, καί τάφω σμικρώ ξενοδοχείται, όν Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Έφριξε πάσα ακοή, όπως ο Ύψιστος εκών, ήλθεν επί γής, τού Άδου τήν ισχύν χειρώσασθαι, διά Σταυρού καί ταφής, καί πάντας διεγείραι κραυγάζειν. Οι παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Πέπαυται Άδου τυραννίς, καί τό βασίλειον εξουδένωται λοιπόν. Σταυρώ γάρ επί, γής πηγνύμενος, ο επί πάντων Θεός, τήν τούτου δυναστείαν καθείλεν, όν παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ώ τής αφράστου σου Χριστέ, φιλανθρωπότητος, καί αρρήτων αγαθών! εμέ γάρ καθορών ολλύμενον, εν τή τού Άδου φρουρά, τά πάθη υπομείνας ερρύσω, διό σε ευλογούμεν, τόν τών όλων Δεσπότην, καί υπερυψούμεν, εις πάντας τούς αιώνας.

### Κανών τής Θεοτόκου
### Ο Ειρμός

Εκ φλογός τοίς Οσίοις δρόσον επήγασας, καί Δικαίου θυσίαν ύδατι έφλεξας, άπαντα γάρ δράς Χριστέ, μόνω τώ βούλεσθαι, σέ υπερυψούμεν, εις πάντας τούς αιώνας.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Διαχρύσω εσθήτι ώσπερ βασίλισσαν, ο Υιός σου λαμπρύνας, αίγλη τού Πνεύματος, σέ εκ δεξιών, αυτού έστησε Πάναγνε, όν υπερυψούμεν, εις πάντας τούς αιώνας.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ο θελήματι μόνω κόσμον πηξάμενος, εξ αχράντου σου μήτρας σάρκα δανείζεται, άνωθεν αυτήν, αναπλάσαι βουλόμενος, όν υπερυψούμεν, εις πάντας τούς αιώνας.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Συναφείας τού Λόγου πρός με τόν άνθρωπον, ενδιαίτημα θείον Πάναγνε πέφυκας, λάμψασα σαφώς, παρθενίας λαμπρότησιν, όθεν σε υμνούμεν, εις πάντας τούς αιώνας.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Χρυσαυγής σε λυχνία προδιετύπωσε, δεξαμένην αφράστως Φώς τό απρόσιτον, γνώσει τή αυτού καταυγάζον τά σύμπαντα, όθεν σε υμνούμεν, Αγνή εις τούς αιώνας.

### Ωδή θ'  Ο Ειρμός

Θεόν ανθρώποις ιδείν αδύνατον, όν ου τολμά Αγγέλων ατενίσαι τά τάγματα, διά σού δέ Πάναγνε, ωράθη βροτοίς, Λόγος σεσαρκωμένος, όν μεγαλύνοντες, σύν ταίς ουρανίαις στρατιαίς, σέ μακαρίζομεν.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Παθών αμέτοχος σύ διέμεινας, Λόγε Θεού σαρκί, προσομιλήσας τοίς πάθεσιν, αλλά λύεις τών παθών τόν άνθρωπον, πάθεσι χρηματίσας πάθος, Σωτήρ ημών, μόνος γάρ υπάρχεις απαθής, καί παντοδύναμος.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Φθοράν θανάτου καταδεξάμενος, διαφθοράς ετήρησας τό σώμά σου άγευστον, η δέ σή ζωοποιός καί θεία ψυχή, Δέσποτα εν τώ Άδη ου καταλέλειπται, αλλ' ώσπερ εξ ύπνου αναστάς, ημάς συνήγειρας.

### Τριαδικόν

Στίχ. Αγία Τριάς ο Θεός ελέησον καί σώσον ημάς.

Θεόν Πατέρα Υιόν συνάναρχον, πάντες βροτοί εν χείλεσιν, αγνοίς μέν δοξάζομεν, τήν δέ άρρητον καί υπερένδοξον, Πνεύματος Παναγίου, δύναμιν σέβομεν, μόνη γάρ υπάρχεις πανσθενής, Τριάς αχώριστος.

### Κανών Σταυροαναστάσιμος
### Ο Ειρμός

Μή εποδύρου μου Μήτερ, καθορώσα εν τάφω, όν εν γαστρί άνευ σποράς, συνέλαβες Υιόν, αναστήσομαι γάρ καί δοξασθήσομαι, καί υψώσω εν δόξη, απαύστως ως Θεός, τούς εν πίστει καί πόθω, σέ μεγαλύνοντας.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ει καί εν τάφω κατήλθες, ως θνητός ζωοδότα, αλλάτού άδου τήν ισχύν, διέλυσας Χριστέ, συνεγείρας νεκρούς, ούς καί συγκατέπιε, καί ανάστασιν πάσι, παρέσχες ως Θεός, τοίς εν πίστει καί πόθω, σέ μεγαλύνουσιν.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Αγαλλιάσθω η κτίσις, καί ανθείτω ως κρίνον, ο γάρ Χριστός εκ τών νεκρών ηγέρθη ως Θεός. Πού σου θάνατε, νύν τό κέντρον; κράζομεν. Πού σού άδη τό νίκος; καθείλέ σε εις γήν, ο υψώσας τό κέρας ημών, ως εύσπλαγχνος.

## Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φέρεις τόν φέροντα πάντα, καί κατέχεις ως βρέφος, εν ταίς χερσί τόν εκ χειρός ρυόμενον ημάς, πολεμίου εχθρού άχραντε Δέσποινα, καί οράς επί ξύλου υψούμενον Σταυρού, τόν εκ βόθρου κακίας ημάς υψώσαντα.

## Κανών τής Θεοτόκου

### Ο Ειρμός

Θεόν ανθρώποις ιδείν αδύνατον, όν ου, τολμά Αγγέλων ατενίσαι τά τάγματα, διά σού δέ Πάναγνε, ωράθη βροτοίς, Λόγος σεσαρκωμένος, όν μεγαλύνοντες, σύν ταίς ουρανίαις Στρατιαίς, σέ μακαρίζομεν.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Αστήρ εκλάμπων αυγαίς θεότητος, εξ Ιακώβ τοίς ζόφω κρατουμένοις ανέτειλε, διά σού νύν Πάναγνε, Χριστός ο Θεός, Λόγος σεσαρκωμένος, ώ φωτιζόμενοι, σύν ταίς ουρανίαις στρατιαίς, σέ μακαρίζομεν.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ρωσθείς δυνάμει τή σή καί χάριτι, σοί τήν ωδήν προθύμως, εκ καρδίας ανέθηκα, αλλά ταύτην πρόσδεξαι Παρθένε αγνή, χάριν αντιδιδούσα, σού τήν πολύφωτον, εκ τών ακηράτων θησαυρών, θεομακάριστε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ιστός εδείχθης σαφώς θεότητος, εν ώ στολήν τού σώματος, ο Λόγος εξύφανε, θεουργήσας τήν εμήν Παρθένε μορφήν, ήν περ ενδεδυμένος, πάντας διέσωσε, τούς εκ διανοίας καθαράς, σέ μεγαλύνοντας.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νεκροίς ανάστασις νύν δεδώρηται, διά τής σής αφράστου καί αρρήτου κυήσεως, Θεοτόκε πάναγνε, ζωή γάρ εκ σού, σάρκα περικειμένη, πάσιν εξέλαμψε, καί τό τού θανάτου αμειδές, σαφώς διέλυσε.

## Αίνοι Ήχος πλ. β'

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

. Τού ποιήσαι εν αυτοίς κρίμα έγγραπτον. Δόξα αύτη έσται πάσι τοίς οσίοις αυτού.
-- Ο Σταυρός σου Κύριε, ζωή καί ανάστασις υπάρχει τώ λαώ σου, καί επ' αυτώ πεποιθότες, σέ τόν αναστάντα, Θεόν ημών υμνούμεν, ελέησον ημάς.
Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

. Αινείτε τόν Θεόν εν τοίς Αγίοις αυτού, αινείτε αυτόν εν στερεώματι τής δυνάμεως αυτού.
-- Η ταφή σου Δέσποτα, Παράδεισον ήνοιξε τώ γένει τών ανθρώπων, καί εκ φθοράς λυτρωθέντες, σέ τόν αναστάντα, Θεόν ημών υμνούμεν, ελέησον ημάς.
Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

. Αινείτε αυτόν επί ταίς δυναστείαις αυτού, αινείτε αυτόν κατά τό πλήθος τής μεγαλωσύνης αυτού.
-- Σύν Πατρί καί Πνεύματι, Χριστόν ανυμνήσωμεν, τόν αναστάντα εκ νεκρών, καί πρός αυτόν εκβοώμεν. Σύ ζωή υπάρχεις, ημών καί ανάστασις, ελέησον ημάς.
Στίχ. Αγία Τριάς ο Θεός ελέησον καί σώσον ημάς.

. Αινείτε αυτόν εν ήχω, σάλπιγγος, αινείτε αυτόν εν ψαλτηρίω καί κιθάρα.

-- Τριήμερος ανέστης Χριστέ, εκ τάφου καθώς γέγραπται, συνεγείρας τόν Προπάτορα ημών, διό σε καί δοξάζει, τό γένος τών ανθρώπων, καί ανυμνεί σου τήν Ανάστασιν.
Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

. Αινείτε αυτόν εν τυμπάνω καί χορώ, αινείτε αυτόν εν χορδαίς καί οργάνω,
-- Κύριε, μέγα καί φοβερόν υπάρχει, τής σής Αναστάσεως τό μυστήριον, ούτω γάρ προήλθες εκ τού τάφου, ως νυμφίος εκ παστάδος, θανάτω θάνατον λύσας, ίνα τόν Αδάμ ελευθερώσης, όθεν εν ουρανοίς, Άγγελοι χορεύουσι, καί επί γής άνθρωποι δοξάζουσι, τήν εις ημάς γενομένην, ευσπλαγχνίαν σου φιλάνθρωπε.
Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

. Αινείτε αυτόν εν κυμβάλοις ευήχοις, αινείτε αυτόν εν κυμβάλοις αλαλαγμού. Πάσα πνοή αινεσάτω τόν Κύριον.
-- Ω παράνομοι, Ιουδαίοι, πού εισιν αι σφραγίδες, καί τά αργύρια, ά εδώκατε τοίς στρατιώταις; ουκ εκλάπη ο θησαυρός, αλλά ανέστη ως δυνατός, αυτοί δέ κατησχύνθητε, αρνησάμενοι Χριστόν, τόν Κύριον τής δόξης, τόν παθόντα καί ταφέντα, καί αναστάντα εκ νεκρών, αυτόν προσκυνήσωμεν.
Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

. Ανάστηθι, Κύριε, ο Θεός μου, υψωθήτω η χείρ σου, μή επιλάθη τών πενήτων σου εις τέλος.
-- Σφραγισθέντος τού μνήματος, πώς εσυλήθητε Ιουδαίοι, φύλακας καταστήσαντες, καί σημεία θέντες, τών θυρών κεκλεισμένων, προήλθεν ο Βασιλεύς, ή ως νεκρόν παραστήσατε, ή ως Θεόν προσκυνήσατε, σύν ημίν μελωδούντες. Δόξα Κύριε τώ Σταυρώ σόυ, καί τή Αναστάσει σου.
Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

. Εξομολογήσομαί σοι, Κύριε, εν όλη καρδία μου, διηγήσομαι πάντα τά θαυμάσιά σου.
-- Τό ζωοδόχον σου μνήμα, αι μυροφόροι Γυναίκες, οδυρόμεναι κατέλαβον Κύριε, καί μύρα βαστάζουσαι, τό Σώμά σου τό άχραντον μυρίσαι επεζήτουν, εύρον δέ φωτοφόρον Άγγελον, εν τώ λίθω καθήμενον, καί πρός, αυτάς φθεγγόμενον και λέγοντα. Τί δακρύετε τόν εκ πλευράς πηγάσαντα τώ κόσμω τήν ζωήν; τί επιζητείτε ώσπερ θνητόν εν μνήματι τόν Αθάνατον; δραμούσαι δέ μάλλον, απαγγείλατε τοίς αυτού Μαθηταίς, τής αυτού ενδόξου Αναστάσεως τήν παγκόσμιον χαρμονήν, εν ή καί ημάς Σωτήρ φωτίσας, δώρησαι ιλασμόν καί τό μέγα έλεος.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

### Οι Μακαρισμοί

Μακάριοι οι ελεήμονες, ότι αυτοί ελεηθήσονται.

Μνήσθητί μου, ο Θεός ο Σωτήρ μου, όταν έλθης εν τή Βασιλεία σου, καί σώσόν με, ως μόνος φιλάνθρωπος.

Μακάριοι οι καθαροί τή καρδία ότι αυ τοί τόν Θεόν όψονται.

Διά ξύλου, τόν Αδάμ απατηθέντα, διά ξύλου Σταυρού πάλιν έσωσας, Ληστήν βοώντα. Μνήσθητί μου, Κύριε, εν τή βασιλεία σου.

Μακάριοι οι ειρηνοποιοί, ότι αυτοί υιοί Θεού κληθήσονται.

Άδου πύλας, και μοχλούς συντρίψας Ζωοδότα, νεκρούς ανέστησας άπαντας, Σωτήρ βοώντας. Δόξα τή εγέρσει σου.

Μακάριοι οι δεδιωγμένοι ένεκεν δικαιοσύνης, ότι αυτών εστιν η βασιλεία τών ουρανών.

Μνήσθητί μου, ο τόν θάνατον σκυλεύσας, τή ταφή σου καί τή Αναστάσει σου, χαράς τά πάντα, πληρώσας ως εύσπλαγχνος.

Μακάριοί εστε όταν ονειδίσωσιν υμάς, καί διώξωσι, καί είπωσι πάν πονηρόν ρήμα καθυμών ψευδόμενοι ένεκεν εμού.

Μυροφόροι, εν τώ μνήματι ελθούσαι, τού Αγγέλου κραυγάζοντος ήκουον. Χριστός ανέστη, φωτίσας τά σύμπαντα.

Χαίρετε καί αγαλλιάσθε, ότι ο μισθός υμών πολύς εν τοίς ουρανοίς.

Τόν εν ξύλω, τού Σταυρού προσηλωθέντα, καί τόν κόσμον εκ πλάνης ρυσάμενον, συμφώνως πάντες, Χριστόν ανυμνήσωμεν.

Δόξα...

Τόν Πατέρα, καί Υιόν δοξολογούμεν, καί τό Πνεύμα τό άγιον, λέγοντες. Τριάς αγία, σώσον τάς ψυχάς ημών.

Καί νύν... Θεοτοκίον

Η αρρήτως, επ' εσχάτων συλλαβούσα, καί τεκούσα τόνένε σώζε, τούς σέ μεγαλύνοντας.

HYPERLINK "" \l "top" top

6-2

Στιχηρά Προσόμοια Δεσποτικά

Ήχος πλ. β' Όλην αποθέμενοι

Στίχ. α'. Εάν ανομίας παρατηρήσης, Κύριε, Κύριε τίς υποστήσεται; ότι παρά σοί ο ιλασμός εστιν.

Ο πάντων βουλόμενος, ουχί τόν θάνατον Λόγε, αλλά τήν μετάνοιαν, τών ημαρτηκότων σοι πολυεύσπλαγχνε, Χριστέ καί Κύριε, καί ποιών έλεος, μετεμού αεί τού δούλου σου, μετανοούντι μοι, καί τήν τών κακών μοι συγχώρησιν, δι' ών σε παρεπίκρανα, εξαιτείν τολμώντι συμπάθησον, εν εμοί γάρ δείξης, τήν άβυσσον τών θείων οικτιρμών, εάν ανάξιον όντα με, σώσης ως φιλάνθρωπος.

Στίχ. β'. Ένεκεν τού ονόματός σου υπέμεινά σε, Κύριε, υπέμεινεν η ψυχή μου εις τόν λόγον σου, ήλπισεν η ψυχή μου επί τόν Κύριον.

Ο μόνος φιλάνθρωπος, ο πάντας θέλων σωθήναι, καί καλών ως εύσπλαγχνος, τούς λελυπηκότας σε, πρός μετάνοιαν, μή μνησθής Δέσποτα, μηδαμώς δέομαι, τής αισχύνης τών ατόπων μου, έργων ών έπραξα, φεύ! τών οφθαλμών σου απέναντι, μή φρίξας ο πανάθλιος, τό τών σών χειρών αναπόδραστον, όθεν νύν προσπίπτω, στενάζων καί πενθών, καί νοητώς, τών σών ποδών εφαπτόμενος, τού λαβείν συγχώρησιν.

Στίχ. γ'. Από φυλακής πρωϊας μέχρι νυκτός, από φυλακής πρωϊας ελπισάτω Ισραήλ επί τόν Κύριον.

Δέξαι μου τήν δέησιν, ο πάντας θέλων σωθήναι, καί μή απορρίψης με, από τού προσώπου σου τόν ανάξιον, τόν πολλά πταίσαντα, υπέρ πάσαν φύσιν, τών ανθρώπων, εκ νεότητος, διό προσπίπτω σοι, κλίνων μου τό γόνυ σύν δάκρυσι, σπλαγχνίσθητι ελέησον, δείξον εν εμοί τά ελέησου, Κύριε τής δόξης, ελέους ο Πατήρ καί οικτιρμών, μή με απώση τόν άθλιον, τόν παρακαλούντά σε.

Έτερα, τών Ασωμάτων όμοια

Στίχ. δ'. Ότι παρά τώ Κυρίω τό έλεος, καί πολλή παρ' αυτώ, λύτρωσις. καί αυτός λυτρώσεται τόν Ισραήλ έκ πασών τών ανομιών αυτού.

Ήχον εορτάσιμον, Αγγελικαί σοι χορείαι, ασιγήτοις στόμασιν, αιωνίως μέλπουσιν, Υπεράγαθε, σού τρανώς βλέπουσαι, τό ωραίον κάλλος, καί τής αίγλης εμφορούμεναι, τή πρός τά χείρονα, νεύσει ουδαμώς εμφερόμεναι, αεί δέ εν τοίς έμπροσθεν, μάλλον ακλινώς ανανεύουσαι, καί τάς πανολβίους, δεχόμεναι προθύμως αστραπάς, εν παρρησία πρεσβεύουσιν, υπέρ τών ψυχών ημών.

Στίχ. ε'. Αινείτε τόν Κύριον πάντα τά έθνη, επαινέσατε αυτόν, πάντες οι λαοί.

Τείχισον τήν ποίμνην σου, Αγγελικαίς προστασίαις, ο τά τούτων τάγματα, λόγω συστησάμενος

καί βουλήματι, πειρασμόν άπαντα, καί βαρβάρων θράσος, εκδιώκων καί αιρέσεων, τώ σώ γάρ αίματι, ταύτην αληθώς εξηγόρασας, καί νόμου τό κατάκριμα, καί τής αμαρτίας εξήλειψας, όπως λυτρωθείσα, τών νύν παρενοχλούντων λυπηρών, εν ορθοδόξω φρονήματι, Σώτερ μεγαλύνη σε.

Στίχ. ς'. Ότι εκραταιώθη τό έλεος αυτού εφ' ημάς, καί η αλήθεια τού Κυρίου μένει εις τόν αιώνα.

Αρχαί Κυριότητες, καί Σεραφείμ σύν τοίς θρόνοις, Χερουβείμ τά άχραντα, Άγγελοι, Αρχάγγελοι, τόν σεβάσμιον, καί σεπτόν θρόνον σου, καί τήν θείαν δόξαν, μετά δέους περιέπουσι. Δυνάμεις πάσαι δέ, σύν ταίς Εξουσίαις γεραίρουσι, τήν σήν μεγαλοπρέπειαν, καί τής σής προνοίας τό άφραστον, καί τήν εν τοίς ούσι, σοφίαν σου θαυμάζουσι Χριστέ, καί παρρησία πρεσβεύουσιν, υπέρ τών ψυχών ημών.

Δόξα... καί νύν... Θεοτοκίον όμοιον

Γνώμη ολισθήσας τε, καί υποκύψας τώ πλάνω, απάτη Θεόνυμφε, πρός τήν υπερθαύμαστον ευσπλαγχνίαν σου, καί θερμήν δέησιν, παναγία Κόρη, καταφεύγω ο πανάθλιος, δεσμού με λύτρωσαι, τών πειρατηρίων καί θλίψεων, καί σώσόν με Πανάμωμε, τών δαιμονικών επιθέσεων, ίνα σέ δοξάζω, καί πόθω ανυμνώ καί προσκυνώ, καί μεγαλύνω σε, Δέσποινα, τήν αειμακάριστον.

Απόστιχα Κατανυκτικά

Μετάνοιαν ου κέκτημαι, αλλ' ουδέ πάλιν δάκρυα, διά τούτο, ικετεύω σε Σωτήρ, πρό τέλους επιστρέψαι, καί δούναί μοι μετάνοιαν, όπως ρυσθήσωμαι τής κολάσεως.

Στίχ. Α'. Πρός σέ ήρα τούς οφθαλμούς μου, τόν κατοικούντα εν τώ ουρανώ. Ιδού, ως οφθαλμοί δούλων εις χείρας τών κυρίων αυτών, ως οφθαλμοί παιδίσκης εις χείρας τής κυρίας αυτής, ούτως οι οφθαλμοί ημών πρός Κύριον τόν Θεόν ημών, έως ού οικτιρήσαι ημάς.

Εν τή φρικτή παρουσία σου Χριστέ, μή ακούσωμεν, ουκ οίδα υμάς, τήν γάρ ελπίδα επί σοί τώ Σωτήρι εθέμεθα, ει καί τά σά προστάγματα ου πράττομεν, διά τήν αμέλειαν ημών, αλλά φείσαι τών ψυχών ημών δεόμεθα.

Μαρτυρικόν

Στίχ. Β'. Ελέησον ημάς, Κύριε, ελέησον ημάς, ότι επί πολύ επλήσθημεν εξουδενώσεως, επί πλείον επλ ήσθη η ψυχή ημών, τό όνειδος τοίς ευθηνούσι, καί η εξουδένωσις τοίς υπερηφάνοις.

Οι Μάρτυρές σου Κύριε, ουκ ηρνήσαντό σε, ουκ απέστησαν από τών εντολών σου, ταίς αυτών πρεσβείαις, ελέησον ημάς.

Δόξα... καί νύν... Θεοτοκίον

Αρχαγγελικώς ανυμνήσωμεν πιστοί, τήν ουράνιον παστάδα, καί πύλην σφραγισθείσαν αληθώς. Χαίρε δι' ής ανεβλάστησεν ημίν, ο Σωτήρ ο τών απάντων, Χριστός ο ζωοδότης καί Θεός, κατάβαλε Δέσποινα, τούς τυράννους αθέους εχθρούς ημών, τή χειρί σου Άχραντε, η ελπίς Χριστιανών.

Μετά τήν α' Στιχολογίαν

Καθίσματα Κατανυκτικά Ήχος πλ. β'

Εννοώ τήν ημέραν τήν φοβεράν, καί θρηνώ μου τάς πράξεις τάς ρυπαράς, πώς απολογήσομαι, τώ αθανάτω Βασιλεί, ποία δέ παρρησία ατενίσω τώ Κριτή, ο άσωτος εγώ. Εύσπλαγχνε Πάτερ, Υιέ μονογενές, τό Πνεύμα τό άγιον, ελέησόν με.

Εις τήν κοιλάδα τού κλαυθμώνος, εις τόν τόπον όν διέθου, όταν καθίσης Ελεήμον, κρίσιν δικαίαν ποιήσαι, μή δημοσιεύσης μου τά κεκρυμμένα, μηδέ καταισχύνης με ενώπιον τών Αγγέλων, αλλά φείσαί μου ο Θεός, καί ελέησόν με.

Δόξα... καί νύν... Θεοτοκίον

Ελπίς καί σκέπη καί λιμήν, τών εις σέ προστρεχόντων, Θεοκυήτορ αγαθή, προστασία τού κόσμου, ικέτευε σύν Ασωμάτοις εκτενώς, όν έτεκες φιλανθρωπότατον Θεόν, ρυσθήναι τάς ψυχάς ημών, εκ πάσης απειλής, μόνη ευλογημένη.

Μετά τήν β' Στιχολογίαν

Καθίσματα Κατανυκτικά

Ελέησον ημάς, Κύριε, ελέησον ημάς, πάσης γάρ απολογίας απορούντες, ταύτην σοι τήν ικεσίαν ως Δεσπότη, οι αμαρτωλοί προσφέρομεν. Ελέησον ημάς.

Κύριε ελέησον ημάς, επί σοί γάρ πεποίθαμεν, μή οργισθής ημίν σφόδρα, μηδέ μνησθής τών ανομιών ημών, αλλ' επίβλεψον καί νύν ως εύσπλαγχνος, καί λύτρωσαι ημάς εκ τών εχθρών ημών, σύ γάρ εί Θεός ημών, καί ημείς λαός σου, πάντες τό όνομά σου έργα χειρών σου, και επικεκλήμεθα.

Δόξα... καί νύν... Θεοτοκίον

Αρχή σωτηρίας η τού Γαβριήλ προσηγορία, πρός τήν Παρθένον γέγονεν, ήκουσε γάρ τό Χαίρε, καί ουκ απέφυγε τόν ασπασμόν, ουκ εδίστασεν ως η Σάρρα εν τή σκηνή, αλλ' ούτως έλεγεν. Ιδού η δούλη Κυρίου, γένοιτό μοι κατά τό ρήμά σου.

Μετά τήν γ' Στιχολογίαν

Καθίσματα Κατανυκτικά

Ψυχή, ραθύμως τήν ζωήν διανύουσα πάσαν, ημέραν κρίσεως φρικτήν, κατά νούν ου λαμβάνεις, ανάνηψον, καί τήν μετάνοιαν ελού, επίστρεψον, καί βόησον Χριστώ. Οικτίρμον, μή μνησθής ημών πολλών αμαρτιών, εν ώρα καταδίκης.

Μαρτυρικόν

Φώς δικαίοις διά παντός, οι γάρ Άγιοι εν σοί φωτισθέντες, καταλάμπουσιν αεί ως φωστήρες, λύχνον ασεβών σβέσαντες, ών ταίς ευχαίς, σύ φωτιείς λύχνον μου Κύριε, καί σώσόν με.

Δόξα... καί νύν... Θεοτοκίον

Τήν υπερένδοξον τού Θεού Μητέρα, καί τών αγίων Αγγέλων αγιωτέραν, ασιγήτως υμνήσωμεν, καρδία καί στόματι, Θεοτόκον αυτήν ο μολογούντες, ως κυρίως γεννήσασαν Θεόν σεσαρκωμένον, καί πρεσβεύουσαν απαύστως υπέρ τών ψυχών ημών.

Κανών Κατανυκτικός, ού η Ακροστιχίς Τών ομμάτων μου, Χριστέ,
τόν κλαυθμόν δέχου Ιωσήφ.

Ωδή α' Ήχος πλ. β'

Ο Ειρμός

Ο αισθητός Φαραώ, κατεποντίσθη πανστρατί, Ισραήλ δέ διελθών, εν μέσω τής θαλάσσης, ανεβόα, Κυρίω τώ Θεώ ημών άσωμεν, ότι δεδόξασται.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Τόν εμπεσόντα Χριστέ, ληστών εις χείρας πονηρών, καί πληγαίς ψυχοφθόροις, ημιθανή γενόμενον, συμπαθείας, ελαίω θεραπεύσας οικτείρησον, ίνα δοξάζω σε.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ως αμαρτήσας πολλά, σπήλαιον γέγονα ληστών, ο τεχθείς εν σπηλαίω, δακρύων όμβρους δίδου μοι, καί καθάρισον, όπως τού αγίου σου Πνεύματος, ναός γενήσωμαι.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Νεανικώς τόν εχθρόν, καταβαλόντες Αθληταί, θεοπλόκοις αληθώς, στεφάνοις εκοσμήθητε, καί Θεώ εν υψίστοις, μετ' Αγγέλων παρίστασθε, δόξης πληρούμενοι.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Οι τών αιμάτων βυθώ, τόν Φαραώ τόν νοητόν, αποπνίξαντες ποτέ, σεπτοί Μεγαλομάρτυρες, πρός γήν επαγγελίας, ουρανίου μετέβητε, Χριστόν δοξάζοντες.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Μετά Μαρτύρων Αγνή, μετά τών θείων Προφητών, μετά πάντων Αγγέλων, τόν κτίστην τών

απάντων, εκδυσώπει σωθήναι, τούς σέ δοξάζοντας, Θεοχαρίτωτε.

Κανών τών Ασωμάτων, ου η Ακροστιχίς.
Έκτη πέφυκε τών Νόων μελω δία

Ο Ειρμός
Ως εν ηπείρω πεζεύσας ο Ισραήλ, εν αβύσσω, ίχνεσι, τόν διώκτην Φαραώ, καθορών ποντούμενον, Θεώ επινίκιον ωδήν, εβόα άσωμεν.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Επουρανίου χορείας ανευφημών, τήν τερπνήν ευπρέπειαν, ταίς αυτής φωτιστικαίς, αστραπαίς φαιδρύνεσθαι βοώ, ικετεύων σε Χριστέ, τόν μόνον εύσπλαγχνον.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Κατακοσμήσας τώ Λόγω καί τώ εκ σού, παναγίω Πνεύματι, τών Αγγέλων τούς χορούς, σέ τόν πάντων αίτιον υμνείν, παρεσκεύασας αυτούς ως παντοδύναμος.

Θεοτοκίον
Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τόν εαυτής δεξαμένη Δημιουργόν, ως αυτός ηθέλησεν, εξ ασπόρου σου γαστρός, υπέρ νούν σαρκούμενον Αγνή, τών κτισμάτων αληθώς, εδείχθης Δέσποινα.

Ωδή γ' Ο Ειρμός
Εν τή στερρά τής πίστεώς σου πέτρα, τόν λογισμόν εδράσας τής ψυχής μου, στερέωσον, Κύριε, σέ γάρ έχω Αγαθέ, καταφυγήν καί στερέωμα.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Μετανοών Χριστώ συνεταξάμην, καί τών κακών ουδόλως επαυσάμην, τίς γένωμαι τύφλωσιν, περικείμενος πολλήν. Υιέ Θεού σύ με, οίκτειρον.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Αποσκοπών Θεού μακροθυμίαν, εκδαπανώ ζωήν τή ραθυμία, καί δέδοικα πάντοτε, μή εξαίφνης η τομή, η τού θανάτου προφθάση με.

Μαρτυρικά
Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Τούς διωγμούς, τούς πόνους, τούς κινδύνους, ώσπερ τρυφήν οι Μάρτυρες ποθούντες, ηγάλλοντο βλέποντες, διανοίας οφθαλμοίς, τήν δι' αιώνος απόλαυσιν.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ως τή στερρά τής ευσεβείας πέτρα, τόν λογισμόν εδράσαντες πανσόφως, μοχλεύσεσιν άγιοι, πολυτρόπων αικισμών, ουκ ανετράπητε Μάρτυρες.

Θεοτοκίον
Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νέος ημίν Παράδεισος εδείχθης, ζωής αγνή τό ξύλον μέσον έχων, εξ ού φαγών Άχραντε, τής νεκρώσεως Αδάμ, τής πονηράς απολύεται.

Κανών τών Ασωμάτων
Ο Ειρμός
Ουκ έστιν άγιος ως σύ, Κύριε ο Θεός μου, ο υψώσας τό κέρας, τών πιστών σου αγαθέ, καί

στερεώσας αυτούς, εν τή πέτρα τής ομολογίας σου.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Ο πάσαν φύσιν λογικήν, εκ μή όντων βουλήσει, πλαστουργήσασα Φύσις, τρισαγίαις εν φωναίς, υμνολογείται τριττοίς, εν προσώποις, καί δοξολογείται πιστώς.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Πηγάζων σύ τό αγαθόν, Δέσποτα τών απάντων, καί πλουσίως εκχέων, τή μεθέξει αγαθούς, τούς ασωμάτων χορούς, τών Αγγέλων έδειξας φιλάνθρωπε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Εδόθη άφεσις ημίν, διά σού Θεοτόκε, ο γάρ νόμου Δεσπότης, ο εκ σού σωματωθείς, τά πάθη υπέρ ημών, υπομείνας, πάντας ελυτρώσατο.

## Ωδή δ'  Ο Ειρμός

Εκάλυψεν ουρανούς, η αρετή σου Χριστέ, καί τής σής αινέσεως Κύριε, τά πάντα πεπλήρωται.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Μή κατακρίνης ημάς, τούς πταίοντάς σοι πολλά, αλλά τώ συνήθει σου Δέσποτα, ελέει οικτείρησον.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Οδός υπάρχων ζωής, θανατηφόρους οδούς, Σώτερ, αμαρτίας εκκλίνειν με, αεί καταξίωσον.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Υφάπτουσαν αικισμών, καθυπελθόντες πυράν, δρόσω θείου Πνεύματος, Μάρτυρες εμείνατε άφλεκτοι.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Χειμάρρουν θείας τρυφής, τρυφάτε περιφανώς, Μάρτυρες αιμάτων τοίς ρεύμασιν, αυτήν κληρωσάμενοι.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ραθύμως μου τήν ζωήν, εκδαπανήσας Αγνή, πρός τήν σήν προστρέχω αντίληψιν, οικτείρησον σώσόν με.

## Κανών τών Ασωμάτων
### Ο Ειρμός

Χριστός μου δύναμις, Θεός καί Κύριος, η σεπτή Εκκλησία θεοπρεπώς, μέλπει ανακράζουσα, εκ διανοίας καθαράς, εν Κυρίω εορτάζουσα.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Φθοράς απρόσδεκτον, τήν φύσιν έχοντες, οι θειότατοι Νόες σου τόν σεπτόν, θρόνον περιέπουσιν, αθανασίας σε πηγήν, κληρωσάμενοι φιλάνθρωπε.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Υπό τού Πνεύματος, αγιαζόμενοι, τών Αγγέλων οι δήμοι πρός τό κακόν, μένουσιν ακίνητοι, ταίς πρός τό πρώτον Αγαθόν, αναβάσεσι Θεούμενοι.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Κατάρα λέλυται, η τής προμήτορος, διά σού Θεομήτορ, σύ γάρ ημίν, Άχραντε πανάμωμε, τής ευλογίας τήν πηγήν, τήν αέναον εκύησας.

Ωδή ε' Ο Ειρμός

Ο τό φώς ανατέλλων τώ κόσμω, Χριστέ, φώτισον τήν καρδίαν μου, εκ νυκτός σοι κραυγάζοντος, καί σώσόν με.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ιεσσαί εκ τής ρίζης βλαστήσας Χριστέ, ξήρανον τά βλαστήματα τών παθών μου, φυτεύων μοι τόν φόβον σου.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Στεναγμόν ως ο τελώνης κτησώμεθα, καί κακών αποσχώμεθα, στεναγμόν όπως φύγωμεν αιώνιον.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Τετρωμένοι τώ θείω σου έρωτι, τιτρωσκόμενοι έχαιρον, ταίς βασάνοις οι Μάρτυρές σου Κύριε.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Εκ περάτων τώ σώματι οι Μάρτυρες, εναθλούντες κεκράγατε, καί Χριστός τής φωνής υμών εισήκουσε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τήν ουράνιον πύλην υμνήσωμεν, δι' ής πάντες εισέρχονται, αμαρτωλοί πρός εισόδους συγχωρήσεως.

Κανών τών Ασωμάτων

Ο Ειρμός

Τώ θείω φέγγει σου Αγαθέ, τάς τών ορθριζόντων σοι ψυχάς, πόθω καταύγασον δέομαι, σέ ειδέναι Λόγε Θεού, τόν όντως Θεόν, εκ ζόφου τών πταισμάτων ανακαλούμενον.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Επί τού θρόνου τών Χερουβείμ, βλέπων ο Προφήτης σε, παντεπόπτα τόν Κτίστην καί Κύριον, επιβεβηκότα διά συμβόλων τήν σήν, μυείται δεσποτείαν καί κυριότητα.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Ταίς μυριάσιν ο Δανιήλ, καί ταίς χιλιάσι, τών Αγγέλων κυκλουμένω σοι Δέσποτα, βλέπων ηνωμένην τήν τών ανθρώπων μορφήν, τό κράτος σού τής δόξης μεμυσταγώγηται.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ωραίος κάλλει ο σός Υιός, παρά τούς υιούς τών γηγενών, ώφθη πανύμνητε Δέσποινα. Λόγος γάρ υπάρχει τού επί πάντων Θεού, ει καί φύσιν ανθρώπου εκ σού ανέλαβε.

Ωδή ς'  Ο Ειρμός

Τώ κήτει καταποθείς, τώ τής αμαρτίας, κραυγάζω σοι Χριστέ, Ως τόν προφήτην, εκ φθοράς με ελευθέρωσον.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ο ομματώσας τυφλούς, τής ψυχής μου άνοιξον όμματα, όπως τό φώς σου βλέψω, καί παθών σκότους ρυσθήσωμαι.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ναμάτων ζωοποιών, μετανοίας έμπλεων ποίησον, Οικτίρμον τήν ψυχήν μου, ποταμούς διδούς δακρύων μοι.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Κοιλάδες μαρτυρικαί, κρίνα ιαμάτων εκφύουσι, καί πάντων τας καρδίας, ευσεβών ευωδιάζουσι.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Λυόμενοι αικισμοίς, σώμα τό φθειρόμενον άγιοι, τώ πόθω τού Κυρίου, τήν καρδίαν συνεδήσατε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Αγία Μήτερ Θεού, τήν βεβηλωθείσαν καρδίαν μου, πράξεσιν εναγέσι, συμπαθεία σου αγίασον.

Κανών τών Ασωμάτων

Ο Ειρμός

Τού βίου τήν θάλασσαν, υψουμένην καθορών, τών πειρασμών τώ κλύδωνι, τώ ευδίω λιμένι σου προσδραμών, βοώ σοι. Ανάγαγε, εκ φθοράς τήν ζωήν μου πολυέλεε.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Νοός καθαρότητι, καταβαίνοντας ορών, ο Ιακώβ εν κλίμακι, τούς Αγγέλους σου Δέσποτα τηλαυγώς, τήν σήν εδιδάσκετο, εν σαρκί παρουσίαν προδηλότατα.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Νοήσας τήν ένθεον, τών Αγγέλων καί φαιδράν, παρεμβολήν ηγάλλετο, ο θεράπων σου Δέσποτα Ισραήλ, ευρύθμως χορεύουσαν, καί τήν άρρητον δόξαν περιέπουσαν.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ορέων υπέρτερον, αιωνίων αληθώς, αγγελικών Δυνάμεων, ανεδείχθη τό όρος τό εμφανές, σή γαστήρ χωρήσασα, τής Θεότητος αίγλην, Κόρη Δέσποινα.

Ωδή ζ'  Ο Ειρμός

Ο τών οσίων σου Παίδων, τόν ύμνον επακούσας, καί τήν κάμινον καιομένην δροσίσας, ευλογητός εί Κύριε.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Υπό τής άγαν κακίας, τόν νούν απετυφλώθην, καί ουκ έβλεψα μετανοίας τό φέγγος. Χριστέ Σωτήρ μου σώσόν με.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Θαρρών τή σή ευσπλαγχνία, προσπίπτω σοι Οικτίρμον, εξαιτούμενος τών κακών μοι τήν λύσιν, μή με παρίδης Δέσποτα.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Μόνος εγώ εγυμνώθην, εξ έργων δικαιούντων, μόνος έπραξα πάσαν άτοπον πράξιν, μόνος Χριστέ σύ με οίκτειρον.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ο υπερκόσμιον δόξαν, ενδύσας τούς Αγίους, τούς αθλήσαντας εν τώ κόσμω, πρεσβείαις αυτών, Χριστέ μου σώσόν με.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Νομοθεσίας αδίκου, δικαίου νόμου όντες, θείοι φύλακες κατεπτύσατε πίστει, νομίμως εναθλήσαντες.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Δούλου μορφήν υποδύντα, Δεσπότην Κόρη τίκτεις, όν ικέτευε τών παθών τής δουλείας, Αγνή ελευθερώσαί με.

Κανών τών Ασωμάτων

Ο Ειρμός

Δροσοβόλον μέν τήν κάμινον ειργάσατο, Άγγελος τοίς οσίοις Παισί, τούς Χαλδαίους δέ καταφλέγον, πρόσταγμα Θεού, τόν τύραννον έπεισε βοάν. Ευλογητός εί ο Θεός, ο τών πατέρων ημών.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Ωραιότητι φαιδρύνεσθε πανάγιοι, Άγγελοι τού παντοκράτορος, πλησιάζοντες, τή αφράστω δόξη τού Χριστού, καί πόθω κραυγάζοντες αεί, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Νοερώς περί σέ Δέσποτα στρεφόμενοι, Άγγελοι τήν ακατάληπτον, φωτοφανείαν, αϊδίως δέχονται τήν σήν, υμνούντες καί λέγοντες αεί. Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Μετά σού ευλογημένη ο Ασώματος, Κύριος έφη ο Γαβριήλ, τήν καταφθαρείσαν γάρ αναπλάσαι φύσιν βουληθείς, τήν μήτραν σου ώκησεν Αγνή. Ευλογημένη η Θεόν, σαρκί κυήσασα.

Ωδή η'  Ο Ειρμός

Οι όσιοί σου Παίδες εν τή καμίνω, τά Χερουβείμ εμιμήσαντο, τόν τρισάγιον ύμνον αναβοώντες. Ευλογείτε υμνείτε, καί υπερυψούτε τόν Κύριον.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Εζήλωσα ασπλάγχνου πλουσίου τρόπους, καί παρορώ μου πτωχεύσαντα, τόν νούν πρό θυρών τής μετανοίας, κακία ηλκωμένον. Χριστε μή με εις πύρ πέμψης άσβεστον.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Χειμώνι καί σαββάτω καλών αργίας, μή με τού βίου ανέτοιμον λάβης, χειμώνα τής αμαρτίας ο καταπαύσας Οικτίρμον, αλλ' επιστροφήν θείαν δίδου μοι.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Οι Μάρτυρες τήν πλάνην καταπατούντες, τή απλανεί πίστει άπασαν, βασάνων, ήνεγκαν τρικυμίαν, ευλογούντες, υμνούντες, καί υπερυψούντες τόν Κύριον.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Υφάπτουσαν βασάνων ήνεγκαν φλόγα, υπομονής δρόσω οι Άγιοι, ύλην έφλεξάν τε ασεβείας, θείας ζήλω αγάπης, πυρούμενοι καλλίνικοι Μάρτυρες.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Υπάρχουσα Αγγέλων τιμιωτέρα, Θεόν τόν άγιον τέτοκας, υπερβαλλόντως αγιασθείσα, Θεοτόκε Παρθένε, διό μου τήν ψυχήν καθαγίασον.

## Κανών τών Ασωμάτων

### Ο Ειρμός

Εκ φλογός τοίς Οσίοις δρόσον επήγασας, καί Δικαίου θυσίαν ύδατι έφλεξας, άπαντα γάρ δράς Χριστέ, μόνω τώ βούλεσθαι, σέ υπερυψούμεν, εις πάντας τούς αιώνας.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Ελισσαίον ως πάλαι σού τόν θεράποντα, στρατιαίς ασωμάτοις περιετείχισας, ούτω δή καί νύν, Χριστέ τήν Εκκλησίαν σου, σέ υπερυψούσαν εις πάντας τούς αιώνας.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Λυτρωθήναι πταισμάτων καθικετεύσατε, Αρχιστράτηγοι θείοι, ως παριστάμενοι, θρόνω τώ φρικτώ, τούς εν πόθω δοξάζοντας, καί υπερυψούντας Χριστόν εις τούς αιώνας.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ως Μητρί καί Παρθένω Χαίρέ σοι κράζομεν, Γαβριήλ σύν τώ θείω Θεομακάριστε. Λόγον γάρ ημίν, Θεού σαρκί γεγέννηκας, όν υπερυψούμεν, εις πάντας τούς αιώνας.

## Ωδή θ'  Ο Ειρμός

Η τό Χαίρε δι' Αγγέλου δεξαμένη, καί τεκούσα τόν Κτίστην τόν ίδιον, Παρθένε σώζε τούς σέ μεγαλύνοντας.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ιωσήφ μέν σωφρονήσας σιτοδότης, εγνωρίσθη, εγώ ασωτεύων δέ, λιμώ κρατούμαι εναρέτων πράξεων.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ως ο Πέτρος μεταγνούς Χριστέ δακρύω, ως ο Τελώνης στενάζω, ως ο Άσωτος εκ βάθους κράζω. Ήμαρτον, συγχώρησον.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Συμμαχία τού Θεού καταβαλόντες, τήν κακίαν σοφοί τού αλάστορος, στεφάνους νίκης εξ ύψους εδέξασθε.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Η αγία τών σεπτών Μαρτύρων μνήμη, αγιάζει εν αγίω Πνεύματι, τούς ορθοδόξως αυτήν αγιάζοντας.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φώτισόν με αμαρτία σκοτισθέντα, απαθείας τό φώς η κυήσασα, ίνα υμνώ σε αγνή Αειπάρθενε.

Κανών τών Ασωμάτων

Ο Ειρμός

Θεόν ανθρώποις ιδείν αδύνατον, όν ου, τολμά Αγγέλων ατενίσαι τά τάγματα, διά σού δέ Πάναγνε, ωράθη βροτοίς, Λόγος σεσαρκωμένος, όν μεγαλύνοντες, σύν ταίς ουρανίαις Στρατιαίς, σέ μακαρίζομεν.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Δαυϊδ Προφήτη τώ σώ ως έπαυσας, τόν σόν λαόν πατάσσοντα ρομφαία σου Άγγελον, ούτως Οικτίρμον βράβευσον, ειρήνην Χριστέ, πάσαις ταίς εκκλησίαις, τόν επικείμενον νύν, επικουφίζων πειρασμόν ως πολυέλεος.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Ιδών λαού σου Χριστέ τήν κάκωσιν, ως ιατρός ψυχών τε καί σωμάτων θεράπευσον, ικεσίαις Δέσποτα, τών σών Λειτουργών, τών νύν περικυκλούντων, σε τόν Παντάνακτα, φωναίς τε απαύστοις ως Θεόν δοξολογούντων σε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Αρχαί, Αρχάγγελοι, Κυριότητες, καί Σεραφείμ, Δυνάμεις, Εξουσίαι καί Άγγελοι, θρόνοι πολυομμάτοις σύν τοίς Χερουβείμ, νύν τόν δεδοξασμένον, Τόκον σου σέβοντες, σέ Παρθενομήτορ ευλαβώς αεί δοξάζουσι.

Απόστιχα τών Αίνων Κατανυκτικά

Τά τής καρδίας μου τραύματα, εκ πολλών αμαρτημάτων φυέντα μοι, ιάτρευσον Σωτήρ, ο τών ψυχών καί σωμάτων ιατρός, παρέχων τοίς αιτούσι, πταισμάτων τήν συγχώρησιν αεί, παράσχου μοι δάκρυα μετανοίας, διδούς μοι τήν λύσιν τών οφλημάτων Κύριε, καί ελέησόν με.

Στίχ. α'. Ενεπλήσθημεν τό πρωϊ τού ελέους σου, Κύριε, καί ηγαλλιασάμεθα καί ηυφράνθημεν έν πάσαις ταίς ημέραις ημών. Ευφρανθείημεν, ανθών ημερών εταπείνωσας ημάς, ετών, ών είδομεν κακά, καί ίδε επί τούς δούλους σου καί επί τά έργα σου, καί οδήγησον τούς υιούς αυτών.

Γυμνόν με ευρών τών αρετών ο εχθρός, τώ βέλει τής αμαρτίας έτρωσεν, αλλά σύ ως ιατρός ψυχών τε καί σωμάτων, τά τραύματα τής ψυχής μου θεράπευσον, ο Θεός καί ελέησόν με.

Μαρτυρικόν

Στίχ. β'. Καί έστω η λαμπρότης Κυρίου τού Θεού ημών εφ' ημάς, καί τά έργα τών χειρών ημών κατεύθυνον εφ' ημάς, καί τό έργον τών χειρών ημών κατεύθυνον.

Κύριε, εν τή μνήμη τών Αγίων σου, πάσα η Κτίσις εορτάζει, οι ουρανοί αγάλλονται σύν τοίς Αγγέλοις καί η γή ευφραίνεται σύν τοίς ανθρώποις. Αυτών ταίς παρακλήσεσιν, ελέησον ημάς.

Δόξα Καί νύν... Θεοτοκίον

Αρχαγγελικόν λόγον υπεδέξω, καί Χερουβικός θρόνος ανεδείχθης, καί εν αγκάλαις σου εβάστασας Θεοτόκε, τήν ελπίδα τών ψυχών ημών.

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Οι Μακαρισμοί

Μακάριοι οι ειρηνοποιοί, ότι αυτοί υιοί Θεού κληθήσονται.

Μνήσθητί μου, ο Θεός ο Σωτήρ μου, όταν έλθης εν τή Βασιλεία σου, καί σώσόν με, ως μόνος φιλάνθρωπος.

Μακάριοι οι δεδιωγμένοι ένεκεν δικαιοσύνης, ότι αυτών εστιν η βασιλεία τών ουρανών.

Πάριδέ μου, τά εν γνώσει καί αγνοία, πεπραγμένα Ιησού φιλάνθρωπε, καί σωζομένων, μερίδι με σύνταξον.

Μακάριοί εστε όταν ονειδίσωσιν υμάς, καί διώξωσι, καί είπωσι πάν πονηρόν ρήμα καθυμών ψευδόμενοι ένεκεν εμού.

Ο λαμπρύνας, τών Αγγέλων τάς χορείας, ταίς εκείνων Χριστέ παρακλήσεσι, τό οπτικόν μου, τής καρδίας φώτισον.

Μαρτυρικόν

Χαίρετε καί αγαλλιάσθε, ότι ο μισθός υμών πολύς εν τοίς ουρανοίς.

Πάσαν πείραν, αλγεινών υπενεγκόντες, Αθλοφόροι τά άλγη καί τραύματα, τά τών ανθρώπων, αεί θεραπεύετε.

Δόξα...

Τήν Τριάδα, τήν αγίαν προσκυνούμεν, υμνουμένην Αγγέλων στρατεύμασιν, αυτή βοώντες. Σώσον τάς ψυχάς ημών.

Καί νύν... Θεοτοκίον

Λύτρωσαί με, τού πυρός τού αιωνίου, καί βασ Θεογεννήτορ, όπως μακαρίζω σε.

HYPERLINK "" \l "top" top

6-3

Στιχηρά Προσόμοια Δεσποτικά

Ήχος πλ. β'

Όλην αποθέμενοι

Στίχ. α'. Εάν ανομίας παρατηρήσης, Κύριε, Κύριε τίς υποστήσεται; ότι παρά σοί ο ιλασμός εστιν.

Όλος εκ νεότητος, ταίς ηδοναίς εδουλώθην, τής σαρκός καί γέγονα, παθών καταγώγιον τυραννούντων με, τής ψυχής όλως δέ, αλογήσας Σώτερ, εντολών σου κατεφρόνησα, αλλά ο πλάσας με, καί ειδώς ημών τήν ασθένειαν, ο μόνος αναμάρτητος, δός μοι τήν συγχώρησιν εύσπλαγχνε, ών περ εν αγνοία καί γνώσει, αισθητώς καί νοητώς, από νεότητος ήμαρτον, μόνε ευσυμπάθητε.

Στίχ. β'. Ένεκεν τού ονόματός σου υπέμεινά σε, Κύριε, υπέμεινεν η ψυχή μου εις τόν λόγον σου, ήλπισεν η ψυχή μου επί τόν Κύριον.

Τίς εκ τού θανάτου με, τής ταλαιπώρου σαρκός μου, ρύσεται, καί σώσει μου, τήν ψυχήν απήμονα καί απείραστον; τυραννεί βία γάρ, ευπαθούσα αύτη, καί ψυχής κατεξανίσταται, καί θλίβει πάλιν δέ, ασθενούσα, οίμοι τώ τάλανι! Αντέχειν ούν ου δύναμαι, πρός τήν ταύτης Σώτερ ασθένειαν, αλλ' ώ Ποιητά μου, μή δώσης νικηθήναι τώ χοϊ, τό πνεύμα, ό μοι ενέπνευσας, ως αυτός ευδόκησας.

Στίχ. γ'. Από φυλακής πρωϊας μέχρι νυκτός, από φυλακής πρωϊας ελπισάτω Ισραήλ επί τόν Κύριον.

Όταν τή προστάξει σου, εκ τών δεσμών τού σαρκίου, βουληθής χωρίσαι μου, τήν ψυχήν Αθάνατε, τότε φείσαί μου, προσηνή Άγγελον, χαροποιώς βλέποντα, αποστείλας παραλήψεσθαι, καί διασώσεσθαι, από τών αρχόντων τού σκότους με, ευκόλως δυναμούντά με, τού ευθυπορήσαι τήν άνοδον, τήν εν τώ αέρι, καί φθάσαι εις προσκύνησιν τού σού, θρόνου φρικτού ακατάκριτον, Θεέ υπεράγαθε.

Έτερα τού Προδρόμου
Η απεγνωσμένη

Στίχ. δ'. Ότι παρά τώ Κυρίω τό έλεος, καί πολλή παρ' αυτώ, λύτρωσις. καί αυτός λυτρώσεται τόν Ισραήλ έκ πασών τών ανομιών αυτού.

Ο κατεγνωσμένος εν ασωτία, σοί τώ υπέρ λόγον δεδοξασμένω, προσπίπτω, καί δέομαι εκ βάθους τής καρδίας, ίδε τήν θλίψιν τής ψυχής μου, τής χαράς ο προλάμψας, ίδε τά έλκη τής καρδίας, μετανοίας ο κήρυξ, καί παράσχου μοι τήν σωτηρίαν, διά τής θείας πρεσβείας σου Πρόδρομε, καθικετεύων τόν Κύριον.

Στίχ. ε'. Αινείτε τόν Κύριον πάντα τά έθνη, επαινέσατε αυτόν, πάντες οι λαοί.

Όλος εν κακία κατεγνωσμένος, όλος απογνώσει βεβυθισμένος, αυτός πονηρότατος, καί ζοφερός υπάρχω, όλως κατεστιγμένος όλος, εξ ηδονών ατόπων, όλως δεινώς κατεφθαρμένος, καί κατηχρειωμένος, σού τοίς ίχνεσι προσπίπτω Μάκαρ, μη απορρίψης, αλλά σώσον Ιωάννη με, φίλε Κυρίου καί Πρόδρομε.

Στίχ. ς'. Ότι εκραταιώθη τό έλεος αυτού εφ' ημάς, καί η αλήθεια τού Κυρίου μένει εις τόν αιώνα.

Ρύσαι τήν ψυχήν μου πικρού θανάτου, τού τής αμαρτίας και τών πταισμάτων, πανεύφημε Πρόδρομε, καί ζώωσον εν έργοις θείοις, Χριστού τών προσταγμάτων, πρεσβειών σου δυνάμει, παύσον πολέμους αοράτως, τούς εμέ πολεμούντας, καί οδήγησον οδοίς ευθείαις, τής αιωνίου καί σωτηρίου καταπαύσεως, ταίς πρός Θεόν ικεσίαις σου.

Δόξα... καί νύν... Θεοτοκίον
Όλην αποθέμενοι

Σύμβολον οργής εστι, μνησικακία, θυμός τε, τής οργής εμφάνεια, δι' ών καί τών ύβρεων τά αλλόκοτα, αναιδώς άλλονται, τού οικτρού στόματος, τόν εν τούτοις ενεργούμενον, ποιούντες ένοχον, πυρός τής γεέννης, ως γέγραπται, διό ψυχή γρηγόρησον, φεύγε τόν θυμόν τόν πικρόν, τήν οργήν, μήνιν καί τήν ύβριν, καί πάσαν τήν δυσώδη εκδρομήν, τή Θεοτόκω κραυγάζουσα. Δέσποινά μου σώσόν με.

Απόστιχα Κατανυκτικά

Μετάνοιαν ου κέκτημαι, αλλ' ουδέ πάλιν δάκρυα, διά τούτο, ικετεύω σε Σωτήρ, πρό τέλους επιστρέψαι, καί δούναί μοι κατάνυξιν, όπως ρυσθήσωμαι τής κολάσεως.

Στίχ. Α'. Πρός σέ ήρα τούς οφθαλμούς μου, τόν κατοικούντα εν τώ ουρανώ. Ιδού, ως οφθαλμοί δούλων εις χείρας τών κυρίων αυτών, ως οφθαλμοί παιδίσκης εις χείρας τής κυρίας αυτής, ούτως οι οφθαλμοί ημών πρός Κύριον τόν Θεόν ημών, έως ού οικτιρήσαι ημάς.

Στίχ. Β'. Ελέησον ημάς, Κύριε, ελέησον ημάς, ότι επί πολύ επλήσθημεν εξουδενώσεως, επί πλείον επλ ήσθη η ψυχή ημών, τό όνειδος τοίς ευθηνούσι, καί η εξουδένωσις τοίς υπερηφάνοις.

Εν τή φρικτή παρουσία σου Χριστέ, μή ακούσωμεν, ουκ οίδα υμάς, τήν γάρ ελπίδα επί σοί τώ Σωτήρι εθέμεθα, ει καί τά σά προστάγματα ου πράττομεν, διά τήν αμέλειαν ημών, αλλά φείσαι τών ψυχών ημών δεόμεθα.

Μαρτυρικόν

Οι μαρτυρήσαντες διά σέ Χριστέ, πολλάς βασάνους υπέμειναν, καί τέλειον απέλαβον, τόν στέφανον εν ουρανοίς, ίνα πρεσβεύωσιν υπέρ τών ψυχών ημών.

Δόξα... καί νύν... Θεοτοκίον

Μεταβολή τών θλιβομένων, απαλλαγή τών ασθενούντων υπάρχουσα, Θεοτόκε Παρθένε, σώζε πόλιν καί λαόν, τών πολεμουμένων η ειρήνη, τών χειμαζομένων η γαλήνη, η μόνη προστασία τών πιστών.

Μετά τήν α' Στιχολογίαν
Καθίσματα Κατανυκτικά
Ήχος πλ. β'

Εννοώ τήν ημέραν τήν φοβεράν, καί θρηνώ μου τάς πράξεις τάς πονηράς, πώς απολογήσομαι, τώ αθανάτω Βασιλεί; ποία δέ παρρησία ατενίσω τώ Κριτή, ο άσωτος εγώ; Εύσπλαγχνε Πάτερ, Υίέ μονογενές, τό Πνεύμα τό άγιον, ελέησόν με.

Εις τήν κοιλάδα τού κλαυθμώνος, εις τόν τόπον όν διέθου, όταν καθίσης Ελεήμον, κρίσιν δικαίαν ποιήσαι, μή δημοσιεύσης μου τά κεκρυμμένα, μηδέ καταισχύνης με ενώπιον τών Αγγέλων, αλλά φείσαί μου ο Θεός, καί ελέησόν με.

Δόξα... καί νύν... Θεοτοκίον

Ελπίς τού κόσμου αγαθή

Τόν πρό αιώνων εκ Πατρός, άνευ μητρός γεννηθέντα, Υιόν καί Λόγον τού Θεού, επ' εσχάτων τών χρόνων, εκύησας σεσαρκωμένον, εξ αγνών αιμάτων σου Θεοκυήτορ άνευ ανδρός, όν αίτησαι δωρήσασθαι ημίν, αμαρτιών άφεσιν πρό τού τέλους.

Μετά τήν β' Στιχολογίαν

Καθίσματα Κατανυκτικά

Ελέησον ημάς Κύριε, ελέησον ημάς, πάσης γάρ απολογίας απορούντες, ταύτην σοι τήν ικεσίαν ως Δεσπότη, οι αμαρτωλοί προσφέρομεν. Ελέησον ημάς.

Κύριε ελέησον ημάς, επί σοί γάρ πεποίθαμεν, μή οργισθής ημίν σφόδρα, μηδέ μνησθής τών ανομιών ημών, αλλ' επίβλεψον καί νύν ως εύσπλαγχνος, καί λύτρωσαι ημάς εκ τών εχθρών ημών, σύ γάρ εί Θεός ημών, καί ημείς λαός σου, πάντες έργα χειρών σου, καί τό όνομά σου επικεκλήμεθα.

Δόξα... καί νύν... Θεοτοκίον

Ελπίς τού κόσμου αγαθή, Θεοτόκε Παρθένε, τήν σήν καί μόνην φοβεράν προστασίαν αιτούμεν, σπλαγχνίσθητι εις απροστάτευτον λαόν, δυσώπησον τόν ελεήμονα Θεόν, ρυσθήναι τάς ψυχάς ημών, εκ πάσης απειλής, μόνη ευλογημένη.

Μετά τήν γ' Στιχολογίαν

Καθίσματα Κατανυκτικά

Ελπίς τού κόσμου

Ζωής ως έδειξας οδούς, τοίς λαοίς Ιωάννη, βοών. Ευθύνατε υμών τάς καρδίας Κυρίω, διάσωσον πολυαμάρτητον ψυχήν, κατάνυξον πεπωρωμένον λογισμόν, καί ρύσαι κολάσεως μελλούσης σαίς ευχαίς, Πρόδρομε τού Σωτήρος.

Μαρτυρικόν

Αγγελικαί δυνάμεις

Αθλητικαί ενστάσεις επί τώ σκάμματι, τυραννικαί αικίσεις επί τούς Μάρτυρας, καί ίσταντο χοροί τών Ασωμάτων, βραβεία κατέχοντες τής νίκης, εξέστησαν τυράννους, καί Βασιλείς οι σοφοί, καθείλον τόν Βελίαρ, ομολογία Χριστού, ο ενισχύσας αυτούς, Κύριε δόξα σοι.

Δόξα... καί νύν... Θεοτοκίον

Πολλά τά πλήθη τών εμών Θεοτόκε πταισμάτων, πρός σέ κατέφυγον Αγνή, σωτηρίας δεόμενος. Επίσκεψαι τήν ασθενούσάν μου ψυχήν, καί αίτησαι τώ Υιώ σου καί Θεώ ημών, δοθήναί μοι τήν άφεσιν, ών έπραξα δεινών, μόνη ευλογημένη.

Κανών Κατανυκτικός, ού η Ακροστιχίς Λυτρωτά Χριστέ,
κούφισόν με πταισμάτων, Ιωσήφ.

Ωδή α'  Ήχος πλ. β'

Ο Ειρμός

Βοηθός καί σκεπαστής, εγένετό μοι εις σωτηρίαν, ούτός μου Θεός, καί δοξάσω αυτόν, Θεός τού πατρός μου, καί υψώσω αυτόν, ενδόξως γάρ δεδόξασται.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Λυτρωτά μου Ιησού, ως ελυτρώσω πολλών πταισμάτων, Πόρνην τήν ποτέ, μεταγνούσαν καλώς, καμέ δυσωπώ σε, τών αμέτρων μου κακών, ως ελεήμων λύτρωσαι.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Υποπλέων Ιησού, εν ματαιότητι διανοίας, βίου τό δεινόν, τούτο πέλαγος, φεύ! πολλοίς ναυαγίοις, περιέπεσα, εξ ών, απολυτρώσας σώσόν με.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Τούς γενναίους Αθλητάς, τού αλλοτρίου τούς καθαιρέτας, τούς καρτερικώς εναθλήσαντας, καί στέφος λαβόντας, εκ Θεού νικητικόν, περιχαρώς δοξάσωμεν.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ρητορεύοντες σοφώς, εν παρρησία Θεού τόν λόγον, ρήτορας δεινούς ενικήσατε, καί πάσαν ιδέαν, ενεγκόντες αλγεινών, μεγάλως εδοξάσθητε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ώφθης πύλη τής ζωής, θανάτου πύλας τώ τοκετώ σου, λύσασα Αγνή, ώφθης γή εκλεκτή, δι' ής ανυψώθη, από γής εις ουρανούς, τό τών ανθρώπων φύραμα.

Κανών τού Τιμίου Προδρόμου, ού η Ακροστιχίς
κατ' Αλφάβητον η δέ η' καί θ Ωδή. Έπος Ιωσήφ.

Ο Ειρμός

Ο αισθητός Φαραώ, κατεποντίσθη πανστρατί, Ισραήλ δέ διελθών, εν μέσω τής θαλάσσης ανεβόα, Κυρίω τώ Θεώ ημών άσωμεν, ότι δεδόξασται.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Άγγελος θείος τήν σήν, γέννησιν Άγγελε Θεού, προμηνύει τώ Πατρί, μεθ' ού ημών μνημόνευε, εν ημέρα τής δίκης, τού ευρείν ημάς έλεος, άγιε Πρόδρομε.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Βλαστός υπάρχων τερπνός, ερήμου Πρόδρομε Χριστού, εν εμοί τήν απαύστως, βλαστάνουσαν αμέλειαν, εκ ριζών ανασπάσας, μετανοίας προσφέρειν με, καρπούς ευόδωσον.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Γαστήρ στειρεύουσά σε, καρπογονεί πανευκλεώς, γονίμους καρδίας, τάς πρίν ακάρπους δείξαντα, αλλά πίστει βοώ σοι, Βαπτιστά τούς ακάρπους μου, λογισμούς έκτιλον.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Δόλω απαύστως ο εχθρός, θηρεύει με ο πονηρός, τής αυτού με ενέδρας, Πανάμωμε εξάρπασον, καί ποιείν τού Δεσπότου, Θεοτόκε ευόδωσον, μόνον τό θέλημα.

Ωδή γ'  Ο Ειρμός

Στερέωσον Κύριε, επί τήν πέτραν τών εντολών σου, σαλευθείσαν τήν καρδίαν μου, ότι μόνος άγιος, υπάρχεις καί Κύριος.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ιλέω σου όμματι, ηνίκα μέλλω ενώπιόν σου, παραστήναί τε καί κρίνεσθαι, πρόσβλεψόν μοι μόνε, ευδιάλλακτε Κύριε.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Στενάζοντα δέξαι με, ως τόν Τελώνην ψυχής εκ βάθους, καί μετάνοιάν μοι δώρησαι, αμαρτίας πάσης με, Σωτήρ απαλλάττουσαν.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Τοίς ρεύμασιν Άγιοι, τών παναγίων υμών αιμάτων, εναγώς λύθρον φερόμενον, απεπαύσατε δαίμοσι, ποτέ επιβώμιον.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Εν Πνεύματι Άγιοι, ερριζωμένοι τώ παναγίω, κατεστρέψατε σεβάσματα απωλείας, πάντας πρός τήν πίστιν στηρίζοντες.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Συνέλαβες Άχραντε, τόν συνοχέα παντός τού κόσμου, διά τούτο ικετεύω σε, Λύτρωσαί με πάσης, συνεχούσης κολάσεως.

Κανών τού Προδρόμου

Ο Ειρμός

Εν τή στερρά τής πίστεώς σου πέτρα, τόν λογισμόν εδράσας τής ψυχής μου, στερέωσον, Κύριε, σέ γάρ έχω Αγαθέ, καταφυγήν καί στερέωμα.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Επιστροφήν οδού πεπλανημένης, δίδου μοι νύν, καί έκτεινόν μοι χείρα, μακάριε Πρόδρομε, εν πελάγει τών δεινών, διηνεκώς θαλαττεύοντι.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Ζώ αμελώς καί η τομή εγγίζει, ταίς σαίς προσευχαίς, ανάνευσίν μοι δίδου, αοίδιμε Πρόδρομε, μή ως άκαρπος εις πύρ, αποπεμφθήσωμαι άσβεστον.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Η φοβερά ημέρα επί θύραις, καί χαλεπά, περίκειμαι φορτία, εξ ών με ελάφρωσον, τού Κυρίου Βαπτιστά, ταίς καθαραίς σου δεήσεσι.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Θρόνος Θεού, εδείχθης Θεοτόκε, εν ώ σαρκί καθίσας, τού αρχαίου εξήγειρε πτώματος, τούς ανθρώπους εν φωναίς, χαριστηρίοις υμνούντάς σε.

Ωδή δ'  Ο Ειρμός

Ακήκοεν ο Προφήτης, τήν έλευσίν σου Κύριε καί εφοβήθη, ότι μέλλεις εκ Παρθένου τίκτεσθαι, καί ανθρώποις δείκνυσθαι, καί έλεγεν. Ακήκοα τήν ακοήν σου, καί εφοβήθην, δόξα τή δυνάμει σου Κύριε.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Κρουνούς μοι δακρύων δίδου, ξηραίνοντας τών παθών μου τάς αναβλύσεις, καί τής αμαρτίας πάντα βόρβορον, αποπλύνοντας Οικτίρμον Κύριε, καί παύοντας πυρός γεέννης, αιωνιζούσης, φλόγα μοι τήν άσβεστον.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ου παύομαι επιξέων, τά τραύματα τής ψυχής μου φιληδονίαις, μόνος δέ αναίσθητος εις αίσθησιν, εμαυτού ελθείν μή προαιρούμενος, τίς γένωμαι, καί τί ποιήσω; Χριστέ, Οικτίρμον, ίασαι καί σώσόν με.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Υδάτων τής απωλείας, καί κλύδωνος τής κακίας, τή κυβερνήσει, τή ενθέω Μάρτυρες αοίδιμοι, πίστει υποπλέοντες τό πέλαγος, τό άστατον, τής Βασιλείας τής ουρανίου, όρμον κατελάβετε.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Φωστήρες τής ευσεβείας, λαμπτήρες τής αληθείας γεγενημένοι, φέγγει τών αγώνων εμειώσατε, σκότος αθεϊας πολυώδυνον, θαυμάτων δέ ταίς φρυκτωρίαις, παθών ομίχλην, Μάρτυρες σκεδάζετε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Επτάφωτόν σε λυχνίαν, τό πύρ τής θεογνωσίας, φέρουσαν Κόρη, ο Προφήτης πάλαι προεώρακε, φαίνον τοίς εν σκότει κινδυνεύουσι, Πανάμωμε τής αγνωσίας, διό βοώ σοι, Φώτισον με δέομαι.

Κανών τού Προδρόμου

Ο Ειρμός

Ακήκοα Κύριε, τήν ακοήν σου καί εφοβήθην, κατενόησα τά έργα σου, καί εξέστην, δόξα τή δυνάμει σου Κύριε.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Ιάτρευσον Πρόδρομε, τήν πληγωθείσαν ληστών εφόδοις, ικετεύω σε καρδίαν μου, δραστηρίω θείας σου φαρμάκω δεήσεως.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Κατάβαλε Πρόδρομε, τήν έτι ζώσαν εν τή ψυχή μου, αμαρτίαν καί ανάνευσιν, νύν μοι δίδου, πρός τάς ηδονάς ολισθαίνοντι.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Λιμήν ημίν φάνηθι, χειμαζομένοις εν τώ πελάγει, τώ τού βίου τό κλυδώνιον, μεταβάλλων, όλον εις γαλήνην Πανόλβιε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Μή κρίνης με Κύριε, κατά τά έργα μου δυσωπώ σε, αλλά ίλεώς μοι φάνηθι, δυσωπεί σε, σύν τώ Βαπτιστή η Τεκούσά σε.

Ωδή ε'  Ο Ειρμός

Εκ νυκτός ορθρίζοντα, Φιλάνθρωπε, φώτισον δέομαι, καί οδήγησον καμέ, εν τοίς προστάγμασί σου, καί δίδαξόν με Σωτήρ, ποιείν τό θέλημά σου.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ιδού ο τό τάλαντόν σου κρύψας Χριστέ, οκνηρός δούλός σου, καί σχολάσας πονηραίς, τών παθών εργασίαις, εγώ υπάρχω, διό, μή με εις πύρ εκπέμψης.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Σός υιός γενόμενος εν χάριτι, εύσπλαγχνε Κύριε, εδουλώθην τώ εχθρώ, καί σού απεμακρύνθην, ζήσας ασώτως, διό, επιστρέψας με σώσον.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Οι Μάρτυρες ίσταντο πρό βήματος, θώρακα πίστεως, περιφέροντες, διό, τοίς βέλεσι τής πλάνης, τρώσαι αυτούς ο δεινός, ουκ ίσχυσε Βελίαρ.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Νεκρούμενοι σώμασιν οι Μάρτυρες, πάσας ενέκρωσαν, μεθοδείας τού εχθρού, καί πρός ζωήν αγήρω, μετέβησαν εν χαρά, στέφος λαβόντες δόξης.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Πύλη αδιόδευτε διάνοιξον, πύλας μοι δέομαι, μετανοίας αληθούς, καί δείξόν μοι τήν τρίβον, τής σωτηρίας Αγνή, η πάντων οδηγία.

Κανών τού Προδρόμου

Ο Ειρμός

Πρός σέ ορθρίζω, τόν δι' ευσπλαγχνίαν, σεαυτόν τώ πεσόντι, κενώσαντα ατρέπτως, καί μέχρι παθών, απαθώς υποκύψαντα, Λόγε Θεού. Τήν ειρήνην παράσχου μοι φιλάνθρωπε.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Ναός εγένου, μάκαρ τής Τριάδος, καί ναώ σου αγίω, ιδού συνηθροισμένοι, εν πίστει θερμή, δυσωπούμέν σε Πρόδρομε, ρύσαι ημάς, πειρασμών τε, καί θλίψεων μακάριε.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Ξενώσας πάσης, αρετής τόν νούν μου, σέ τόν ξένην τεμόντα οδόν, εν βίω μάκαρ, νύν εκδυσωπώ, τώ τών όλων Θεώ με οικείωσον, βελτιών με αρίσταις επιδόσεσιν.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Ο καταδύσας, ταίς τού Ιορδάνου, προχοαίς τού ελέους, τήν άβυσσον Προφήτα, τάς βρύσεις τών κακών μου, πρεσβείαις σου ξήρανον, Οχετούς μοι δακρύων παρεχόμενος.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Πεποικιλμένη, θείαις αγλαΐαις, τόν ωραίον εν κάλλει, εκύησας Παρθένε, αυτόν, ούν αεί εκδυσώπει, σωθήναι ημάς εκ φθοράς, τούς εν πίστει καί πόθω σε δοξάζοντας.

Ωδή ς'  Ο Ειρμός

Εβόησα εν όλη καρδία μου, πρός τόν οικτίρμονα Θεόν, καί επήκουσέ μου, εξ άδου κατωτάτου, καί ανήγαγεν εκ φθοράς τήν ζωήν μου.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Μή δείξης με δαιμόνων επίχαρμα, εν τή ημέρα τή φρικτή, μή ακούσω τότε, φωνής παραπεμπούσης, εις τό πύρ Χριστέ, Ιησού τό τής γεέννης.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Εβύθισε βυθώ παραπτώσεων, οτών δικαίων με εχθρός, καί τών οικτιρμών σου, προστρέχω τώ πελάγει, Ιησού πρός όρμον, ζωής νύν ίθυνόν με.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Πόνων πολλών αρότρω νεώσαντες, ψυχής τήν αύλακα Σοφοί, τώ ενθέω σπόρω, τής πίστεως πολύχουν, μαρτυρίου στάχυν, σαφώς εγεωργείτε.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Τοίς τραύμασι κατετραυματίσατε, τόν τραυματίσαντα υμάς, ευσεβώς Οπλίται, διό μετατεθέντες πρός ζωήν, τά πάθη, βροτών καί νύν ιάσθε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ναός Θεού εδείχθης Πανάμωμε, εν ώ οικήσας ιερώς, τήν βροτών ουσίαν, εθέωσε ποιήσας, τούς πιστούς, ναούς εαυτού παραδόξως.

Κανών τού Προδρόμου

Ο Ειρμός

Άβυσσος εσχάτη, αμαρτημάτων εκύκλωσέ με, καί τόν κλύδωνα μηκέτι φέρων, ως Ιωνάς τώ Δεσπότη βοώ σοι, εκ φθοράς με ανάγαγε.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Ράδαμνος Προφήτα, ρίζης ακάρπου εβλάστησας, καί καρδίας στειρευούσας πάσης, θεογνωσίας εγκάρπους, εις αίνεσιν Κυρίου απέδειξας,

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Σύντριψον εν τάχει, τόν πονηρόν εν τοίς ποσίν ημών, καί κατεύθυνον ημών τούς πόδας, τούς νοητούς εις ειρήνης οδόν, ταίς προστασίαις σου Πρόδρομε.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Τείχισον Προφήτα, δικαιοσύνης τήν ποίμνην σου, εκλυτρούμενος ημάς παντοίας, επιβουλής τών δαιμόνων, καί τής αιωνιζούσης κολάσεως.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ύμνον σοι Παρθένε, ευχαριστίας προσάγομεν, διά σού Αγνή οι σεσωσμένοι, εκ τής αρχαίας κατάρας, καί πάσαν ευλογίαν καρπούμενοι.

Ωδή ζ' Ο Ειρμός

Ημάρτομεν, ηνομήσαμεν, ηδικήσαμεν ενώπιόν σου, ουδέ συνετηρήσαμεν, ουδέ εποιήσαμεν, καθώς ενετείλω ημίν, αλλά μή παραδώης ημάς εις τέλος, ο τών Πατέρων Θεός.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Αποσκοπώ εις τό έλεος, σού τό άμετρον άμετρα πταίσας, οίδά σου τήν συμπάθειαν, οίδα τό μακρόθυμον, καί τό ανεξίκακον, μετανοίας μοι δώ καί σώρησαι οικτίρμον, καρπούς σόν με.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ιάτρευσον τής καρδίας μου, τά ανίατα πάθη Οικτίρμον δίδου αποκοπήν τών χρεών μου, τό βαρύτατον φορτίον ελάφρυνον, ίνα εν κατανύξει σε δοξάζω αεί, τόν τών Πατέρων Θεόν.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Στρεβλούμενοι, συγκοπτόμενοι, δαπανώμενοι πυρί ενύλω, λέουσιν εκδιδόμενοι βρώμα, καί τεινόμενοι τροχοίς, ουκ ηρνήσαντό σε, τόν ζώντα Θεόν ημών οι θείοι, καί ιεροί Αθληταί.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Μερίζεσθε εκ τού, σώματος, αλλ' αμέριστοι Θεού οράσθε, Μάρτυρες δι' ενώσεως, θείας τού ενώσαντος, εαυτόν αρρεύστως ημίν, όν αεί δυσωπήσατε σωθήναι, πάσης ανάγκης ημάς.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Εβλάστησας άνευ σπέρματος, όν εγέννησε Πατήρ αρρεύστως, έμεινας μετά τόκον, παρθένος ως πρό τού τόκου, διό μεμακάρισαι, καί δεδόξασαι Άχραντε απαύστως, ως Μήτηρ ούσα Θεού.

Κανών τού Προδρόμου

Ο Ειρμός

Οι Παίδες εν Βαβυλώνι, καμίνου φλόγα ουκ έπτηξαν, αλλ' εν μέσω φλογός εμβληθέντες, δροσιζόμενοι έψαλλον. Ευλογητός εί Κύριε, ο Θεός τών Πατέρων ημών.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Φωνή τού Λόγου υπάρχων, νύν τάς φωνάς ημών πρόσδεξαι, Βαπτιστά, καί παθών καί κινδύνων, καί πολλών περιστάσεων, καί αιωνίου λύτρωσαι, τόν λαόν σου κολάσεως.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Χειρί δεικνύεις Προφήτα, Αμνόν Θεού κόσμου αίροντα, αμαρτίας αεί, όν δυσώπει αφαιρείν μου, τά πταίσματα τά χαλεπά καί χρόνια, καί ζωής αξιώσαί με.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Ψυχή μου σπεύσον καί κράξον, τόν σκοτασμόν καταλείψασα, τών αλόγων πράξεων. Οίκτειρόν με Ιησού, παρακλήσεσι τού Βαπτιστού καί ρύσαί με, τού βορβόρου τών έργων μου.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ώ παρειστήκεισαν τρόμω, τά επουράνια Τάγματα, τούτον τίκτεις Αγνή ενωθέντα, τοίς βροτοίς αγαθότητι, όν εκτενώς ικέτευε, οικτειρήσαι τούς δούλους σου.

Ωδή η'  Ο Ειρμός

Ον Στρατιαί, ουρανών δοξάζουσι, καί φρίττει τά Χερουβείμ, καί τά Σεραφείμ, πάσα πνοή καί κτίσις, υμνείτε εύλογείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Αποσκοπώ εις τό μέγα έλεος, τών οικτιρμών σου, Χριστέ, ώσπερ ο Δαυϊδ, πταίσας υπέρ ε κείνον, καί κράζω σύν εκείνω. Μόνε ελεήμον, ελέησόν με διά τάχους.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Τέλος χρηστόν, γενέσθαι μοι εύχομαι, καί θέσθαι ταίς πονηραίς, πράξεσί ποτε, τέλος ου προθυμούμαι, πεπωρωμένην έχων, τήν εμήν καρδίαν, οικτείρησόν με Θεού Λόγε.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ως εκλεκτά, καί άμωμα θύματα, τυθέντι υπέρ υμών, τώ μονογενεί, Λόγω εθελουσίως, προσήχθητε θυσίας, πάσας καταργούντες, τάς τών δαιμόνων Αθλοφόροι.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Νευρών τομάς, οδόντων εκρίζωσιν, αφαίρεσίν τε χειρών, ξέσεις τε μελών, πάσαν ποινήν τε άλλην, ηνέγκατε γενναίως, Μάρτυρες, υμνούντες, Χριστόν τόν μόνον αθλοθέτην.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νέον ημίν, βρέφος απεκύησας, τόν παλαιόν ημερών, νέας επί γής, τρίβους υποδεικνύντα, καί τήν παλαιωθείσαν φύσιν καινουργούντα, Ανύμφευτε ευλογημένη.

Κανών τού Προδρόμου

Ο Ειρμός

Νόμων πατρώων οι μακαριστοί, εν Βαβυλώνι Νέοι προκινδυνεύοντες, Βασιλεύοντος κατέπτυσαν, προταγής αλογίστου, καί συνημμένοι, ώ ουκ εχωνεύθησαν πυρί, τού κρατούντος επάξιον, ανέμελπον τόν ύμνον, τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Επί τόν Λόγον, βαπτιζόμενον, περιστεράς εν είδει Πνεύμα τό άγιον, εθεάσω κατερχόμενον, καί φωνής επακούσαι, κατηξιώθης, μάκαρ τού Πατρός. Ούτός εστιν, ο Υιός μου ο σύνθρονος, ώ μέλπει πάσα κτίσις.
Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Πυρί Προφήτα, σών δεήσεων, τά φρυγανώδη πάθη τής διανοίας μου, καταφλέξας εσβεσμένον μου, τόν λύχνον τής καρδίας, άναψον πάλιν, όπως τηλαυγώς κατανοών, αναμέλπω τού Κτίσαντος, τό φώς τών προσταγμάτων. Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Ο κατακρύψας, δούλος τάλαντον, όπερ εις εργασίαν εκ Θεού είληφα, εγώ πέφυκα ο άθλιος, καί τί ποιήσω, όταν εις κρίσιν έλθης, εκάστου τό έργον εκζητών, Πρόφθασον τοίνυν Προφήτα, κραυγάζοντά με πίστει. Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Συντήρησόν μου, τήν διάνοιαν, έν ταπεινώσει Κόρη θεοχαρίτωτε, ή τώ τόκω σου συντρίψασα, επάρσεις τών δαιμόνων, καί ύψωσόν με, από τής κοπρίας τών παθών, καί πεινώντατήν χάριν σου, κόρεσον μελωδούντα. Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Ωδή θ' Ο Ειρμός

Ασπόρου συλλήψεως, ο τόκος ανερμήνευτος, Μητρός ανάνδρου, άφθορος η κύησις, Θεού γάρ η γέννησις, καινοποιεί τάς φύσεις, διό σε πάσαι αί γενεαί, ως Θεόνυμφον Μητέρα, ορθοδόξως μεγαλύνομεν.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ιησού φιλάνθρωπε, ο μόνος τήν ασθένειαν, ημών γινώσκων, ταύτην γάρ εφόρεσας, δι' οίκτον βουλόμενος, αυτήν αποκαθάραι, διό τούς σπίλους τούς πονηρούς, καί τά έλκη τών παθών μου, αποκάθαρον, καί σώσόν με.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ως Πόρνη τά δάκρυα, προσφέρω σοι φιλάνθρωπε, ως ο Τελώνης, στενάζων κραυγάζω σοι, Ιλάσθητι σώσόν με, ώσπερ η Χαναναία, Ελέησόν με, εκβοώ, ως τόν Πέτρον μεταγνόντα, συγχωρήσεως αξίωσον.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Σαρκί συμπλεκόμενοι, ασάρκω κοσμοκράτορι, πυγμαίς τών άθλων, τούτον κατεβάλετε, καί νίκης τόν στέφανον, εδέξασθε αξίως, διό πρεσβεύσατε εκτενώς, υπέρ πάντων τών εν πίστει, ευφημούντων υμάς Άγιοι.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ηγίασας Κύριε, τήν γήν αγίοις αίμασι, τών σών Αγίων, καί τούτων Πανάγιε, τά πνεύματα πνεύμασι, Δυνάμεων αγίων, συνάπτεις πάντοτε, δι' αυτών, αγιάζων τούς εν πίστει, αληθεί σε αγιάζοντας.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φωνήν σοι προσάγομεν, τήν τού Άγγέλου Πάναγνε, ευλογημένη. Χαίρε η χωρήσασα, Θεόν τόν αχώρητον, χαίρε κατάρας λύσις, καί ευλογίας εισαγωγή, χαίρε μόνη Παραδείσου, η τήν θύραν ανεώξασα.

Κανών τού Προδρόμου

Ο Ειρμός

Ξενίας δεσποτικής, καί αθανάτου τραπέζης, εν υπερώω τόπω, ταίς υψηλαίς φρεσί, πιστοί δεύτε απολαύσωμεν, επαναβεβηκότι λόγον, εκ σού μαθόντες, όν μεγαλύνομεν.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Ιάτρευσόν μου τόν νούν, φιληδονίαις τού βίου, δεινώς τραυματισθέντα, καί παύσον τό σφοδρώς, συνταράσσον με κλυδώνιον, καί δείξόν μοι τής μετανοίας, τάς οδούς τάς ευθείας, Κυρίου Πρόδρομε.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Ώράθης μέσον εστώς, τής Παλαιάς τε καί Νέας, τήν μέν Προφήτα παύων, τής δέ τό φώς δηλών, ο πορεύεσθαι ευόδωσον, ημάς εν συνειδότι θείω, όπως σκότους ρυσθώμεν, διαιωνίζοντος.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Συνήφθης ταίς Στρατιαίς, ταις ουρανίαις θεόφρον, μεθ' ών Χριστόν δυσώπει, τούς επί γής ημάς, διασώζεσθαι τιμώντάς σε, εν τώ σεπτώ σου τούτω οίκω, Βαπτιστά Ιωάννη, Κυρίου Πρόδρομε.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Ημέρα πλήρης θυμού, ημέρα σκότους υπάρχει, τοίς έργα σχούσι σκότους, η δίκη η φρικτή, Βαπτιστά Χριστού καί Πρόδρομε, ικεσίαις σου τότε ρύσαι, κατακρίσεως πάσης, τούς σε γεραίροντας.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φανείσα τών Χερουβείμ, αγιωτέρα Παρθένε, ως τόν Θεόν τεκούσα τόν υπεράγιον, πάντας ημάς καθαγίασον, τούς εν φωναίς αγίαις πίστει, εν νυκτί καί ημέρα, σέ αγιάζοντας.

Απόστιχα τών Αίνων Κατανυκτικά

Τά τής καρδίας μου τραύματα, εκ πολλών αμαρτημάτων φυέντα μοι, ιάτρευσον Σωτήρ, ο τών ψυχών καί σωμάτων ιατρός, καί παρέχων τοίς αιτούσι, πταισμάτων τήν συγχώρησιν αεί, παράσχου μοι δάκρυα μετανοίας, διδούς μοι τήν λύσιν τών εγκλημάτων Κύριε, καί ελέησόν με.

Στίχ. α'. Ενεπλήσθημεν τό πρωϊ τού ελέους σου, Κύριε, καί ηγαλλιασάμεθα καί ηυφράνθημεν έν πάσαις ταίς ημέραις ημών. Ευφρανθείημεν, ανθών ημερών εταπείνωσας ημάς, ετών, ών είδομεν κακά, καί ίδε επί τούς δούλους σου καί επί τά έργα σου, καί οδήγησον τούς υιούς αυτών.

Γυμνόν με ευρών τών αρετών ο εχθρός, τώ βέλει τής αμαρτίας έτρωσεν, αλλά σύ ως ιατρός ψυχών τε καί σωμάτων, τά τραύματα τής ψυχής μου θεράπευσον, Κύριε καί ελέησόν με.

Μαρτυρικόν

Στίχ. β'. Καί έστω η λαμπρότης Κυρίου τού Θεού ημών εφ' ημάς, καί τά έργα τών χειρών ημών κατεύθυνον εφ' ημάς, καί τό έργον τών χειρών ημών κατεύθυνον.

Κύριε, ειμή τούς Αγίους σου είχομεν πρεσβευτάς, καί τήν αγαθότητά σου συμπαθούσαν ημίν, πώς ετολμώμεν Σωτήρ υμνήσαί σε, όν ευλογούσιν απαύστως Άγγελοι; Καρδιογνώστα, φείσαι τών ψυχών ημών.

Δόξα... καί νύν... Θεοτοκίον

Ουδείς προστρέχων επί σοί, κατησχυμμένος από σού εκπορεύεται, αγνή Παρθένε Θεοτόκε, αλλ' αιτείται τήν χάριν, καί λαμβάνει τό δώρημα, πρός τό συμφέρον τής αιτήσεως.

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Οι Μακαρισμοί

Μακάριοι οι ειρηνοποιοί, ότι αυτοί υιοί Θεού κληθήσονται.

Μνήσθητί μου, ο Θεός ο Σωτήρ μου, όταν έλθης εν τή Βασιλεία σου, καί σώσόν με, ως μόνος φιλάνθρωπος.

Μακάριοι οι δεδιωγμένοι ένεκεν δικαιοσύνης, ότι αυτών εστιν η βασιλεία τών ουρανών.

Ο τού Πέτρου, προσδεξάμενος τόν θρήνον, πρόσδεξαί μου Χριστέ τήν μετάνοιαν, καί σωζομένων, τή τάξει με σύνταξον.

Μακάριοί εστε όταν ονειδίσωσιν υμάς, καί διώξωσι, καί είπωσι πάν πονηρόν ρήμα καθυμών ψευδόμενοι ένεκεν εμού.

Ο κηρύξας, τήν μετάνοιαν ανθρώποις, τού Κυρίου Βαπτιστά καί Πρόδρομε, μετανοείν με εκ ψυχής ικέτευε.

Μαρτυρικόν

Χαίρετε καί αγαλλιάσθε, ότι ο μισθός υμών πολύς εν τοίς ουρανοίς.

Τρικυμίας, ενεγκόντες παθημάτων, Αθλοφόροι βροτών τά νοσήματα, νύν εξιάσθε, όθεν μακαρίζεσθε.

Δόξα...

Ο Προφήταις, δοξαζόμενος Θεός, ο εν Τριάδι απλή ασυγχύτω τε, ταίς τού Προδρόμου, σώσον ικεσίαις με.

Καί νύν... Θεοτοκίον

Προστασία, τών εν θλίψεσι βεβαία, πρόστηθί μοι τοομιλούντι, καί σώσόν με δέομαι.

HYPERLINK "" \l "top" top

6-4

Στιχηρά Προσόμοια Δεσποτικά

Ήχος πλ. β'  Η απεγνωσμένη

Στίχ. α'. Εάν ανομίας παρατηρήσης, Κύριε, Κύριε τίς υποστήσεται; ότι παρά σοί ο ιλασμός εστιν.

Ο Θεός ο θέλων σωθήναι πάντας, επίβλεψον, ίδε τήν προσευχήν μου, καί μή μου τά δάκρυα, ως μάταια απώση, τίς γάρ προσήλθέ σοι προσπίπτων, καί ευθύς ουκ εσώθη; τίς δέ εβόησε θερμώς σοι, καί ευθύς ουκ ηκούσθη; καί γάρ Δέσποτα, ταχύς ευρίσκη, εις σωτηρίαν πάσι τοίς αιτούσί σε Κύριε, διά τό μέγα σου έλεος.

Στίχ. β'. Ένεκεν τού ονόματός σου υπέμεινά σε, Κύριε, υπέμεινεν η ψυχή μου εις τόν λόγον σου, ήλπισεν η ψυχή μου επί τόν Κύριον.

Τόν ταίς αμαρτίαις καταποθέντα, καί φιληδονίαις καταρραγέντα, ανάστησον εύσπλαγχνε, τή σή φιλανθρωπία, μή με επίχαρμα δαιμόνων, συγχωρήσης γενέσθαι, μηδέ ανάξιον εάσης, τών φρικτών μυστηρίων, αλλά πρόσδεξαι ως ελεήμων, πρό τής εξόδου στεναγμούς μου καί δάκρυα, καί τών παθών με ελευθέρωσον.

Στίχ. γ'. Από φυλακής πρωϊας μέχρι νυκτός, από φυλακής πρωϊας ελπισάτω Ισραήλ επί τόν Κύριον.

Θρήνησον ψυχή μου πρό τής εξόδου, πρόσπεσον τώ Κτίστη εν μετανοία, δάκρυα προσάγαγε, εξ όλης τής καρδίας, κράξον Χριστώ εν κατανύξει. Ημάρτηκά σοι Λόγε, δέξαι πολλά ημαρτηκότα, μή με αποβδελύξη, μή παρόψη με Δικαιοκρίτα, μηδέ εις πύρ με αποπέμψης μακρόθυμε, διά τό μέγα σου έλεος.

Έτερα τής Θεοτόκου

Όλην αποθέμενοι

Στίχ. δ'. Ότι παρά τώ Κυρίω τό έλεος, καί πολλή παρ' αυτώ, λύτρωσις. καί αυτός λυτρώσεται τόν Ισραήλ έκ πασών τών ανομιών αυτού.

Ο γάμος ηυτρέπισται, τού ουρανίου Νυμφίου, οι κήρυκες κράζουσι, τί βραδύνεις μέλαινα, εκουσίως ψυχή; ρυπαρά πάντα σου, αληθώς υπάρχει, ασελγείαις τά ιμάτια, καί πώς ταλαίπωρε, μέλλεις εισελθείν, δεύρο, πρόσπεσον, πρό τέλους εκ καρδίας σου, τή Αειπαρθένω κραυγάζουσα. Υσσώπω πρεσβείας, ραντίσασα καθάρισον Αγνή, καί τού νυμφώνος αξίωσον, όπως μεγαλύνω σε.

Στίχ. ε'. Αινείτε τόν Κύριον πάντα τά έθνη, επαινέσατε αυτόν, πάντες οι λαοί.

Νοός καθαρότητι, ο Ησαϊας Παρθένε, πόρρωθεν προέφησε, ποιητήν τής κτίσεως τεξομένην σε, ώ Σεμνή Πάναγνε, σύ γάρ ώφθης μόνη, εξ αιώνος Παναμώμητος, διό σου δέομαι τήν μεμολυσμένην καρδίαν μου, καθάρισον καί λάμψεως, θείας κοινωνόν με ανάδειξον, Κόρη τού Υιού σου, καί στάσεως αυτού τής δεξιάς, όταν καθίση, ως γέγραπται, κρίναι κόσμον άπαντα.

Στίχ. ς'. Ότι εκραταιώθη τό έλεος αυτού εφ' ημάς, καί η αλήθεια τού Κυρίου μένει εις τόν αιώνα.

Η πόρνη κενώσασα, μύρου αλάβαστρον πάλαι, τοίς ποσί σου Δέσποτα, πάντων ηλευθέρωται, ών περ έπραξεν, ο Ληστής μόνον σου, μνημονεύσας ώφθη, καί ευθέως εις Παράδεισον, αυτόν εισήγαγες, εγώ δέ τί πράξω ο άθλιος; ου μύρον, ου κατάνυξιν, έχω, δωρεάν με ελέησον, οίκτειρόν με Λόγε, η άχραντός σου Μήτηρ δυσωπεί, ήν εδωρήσω τώ κόσμω σου, μέγα καταφύγιον.

Δόξα... Καί νύν...

Σταυροθεοτοκίον όμοιον

Κρίσιν Ισραήλ κριταί, θανατηφόρον κριθήναι, σέ Υιέ κατέκριναν, ως κριτόν σε στήσαντες επί βήματος, τόν νεκρούς κρίνοντα, καί τούς ζώντας Σώτερ, καί Πιλάτω παριστώσί σε, καί κατακρίνουσι, πρό τής δίκης φεύ! οι παράνομοι, καί βλέπουσα τιτρώσκομαι, καί συγκατακρίνομαι Κύριε, όθεν καί προκρίνω, θανείν υπέρ τό ζήν εν στεναγμοίς, η Θεοτόκος εκραύγαζε, μόνε πολυέλεε.

Απόστιχα Σταυρώσιμα

Ο Σταυρός σου Κύριε, ζωή καί αντίληψις, υπάρχει τώ λαώ σου, καί επ' αυτώ πεποιθότες, σέ τόν σταυρωθέντα, σαρκί Θεόν ημών υμνούμεν, ελέησον ημάς.

Στίχ. Α'. Πρός σέ ήρα τούς οφθαλμούς μου, τόν κατοικούντα εν τώ ουρανώ. Ιδού, ως οφθαλμοί δούλων εις χείρας τών κυρίων αυτών, ως οφθαλμοί παιδίσκης εις χείρας τής κυρίας αυτής, ούτως οι οφθαλμοί ημών πρός Κύριον τόν Θεόν ημών, έως ού οικτιρήσαι ημάς.

Ο Σταυρός σου Κύριε, Παράδεισον ήνοιξε, τώ γένει τών ανθρώπων, καί εκ φθοράς λυτρωθέντες, σέ τόν σταυρωθέντα, σαρκί Θεόν ημών υμνούμεν, ελέησον ημάς.

Μαρτυρικόν

Στίχ. Β'. Ελέησον ημάς, Κύριε, ελέησον ημάς, ότι επί πολύ επλήσθημεν εξουδενώσεως, επί πλείον επλ ήσθη η ψυχή ημών, τό όνειδος τοίς ευθηνούσι, καί η εξουδένωσις τοίς υπερηφάνοις.

Οι αθλοφόροι Μάρτυρες, καί ουρανοπολίται, επί γής αθλήσαντες, πολλάς βασάνους υπέμειναν, πρεσβείαις Κύριε, καί ευχαίς αυτών, πάντας ημάς διαφύλαξον.

Δόξα... Καί νύν... Σταυροθεοτοκίον

Ορώσά σε σταυρούμενον, Χριστέ η σέ κυήσασα, ανεβόα. Τί τό ξένον, ο ορώ, μυστήριον Υιέ μου, πώς επί ξύλου θνήσκεις, σαρκί κρεμάμενος, ζωής χορηγέ;

Μετά τήν α' Στιχολογίαν

Καθίσματα Σταυρώσιμα

Ήχος πλ. β'

Μόνον επάγη τό ξύλον, Χριστέ τού Σταυρού σου, τά θεμέλια εσαλεύθησαν, τού θανάτου Κύριε, όν γάρ κατέπιε πόθω ο άδης, απέλυσε τρόμω. Εδειξας ημίν τό σωτήριόν σου Άγιε, καί δοξολογούμέν σε Υιέ Θεού, ελέησον ημάς.

Κύριε, κατέκρινάν σε Ιουδαίοι θανάτω, τήν ζωήν τών απάντων, οι τήν Ερυθράν ράβδω πεζεύσαντες, Σταυρώ σε προσήλωσαν, καί οι εκ πέτρας μέλι θηλάσαντες, χολήν σοι προσήνεγκαν, αλλ' εκών υπέμεινας, ίνα ημάς ελευθερώσης, τής δουλείας τού εχθρού, Κύριε δόξα σοι.

Δόξα... Καί νύν... Σταυροθεοτοκίον

Η σέ κυήσασα Χριστέ, αειπάρθενος Κόρη, εν τώ Σταυρώ σε δι' ημάς, υψωθέντα ορώσα, ετέτρωτο λύπης ρομφαία τήν ψυχήν, καί έκλαιε θρηνωδούσα μητρικώς. Αυτής ταίς παρακλήσεσιν, ελέησον ημάς, Κύριε τού ελέους.

Μετά τήν β' Στιχολογίαν

Καθίσματα Σταυρώσιμα

Σήμερον τό προφητικόν πεπλήρωται λόγιον, ιδού γάρ προσκυνούμεν εις τόν τόπον, ού έστησαν οι πόδες σου Κύριε, καί ξύλου σωτηρίας γευσάμενοι, τών εξ αμαρτίας παθών ελευθερίας ετύχομεν, πρεσβείαις τής Θεοτόκου, μόνε φιλάνθρωπε.

Ο Σταυρός σου Κύριε ηγίασται, εν αυτώ γάρ γίνονται ιάματα, τοίς ασθενούσιν εν αμαρτίαις, δι' αυτού σοι προσπίπτομεν. Ελέησον ημάς.

Δόξα... Καί νύν... Σταυροθεοτοκίον

Ελπίς τού κόσμου αγαθή

Εν ξύλω βλέπουσα νεκρόν, κρεμάμενον η Παρθένος Θεόν, όν έτεκε σαρκί, θρηνωδούσα εβόα. Τήν άφατον μακροθυμίαν σου, Υιέ εκπλήττομαι, πώς ως κατάκριτον Σταυρώ, προσήλωσαν οι άνομοι, τόν δίκαιον Κριτήν, καί μόνον σε Δεσπότην.

Μετά τήν γ' Στιχολογίαν

Καθίσματα Σταυρώσιμα

Ελπίς τού κόσμου αγαθή

Τό ξύλον ήνεγκε φθοράν, εν Εδέμ τώ Γενάρχη. Σταυρού δέ ξύλον τήν ζωήν, ήνθησεν εν Κρανίω, πεπάτηται καί γάρ κακία τού εχθρού, ηλέηται τή προσηλώσει τού Χριστού, καί εύρε τόν Παράδεισον, κραυγάζων ο Αδάμ. Ώ ξύλον ευλογημένον!

Μαρτυρικόν

Αθλητικόν αγώνα υπομείναντες οι Άγιοι, καί τά βραβεία τής νίκης παρά σού κομισάμενοι, κατήργησαν τάς επινοίας τών παρανόμων, εδέξαντο τούς στεφάνους τής αφθαρσίας.

Δι' αυτών ο Θεός δυσωπούμενος, δώρησαι ημίν τό μέγα έλεος.

Δόξα... καί νύν... Σταυροθεοτοκίον

Θεοτόκε Παρθένε, ικέτευε τόν Υιόν σου, τόν εκουσίως προσπαγέντα εν Σταυρώ, καί τόν κόσμον εκ πλάνης ελευθερώσαντα, Χριστόν τόν Θεόν ημών, τού ελεήσαι τάς ψυχάς ημών.

Κανών Σταυρώσιμος, ού η Ακροστιχίς.
Σώζεις με, Σώτερ, προσπαγείς επί ξύλου, τόν Ιωσήφ.

Ωδή α' Ήχος πλ. β'
Ο Ειρμός

Ως εν ηπείρω πεζεύσας ο Ισραήλ, εν αβύσσω ίχνεσι, τόν διώκτην Φαραώ, καθορών ποντούμενον Θεώ, επινίκιον ωδήν, εβόα άσωμεν.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Σύ τάς παλάμας απλώσας επί Σταυρού, ηγκαλίσω Δέσποτα, απωσθέντας τούς βροτούς, καί τώ σώ προσήγαγες Πατρί, ως Υιός αγαπητός, καί ομοούσιος.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ώσπερ αμνός ανηρτήθης επί Σταυρού, τό σόν Λόγε πρόβατον, εκζητών τό πλανηθέν, καί ευρών συνέταξας αυτό, απλανέσιν Ιησού, δόξα τώ κράτει σου.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ζωήν ποθούντες τήν άνω οι ευκλεείς, αθλοφόροι Μάρτυρες, ενεκρώθησαν εν γή, υποστάντες βάσανα πολλά, καί ποικίλους πειρασμούς, οι αξιάγαστοι.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Επί βημάτων αδίκων διά Χριστόν, τόν εν πάσι δίκαιον, παρεστώτες Αθληταί, κρίσιν πάσαν άδικον υμείς, δικαιούσαν εν Θεώ, καθυπεμείνατε.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ίνα απάθειαν πάσι τοίς εξ Αδάμ, προξενήσης Δέσποτα, πάθος φέρεις εν Σταυρώ, καί ορώσα σείεται η γή, θρηνωδούσα μητρικώς, εβόας Δέσποινα.

Κανών τής Υπεραγίας Θεοτόκου, ού η Ακροστιχίς.
Έκτον προσάξω τή Θεοτόκω μέλος. Ιωσήφ.

Ειρμός ο αυτός

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Εκ πονηράς συμβουλίας τού δυσμενούς, η προμήτωρ θάνατον, επεισήξεν αλλ' αυτή, τήν ζωήν κυήσασα Αγνή, νεκρωθέντας τή φθορά, ημάς εζώωσας.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Καί λογισμοίς ολισθαίνων καί μολυσμοίς, σαρκικοίς σπιλούμενος, επί σέ τήν καθαράν, αληθώς καί άσπιλον Αγνήν, καταφεύγω. Βοηθός, γενού τώ δούλω σου.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τά τής καρδίας μου πάθη τά χαλεπά, Θεοτόκε ίασαι, τών αστάτων λογισμών, τό δεινόν κλυδώνιον τή σή, μεσιτεία πρός Θεόν, κόπασον Δέσποινα.

### Ωδή γ'  Ο Ειρμός

Ουκ έστιν άγιος ως σύ, Κύριε ο Θεός μου, ο υψώσας τό κέρας, τών πιστών σου αγαθέ, καί στερεώσας αυτούς, εν τή πέτρα τής ομολογίας σου.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Σταυρός επήγνυτο εν γή, καί κατέστραπτο πλάνη, καί εσείετο κτίσις, καί καρδίαι τών βροτών σεσαλευμέναι εχθρού, επηρεία πίστιν υπεδέχοντο.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Μανείς ο άδικος λαός, σέ τόν δίκαιον μόνον, κατακρίνει θανάτω, δι' καιούντα τούς βροτούς, καί εξ αδίκου χειρός, τού δολίου τούτους εξαιρούμενον.

### Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Εκίνει πάσαν εαυτού, τήν κακίαν ο πλάνος, τοίς Αγίοις παλαίων, αλλ' ηττάτο καθορών, αταπεινώτους αυτούς, καί τής θείας κοινωνούς λαμπρότητος.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Σωμάτων ώρα ταίς σφοδραίς, ηλλοιούτο αικίαις, αλλ' επέλαμπε μάλλον, η φαιδρότης τής ψυχής, τών Αθλοφόρων Χριστού, ενεργεία τού αγίου Πνεύματος.

### Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ωραίον κάλλει σε Υιέ, υπέρ πάντας ανθρώπους, εν τώ τίκτειν επέγνων, καί πώς σταυρούμενος νύν, κάλλος ουκ έχεις Χριστέ; η Παρθένος έλεγε δακρύουσα.

### Κανών τής Θεοτόκου
### Ειρμός ο αυτός

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ο μόνος φύσει συμπαθής, ο τό αίμά σου Λόγε, διά σπλάγχνα ελέους, δι' εμέ επί Σταυρού, κενώσας διά τής σέ, κυησάσης οίκτειρον καί σώσόν με.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ναός γενόμενος Θεού, τή θεογενεσία εκουσίως εις πάθη, ωλίσθησα χαλεπά, διό σε Θεού Ναέ, ικετεύω, Δέσποινα βοήθει μοι.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Παστάς Κυρίου εκλεκτή, ουρανίου παστάδος, ποίησον κληρονόμον, τόν τή θεία σκέπη σου, ως εν παστάδι σεπτή, καθ' εκάστην, πόθω σε γεραίροντα.

### Ωδή δ'  Ο Ειρμός

Χριστός μου δύναμις, Θεός καί Κύριος, η σεπτή Εκκλησία θεοπρεπώς, μέλπει ανακράζουσα, εκ διανοίας καθαράς, εν Κυρίω εορτάζουσα.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ταθέντα ξύλω σε ορών ο Ήλιος, εμελαίνετο φόβω, καί σκοτασμόν, πλάσμα απεδύετο, καί εδεσμείτο ο εχθρός, καί η πλάνη διελύετο.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Εδέσμει χείρας σου, λαός παράνομος, καί δεσμώται αλύτων, Σώτερ δεσμών, πάντες απελύοντο, Ήλιε άδυτε Χριστέ, πάσα κτίσις δέ ανύμνει σε.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ροαίς επνίξατε, αιμάτων Μάρτυρες, Φαραώτόν διώκτην, φρενοβλαβώς, άμετρα καυχώμενον, καί πρός τήν γήν τήν νοητήν, αγαλλόμενοι μετέβητε.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Πτεροίς τού Πνεύματος, υπεριπτάμενοι, τού εχθρού τών παγίδων οι Αθληταί, χαίροντες ανέδραμον, ένθα τό πρώτον αγαθόν, καί ζωή καί φώς ανέσπερον.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ρομφαία τέτρωσαι, τού πάθους Δέσποινα, τού εκ σού σαρκωθέντος, ότε αυτόν, έβλεψας σταυρούμενον, καί λόγχη άχραντον πλευράν, δι' ημάς εξορυττόμενον.

Κανών τής Θεοτόκου

Ειρμός ο αυτός

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ρανίσιν Άχραντε, πλευράς τού τόκου σου, τών παθών μου τόν ρύπον, καί τούς δεινούς, σπίλους τής καρδίας μου, εναποκάθαρον Αγνή, καί φωτί σου καταλάμπρυνον.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Οδός ευθειά μοι, οδός εισάγουσα, σωτηρίας πρός τρίβους, η τήν οδόν, τέξασα γενήθητι, αποπλανήσει πονηρά, καθ' εκάστην ολισθαίνοντι.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σταγόνα όμβρισον, εν τή καρδία μου, κατανύξεως Κόρη, η τήν πηγήν, τής ζωής κυήσασα, τάς διεκχύσεις τών εμών, παθημάτων αναστέλλουσα.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Αγία Δέσποινα, τόν υπεράγιον, η κυήσασα Λόγον, αγιασμόν, τή ψυχή μου δώρησαι, καί τρικυμίας πειρασμών τήν ζωήν μου ελευθέρωσον.

Ωδή ε'  Ο Ειρμός

Τώ θείω φέγγει σου Αγαθέ, τάς τών ορθριζόντων σοι ψυχάς, πόθω καταύγασον δέομαι, σέ ειδέναι Λόγε Θεού, τόν όντως Θεόν, εκ ζόφου τών πταισμάτων ανακαλούμενον.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ο περιβάλλων τόν ουρανόν, νέφεσι Χριστέ επί Σταυρού, γυμνός επάγης θελήματι, γύμνωσιν κακίας προσαπεκδύων με, καί στολαίς αφθαρσίας φαιδρύνων Δέσποτα.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Σταυρώ ετάθη η αληθής, άμπελος Χριστός ο φυτουργός, καί γλυκασμός τών ψυχών ημών, γλεύκος αποστάζων, τήν μέθην άπασαν, τής πλάνης αναστέλλων τού πολεμήτορος.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Πεποικιλμένοι τοίς ιεροίς, στίγμασι Χριστού οι Αθληταί, καί τοίς στεφάνοις κοσμούμενοι, τώ σαρκί παθόντι Θεώ παρίστανται, ημίν αμαρτημάτων λύσιν αιτούμενοι.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Αποσκοπούντες πρός τήν εκεί, δόξαν Αθλοφόροι καί ζωήν, καί αληθή αγαλλίασιν, πάσαν τρικυμίαν, παθών ηνέγκατε, τώ πάθει τού Δεσπότου ενδυναμούμενοι.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Γαστρί χωρήσασα Χριστόν, μόνον τόν αχώρητον παντί ωδίνων άνευθεν τέτοκα, νύν δέ οδυνώμαι, εν τώ σταυρούσθαί σε, Υιέ μου, η Θεοτόκος κλαίουσα έλεγεν.

Κανών τής Θεοτόκου

Ειρμός ο αυτός

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ξένον ως έσχηκας τοκετόν, ξένον με γενόμενον Θεού, δι' αμαρτίας οικείωσιν, ξένωσον εκ ταύτης, καί τώ οικτίρμονι οικείωσον Παρθένε τή μεσιτεία σου.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ως όρος πάλαι σε Δανιήλ, βλέπει τηλαυγώς μαρμαρυγαίς, τής παρθενίας εκλάμπουσαν, εξ ού ετμήθη λίθος, συντρίβων Πάναγνε, τά είδωλα τής πλάνης σθένει θεότητος.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τόν ταίς εφόδοις ταίς ληστρικαίς, τετραυματισμένον τήν ψυχήν, ημιθανή τε τυγχάνοντα, εν οδώ τού βίου καί κινδυνεύοντα, διά τής σέ τεκούσης Λόγε επίσκεψαι.

Ωδή ς'  Ο Ειρμός

Τού βίου τήν θάλασσαν, υψουμένην καθορών, τών πειρασμών τώ κλύδωνι, τώ ευδίω λιμένι σου προσδραμών, βοώ σοι. Ανάγαγε, εκ φθοράς τήν ζωήν μου πολυέλεε.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Εστέφθης μακρόθυμε, ταίς ακάνθαις τών παθών, εναποτέμνων άκανθαν, λόγχη πλευράν ετρώθης, καί τόν ημάς, νεκρούς εργασάμενον, απενέκρωσας όφιν πολυμήχανον.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ικρίω ανήρτησαι, καταρράσσων τού εχθρού, τήν δυναστείαν Δέσποτα, δουλείας δέ πικράς με ελευθερών, εδέξω ραπίσματα, ανυμνώ σου οικτίρμον τό μακρόθυμον.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Σταυρώ τειχιζόμενοι, πλάνης τείχη πονηρά, οι Αθληταί κατέστρεψαν, καί πρός τήν άνω πόλιν νικητικοίς, στεφάνοις κοσμούμενοι, μετω κίσθησαν, όθεν μακαρίζονται.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Εις ύψος περίδοξον, μαρτυρίου εαυτούς, αναγαγόντες Άγιοι, τάς πονηράς υψώσεις τού δυσμενούς, εις γήν κατεπτώσατε, καί στεφάνους εξ ύψους εκομίσασθε.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Πατρός τό απαύγασμα, πώς επήρθη εν Σταυρώ, φωταγωγούν τά σύμπαντα, καί καταρράσσον σκότους τόν αρχηγόν! η πάναγνος Δέσποινα, μητρικώς θρηνωδούσα απεφθέγγετο.

Κανών τής Θεοτόκου
Ειρμός ο αυτός

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Η ράβδος η έντιμος, η βλαστήσασα ημίν, ξύλον ζωής τόν Κύριον, τήν ταπεινήν ψυχήν μου φθοροποιούς, εννοίας βλαστάνουσαν, τώ Σταυρώ τού Υιού σου αποκάθαρον.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Θηρός αμαρτίας με, ως κητώας εκ γαστρός, τόν Ιωνάν εξάγαγε, ταίς ικεσίαις Λόγε τής εν γαστρί, αγνώς χωρησάσης σε, τόν αχώρητον φύσει πολυέλεε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Επλήθυναν Δέσποτα, υπέρ άμμον θαλασσών, τά πονηρά μου πταίσματα, ως κεκτημένος πέλαγος οικτιρμών, επίστρεψον σώσόν με, παρακλήσεσι Λόγε τής τεκούσης σε.

Ωδή ζ'  Ο Ειρμός

Δροσοβόλον μέν τήν κάμινον, ειργάσατο, Άγγελος τοίς οσίοις Παισί, τούς Χαλδαίους δέ καταφλέγον, πρόσταγμα Θεού, τόν τύραννον έπεισε βοαν. Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ιοβόλον απερράπισας τού δράκοντος, κακίαν ραπιζόμενος, καί κρεμάμενος επί ξύλου, μόνε Δυνατέ, τούς πάντας εφώτισας βοάν. Ευλογητόςεί ο Θεός, ο τών Πατέρων ημών.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ξύλου εύρατο γευσάμενος τόν θάνατον, Αδάμ ο πρώτος άνθρωπος, ο δέ δεύτερος εν αυτώ, Χριστός θανατωθείς, αθάνατον δίδωσι ζωήν, απονεκρώσας τόν εχθρόν, τόν πολυμήχανον.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Υπομένοντες τόν Κύριον ανήχθητε, ταλαιπωρίας Μάρτυρες, τών κολάσεων, καί εν πέτρα έστητε στερρά, τής πίστεως, πάσαν πονηράν, υποσκελίζοντες εχθρού, κακίαν θεία ροπή.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Λαμπρυνθέντες τοίς παθήμασιν ελάμψατε, Ηλίου τηλαυγέστερον, καί τάς τού σκότους εξουσίας, πάσας, Αθληταί, ελύσατε μέλποντες Χριστώ. Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ο υπάρχων αναλλοίωτος θεότητι, ηλλοίωσας κρεμάμενος Σταυρώ, κτίσιν άπασαν η παρθένος, έλεγεν Υιέ, καί βλέπουσα ταύτα θρηνωδώ, εκπληττομένη τήν φρικτήν, οικονομίαν σου.

Κανών τής Θεοτόκου
Ειρμός ο αυτός

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Η τήν φύσιν τού προπάτορος Θεώσασα, τώ υπέρ φύσιν τόκω σου, αμαρτώντα με υπέρ φύσιν, καί τόν αγαθόν, τή φύσει πικράναντα Θεόν, καταλλαγαίς σου μητρικαίς, αυτώ οικείωσον.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τήν πηγάζουσαν εκάστοτε καρδίαν μου, αμαρτημάτων ρεύματα η πηγάσασα, σωτηρίας ύδωρ τοίς πιστοίς, καθάρισον μέλπειν εμμελώς. Ευλογημένη η Θεόν σαρκί κυήσασα.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ουρανός επί τής γής σύ εχρημάτισας, τού ουρανού καί τής γής ποιητού, όν ικέτευε τών γής με, ρύσασθαι κακών, καί μέτοχον τών εν ουρανοίς, καταξιώσαι αγαθών, Θεογεννήτρια.

Ωδή η'  Ο Ειρμός

Εκ φλογός τοίς Οσίοις δρόσον επήγασας, καί Δικαίου θυσίαν ύδατι έφλεξας, άπαντα γάρ δράς Χριστέ, μόνω τώ βούλεσθαι, σέ υπερυψούμεν, εις πάντας τούς αιώνας.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Υπερήφανον όφιν σύ εταπείνωσας, ταπεινώσει καρδίας ξύλω υψούμενος, ύψιστε Θεέ, καί Αδάμ τόν τοίς πάθεσι, τεταπεινωμένον, ανύψωσας Οικτίρμον.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Τήν τού ξύλου πικρίαν μεταποιούμενος, επί ξύλου ετύθης χολής γευόμενος, πάντων γλυκασμός, καί ζωή ενυπόστατος, Δέσποτα υπάρχων, καί φώς καί σωτηρία.

Μαρτυρικόν

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ουκ εκάμψατε γόνυ γλυπτοίς Πανεύφημοι, αλλ' ετύθητε άρνες ώσπερ αμώμητοι, καί τού πονηρού τήν ισχύν κατεκάμψατε, καί υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ναοί Πνεύματος ζώντος ώφθητε Μάρτυρες, τούς ναούς τών ειδώλων κατηδαφίσατε, καί πρός τόν Ναόν, τόν ουράνιον ήρθητε, ανυμνολογούντες, Χριστόν εις τούς αιώνας.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ιακώβ σε, προείδε Παρθένε κλίμακα, πρός ουράνιον ύψος ημάς ανάγουσαν, τούς εις τόν βυθόν, τών κακών ολισθήσαντας, όθεν σε υμνούμεν, Αγνή εις τούς αιώνας.

Κανών τής Θεοτόκου

Ειρμός ο αυτός

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Καί μή θέλων ο τάλας πράττω τά άτοπα, συνηθεία δουλεύων καταδουλούση με, δούλοις πονηροίς, εκ Θεού ολισθήσασι, Δέσποινα Παρθένε, ελεύθερόν με δείξον.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ως τόν βότρυν τεκούσα τόν αγεώργητον, τόν πηγάζοντα οίνον πάσι σωτήριον, μέθη με πικράς, αμαρτίας σκοτούμενον, Δέσποινα Παρθένε, σωφρόνισον καί σώσον.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Μή με στήσης εν ώρα Δέσποτα κρίσεως, μετά τών κατακρίτων όντα κατάκριτον, αλλά τόν πικρόν, στεναγμόν μου δεξάμενος, σώσόν με πρεσβείαις, τής σής μητρός Οικτίρμον.

Ωδή θ'  Ο Ειρμός

Θεόν ανθρώποις ιδείν αδύνατον, όν ου, τολμά Αγγέλων ατενίσαι τά τάγματα, διά σού δέ Πάναγνε, ωράθη βροτοίς, Λόγος σεσαρκωμένος, όν μεγαλύνοντες, σύν ταίς ουρανίαις Στρατιαίς, σέ μακαρίζομεν.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ωρών καί χρόνων υπάρχων Κύριος, μέσον τής γής, μεσούσης τής ημέρας μακρόθυμε, επί ξύλου υψώθης σταυρούμενος, τού μέσον Παραδείσου καί υπομείναντος, όλισθον καρπόν φθοροποιόν, επανορθούμενος.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Σταυρός επήγνυτο καί ο τύραννος, εν τή ψυχή καιρίαν τήν πληγήν υπεδέχετο, καί δεσμώται φθοράς απελύοντο, γνώσις πάσιν ανθρώποις ενεφυτεύετο, εχθρός κατηργείτο, καί χαράς πάντα πεπλήρωται.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Η γή συνήφθη Κυρίου Μάρτυρες, τοίς ουρανοίς αφ' ού Χριστός ετύθη σταυρούμενος, καί υμών τήν πληθύν επεσπάσατο, πλήθος πολλών, βασάνων καθυπομείνασαν, καί πληθύϊ θείων Λειτουργών, συνεξαστράπτουσαν.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Φωτί αϋλω εναπαστράπτοντες, θέσει θεοί Κυρίου χρηματίζετε Μάρτυρες, πρωτοτόκων σκηναίς αυλιζόμενοι, καί τής αιωνιζούσης, δόξης πληρούμενοι, όθεν κατά χρέος οι πιστοί, υμάς γεραίρομεν.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φρικτήν λοχείαν υπέστην Δέσποτα, εν τώ φρικτώς σε τίκτειν, όν η κτίσις σταυρούμενον, επί ξύλου θελήσει μακρόθυμε, έφριξε καθορώσα, πάλαι η άμεμπτος, έκλαιε βοώσα μητρικώς, ήν μεγαλύνομεν.

Κανών τής Θεοτόκου

Ειρμός ο αυτός

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Εμέ τόν μόνον καταπατήσαντα, φρενοβλαβώς τόν νόμον σου Χριστέ τόν σωτήριον, καί δεινή παραβάσει δουλεύοντα, καί κατακεκριμένον σώσον οικτείρησον, διά τής τεκούσης σε Αγνής, ως υπεράγαθος.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Λιμήν εν ζάλη μοι κινδυνεύοντι, τών πειρασμών γενού θεοχαρίτωτε Δέσποινα, καί παθών μου τόν σάλον πραϋνουσα, τό τών αμαρτιών μου ξήρανον πέλαγος, όπως κατά χρέος σέ υμνώ, τήν πολυϋμνητον.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Οδόν ευθείάν μοι καθυπόδειξον, δι' ής ευρείν δυνήσομαι τήν πύλην τήν φέρουσαν, πρός τά άνω Παρθένε Βασίλεια, πρός τά τού Παραδείσου, θεία σκηνώματα, πρός τήν δι' αιώνος αληθή,

μακαριότητα.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Στρατός Μαρτύρων, Οσίων σύλλογος, Ιεραρχών Δικαίων, Προφητών, Αποστόλων τε, τών αγίων Αγγέλων τά τάγματα, μετά τής σέ Τεκούσης, εκδυσωπούσί σε. Σώσον ημάς, οίκτειρον Χριστέ, ως πολυέλεος.

Απόστιχα τών Αίνων Σταυρώσιμα

Εν τώ Σταυρώ τήν ελπίδα κέκτημαι, καί εν αυτώ καυχώμενος βοώ. Φιλάνθρωπε Κύριε, τήν αλαζονείαν κατάβαλε, τών μή ομολογούντων σε, Θεόν καί άνθρωπον.

Στίχ. α'. Ενεπλήσθημεν τό πρωϊ τού ελέους σου, Κύριε, καί ηγαλλιασάμεθα καί ηυφράνθημεν έν πάσαις ταίς ημέραις ημών. Ευφρανθείημεν, ανθών ημερών εταπείνωσας ημάς, ετών, ών είδομεν κακά, καί ίδε επί τούς δούλους σου καί επί τά έργα σου, καί οδήγησον τούς υιούς αυτών.

Οι τώ Σταυρώ τειχιζόμενοι, τώ εχθρώ αντιτασσόμεθα, μή δειλιώντες τάς αυτού μεθοδείας καί ενέδρας, ο γάρ υπερήφανος κατήργηται, και καταπεπάτηται, τή δυνάμει τού εν ξύλω, προσπαγέντος Χριστού.

Μαρτυρικόν

Στίχ. β'. Καί έστω η λαμπρότης Κυρίου τού Θεού ημών εφ' ημάς, καί τά έργα τών χειρών ημών κατεύθυνον εφ' ημάς, καί τό έργον τών χειρών ημών κατεύθυνον.

Μνήμη Μαρτύρων, αγαλλίαμα τοίς φοβουμένοις τόν Κύριον, αθλήσαντες γάρ διά Χριστόν, στεφάνους παρ' αυτού εκομίσαντο, καί νύν εν τών παρρησία πρεσβεύουσιν, υπερ ψυχών ημών.

Δόξα... Καί νύν... Σταυροθεοτοκίον

Πάναγνος ως είδέ σε, επί Σταυρού κρεμάμενον, ανεβόα, θρηνωδούσα μητρικώς, Υίέ μου καί Θεέ μου, γλυκύτατόν μου Τέκνον, πώς φέρεις πάθος επονείδιστον;

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

### Οι Μακαρισμοί

Μακάριοι οι ειρηνοποιοί, ότι αυτοί υιοί Θεού κληθήσονται.

Μνήσθητί μου, ο Θεός ο Σωτήρ μου, όταν έλθης εν τή βασιλεία σου, καί σώσόν με, ως μόνος φιλάνθρωπος.

Μακάριοι οι δεδιωγμένοι ένεκεν δικαιοσύνης, ότι αυτών εστιν η βασιλεία τών ουρανών.

Εκουσίως, υψωθείς επί τού ξύλου, τούς εις βάθη κακών ολισθήσαντας, ανεκαλέσω, μόνε πολυέλεε.

Μακάριοί εστε όταν ονειδίσωσιν υμάς, καί διώξωσι, καί είπωσι πάν πονηρόν ρήμα καθυμών ψευδόμενοι ένεκεν εμού.

Γή εσείσθη, καί ο ήλιος εσβέσθη, καθορών σε επί ξύλου Ήλιε, δικαιοσύνης, θελήματι πάσχοντα.

Μαρτυρικόν

Χαίρετε καί αγαλλιάσθε, ότι ο μισθός υμών πολύς εν τοίς ουρανοίς.

Παθημάτων, Αθλοφόροι κοινωνούντες, τού Δεσπότου καί θείας λαμπρότητος, συγκοινωνείτε, μεθέξει Θεούμενοι.

Δόξα...

Υψωσόν με, εκ βυθού τής αμαρτίας, τής Τριάδος ο εις εθελούσιον, καθυπομείνας, Χριστέ μου καθήλωσιν.

Καί νύν... Σταυροθεοτοκίον

Παρεστώσα, τώ Σταυρώ καί καθορώσα, εκουσίως αρθενομήτορ, τούτον εμεγάλυνες.

HYPERLINK "" \l "top" top
6-5

Στιχηρά Προσόμοια Αποστολικά
Ήχος πλ. β'
Όλην αποθέμενοι

Στίχ. α'. Εάν ανομίας παρατηρήσης, Κύριε, Κύριε τίς υποστήσεται; ότι παρά σοί ο ιλασμός εστιν.

Δύναμιν ουράνιον, τού Παρακλήτου λαβόντες, τών εχθρών τάς φάλαγγας, οι Χριστού Απόστολοι, ετροπώσαντο. Βασιλείς ήλεγξαν, καί σοφούς ήσχυναν, ιδιώται καί αγράμματοι, γυμνοί καί άοπλοι, ευαγγελικώς παρετάξαντο, τώ λόγω δέ τής χάριτος, τάς τερατουργίας ειργάσαντο, καί ούτω τά έθνη, υπήκοα ποιούμενοι Χριστώ, εν παρρησία πρεσβεύουσιν, υπέρ τών ψυχών ημών.

Στίχ. β'. Ένεκεν τού ονόματός σου υπέμεινά σε, Κύριε, υπέμεινεν η ψυχή μου εις τόν λόγον σου, ήλπισεν η ψυχή μου επί τόν Κύριον.

Σέ επιποθήσαντες, οι ευκλεείς Μαθηταί σου, καί απαρνησάμενοι, εαυτούς προθύμως σοι, ηκολούθησαν, καί Σταυρόν άραντες, σού αυτού οπίσω, πειθαρχούντες τή προστάξει σου, τήν γήν κατέλιπον, καί τούς ουρανούς εκληρώσαντο, τά έθνη επιστρέφοντες, εις τήν αληθή σου επίγνωσιν, καί νύν διά πάντων, υπήκοοι γενόμενοι αεί, εν παρρησία πρεσβεύουσιν, υπέρ τών ψυχών ημών.

Στίχ. γ'. Από φυλακής πρωϊας μέχρι νυκτός, από φυλακής πρωϊας ελπισάτω Ισραήλ επί τόν Κύριον.

Άπαντα τόν βίον μου, εν αμελεία διάγων, πρός τό τέλος έφθασα, άκαρπος ο δείλαιος, Υπεράγαθε, πονηρών πράξεων, επιφέρων μόνον, νύν φορτία τά δυσβάστακτα, άπερ φιλάνθρωπε, σκόρπισον ροπή τού ελέους σου, καί δίδου μοι κατάνυξιν, καί επιστροφήν τήν σωτήριον, θείαις Αποστόλων, πρεσβείαις ευπροσδέκτοις ο Θεός, ούς εις πρεσβείαν προσάγω σοι, καί τήν σέ κυήσασαν.

Έτερα τού Αγίου Νικολάου
Τριήμερος ανέστης Χριστέ

Στίχ. δ'. Ότι παρά τώ Κυρίω τό έλεος, καί πολλή παρ' αυτώ, λύτρωσις. καί αυτός λυτρώσεται τόν Ισραήλ έκ πασών τών ανομιών αυτού.

Νικόλαε μακάριε, προσπίπτοντά με οίκτειρον, δέομαί σου, καί τά όμματα σοφέ, φώτισον τής ψυχής μου, ίνα καθαρώς βλέψω, τόν φωτοδότην καί οικτίρμονα.

Στίχ. ε'. Αινείτε τόν Κύριον πάντα τά έθνη, επαινέσατε αυτόν, πάντες οι λαοί.

Εχθρών επιζητούντων με, κακοποιήσαι Άγιε, λύτρωσαί με, παρρησίαν πρός Θεόν, ως έχων Ιεράρχα, καί σώσόν με εκ βλάβης, καί εξ ανδρών αιμάτων ρύσαί με.

Στίχ. ς'. Ότι εκραταιώθη τό έλεος αυτού εφ' ημάς, καί η αλήθεια τού Κυρίου μένει εις τόν αιώνα.

Λιμένα σε αχείμαστον, καί τείχος απροσμάχητον, Ιεράρχα, νύν κεκτήμεθα πιστώς, καί πύργον ασφαλείας, καί θύραν μετανοίας, καί οδηγόν πιστόν, καί πρόμαχον.

Δόξα... καί νύν... Θεοτοκίον όμοιον

Μεγίστων δωρημάτων ημίν, ο τόκος ο αλόχευτος, τής Παρθένου, πάσι γέγονε σαφώς, Θεός γάρ τήν φθαρείσαν, καινίζει πάλιν φύσιν, καί αναπλάττει τό ανθρώπινον.

Απόστιχα Αποστολικά

Ποτέ οι Μαθηταί σου Χριστέ, εν πλοίω χειμαζόμενοι, ανεβόων, Διδάσκαλε, σώσον ημάς, απολλύμεθα, καί νύν ημείς κραυγάζομεν, Φιλάνθρωπε Σωτήρ ημών, ρύσαι ημάς εκ τών αναγκών ημών δεόμεθα.

Στίχ. Α'. Πρός σέ ήρα τούς οφθαλμούς μου, τόν κατοικούντα εν τώ ουρανώ. Ιδού, ως οφθαλμοί

δούλων εις χείρας τών κυρίων αυτών, ως οφθαλμοί παιδίσκης εις χείρας τής κυρίας αυτής, ούτως οι οφθαλμοί ημών πρός Κύριον τόν Θεόν ημών, έως ού οικτιρήσαι ημάς.

Κύριε, οι Απόστολοι κατέλαβον, ποτέ μέν τό βάθος τής θαλάσσης διά δικτύων, ποτέ δέ τό ύψος τής Βασιλείας διά δογμάτων, καί τή μέν τέχνη, τόν ακατάληπτον βυθόν ηρεύνησαν, τή δέ πίστει, τόν απερίγραπτόν σου κόλπον έφθασαν, καί τώ κόσμω εκήρυξαν τόν άχρονον Υιόνσου, ών ταίς πρεσβείαις, καί πάντων τών Αγίων, ελέησον ημάς.

Μαρτυρικόν

Στίχ. Β'. Ελέησον ημάς, Κύριε, ελέησον ημάς, ότι επί πολύ επλήσθημεν εξουδενώσεως, επί πλείον επλ ήσθη η ψυχή ημών, τό όνειδος τοίς ευθηνούσι, καί η εξουδένωσις τοίς υπερηφάνοις.

Ο Σταυρός σου Κύριε, τοίς Μάρτυσι γέγονεν, όπλον αήττητον, έβλεπον γάρ τόν προκείμενον θάνατον, καί προβλέποντες τήν μέλλουσαν ζωήν, τή ελπίδι τή εις σέ ενεδυναμούντο. Αυτών ταίς παρακλήσεσιν, ελέησον ημάς.

Δόξα... καί νύν... Θεοτοκίον

Θεοτόκε, σύ εί η άμπελος η αληθινή, η βλαστήσασα τόν καρπόν τής ζωής, σέ ικετεύομεν, πρέσβευε Δέσποινα, μετά τών Αποστόλων, καί πάντων τών Αγίων, ελεηθήναι τάς ψυχάς ημών.

Μετά τήν α' Στιχολογίαν

Καθίσματα Αποστολικά

Ήχος πλ. β'

Ως εν μέσω τών Μαθητών σου, παρεγένου Σωτήρ, τήν ειρήνην διδούς αυτοίς, ελθέ καί μεθ' ημών καί σώσον ημάς.

Ελπίς τού κόσμου αγαθή

Ως φώς σταλέντες επί γής, εφωτίσατε πάντας, σοφοίς διδάγμασιν υμών, καί εν δόγμασι θείοις διώξαντες, πολυθεΐας σκοτασμόν, καί λάμψαντες τόν τής Τριάδος φωτισμόν, και σώσαντες λαούς πολλούς, εκ πλάνης αφεγγούς, Απόστολοι τού Σωτήρος.

Δόξα... καί νύν... Θεοτοκίον

Τής ευσπλαγχνίας τήν πύλην άνοιξον ημίν, ευλογημένη Θεοτόκε, ελπίζοντες εις σέ, μή αστοχήσωμεν, ρυσθείημεν διά σού τών περιστάσεων, σύ γάρ εί η σωτηρία, τού γένους τών Χριστιανών.

Μετά τήν β' Στιχολογίαν

Καθίσματα Αποστολικά

Τών Αποστόλων σου η μνήμη Κύριε, ανεδείχθη ως Παράδεισος ο εν Εδέμ, εν αυτή γάρ αγάλλεται η Οικουμένη, διό δίδου ημίν ταίς αυτών ικεσίαις, ειρήνην καί τό μέγα έλεος.

Η δωδεκάς τών Αποστόλων Κύριε, δωδεκάπυρσος ως ήλιος, ώφθη τή γή, δι' αυτών γάρ εμάρανας, πλάνης τήν βλάβην, δι' αυτών καταυγάζεις ψυχάς, τών σών δούλων, δι' ών καί ημάς, σώσον εύσπλαγχνε.

Δόξα... καί νύν... Θεοτοκίον

Ελπίς τού κόσμου αγαθή

Αγία Δέσποινα Αγνή, τού Θεού ημών Μήτηρ, η τών απάντων ποιητήν, απορρήτως τεκούσα, ικέτευε σύν Αποστόλοις ιεροίς, εκάστοτε τήν αγαθότητα αυτού, παθών ημάς λυτρώσασθαι, καί άφεσιν ημίν, δούναι αμαρτημάτων.

Μετά τήν γ' Στιχολογίαν

Καθίσματα έτερα

Τή σαγήνη τής ενθέου πίστεως, τάς διπλόας ανατρέψαντες οι αλιείς, εκ βυθού ματαιότητος είλκυσαν πάντας, καί παρέσχον αυτούς τώ Θεώ ευσεβούντας, καί τούτον αεί μεγαλύνοντας.

Μαρτυρικόν

Τών Αγίων σου η μνήμη Κύριε, ανεδείχθη ως παράδεισος ο εν Εδέμ, εν αυτή γάρ αγάλλεται πάσα η κτίσις. Διό παράσχου ημίν, τή αυτών παρακλήσει, ειρήνην καί τό μέγα έλεος.

Δόξα... καί νύν... Θεοτοκίον

Εν τώ Ναώ εστώτες τής δόξης σου, εν ουρανώ εστάναι νομίζομεν, Θεοτόκε, πύλη επουράνιε, άνοιξον ημίν τήν θύραν τού ελέους σου.

## Κανών τών Αγίων Αποστόλων

### Ωδή α'  Ήχος πλ. β'
### Ο Ειρμός

Ως εν ηπείρω πεζεύσας ο Ισραήλ, εν αβύσσω ίχνεσι, τόν διώκτην Θεώ Φαραώ, καθορών ποντούμενον, επινίκιον ωδήν, εβόα άσωμεν.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Φώς πεφυκότες τού κόσμου φωτιστικαίς, θεηγόροι λάμψεσι, καταυγάσατε ημάς, καί παθών λυτρώσατε νυκτός, καί ομίχλης πειρασμών, θεομακάριστοι.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Άρχοντας γήν επί πάσαν Πνεύμα υμάς, τό σεπτόν κατέστησε, τού Κυρίου Μαθηταί, τού αέρος άρχοντας διό, ετροπώσασθε πιστούς, εκλυτρωσάμενοι.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Εκ τού πυρός τού αΰλου ως φωταυγείς, αναφθέντες άνθρακες, τά υλώδη μου σοφοί, πάθη καταφλέξατε πρός φώς, απαθείας καί ζωής, καθοδηγούντές με.

### Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τών Αποστόλων πρεσβείαις καί Προφητών, καί Μαρτύρων Κύριε, Ιησού παμβασιλεύ, καί τής κυησάσης σε Αγνής, κατοικτείρησον λαόν, ημαρτηκότα σοι.

## Κανών τού Αγίου Νικολάου. ού η Ακροστιχίς.
## Έκτον μέλισμα, Νικόλαε, προσδέχου. Ιωσήφ.

### Ο Ειρμός

Ο αισθητός Φαραώ, κατεποντίσθη πανστρατί, Ισραήλ δέ διελθών, εν μέσω τής θαλάσσης ανεβόα, Κυρίω τώ Θεώ ημών άσωμεν, ότι δεδόξασται.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Εν ουρανοίς κατοικών, χαρμονικώς Πάτερ σοφέ, επί γής τών εν πίστει, συμφώνως ανυμνούντων σε, πάσαν λύπην καρδίας, πονηράν διασκέδασον, τή μεσιτεία σου.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Κατά παθών βλαβερών, κατά εχθρών φθοροποιών, κατά πάσης τού πλάνου, κακίας νύν ενίσχυσον, τούς τή σκέπη σου Πάτερ τή αγία Νικόλαε, πίστει προστρέχοντας.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Τραυματισθέντας ημάς, υπ' αοράτων τοξευτών, τή μοτώσει τής σής Νικόλαε πρεσβείας, περιποίησαι, όπως υγιώς βηματίζωμεν, τάς τού Κυρίου οδούς.

### Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ο συνυπάρχων Πατρί, ο συναΐδιος Υιός, επ' εσχάτων βουληθείς, κατώκησε τήν μήτραν σου, εις ημών Θεοτόκε, τών πιστών αναγέννησιν, όθεν υμνούμέν σε.

### Ωδή γ'  Ο Ειρμός

Ουκ έστιν άγιος ως σύ, Κύριε ο Θεός μου, ο υψώσας τό κέρας, τών πιστών σου Αγαθέ, καί στερεώσας αυτούς, εν τή πέτρα τής ομολογίας σου.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Τό θείον Πνεύμα ταίς υμών, γλώσσαις αναχωνεύσαν, επελεύσει φρικώδει, συντριβέντας πρός ζωήν, καινοποιεί δι' υμών, τούς ανθρώπους ένδοξοι Απόστολοι.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Εν γνώσει Λόγε πλημμελών, ποίαν έξω συγγνώμην, εν ημέρα τής δίκης; διά τούτό σοι βοώ. Διά τών σών Μαθητών, οίκτειρόν με τόν αυτοκατάκρι τον.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Οι μιμησάμενοι Χριστού, τά σωτήρια πάθη, τής ψυχής μου τά πάθη, τά χρόνια καί δεινά, ιάσασθε ιατροί, πεφυκότες ένδοξοι Απόστολοι.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ημαρτηκότα με Χριστέ, διά τών Αποστόλων, καί τής σέ κυησάσης, επιστρέψας ως Θεός, ελέησον καί πυρός, αιωνίου Σώτερ ελευθέρωσον.

Κανών τού Αγίου Νικολάου

Ο Ειρμός

Εν τή στερρά, τής πίστεώς σου πέτρα, τόν λογισμόν εδράσας τής ψυχής μου, στερέωσον Κύριε, σέ γάρ έχω Αγαθέ, καταφυγήν καί στερέωμα.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Νίκη σαφώς, κατά τών ψυχοφθόρων παθών, Νικόλαε παμμάκαρ πέλεις, υφ' ών ημάς πάντοτε, πορθουμένους χαλεπώς, σαίς προσευχαίς απολύτρωσαι.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Μέλη σαρκός, νεκρώσας εγκρατεία, πρός τήν ζωήν, μετέβης τήν αγήρω, ήν καί ημάς πρέσβευε, απολήψεσθαι σοφέ, χαρμονικώς ευφημούντάς σε.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Επισκοπών, ημάς εξ ουρανίου περιωπής, μή παύση Ιεράρχα, αποσοβών άπαντα, τά τού βίου δυσχερή, σαίς πρός Θεόν παρακλήσεσι.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Λύσιν ημίν, Αγνή αμαρτημάτων, τόν Λυτρωτήν, δοθήναι εκδυσώπει, τόν σκοτασμόν Άχραντε, τών ψυχών ημών αεί, ταίς σαίς πρεσβείαις σκεδάζουσα.

Ωδή δ' Ο Ειρμός

Χριστός μου δύναμις, Θεός καί Κύριος, η σεπτή Εκκλησία θεοπρεπώς, μέλπει ανακράζουσα, εκ διανοίας καθαράς, εν Κυρίω εορτάζουσα.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Λιμένες εύδιοι, λιμένες άκλυστοι, γαληνόν με, πρός όρμον αληθινής, μετανοίας σώσατε, αμαρτημάτων χαλεπών, τρικυμία χειμαζόμενον.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Ψυχή μου στέναξον, ψυχή μου δάκρυσον, ταπεινή μου καρδία, τώ Αγαθώ, ολικώς κολλήθητι, όπως μελλούσης σε φλογός, καί κολάσεως λυτρώσηται.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Σωτήρα Κύριον, σωτήρες πέλοντες, τών βροτών, δυσωπείτε, όπως ημάς, σώση ως φιλάνθρωπος, πειρατηρίων χαλεπών, παμμακάριστοι Απόστολοι.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Παρθένε άχραντε, Παρθένε άμωμε, μετά τών Αποστόλων υπέρ ημών, ικεσίαν ποίησον, όπως ρυσθείη μεν δεινών, πειρασμών καί περιστάσεων.

## Κανών τού Αγίου Νικολάου

### Ο Ειρμός

Ακήκοα Κύριε, τήν ακοήν σου καί εφοβήθην, κατενόησα τά έργα σου, καί εξέστην, δόξα τή δυνάμει σου Κύριε.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Ιάτρευσον Άγιε, τήν πληγωθείσαν υπό τού πλάνου, αδιόρθωτον καρδίαν μου, ικετεύων, τόν αγαθοδότην Θεόν ημών.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Συνέτριψας ξόανα, τής απωλείας, Χριστού θεράπον, όθεν πίστει ικετεύω σε, τού νοός μου κάκιστα, ινδάλματα μείωσον.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Μυρίπνοος γέγονας, δικαιοσύνης έργοις θεόφρον, καί τών Μύρων κατεκόσμησας, τήν καθέδραν, Πάτερ Ιεράρχα Νικόλαε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ανύμφευτε Δέσποινα, ευλογημένη Θεοκυήτορ, τούς υμνούντάς σε περίσωζε, πάσης βλάβης, μόνη τών ανθρώπων βοήθεια.

### Ωδή ε'  Ο Ειρμός

Τώ θείω φέγγει σου Αγαθέ, τάς τών ορθριζόντων σοι ψυχάς, πόθω καταύγασον δέομαι, σέ ειδέναι Λόγε Θεού, τόν όντως Θεόν, εκ ζόφου τών πταισμάτων ανακαλούμενον.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Οδόν τήν φέρουσαν εις ζωήν, διά στενωτάτης αγωγής, καί πειρασμών τε καί θλίψεων, Μαθηταί τού Λόγου, σαφώς οδεύσαντες, τάς τρίβους τής ψυχής μου εξομαλίσατε.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Λύχνοι τής θείας ανατολής, ρύσασθε εκ σκότους με παθών, καί ηδονών αμαυρότητος, καί πειρατηρίων καί περιστάσεων, καί ζάλης καί κινδύνων, Χριστού Απόστολοι.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Τόμοι τού Λόγου θοειδείς, βίβλω με γραφήναι τής ζωής, εκδυσώπείτε Απόστολοι, τών αμαρτιών μου τό χαλεπώτατον, ρηγνύντες γραμματείον, ταίς προσευχαίς υμών.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Η σωτηρία μου καί ελπίς, σώσόν με ελπίζοντα εις σέ, πάντων ελπίς ακαταίσχυντε, ταίς πρός τόν Δεσπότην σου παρακλήσεσι, τών θείων Μαθητών τε, μόνη Πανύμνητε.

Κανών τού Αγίου Νικολάου

Ο Ειρμός

Ο τό φώς ανατέλλων τω κόσμω Χριστέ, φώτισον τήν καρδίαν μου, εκ νυκτός σοι κραυγάζοντος, καί σώσόν με.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Νυσταγμώ αμελείας κρατούμενον, πρόθυμόν με απέργασαι, ιεραίς μεσιτείαις σου Νικόλαε.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Ιησούν τόν Σωτήρα ικέτευε, Ιεράρχα Νικόλαε, αιωνίου κολάσεώς με ρύσασθαι.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Κοσμικών με σκανδάλων διάσωσον, καί δαιμόνων κακώσεως, Ιεράρχα Νικόλαε πρεσβείαις σου.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ο τό είναι ημίν παρεχόμενος, σου τήν μήτραν κατώκησε Θεοτόκε, όν αίτησαι σωθήναι ημάς.

Ωδή ς'  Ο Ειρμός

Τού βίου τήν θάλασσαν, υψουμένην καθορών, τών πειρασμών τώ κλύδωνι, τώ ευδίω λιμένι σου προσδραμών, βοώ σοι. Ανάγαγε, εκ φθοράς τήν ζωήν μου, πολυέλεε.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Ως πλάκες θεόγραφοι, τάς τού Πνεύματος σαφώς, νομοθεσίας ένδοξοι, εν ταίς ψυχαίς εσχήκατε αψευδώς, δι' ών τόν εν γράμματι, κατηργήσατε νόμον, κόσμον σώσαντες.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Ψυχή αμαρτάνουσα, συνηθεία τε κακή, φρενοβλαβώς δουλεύουσα, επιστροφή επίστρεψον καί Θεώ, οικτίρμονι βόησον. Διά τών Αποστόλων, Λόγε σώσόν με.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Προβάτοις με σύνταξον, δεξιοίς εν τή φρικτή, καί φοβερά ελεύσει σου, τών εκλεκτών προβάτων σου προσευχαίς, τών θείων Κηρύκων σου, ο τυθείς, υπέρ πάντων Αμνός άκακος.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Χορός ικετεύει σε, Ασωμάτων λειτουργών, Υιέ Θεού προάναρχε, εκδυσωπεί σε δήμος τών Μαθητών, διά τής Τεκούσης σε, τώ λαώ σου παράσχου, τά ελέησου.

Κανών τού Αγίου Νικολάου

Ο Ειρμός

Τώ κήτει καταποθείς, τώ τής αμαρτίας, κραυγάζω σοι Χριστέ, Ως τόν προφήτην, εκ φθοράς με ελευθέρωσον.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Λαμπτήρά σε νοητόν, έχουσα η κτίσις Νικόλαε, φωτίζεται ακτίσι, τών απείρων θαυμασίων σου.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Ανύστακτε πρεσβευτά, τών σοί προστρεχόντων Νικόλαε, ύπνου χαλεπωτάτου, ραθυμίας με απάλλαξον.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Ερρύσω πάλαι σοφέ, μέλλοντας αδίκως τεθνήξεσθαι, ωσαύτως ούν με ρύσαι, συμβαινουσών παραπτώσεων.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Παρθένε μόνη αγνή, κεχαριτωμένη βοήθει μοι, αεί χειμαζομένω, ταίς τού βίου περιστάσεσι.

Ωδή ζ' Ο Ειρμός

Δροσοβόλον μέν τήν κάμινον ειργάσατο, Άγγελος τοίς οσίοις Παισί, τούς Χαλδαίους δέ καταφλέγον, πρόσταγμα Θεού, τόν τύραννον έπεισε βοάν. Ευλογητός εί ο Θεός, ο τών πατέρων ημών.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Τώ αγκίστρω τώ τού λόγου ανελκύσαντες, βυθού τής πλάνης άπαντας, προσηγάγετε τώ τυθέντι, Λόγω δι' ημάς, Απόστολοι μέλποντες αυτώ. Ευλογητός εί ο Θεός, ο τών πατέρων ημών.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Τώ φανέντι ύλη σώματος Απόστολοι, αμέσως ομιλήσαντες, εφωτίσθητε φωτοδότοις, λάμψεσιν αυτού, διό με φωτίσατε βοάν. Ευλογητός εί ο Θεός, ο τών πατέρων ημών.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Τόν ποιμένα τόν καλόν εκδυσωπήσατε, εις όρη με πλανώμενον, παραβάσεως εκζητήσαι, θείοι Μαθηταί, καί σώσαι βοώντα εμμελώς. Ευλογητός εί ο Θεός, ο τών πατέρων ημών.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σύν Προφήταις Αποστόλοις τε καί Μάρτυσι, Παρθένε, όν εκύησας, καθικέτευε λυτρωθήναι, πάντας τών δεινών, τούς φόβω κραυγάζοντας αυτώ. Ευλογητός εί ο θεός, ο τών πατέρων ημών.

Κανών τού Αγίου Νικολάου

Ο Ειρμός

Ο τών οσίων σου Παίδων, τόν ύμνον επακούσας, καί την κάμινον καιομένην δροσίσας, ευλογητός εί Κύριε.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Ρώμη τού Θεού παμμάκαρ, αιρετιζόντων στίφος, κατεπάτησας, καί τής τούτων απάτης, τό ποίμνιον διέσωσας.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Ο εποφθείς τοίς πλωτήρσι, καί τήν πόλιν σου θρέψας, κινδυνεύουσαν, ψυχοφθόρου λιμού με, ευχαίς σου Πάτερ λύτρωσαι.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Στήριξον Πάτερ ευχαίς σου, τούς σέ προσκαλουμένους εις βοήθειαν, κατευνάζων δαιμόνων, τό πονηρόν κλυδώνιον.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Δέσποινα πάντων ανθρώπων, αγία Θεοτόκε, τής δουλείας με τών παθών, σαίς πρεσβείαις, τελείως ελευθέρωσον.

## Ωδή η' Ο Ειρμός

Εκ φλογός τοίς Οσίοις δρόσον επήγασας, καί Δικαίου θυσίαν ύδατι έφλεξας, άπαντα γάρ δράς Χριστέ, μόνω τώ βούλεσθαι, σέ υπερυψούμεν, εις πάντας τούς αιώνας.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Χερσωθείσας καρδίας κατενεώσατε, τώ αρότρω τού λόγου, εγκατασπείραντες, δόγμα τό σεπτόν, στάχυν εκατοστεύοντα, τούς διασωθέντας, εδρέψασθε θεόπται.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Πρεσβειών τή δρεπάνη επικαθάρατε, τά ζιζάνια πάντα τής διανοίας μου, θείοι γεωργοί, τού Σωτήρος Απόστολοι, όπως σωτηρίας, καρποφορήσω στάχυν.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Τού εχθρού τήν κακίαν κατακοιμίσαντες, εκοιμήθητε ύπνον δικαίοις πρέποντα, άγρυπνοι ημών, πρεσβευταί χρηματίσαντες, Μαθηταί τού Λόγου, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τού πυρός τού ασβέστου ρύσαί με Κύριε, Προφητών καί Μαρτύρων καί Αποστόλων σου, καί τής εν γαστρί, χωρησάσης αρρήτως σε, Κόρης απειράνδρου, πρεσβείαις ευπροσδέκτοις.

## Κανών τού Αγίου Νικολάου

Ο Ειρμός

Οι όσιοί σου Παίδες εν τή καμίνω, τά Χερουβείμ εμιμήσαντο, τόν τρισάγιον ύμνον αναβοώντες. Ευλογείτε υμνείτε, καί υπερυψούτε τόν Κύριον.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Εν ύψει πολιτείας φαεινοτάτης, αναδραμών ώσπερ γνώριμος, πάση τή οικουμένη θαυματουργίαις, θεοφόρε ποικίλαις, φωτίζεις τούς εν σκότει Νικόλαε.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Χαρίτωσον ενθέως επαγρυπνούντας, τούς σέ τιμώντας Νικόλαε, κατακοίμισον τήν κακίαν, εχθραινόντων ανθρώπων, ημίν επεμβαινόντων Νικόλαε.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Ο πάσας τάς παγίδας τού διαβόλου, σθένει συντρίψας τού Πνεύματος, εκ τούτων ρύσαί με σαίς πρεσβείαις, κυβερνών τήν ζωήν μου, θεόφρον Ιεράρχα Νικόλαε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Υμνούμέν σε Παρθένε Θεοκυήτορ, δι' ής αρά απεστείρωται, καί ευλογία πάσιν επήλθε, τοίς ειδόσι σε μόνην, Μητέρα τού Θεού ημών άνανδρον.

### Ωδή θ' Ο Ειρμός

Θεόν ανθρώποις ιδείν αδύνατον, όν ου τολμά Αγγέλων ατενίσαι τά τάγματα, διά σού δέ, Πάναγνε, ωράθη βροτοίς, Λόγος σεσαρκωμένος, όν μεγαλύνοντες, σύν ταίς ουρανίαις Στρατιαίς, σέ μακαρίζομεν.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Θεόν ανθρώποις προσομιλήσαντα, καί τό θνητόν ενώσει ασυγκρίτω Θεώσαντα, εις τόν σύμπαντα κόσμον κηρύξαντες, πάντας αθέου πλάνης, ηλευθερώσατε, όθεν μακαρίζεσθε αεί, θείοι Απόστολοι.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Χριστού τό πάθος εξεικονίζοντες, διά παθών τού σώματος ποικίλων Απόστολοι, τής σαρκός μου τά πάθη νεκρώσατε, καί τήν εξασθενούσαν, καί κινδυνεύουσαν, καί νενεκρωμένην μου ψυχήν ζωοποιήσατε.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Οδός γενού μοι καθοδηγούσά με, πρός απλανή οδόν τών εντολών σου Φιλάνθρωπε, αμαρτίας πεσόντι εις βάραθρα, καί περιπλανωμένω, καί αποκλίναντι, επί τάς οδούς τάς πονηράς, καί κινδυνεύοντι.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Χοροί Αγγέλων καί Αρχαγγέλων τε, Εξουσιών, Δυνάμεις, καί Αρχαί, Κυριότητες, Χερουβείμ καί Σεραφείμ, καί θρόνοι Χριστέ, δήμος τών Αποστόλων, σύν τή Τεκούση σε, μόνε δυσωπούσι Βασιλεύ. Σώσον τούς δούλους σου.

### Κανών τού Αγίου Νικολάου
### Ο Ειρμός

Η τό Χαίρε δι' Αγγέλου δεξαμένη, καί τεκούσα τόν Κτίστην τόν ίδιον, Παρθένε σώζε τούς σέ μεγαλύνοντας.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Ιερέων, καλλονή θαυμάτων βρύσις, εκδυσώπει, Θεόν τόν φιλάνθρωπον, αμαρτημάτων, ευρείν ημάς άφεσιν.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Ώσπερ πάλαι, τούς δεσμώτας ελυτρώσω, τού θανάτου, ημάς ούτω λύτρωσαι, πειρατηρίων, τού βίου Νικόλαε.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Σύ εν Μύροις, τής Λυκίας τεθαμμένος, μύρα βρύεις, πάντοτε Νικόλαε, τήν δυσωδίαν, τών παθών διώκοντα.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Η τού Κτίστου, παρουσία επί θύραις, μή αμέλει, ψυχή αλλά βόησον. Ταίς Νικολάου, Χριστέ ευχαίς σώσόν με.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φώς τεκούσα, τής καρδίας μου τάς κόρας, αβλεπτούσας, Πανύμνητε φώτισον, ίνα υμνώ σε, διά σού σωζόμενος.

Απόστιχα τών Αίνων Αποστολικά

Ποτέ οι Μαθηταί σου Χριστέ, εν πλοίω χειμαζόμενοι, ανεβόων, Διδάσκαλε, σώσον ημάς, απολλύμεθα, καί νύν ημείς κραυγάζομεν, Φιλάνθρωπε Σωτήρ ημών, ρύσαι ημάς εκ τών αναγκών ημών δεόμεθα.

Στίχ. α'. Ενεπλήσθημεν τό πρωϊ τού ελέους σου, Κύριε, καί ηγαλλιασάμεθα καί ηυφράνθημεν έν πάσαις ταίς ημέραις ημών. Ευφρανθείημεν, ανθών ημερών εταπείνωσας ημάς, ετών, ών είδομεν κακά, καί ίδε επί τούς δούλους σου καί επί τά έργα σου, καί οδήγησον τούς υιούς αυτών.

Κύριε, οι Απόστολοι κατέλαβον, ποτέ μέν τό βάθος τής θαλάσσης διά δικτύων, ποτέ δέ τό ύψος τής Βασιλείας διά Δογμάτων, καί τή μέν τέχνη, τόν ακατάληπτον βυθόν ηρεύνησαν, τή δέ πίστει, τόν απερίγραπτόν σου κόλπον έφθασαν, καί τώ κόσμω εκήρυξαν τόν άχρονον Υιόν σου, ών ταίς πρεσβείαις, καί πάντων τών Αγίων, ελέησον ημάς.

Μαρτυρικόν

Στίχ. β'. Καί έστω η λαμπρότης Κυρίου τού Θεού ημών εφ' ημάς, καί τά έργα τών χειρών ημών κατεύθυνον εφ' ημάς, καί τό έργον τών χειρών ημών κατεύθυνον.

Τούς Αγίους εθαυμάστωσε, καί Αγίας ο Θεός ημών, αγαλλιάσθε καί ευφραίνεσθε, πάντες οι δούλοι αυτού, υμίν γάρ ητοίμασε τόν στέφανον, καί τήν Βασιλείαν αυτού, αλλ' αιτούμεν, καί ημών μή επιλάθησθε.

Δόξα... Καί νύν... Θεοτοκίον

Τριήμερος ανέστης Χριστέ

Μεγάλων χαρισμάτων αγνή, Παρθένε Θεομήτορ σεμνή, ηξιώθης, ότι έτεκες σαρκί, τόν ένα τής Τριάδος, Χριστόν τόν ζωοδότην, εις σωτηρίαν τών ψυχών ημών.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

### Οι Μακαρισμοί

Μακάριοι οι ειρηνοποιοί, ότι αυτοί υιοί Θεού κληθήσονται.

Μνήσθητί μου, ο Θεός ο Σωτήρ μου, όταν έλθης εν τή Βασιλεία σου, καί σώσόν με, ως μόνος φιλάνθρωπος.

Μακάριοι οι δεδιωγμένοι ένεκεν δικαιοσύνης, ότι αυτών εστιν η βασιλεία τών ουρανών.

Ως νεφέλαι, επωμβρίσατε τό ύδωρ, εν τώ κόσμω, τής ενθέου γνώσεως, πεφωτισμένοι, Κυρίου Απόστολοι.

Μακάριοί εστε όταν ονειδίσωσιν υμάς, καί διώξωσι, καί είπωσι πάν πονηρόν ρήμα καθυμών ψευδόμενοι ένεκεν εμού.

Ως ακτίνες, μυστικαί διαδραμόντες, εις τόν κόσμον Απόστολοι ένδοξοι, ανθρώπων γένος, πίστει εφωτίσατε.

Μαρτυρικόν

Χαίρετε καί αγαλλιάσθε, ότι ο μισθός υμών πολύς εν τοίς ουρανοίς.

Τών βασάνων, τώ πυρί προσομιλούντες, θείαν δρόσον υμάς αναψύχουσαν, παρά Κυρίου, εδέξασθε Μάρτυρες.

Δόξα...

Τήν αγίαν, καί σεπτήν πιστοί Τριάδα, προσκυνούντες συμφώνως βοήσωμεν. Τών Αποστόλων, λιταίς σώσον πάντας ημάς.

Καί νύν... Θεοτοκίον

Η τεκούσα, διά λόγου υπέρ λόγον, Θεοτόκε Πατ δυσώπει, σώσαι τάς ψυχάς ημών.

HYPERLINK "" \l "top" top

6-6

Στιχηρά Προσόμοια Σταυρώσιμα

Ήχος πλ. β'

Τριήμερος ανέστης Χριστέ

Στίχ. α'. Εάν ανομίας παρατηρήσης, Κύριε, Κύριε τίς υποστήσεται; ότι παρά σοί ο ιλασμός εστιν.

Μακρόθυμε φιλάνθρωπε, Θεέ μου πολυέλεε, καί οικτίρμον, πώς υπήνεγκας σφαγήν, καί νέκρωσιν εν ξύλω, υπέρ ανθρώπων γένους; Δοξολογούμέν σου τό εύσπλαγχνον.

Στίχ. β'. Ένεκεν τού ονόματός σου υπέμεινά σε, Κύριε, υπέμεινεν η ψυχή μου εις τόν λόγον σου, ήλπισεν η ψυχή μου επί τόν Κύριον.

Ραπίσματα υπήνεγκας, καί σταύρωσιν μακρόθυμε, καί ονείδη, θέλων πάντας εκ χειρός, λυτρώσασθαι τού πλάνου, ο μόνος ζωοδότης, καί πάντα φέρεις Υπεράγαθε.

Στίχ. γ'. Από φυλακής πρωϊας μέχρι νυκτός, από φυλακής πρωϊας ελπισάτω Ισραήλ επί τόν Κύριον.

Ανήλθες ο ποιμήν εν Σταυρώ, καί έτεινας τάς χείρας βοών. Δεύτε πρός με, καί φωτίσθητε βροτοί, οι πλάνη σκοτισθέντες, εγώ γάρ φώς υπάρχω. Δόξα σοι μόνε φωτοπάροχε.

Έτερα τής Θεοτόκου

Η απεγνωσμένη

Στίχ. δ'. Ότι παρά τώ Κυρίω τό έλεος, καί πολλή παρ' αυτώ, λύτρωσις. καί αυτός λυτρώσεται τόν Ισραήλ έκ πασών τών ανομιών αυτού.

Κατακαμπτομένην δυσφορωτάτω, βάρει τήν ψυχήν μου, τώ τών πταισμάτων, καί κατασυγκύπτουσαν, ανόρθωσον Παρθένε, σύ γάρ τόν τούς κατερραγμένους, ανορθούντα Σωτήρα, έχεις πειθόμενον ευκόλως, μητρική παρρησία, καί διάρρηξον σή μεσιτεία, τής αμαρτίας τό χειρόγραφον δέομαι, διά τό μέγα σου έλεος.

Στίχ. ε'. Αινείτε τόν Κύριον πάντα τά έθνη, επαινέσατε αυτόν, πάντες οι λαοί.

Τόν κατεγνωσμένον ταίς αμαρτίαις, καί εσπιλωμένον ταίς ανομίαις, τόν καταφρονήσαντα, Θεού τών προσταγμάτων, ίδε καί μή με απορρίψης, από τού σού προσώπου, σύ γάρ υπάρχεις Θεοτόκε, ελπίς μου καί προστάτις, διό πρόσχες μου ταίς ικεσίαις, από πάσης με κηλίδος καθάρισον, διά τό μέγα σου έλεος.

Στίχ. ς'. Ότι εκραταιώθη τό έλεος αυτού εφ' ημάς, καί η αλήθεια τού Κυρίου μένει εις τόν αιώνα.

Ανοιξόν μοι θύραν τής μετανοίας, δός μοι Παναγία πηγήν δακρύων, παράσχου κατάνυξιν, καί σώφρονα καρδίαν, σέ γάρ βεβαίαν προστασίαν, επιγράφομαι μόνην, πάσαν επί σέ προσδοκίαν, τήν εμήν αναφέρω, μή απώση με κατησχυμμένον, αλλάπροσδέχου, καί διάσωσον Δέσποινα, διά τό μέγα σου έλεος.

Δόξα... Καί νύν... Σταυροθεοτοκίον

Τριήμερος ανέστης Χριστέ

Ορώσά σε η Πάναγνος, εν ξύλω καθηλούμενον, ανεβόα. Ώ Υιέ μου καί Θεέ, τί τό παράδοξόν σου, καί άκουσμα τό ξένον, ο υπομένεις διά οίκτον πολύν;

Απόστιχα Σταυρώσιμα

Ο Σταυρός σου Κύριε, ζωή καί αντίληψις, υπάρχει τώ λαώ σου, καί επ' αυτώ πεποιθότες, σέ τόν σταυρωθέντα, σαρκί Θεόν ημών υμνούμεν, ελέησον ημάς.

Στίχ. Α'. Πρός σέ ήρα τούς οφθαλμούς μου, τόν κατοικούντα εν τώ ουρανώ. Ιδού, ως οφθαλμοί δούλων εις χείρας τών κυρίων αυτών, ως οφθαλμοί παιδίσκης εις χείρας τής κυρίας αυτής, ούτως οι οφθαλμοί ημών πρός Κύριον τόν Θεόν ημών, έως ού οικτιρήσαι ημάς.

Ο Σταυρός σου Κύριε, Παράδεισον ήνοιξε, τώ γένει τών ανθρώπων, καί εκ φθοράς λυτρωθέντες, σέ τόν σταυρωθέντα, σαρκί Θεόν ημών υμνούμεν, ελέησον ημάς.

Μαρτυρικόν

Στίχ. Β'. Ελέησον ημάς, Κύριε, ελέησον ημάς, ότι επί πολύ επλήσθημεν εξουδενώσεως, επί πλείον επλ ήσθη η ψυχή ημών, τό όνειδος τοίς ευθηνούσι, καί η εξουδένωσις τοίς υπερηφάνοις.

Οι Μάρτυρές σου Κύριε, ουκ ηρνήσαντό σε, ουκ απέστησαν από τών εντολών σου, ταίς αυτών πρεσβείαις, ελέησον ημάς.

Δόξα... Καί νύν... Σταυροθεοτοκίον

Τριήμερος ανέστης Χριστέ

Παρίστατο τώ ξύλω ποτέ, καιρώ τώ τής σταυρώσεως, η Παρθένος, σύν παρθένω μαθητή, καί κλαίουσα εβόα. Οίμοι πώς πάσχεις πάντων, Χριστέ υπάρχων η απάθεια!

Μετά τήν α' Στιχολογίαν

Καθίσματα Σταυρώσιμα

Ήχος πλ. β'

Σήμερον τό προφητικόν, πεπλήρωται λόγιον, ιδού γάρ προσκυνούμεν εις τόν τόπον, ού έστησαν οι πόδες σου Κύριε, καί ξύλου σωτηρίας γευσάμενοι, τών εξ αμαρτίας παθών ελευθερίας ετύχομεν, πρεσβείαις της Θεοτόκου, μόνε φιλάνθρωπε.

Μόνον επάγη, τό ξύλον Χριστέ τού Σταυρού σου, τά θεμέλια εσαλεύθησαν, τού θανάτου Κύριε, όν γάρ κατέπιε πόθω ο άδης, απέλυσε τρόμω. Έδειξας ημίν τό σωτήριόν σου Άγιε, καί δοξολογούμέν σε Υιέ Θεού, ελέησον ημάς.

Δόξα... Καί νύν... Σταυροθεοτοκίον

Ελπίς τού κόσμου αγαθή

Η μόνη άμωμος Αμνάς, Θεοτόκε Παρθένε, τόν εξ αιμάτων σου αγνών, σαρκωθέντα ορώσα, κρεμάμενον εθελουσίως εν Σταυρώ, εκραύγαζες Κόρη, εν δάκρυσι πικροίς, Υιέ μου ανεξίκακε, υμνώ σου τήν φρικτήν, πάσαν οικονομίαν.

Μετά τήν β' Στιχολογίαν

Καθίσματα Σταυρώσιμα

Ο Σταυρός σου Κύριε ηγίασται, εν αυτώ γάρ γίνονται ιάματα, τοίς ασθενούσιν εν αμαρτίαις, δι' αυτού σοι προσπίπτομεν. Ελέησον ημάς.

Κύριε, κατέκρινάν σε Ιουδαίοι θανάτω, τήν ζωήν τών απάντων, οι τήν Ερυθράν ράβδω πεζεύσαντες, Σταυρώ σε προσήλωσαν, καί οι εκ πέτρας μέλι θηλάσαντες, χολήν σοι προσήνεγκαν, αλλ' εκών υπέμεινας, ίνα ημάς ελευθερώσης, τής δουλείας τού εχθρού, Κύριε δόξα σοι.

Δόξα... Καί νύν... Σταυροθεοτοκίον

Ελπίς τού κόσμου αγαθή

Παρισταμένη τώ Σταυρώ, η Παρθένος καί Μήτηρ, τού άνευ πάθους εξ αυτής, υπέρ νούν σαρκωθέντος, εκραύγαζε δακρυρροούσα μητρικώς, ου φέρω σε νεκρόν κρεμάμενον οράν, πνοήν τόν παρεχόμενον, τοίς ζώσιν επί γής, ώ Υιέ καί Θεέ μου.

Μετά τήν γ' Στιχολογίαν

Καθίσματα έτερα

Ελπίς τού κόσμου αγαθή

Σταυρέ δαιμόνων ελατήρ, ιατρέ τών νοσούντων, ισχύς καί φύλαξ τών πιστών, Βασιλέων τό νίκος, τό καύχημα τών Ορθοδόξων αληθώς, τό στήριγμα τής Εκκλησίας τού Χριστού, γενού ημίν ασφάλεια, καί τείχος καί φρουρός, ξύλον ευλογημένον.

Μαρτυρικόν

Φώς δικαίοις διά παντός, οι γάρ Άγιοι εν σοί φωτισθέντες, καταλάμπουσιν αεί ως φωστήρες, λύχνον ασεβών σβέσαντες, ών ταίς ευχαίς, σύ φωτιείς λύχνον μου Κύριε, καί σώσόν με.

Δόξα... καί νύν... Θεοτοκίον

Παναγία Θεοτόκε, τόν χρόνον τής ζωής μου, μή εγκαταλίπης με, ανθρωπίνη προστασία, μή καταπιστεύσης με, αλλ' αυτή αντιλαβού, και ελέησόν με.

Κανών Σταυρώσιμος ού η Ακροστιχίς, άνευ τών Θεοτοκίων.
Πάθος τό σεπτόν αινέσω τού Δεσπότου. Ιωσήφ.

Ωδή α'  Ήχος πλ. β'
Ο Ειρμός

Κύματι θαλάσσης, τόν κρύψαντα πάλαι, διώκτην τύραννον, υπόγήν έκρυψαν, τών σεσωσμένων οι Παίδες, αλλ' ημείς ως αινεάνιδες, τώ Κυρίω άσωμεν. Ενδόξως γάρ δεδόξασται.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Πάθει σου τιμίω, τήν ατιμασθείσαν φύσιν ετίμησας, τής ανθρωπότητος, διό τιμώντές σε φόβω, μεγαλύνομεν τό κράτος σου, καί πιστώς δοξάζομεν. Ενδόξως γάρ δεδόξασται.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Αίματί σου Λόγε, αιμάτων αδίκων χύσιν ανέστειλας, καί απεκάθηρας, ρύπου κακίας τήν φύσιν, τών ανθρώπων Παντοδύναμε, διό περ δοξάζομεν σωζόμενοι τό κράτος σου.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Θήρας αιμοβόρους, ενίκησεν όντως η αξιέπαινος, Μαρτύρων ένστασις, πυρός υπέταξε φύσιν, δροσισμώ ενθέου χάριτος, καί σφοδρόν κλυδώνιον, πολυθεϊας έπαυσε.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Όμβροις τών αιμάτων, ομβρήματα πλάνης αποξηράναντες, όμβρους ιάσεων, αποχετεύετε κόσμω, καί φλογμόν παθών διώκετε, αληθείας Μάρτυρες, εντεύθεν μακαρίζεσθε.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Κάλλος εν τώ πάσχειν ωραίον εν κάλλει, ουδ είδος έχοντα, η απειρόγαμος, κατανοούσά σε Κόρη τών πιστών τό εγκαλλώπισμα, μητρικώς ηλάλαζε, καί πόθω σε εδόξαζε.

Κανών τής Θεοτόκου, ού η Ακροστιχίς κατ' Αλφάβητον
Ειρμός ο αυτός

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Άχραντε Παρθένε, κεχαριτωμένη Μαρία ένδοξε, τής χαράς πρόξενε, τούς υμνητάς σου ενθέως, θείαις χάρισι χαρίτωσον, όπως χαριστήριον ωδήν σοι αναπέμψωμεν.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Βαβαί Θεομήτορ, τών σών μυστηρίων! τών ποιημάτων γάρ, εδείχθης Δέσποινα, όν ου τολμά ατενίσαι τών Αγγέλων τά στρατεύματα, εν αγκάλαις φέρουσα, διό σε μακαρίζομεν.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Γένος βροτών άπαν, φθορά τού θανάτου καταδεδίκασται, τή τής προμήτορος, απογεύσει τού ξύλου, διά σού δέ ανακέκληται, ως ζωήν τεκούσης σου, Αγνή τήν αδιάφθορον.

### Ωδή γ'  Ο Ειρμός

Σέ τόν επί υδάτων, κρεμάσαντα πάσαν τήν γήν ασχέτως, η κτίσις κατιδούσα, εν τώ Κρανίω κρεμάμενον, θάμβει πολλώ συνείχετο. Ουκ έστιν άγιος, πλήν σου Κύριε, κραυγάζουσα.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Σέ τόν επί υδάτων, κρεμάσαντα πάσαν τήν γήν ασχέτως, εν ξύλω υψωθέντα, καί τήν πλευράν ορυττόμενον, κατανοών ο ήλιος συνεσκοτίζετο, πάντων φωτισμόν γινώσκων σε.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Τέτρωταί σου τοίς ήλοις, μακρόθυμε ο Παραδείσω πάλαι τρώσας Αδάμ κακούργος, καί πληγωθείς ανιάτρευτος, εις τόν αιώνα έμεινε, πιστοί δέ εύρομεν, πάντων τών τραυμάτων ίασιν.

### Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ότε χορός Αγγέλων, εώρακε Μαρτύρων τάς αγέλας, υπέρ Αμνού τυθέντος, συγκοπτομένας εθαύμαζε, πώς δυσμενείς οι ένυλοι, αϋλους έτρεπον νίκης στέφος κομιζόμενοι.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Σθένος ενδεδυμένοι, οι Άγιοι τού εν ισχΰϊ μόνου, τά πάντα δυναμούντος, τώ δυσμενεί συνεπλέκοντο, καί τήν αυτού ανίσχυρον επάτουν δύναμιν, στέφος εκ Θεού δεχόμενοι.

### Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σύ τόν εκ σού τεχθέντα ως έβλεψας τιτρωσκόμενον λόγχη, ετρώθης τήν καρδίαν, Υπεραγία Πανάμωμε, καί θαμβουμένη έλεγες. Τί σοι απέδωκε, Τέκνον δήμος ο παράνομος;

### Κανών τής Θεοτόκου
### Ειρμός ο αυτός

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Δόλω με δελεάσας, Θεώσεως εχθρός τώ πόθω πάλαι, εξ Εδέμ Θεομήτορ, εις γήν ερπύσας συνέτριψεν, αλλ' ο Χριστός οικτείρας με, εκ τής νηδύος σου, σάρκα προσλαβών ανέπλασεν.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ελύθη τής κατάρας, τής έκπαλαι η δίκη Θεομήτορ, εν τή σή μεσιτεία, επιφανείς γάρ σοι Κύριος, πάσιν αφθόνως έβλυσεν, ως υπεράγαθος, πάσαν ευλογίαν Πάναγνε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ζωής ωράθης πύλη, Προφήτη πρίν Ιεζεκιήλ Κόρη, ήν ο Κύριος μόνος, σεσαρκωμένος διώδευσε, καί κεκλεισμένην πάλιν σε, Αγνή τετήρηκεν, ως αυτός οίδεν ο΄Υψιστος.

### Ωδή δ'  Ο Ειρμός

Τήν εν Σταυρώ σου θείαν κένωσιν, προορών Αββακούμ, εξεστηκώς εβόα. Σύ δυναστών διέκοψας, κράτος Αγαθέ, ομιλών τοίς εν Άδη, ως Παντοδύναμος.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Εκτεταμένης χειρός Κύριε, τήν ορμήναναιρών, πρός τήν τού ξύλου γεύσιν, νεκρούς εν ξύλω τέθυσαι, σώσαι βουληθείς, εκ πλευράς δ' αποστάζεις, δεσμώταις άφεσιν.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Παθείν ηνέσχου Υπεράγαθε, όπως λύσης ημάς, παθών τής αλογίας, χολής εγεύσω, βρύων μοι, θείον γλυκασμόν, ενεκρώθης ζωήν μοι, παρέχων Δέσποτα.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Τό πύρ τής θείας αγαπήσεως, εν ψυχή λογική, προσφέροντες τήν φλόγα, παρανομούντων έσβεσαν, καί φωτιστικαί, οι Χριστού Αθλοφόροι, λαμπάδες ώφθησαν.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Οι θείοι φίλοι τού Παντάνακτος, σαρκικής εαυτούς, χωρίσαντες φιλίας, πρός άπασαν εχώρησαν, βάσανον στερρώς, καί νικήσαντες, δόξη εστεφανώθησαν.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Εκτός σε πάθους απεκύησα, καί πώς βλέπω σε νύν, πάθει προσομιλούντα; πώς φέρεις τούτο έκραζεν, άναρχε Υιέ; η Παρθένος, δοξάζω σου τό μακρόθυμον.

Κανών τής Θεοτόκου

Ειρμός ο αυτός

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Η εκλεκτή τε καί υπέρτιμος, εκ πασών γενεών, αναφανείσα μόνη, η αρεταίς εκλάμψασα, Άχραντε, σεμνή, τούς σέ υμνολογούντας, αίγλη σου λάμπρυνον.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Θεόν σαρκί Παρθένε τέτοκας, εξ αγνών σου σεμνή, αιμάτων Θεομήτορ, Σωτήρα τόν λυτρούμενον, πάντας εκ δεινών, τούς υμνούντάς σε, Κόρη θεοχαρίτωτε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ιερουργεί τώ θείω τόκω σου, Θεοτόκε αγνή, η τών Αϋλων φύσις, καί τών βροτών τό σύστημα, πόθω σε υμνεί, αλλά σού τή ελλάμψει, ημάς καταύγασον.

Ωδή ε'  Ο Ειρμός

Πρός σέ ορθρίζω, τόν δι' ευσπλαγχνίαν, σεαυτόν τώ πεσόντι, κενώσαντα ατρέπτως, καί μέχρι παθών, απαθώς υποκύψαντα, Λόγε Θεού. Τήν ειρήνην παράσχου μοι φιλάνθρωπε.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Νεκρός οράσαι, επί τού Κρανίου, τώ πάθει ο νεκρώσας τόν Άδην, τής σαρκός σου, καί είδος Χριστέ, ουδέ κάλλος σύ είχες κρεμάμενος, καλλωπίσαι με θέλων ως φιλάνθρωπος.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Αδάμ τού πρώτου, εξηλώσαι θέλων, εμπαθείς διαθέσεις, τοίς ήλοις προσηλούσαι, καί λόγχη τρωθείς, τήν φλογίνην ρομφαίαν κωλύεις Χριστέ, μή κωλύειν τήν είσοδον τοίς δούλοις σου.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ιχνηλατούντες, πάθη τού Δεσπότου, οι χοροί τών Μαρτύρων, εν ξύλω προσηλούνται, καί χείρας ομού, αφαιρούνται καί πόδας, πρός τρίβον σεπτού, μαρτυρίου ευθυνούμενοι.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Νοϊ τελείω, νούν τόν αλαζόνα, επαιρόμενον θράσει, καθείλετε τελείως, ταπεινωθέντες, εν μιμήσει τού πάντας υψώσαντος, ταπεινώσει καρδίας Χριστομάρτυρες.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Εκ ρίζης Κόρη, Ιεσσαί βλαστάνεις, καί ως άνθος προσφέρεις, τόν φυτουργόν τού κόσμου, παραφυάδας ξηράναντα, θείω φυτώ τού Σταυρού, όν σαρκί κατεδέξατο ως εύσπλαγχνος.

## Κανών τής Θεοτόκου

### Ο Ειρμός

Θεοφανείας σου Χριστέ, τής πρός ημάς συμπαθώς γενομένης, Ησαίας φώς ιδών ανέσπερον, εκ νυκτός ορθρίσας εκραύγαζεν. Αναστήσονται οι νεκροί, καί εγερθήσονται οι εν τοίς μνημείοις, καί πάντες οι γηγενείς αγαλλιάσονται.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Κλίμαξ φανείσα τυπικώς, τώ Ιακώβ πρός ύψος επηρμένη, τού σού Θεονύμφευτε υπέφηνε, τοκετού τό όντως εξαίσιον, διά σού γάρ όντως Θεός, ημίν ωμίλησε, συγκαταβάσει, τή θεία καί πρός ζωήν, πάλιν επανήγαγε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Λελυτρωμένοι διά σού, τής μητρικής λύπης Θεοκυήτορ, θυμηδίας έμπλεοι γεγόναμεν, ευφροσύνην πάσι κυήσασα, καί παγκόσμιον χαρμονήν, διό Πανύμνητε τούς σούς υμνολόγους, κινδύνων, ταίς σαίς πρεσβείαις διαφύλαξον.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Μυσταγωγούμενος τήν σήν, θεοπτικώς ο Μωϋσής εικόνα, προετώ πυρί ώρα βάτον ακατάφλεκτον, Παρθένε Πανάμωμε, εν σοί γάρ ο πλαστουργός, οικήσας ουκ έφλεξέ σε τήν ανωτέραν, απάντων τών ποιημάτων θεονύμφευτε.

## Ωδή ς'  Ο Ειρμός

Συνεσχέθη, αλλ' ου κατεσχέθη, στέρνοις κητώοις Ιωνάς, σού τού παθόν γάρ τόν τύπον φέρων, τος καί ταφή δοθέντος, ως εκ θαλάμου τού θηρός ανέθορε, προσεφώνει δέ τή κουστωδία. Οι φυλασσόμενοι μάταια καί ψευδή, έλεον αυτοίς εγκατελίπετε.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Εναλλάττων, χείρας προετύπου, πάλαι Σταυρόν ο Ιακώβ, επευλογών τούς παίδας, όθεν Ύψιστε εν τούτω βαίνων, αράς τής πάλαι λύεις τό ανθρώπινον, καί πηγάζεις νύν τήν ευλογίαν, τοίς ευλογούσί σε μόνε Ευλογητέ, καί Δημιουργέ καί Υπεράγαθε.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Σού τό πάθος, προτυπών ο μέγας, Λόγε Μωϋσής ανυψοί, χαλκούν τόν όφιν πάλαι, εξαιρούμενον τούς καθορώντας, τού ιοβόλου δήγματος τών όφεων, καί γάρ Δέσποτα σού σταυρωθέντος, βλάβης τού όφεως άπαντες οι πιστοί, τού θεοστυγούς απελυτρώθημεν.

Μαρτυρικόν

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ώσπερ άλλου, πάσχοντος οι θείοι, πάλαι καί σεπτοί Αθληταί, διέκειντο αθλούντες, προορώμενοι τάς αντιδόσεις, τάς αιωνίους καί τήν αγαλλίασιν. Ταίς ευχαίς αυτών Χριστέ οικτίρμον, τούς ανυμνούντάς σε λύτρωσαι πειρασμών, καί αμαρτιών καί περιστάσεων.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Τούς χειμάρρους, έπαυσαν τής πλάνης, ρείθροις αιμάτων οι σεπτοί, καί θείοι Αθλοφόροι, καί πηγαί πιστοίς θεογνωσίας, βλύζουσαι ύδωρ, όντως ανεδείχθησαν. Ταίς ευχαίς αυτών Σωτήρ τού κόσμου, όμβρισον άφεσιν άπασι καί ζωήν, καί τόν ιλασμόν καί μεγα έλεος.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τόν Ποιμένα, πάντων καί Δεσπότην, ξύλω ορώσα η Αμνάς, εναπηωρημένον, θρηνωδούσα μητρικώς εβόα, Τί τούτο Τέκνον τό καινόν μυστήριον; πώς αθάνατος τό κατ' ουσίαν υπάρχων, θάνατον δέδεξαι τούς βροτούς, θέλων εκ φθοράς απολυτρώσασθαι;

Κανών τής Θεοτόκου

Ειρμός ο αυτός

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νομικοί σε, τύποι Θεοτόκε, καί αι προρρήσεις σαφώς, τών Προφητών εδήλουν, τεξομένην τόν τού κόσμου ρύστην, καί ευεργέτην απάσης τής κτίσεως, τόν πολυμερώς καί πολυτροπως, ευεργετήσαντα τούς πίστει τε καί στοργή, Δέσποινα αγνή δοξολογούντάς σε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ξενωθέντας, πάλαι εξ απάτης, τού ανθρωποκτόνου εχθρού, Θεού τούς πρωτοπλάστους, τής τρυφής τού Παραδείσου μόνη, Θεογεννήτορ αύθις επανήγαγες, πρός Παράδεισον αποτεκούσα, Σωτήρα Κύριον σταύρωρωσιν καί ταφήν, θεία εξουσία υπομείναντα.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ο βουλήσει, θεία καί δυνάμει, δημιουργική εαυτού, τά πάντα εκ μή όντων, συστησάμενος Αγνή προήλθεν, εκ σής νηδύος καί Θεός καί άνθρωπος, καί τούς εν τώ σκότει τής αγνοίας, τό πρίν υπάρχοντας λάμψεσι θεϊκαίς, Δέσποινα αγνή φαιδρώς κατηύγασεν.

Ωδή ζ'  Ο Ειρμός

Άφραστον θαύμα! ο εν καμίνω ρυσάμενος, τούς οσίους Παίδας εκ φλογός, εν τάφω νεκρός, άπνους κατατίθεται, εις σωτηρίαν ημών τών μελωδούντων. Λυτρωτά ο Θεός, ευλογητός εί.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ότε Σταυρώ σε, δήμος Εβραίων κατέκρινε, θεωρούσα έφριξεν η γή, ήλιος τό φώς, τό ίδιον έπαυσε, καί οι εν σκότει φώς είδον μελωδούντες. Λυτρωτά ο Θεός, ευλογητός εί.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ύβριν υπέστης, καλάμω Σώτερ τυπτόμενος, καί ακάνθαις οία Βασιλεύς, βουλήσει Χριστέ, ο Θεός στεφόμενος, εις σωτηρίαν ημών τών μελωδούντων. Λυτρωτά ο Θεός, ευλογητός εί.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Δεσμείσθε πάσαν, τού διαβόλου Πανεύφημοι, τήν απάτην λύοντες σαφώς, φέρετε ποινάς, καί θάνατον άδικον, ζωήν ποθούντες τήν άνω καί βοώντες. Λυτρωτά ο Θεός, ευλογητός εί.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Έστητε μέσον, φλογός Πανεύφημοι Μάρτυρες, τήν απάτην φλέγοντες σαφώς, καί τώ δροσισμώ, τής ενθέου χάριτος, μή φλογισθέντες, βοάτε μελωδούντες, Λυτρωτά ο Θεός, ευλογητός εί.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σταυρούσαι θέλων, η Θεοτόκος εκραύγαζε, καί ορώσα άναρχε Υιέ, λύπη τήν ψυχήν, νύν καταβαπτίζομαι, θνήσκεις παρέχων ζωήν τοίς μελωδούσι. Λυτρωτά ο Θεός, ευλογητός εί.

Κανών τής Θεοτόκου

Ειρμός ο αυτός

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Πεποικιλμένην, σέ κεκτημένην διάχρυσον, Θεομήτορ κόσμον ευπρεπή, έστερξεν ο σός, Υιός τε καί Κύριος, εις σωτηρίαν ημών τών σοί βοώντων, ο καρπός σου Αγνή, ευλογημένος.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ρόδον εν μέσω, τών ακανθών ευρών Άχραντε, ο Δεσπότης, έπλησεν ημάς, οσμαίς σου τερπναίς, χαρίτων τού Πνεύματος, τούς εκβοώντας αυτώ εν κατανύξει. Λυτρωτά ο Θεός, ευλογητός εί.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σύμβολα πάντες, θείοι Προφήται Θεώμενοι, τού σού θείου, τόκου ευκλεώς, εβόων Αγνή, ο Θεός ελεύσεται, εκ τής Παρθένου, τού σώσαι τούς βοώντας. Λυτρωτά ο Θεός, ευλογητός εί.

Ωδή η'  Ο Ειρμός

Έκστηθι φρίττων ουρανέ, καί σαλευθήτωσαν τά θεμέλια τής γής, ιδού γάρ εν νεκροίς λογίζεται, ο εν υψίστοις οικών, καί τάφω σμικρώ ξενοδοχείται, όν Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Πίνεις ποτήριον Χριστέ, ο επεθύμησας, διά πάθους τού Σταυρού, πηγάς μοι προχέων αφέσεως, εκ ζωηφόρου πλευράς, τώ διά πλευράς θανατωθέντι, διόπερ ανυμνώ σε, Ιερείς ευλογείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ότε σε άνομος λαός, μέσον κατέκρινε, σταυρωθήναι Ιησού, ανόμων ζωοδότα Κύριε, διεδονήθη η γή, καί πάντες ανέμελπον εν φόβω, οι Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Τίμιος έναντι Θεού, υμών ο θάνατος, απεφάνθη Αθληταί, πολλοίς γάρ ομιλούντες πάθεσι, πάθους σεπτού κοινωνοί, βοώντες εδείχθητε εμφρόνως, οι Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Όντως ου σαρκικά υμών, τά όπλα Μάρτυρες, πρός παράταξιν εχθρών, ελπίς δέ πίστις καί αληθεια, δι' ών τυχόντες Θεού, Αγγέλων χοροίς συναριθμείσθε, βοώντες τώ Δεσπότη. Ιερείς ευλογείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ύψιστε άναρχε Υιέ, φέρεις εμπτύσματα, καί ονείδη καί Σταυρόν, καλάμω παικτικώς τυπτόμενος, η Θεοτόκος εβόα, δοξάζω τήν σήν μακροθυμίαν, ήν Παίδες ευλογούσιν, Ιερείς ανυμνούσι, λαοί υπερυψούσιν, εις πάντας τούς αιώνας.

Κανών τής Θεοτόκου
Ειρμός ο αυτός

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τώ θεολήπτω Δανιήλ, σύ προτεθέασαι, αλατόμητον όρος, εκ σού γάρ Κόρη λίθος τέτμηται, Χριστός ο μόνος Θεός, Παρθένε άνευ χειρός ανθρώπου, όν Παίδες ευλογούσιν, Ιερείς ανυμνούσι, λαοί υπερυψούσιν εις πάντας τούς αιώνας.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ύμνοις τόν Τόκον σου Αγνή, αεί δοξάζουσιν, οι τών άνω Στρατηγοί, καί σέ δέ Κόρη αειπάρθενε, χαρμονικώς σύν ημίν, ως Θεομήτορα ανυμνούσιν, ήν Παίδες ευλογούσιν, Ιερείς ανυμνούσι, λαοί υπερυψούσιν, εις πάντας τούς αιώνας.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φέγγους σου ταίς μαρμαρυγαίς, τούς σέ φρονούντας νύν, Θεοτόκον αληθή, Μαρία φωταυγείς απέργασαι, φωτογεννήτορ Αγνή, φωτός γάρ σκηνή ώφθης Παρθένε, τοίς πίστει σοι βοώσι. Χαίρε ευλογημένη, καί δεδοξασμένη, εις πάντας τούς αιώνας.

Ωδή θ' Ο Ειρμός

Μή εποδύρου μου Μήτερ, καθορώσα εν τάφω, όν εν γαστρί άνευ σποράς, συνέλαβες Υιόν, αναστήσομαι γάρ καί δοξασθήσομαι, καί υψώσω εν δόξη, απαύστως ως Θεός, τούς εν πίστει καί πόθω, σέ μεγαλύνοντας.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ίνα τόν βρώσει φθαρέντα, ενηδόνω τού ξύλου, μόνε Σωτήρ ως αγαθός, λυτρώση τής φθοράς, σταυρωθήναι σαρκί, θανατωθήναί τε, κατεδέξω, υμνούμεν, απαύστως Ιησού, τήν πολλήν ευσπλαγχνίαν, καί δυναστείαν σου.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ώ πώς υπέστης οδύνας, εν Σταυρώ ηπλωμένος, τών οδυνών τών χαλεπών, εξαίρων με Σωτήρ! πώς ακάνθας στεφθείς, πάσας έκαυσας τών παθών τάς ακάνθας! πώς όξος ποτισθείς, ευφροσύνης κρατήρα, ημίν εκέρασας!

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Στενοχωρούμενοι πάντες, καί ειρκταίς ομιλούντες, καί μεληδόν οι Αθληταί, τεμνόμενοι δεινώς, καί τροχοίς απηνώς κατατεινόμενοι, καί βορά τοίς θηρίοις διδόμενοι, Χριστόν, τόν απάντων Δεσπότην, ουκ εξηρνήσασθε.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ηλιακών λαμπηδόνων, πλειοτέρως εκλάμπει, τών Αθλητών η παμφαής, καί εύσημος μνήμη, καί ψυχάς ευσεβών φωτίζει πάντοτε, καί διώκει τό σκότος, παθών καί πειρασμών, καί δαιμόνων σκεδάζει, ζόφον βαθύτατον.

Σταυροθεοτοκίον

Φέρεις τόν φέροντα πάντα, καί κατέχεις ως βρέφος, εν ταίς χερσί; τόν εκ χειρός, ρυσαμενον ημάς, πολεμίου εχθρού άχραντε Δέσποινα, καί οράς επί ξύλου, υψούμενον Σταυρού, τόν εκ βόθρου

κακίας, ημάς ρυσάμενον.

Κανών τής Θεοτόκου
Ειρμός ο αυτός

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Χαράς ημίν αιωνίου, καί ζωής ανεδείχθης, υπερφυώς Θεογεννήτορ, πρόξενος Αγνή, τόν Σωτήρα πάντων κυοφορήσασα, τόν τής γής εκ προσώπου, πάν δάκρυον σαφώς, αφελόντα καί πάσι, χαράν βραβεύσαντα.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ψάλλων Δαυϊδ σός προπάτωρ, κιβωτόν σε προέφη, συμβολικώς καί θείου μάννα, χρυσήν στάμνον Μωσής ο θεόπτης, καί γάρ εχώρησας, τόν εν κόλποις πατρώοις, υπάρχοντα αεί, Θεοτόκε, διό σε ύμνοις δοξάζομεν.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ως αληθώς υπερτέρα, πάσης κτίσεως πέλεις, τόν γάρ Θεόν τών απάντων, εκύησας σαρκί, διό σε προστάτιν έχομεν Δέσποινα, καί ελπίδα βεβαίαν, καί τείχος οχυρόν, διά σού σωτηρίας τυχείν ελπίζοντες.

Απόστιχα τών Αίνων Σταυρώσιμα

Εν τώ Σταυρώ τήν ελπίδα κέκτημαι, καί εν αυτώ καυχώμενος βοώ. Φιλάνθρωπε Κύριε, τήν αλαζονείαν κατάβαλε, τών μή ομολογούντων σε, Θεόν καί άνθρωπον.

Στίχ. α'. Ενεπλήσθημεν τό πρωϊ τού ελέους σου, Κύριε, καί ηγαλλιασάμεθα καί ηυφράνθημεν έν πάσαις ταίς ημέραις ημών. Ευφρανθείημεν, ανθών ημερών εταπείνωσας ημάς, ετών, ών είδομεν κακά, καί ίδε επί τούς δούλους σου καί επί τά έργα σου, καί οδήγησον τούς υιούς αυτών.

Οι τώ Σταυρώ τειχιζόμενοι, τώ εχθρώ αντιτασσόμεθα, μή δειλιώντες τάς αυτού μεθοδείας καί ενέδρας, ο γάρ υπερήφανος κατήργηται, καί καταπεπάτηται, τή δυνάμει τού εν ξύλω, προσπαγέντος Χριστού.

Μαρτυρικόν

Στίχ. β'. Καί έστω η λαμπρότης Κυρίου τού Θεού ημών εφ' ημάς, καί τά έργα τών χειρών ημών κατεύθυνον εφ' ημάς, καί τό έργον τών χειρών ημών κατεύθυνον.

Κύριε, εν τή μνήμη τών Αγίων σου, πάσα η κτίσις εορτάζει, ουρανοί αγάλλονται σύν τοίς Αγγέλοις, καί η γή ευφραίνεται σύν τοίς ανθρώποις. Αυτών ταίς παρακλήσεσιν, ελέησον ημάς.

Δόξα... καί νύν... Θεοτοκίον

Επάγην μέν ως άνθρωπος, εν ξύλω καί νενέκρωμαι, καί εν τάφω κατετέθην ως θνητός, αλλ' ως Θεός εν δόξη, Μήτηρ αγνή Παρθένε, πάλιν ανίσταμαι τριήμερος.

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ
Οι Μακαρισμοί

Μακάριοι οι ειρηνοποιοί, ότι αυτοί υιοί Θεού κληθήσονται.

Μνήσθητί μου, ο Θεός ο Σωτήρ μου, όταν έλθης εν τή Βασιλεία σου, καί σώσόν με, ως μόνος φιλάνθρωπος.

Μακάριοι οι δεδιωγμένοι ένεκεν δικαιοσύνης, ότι αυτών εστιν η βασιλεία τών ουρανών.

Υφαπλώσας, τάς παλάμας επί ξύλου, ηγκαλίσω τά έθνη υμνούντά σου, τήν ευσπλαγχνίαν, Χριστέ ο Θεός ημών.

Μακάριοί εστε όταν ονειδίσωσιν υμάς, καί διώξωσι, καί είπωσι πάν πονηρόν ρήμα

καθυμών ψευδόμενοι ένεκεν εμού.

Προσηλώθης, εκουσίως επί ξύλου, καί τά κέντρα Χριστέ τού αλάστορος, τή σή δυνάμει, τελείως εξήλειψας.

Μαρτυρικόν

Χαίρετε καί αγαλλιάσθε, ότι ο μισθός υμών πολύς εν τοίς ουρανοίς.

Ταίς βασάνοις, εντρυφώντες Αθλοφόροι, Παραδείσου τρυφής ηξιώθητε, υπέρ τού κόσμου, απαύστως δεόμενοι.

Δόξα...

Από πάσης, εξελού ημάς βασάνου, ο Πατήρ ο Υιός καί τό σύνθρονον, Πνεύμα τό θείον, τούς δούλους σου Κύριε.

Καί νύν... Σταυροθεοτοκίον

Καθορώσα, σέ Σταυρώ εφηπλωμέκνον, η Παρθένος δς πρεσβείαις, σώσον ημάς Κύριε.

HYPERLINK "" \l "top" top

6-7

Στιχηρά Προσόμοια Δεσποτικά

Ήχος πλ. β'  Η απεγνωσμένη

Στίχ. α'. Εάν ανομίας παρατηρήσης, Κύριε, Κύριε τίς υποστήσεται; ότι παρά σοί ο ιλασμός εστιν.

Ρύσαί με γεέννης αποκειμενης, εξελού πυρός με τού αιωνίου, Κριτά δικαιότατε, τόν κατακεκριμένον, δείξον εκ ζάλης εναντίας, ανάλωτον με Λόγε, τρέμω ο τάλας εννοών μου, τό τών πταισμάτων πλήθος, καί προσπίπτω σοι μετά δακρύων, καί συντριβής τής καρδίας μου Φιλάνθρωπε, τό σόν αιτούμενος έλεος.

Στίχ. β'. Ένεκεν τού ονόματός σου υπέμεινά σε, Κύριε, υπέμεινεν η ψυχή μου εις τόν λόγον σου, ήλπισεν η ψυχή μου επί τόν Κύριον.

Τίς εμέ μή κλαύση τόν παραβάντα, εντολήν Δεσπότου δι' ακρασίαν, τόν Άδην οικήσαντα, αντί τού, Παραδείσου, βρώσις γλυκειά μοι φανείσα εις χολήν μετετράπη, ξένος τής δόξης σου Οικτίρμον, καί Αγγέλων εδείχθην, αλλά δέξαι με μετανοούντα ως ελεήμων καί φιλάνθρωπος Κύριος διά τό μέγα σου έλεος.

Στίχ. γ'. Από φυλακής πρωϊας μέχρι νυκτός, από φυλακής πρωϊας ελπισάτω Ισραήλ επί τόν Κύριον.

Πάντας τούς εν πίστει κεκοιμημένους τάξον ζωοδότα εν χώρα ζώντων, εν τόποις ανέσεως, εν σκηναίς αιωνίοις, ένθα τό φώς τού σού προσώπου, αφθόνως καταλάμπει, όπου τρυφή καί χαρμοσύνη, καί ειρήνη τών Δικαίων, παριδών αυτών τά επταισμένα, έργω καί λόγω διανοία τε Δέσποτα, διά πολλήν αγαθότητα.

Στιχηρά Μαρτυρικά, αυτόμελα

Στίχ. δ'. Ότι παρά τώ Κυρίω τό έλεος, καί πολλή παρ' αυτώ, λύτρωσις. καί αυτός λυτρώσεται τόν Ισραήλ έκ πασών τών ανομιών αυτού.

Οι μαρτυρήσαντες διά σέ Χριστέ, πολλάς βασάνους υπέμειναν, καί τέλειον απέλαβον, τόν στέφανον εν ουρανοίς, ίνα πρεσβεύωσιν υπέρ τών ψυχών ημών.

Στίχ. ε'. Αινείτε τόν Κύριον πάντα τά έθνη, επαινέσατε αυτόν, πάντες οι λαοί.

Οι αθλοφόροι Μάρτυρες, καί ουρανοπολίται, επί γής αθλήσαντες, πολλάς βασάνους υπέμειναν, πρεσβείαις Κύριε, καί ευχαίς αυτών, πάντας ημάς διαφύλαξον.

Στίχ. ς'. Ότι εκραταιώθη τό έλεος αυτού εφ' ημάς, καί η αλήθεια τού Κυρίου μένει εις τόν αιώνα.

Ο Σταυρός σου Κύριε, τοίς Μάρτυσι γέγονεν, όπλον αήττητον, έβλεπον γάρ τόν προκείμενον

θάνατον, καί προβλέποντες τήν μέλλουσαν ζωήν, τή ελπίδι τή εις σέ ενεδυναμούντο. Αυτών ταίς παρακλήσεσιν, ελέησον ημάς.

Δόξα... καί νύν... Θεοτοκίον

Τίς μή μακαρίσει σε, παναγία Παρθένε; τίς μή ανυμνήσει σου, τόν αλόχευτον τόκον, ο γάρ αχρόνως εκ, Πατρός, εκλάμψας Υιός μονογενής, ο αυτός εκ σού τής Αγνής προήλθεν, αφράστως σαρκωθείς, φύσει Θεός υπάρχων, καί φύσει γενόμενος άνθρωπος δι' ημάς, ουκ εις δυάδα προσώπων τεμνόμενος, αλλ' εν δυάδι φύσεων, ασυγχύτως γνωριζόμενος. Αυτόν ικέτευε σεμνή Παμμακάριστε, ελεηθήναι τάς ψυχάς ημών.

Απόστιχα Μαρτυρικόν

Στίχ. Α'. Θαυμαστός ο Θεός εν τοίς αγίοις αυτού ο Θεός Ισραήλ αυτός δώσει δύναμιν καί κραταίωσιν τώ λαώ αυτού ευλογητός ο Θεός.

Οι Μάρτυρές σου Κύριε, ουκ ηρνήσαντό σε, ουκ απέστησαν από τών εντολών σου, ταίς αυτών πρεσβείαις, ελέησον ημάς.

Νεκρώσιμον

Στίχ. Β'. Τοίς Αγίοις τοίς εν τή γή αυτού εθαυμάστωμεν πάντα τά θέλημα αυτού εν αυτοίς.

Αρχή μοι καί υπόστασις, τό πλαστουργόν σου γέγονε πρόσταγμα, βουληθείς γάρ εξ αοράτου τε καί Ορατής, ζώόν με συμπήξαι φύσεως, γηθέν μου τό σώμα διέπλασας, δέδωκας δέ μοι ψυχήν, τή θεία σου καί ζφοποιώ εμπνεύσει. Διό Σωτήρ τούς εν δούλους σου, εν χώρα ζώντων, σκηναίς Δικαίων ανάπαυσον.

Στίχ. Γ'. Μακάριοι ούς εξελέξω καί προσλάβω Κύριε.

Άλγος τώ Αδάμ εχρημάτισεν, η τού ξύλου απόγευσις, πάλαι εν Εδέμ, ότε όφις ιόν εξηρεύξατο, δι' αυτού γάρ εισήλθεν ο θάνατος, παγγενή κατεσθίων τόν άνθρωπον, αλλ' ελθών ο Δεσπότης, καθείλε τόν δράκοντα, καί ανάστασιν ημίν εδωρήσατο, πρός αυτόν ούν βοήσωμεν. Φείσαι Σωτήρ, καί ούς προσελάβου, μετά τών Δικαίων ανάπαυσον.

Δόξα... καί νύν... Θεοτοκίον

Πρεσβείαις τής Τεκούσης σε, Χριστέ καί τών Μαρτύρων σου, Αποστόλων Προφητών Ιεραρχών, οσίων καί Δικαίων, καί πάντων τών Αγίων, τούς κοιμηθέντας δούλους σου ανάπαυσον.

Μετά τήν α' Στιχολογίαν

Καθίσματα Μαρτυρικά

Ήχος πλ. β' Αγγελικαί δυνάμεις

Αθλητικαί ενστάσεις επί τώ σκάμματι, τυραννικαί αικίσεις επί τούς Μάρτυρας, καί ίσταντο χοροί τών Ασωμάτων, βραβεία κατέχοντες τής νίκης, εξέστησαν τυράννους καί Βασιλείς οι σοφοί, καθείλον τόν Βελίαρ, ομολογία Χριστού, ο ενισχύσας αυτούς, Κύριε δόξα σοι.

Αθλητικόν αγώνα υπομείναντες οι Άγιοι, καί τά βραβεία τής νίκης, παρά σού κομισάμενοι, κατήργησαν τάς επινοίας των παρανόμων, εδέξαντο στεφάνους τής αφθαρσίας. Δι' αυτών ο Θεός δυσωπούμενος, δώρησαι ημίν τό μέγα έλεος.

Δόξα... καί νύν... Θεοτοκίον

Ο τήν ευλογημένην καλέσας σου Μητέρα, ήλθες επί τό πάθος εκουσία βουλή, λάμψας εν τώ Σταυρώ, αναζητήσαι θέλων τόν Αδάμ, λέγων τοίς Αγγέλοις. Συγχάρητέ μοι, ότι ευρέθη η απολομένη δραχμή, ο πάντα σοφώς οικονομήσας, Θεός δόξα σοι.

Έτερα Καθίσματα, μετά τόν Άμωμον

Μαρτυρικόν

Τών Αγίων σου η μνήμη Κύριε, ανεδείχθη ως Παράδεισος ο εν Εδέμ, εν αυτή γάρ αγάλλεται πάσα η κτίσις. Διό παράσχου ημίν, τή αυτών παρακλήσει, ειρήνην καί τό μέγα έλεος.

Νεκρώσιμον

Αληθώς ματαιότης τά σύμπαντα, ο δέ βίος σκιά καί ενύπνιον, καί γάρ μάτην ταράττεται πάς γηγενής, ως είπεν η Γραφή, ότε τόν κόσμον κερδήσομεν, τότε τώ τάφω οικήσομεν, όπου ομού Βασιλείς καί πτωχοί. Διό Χριστέ ο Θεός, τούς μεταστάντας ανάπαυσον, ως φιλάνθρωπος.

Δόξα... καί νύν... Θεοτοκίον

Ελπίς τού κόσμου αγαθή

Η κραταιά τών γηγενών, προστασία καί σκέπη, Θεοκυήτορ Μαριάμ, η τεκούσα εν χρόνω, τόν άχρονον Υιόν καί Λόγον τού Θεού, ικέτευε αυτόν, ως Μήτηρ ούσα εκτενώς, σύν Μάρτυσι καί Προφήταις, καί θείοις Ασκηταίς, σώσαι τούς μεταστάντας.

Κανών εις πάντας τούς Αγίους, ού η Ακροστιχίς.
Λόγοις γεραίρω τούς εραστάς τού Λόγου. Ιωσήφ.

Ωδή α'  Ήχος πλ. β'
Ο Ειρμός

Ο αισθητός Φαραώ, κατεποντίσθη πανστρατί, Ισραήλ δέ διελθών, εν μέσω τής θαλάσσης ανεβόα, Κυρίω τώ Θεώ ημών άσωμεν, ότι δεδόξασται.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Λελαμπρυσμένω νοϊ, τούς σκοτεινούς περί τό φώς, δυσσεβούντας τυράννους οι Μάρτυρες αισχύναντες, πρός ανέσπερον φέγγος, νικηφόροι γενόμενοι, σοφώς μετέβησαν.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Οι Ιεράρχαι Χριστού, τών Οσίων ο χορός, Προφητών καί Δικαίων απάντων ομήγυρις, αρετών ταίς ιδέαις, αστραπτόμενοι έφθασαν, πρός ουρανίους σκηνάς.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Γυναίων πάσα πληθύς, προσω κειώθη τώ Θεώ, καί τήν Εύαν τόν δεινώς απάτη θανατώσαντα, συμπατήσασα πόνοις, ανδρικοίς μακαρίζεται, ενθέοις άσμασι.

Νεκρώσιμον

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ο από γής κατ' αρχάς, πλάσας τόν άνθρωπον Χριστέ, τάς ψυχάς τών σών δούλων, ανάπαυσον δεόμεθα, εν σκηναίς τών δικαίων, καί εν τόποις ανέσεως, ως Υπεράγαθος.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ιερωτέρα Αγνή, τών Χερουβείμ καί Σεραφείμ, ανεδείχθης τεκούσα, τόν ποιητήν τής κτίσεως, όν απαύστως δυσώπει, οικτειρήσαι τούς δούλους σου, τούς σέ δοξάζοντας.

Κανών εις Κοιμηθέντας, ού η Ακροστιχίς.
Έκτον προσαυδώ τοίς απελθούσι μέλος.
Ποίημα Θεοφάνους.

Ο Ειρμός

Ως εν ηπείρω πεζεύσας ο Ισραήλ, εν αβύσσω, ίχνεσι, τόν διώκτην Φαραώ, καθορών ποντούμενον, Θεώ επινίκιον ωδήν, εβόα άσωμεν.

Στίχ. Πρεσβείαις τών Μαρτύρων σου ανάπαυσον, Κύριε, τάς ψυχάς τών δούλων σου.

Εν ουρανίοις θαλάμοις διηνεκώς, οι γενναίοι Μάρτυρες, δυσωπούσί σε Χριστέ. Ούς εκ γής μετέστησας πιστούς, αιωνίων αγαθών, τυχείν αξίωσον.

Στίχ. Αί ψυχαί αυτών εν αγαθοίς αυλισθήσονται.

Κατακοσμήσας τά πάντα ζώον μικτόν, μέσον με τόν άνθρωπον, ταπει νότητος ομού, καί μεγέθους έπλασας, διό, τάς τών δούλων σου ψυχάς, Σώτερ ανάπαυσον.

Στίχ. Μακάριοι ούς εξελέξω καί προσλάβω Κύριε.

Τού παραδείσου πολίτην καί γεωργόν, κατ' αρχάς με έταξας, παραβάντα δέ τήν σήν, εντολήν εξώρισας, διό, τάς τών δούλων σου ψυχάς, Σώτερ ανάπαυσον.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ο εκ πλευράς διαπλάσας Εύαν το πρίν, τήν ημών προμήτορα, εξ αχράντου σου γαστρός, σάρκα περιβάλλεται δι' ής, τού θανάτου τήν Ισχύν, Αγνή διέλυσε.

## Ωδή γ'  Ο Ειρμός

Εν τή στερρά, τής πίστεώς σου πέτρα, τόν λογισμόν εδράσας τής ψυχής μου, στερέωσον Κύριε, σέ γάρ έχω αγαθέ, καταφυγήν καί στερέωμα.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Σωματικοίς, ομιλούντες νύν πόνοις, οι Αθληταί, τήν άπονον εσκόπουν, αντίδοσιν χαίροντες, καί νύν παύουσιν ημών, πόνους παντοίους εν χάριτι.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Γνώμη στερρά, σοβούντες τά θηρία, τά πονηρά, οι θείοι Ιεράρχαι, ερρύσαντο άτρωτα, τής κακίας τής αυτών, τά τού Χριστού θεία θρέμματα.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Εθελοντί, ζυγόν τόν τού Κυρίου, υπεισελθών, χορός ο τών οσίων, ενέκρωσε φρόνημα, τής σαρκός καί τήν ζωήν, τήν δι' αιώνος απέλαβε.

Νεκρώσιμον

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ρύσαι πυρός, Χριστέ τού αιωνίου, τούς ευσεβώς, τού βίου μεταστάντας, καί δός αυτοίς άφεσιν, οφλημάτων αγαθέ, καί αιωνίαν απόλαυσιν.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Οι τόν Χριστόν, ποθήσασαι Γυναίκες, σέ τήν αυτόν, αρρήτως τετοκυίαν, πανάχραντε Δέσποινα, γεγηθότι λογισμώ, περιϊστάσαι νύν χορεύουσι.

## Κανών τών Κοιμηθέντων

### Ο Ειρμός

Ουκ έστιν Άγιος ως σύ, Κύριε ο Θεός μου, ο υψώσας τό κέρας τών πιστών σου αγαθέ, καί στερεώσας αυτούς, εν τή πέτρα τής ομολογίας σου.

Στίχ. Πρεσβείαις τών Μαρτύρων σου ανάπαυσον, Κύριε, τάς ψυχάς τών δούλων σου.

Νομίμως ήθλησαν οι σοί, Μάρτυρες ζωοδότα, καί στεφάνω τής νίκης, κοσμηθέντες παρά σού, τοίς μεταστάσι πιστοίς, αιωνίαν λύτρωσιν αιτούσί σε.

Στίχ. Αί ψυχαί αυτών εν αγαθοίς αυλισθήσονται.

Παιδεύσας πρότερον πολλοίς, τέρασι καί σημείοις, εμέ τόν πλανηθέντα, επ' εσχάτων σεαυτόν, κενώσας ως συμπαθής, καί ζητήσας εύρες καί διέσωσας.

Στίχ. Μακάριοι ούς εξελέξω καί προσλάβω Κύριε.

Ρεόντων άστατον φοράν, τούς πρός σέ διαβάντας, εν σκηναίς αιωνίοις, κατοικείν χαρμονικώς, αξίωσον Αγαθέ, δικαιώσας πίστει τε καί χάριτι.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ουκ έστιν άμεμπτος ως σύ, πάναγνε Θεομήτορ, μόνη γάρ εξ αιώνος, τόν Θεόν τόν αληθή, συνέλαβες εν γαστρί, τού θανάτου λύσαντα τήν δύναμιν.

Ωδή δ' Ο Ειρμός

Ακήκοα Κύριε, τήν ακοήν σου καί εφοβήθην, κατενόησα τά έργα σου, καί εξέστην, δόξα τή δυνάμει σου Κύριε.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ιστάμενοι έβλεπον, τόν αλαζόνα οι Αθλοφόροι, πρό ποδών αυτών πατούμενον, καί τόν πάντων Κτίστην, ευχαρίστως εδόξαζον.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ρημάτων λαμπρότητας, οι Ιεράρχαι καθοπλισθέντες, πρός τό φώς τής επιγνώσεως, τούς ανθρώπους, σκότους τών αιρέσεων έσωσαν.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ως άνθρακες ώφθησαν, τή πρός τό θείον θερμή συνέσει, καί τά πάθη καταφλέξαντες, τά υλώδη, Όσιοι μεγάλως δοξάζονται.

Νεκρώσιμον

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Τών ζώντων τε Κύριε, καί τών θανόντων εξουσιάζων, ούς μετέστησας ανάπαυσον, μετά πάντων, ευαρεστησάντων σοι Δέσποτα.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Κύριος Άχραντε, εκ σού αρρήτως σάρκα φορέσας, τών Γυναίων τόν κατάλογον, εν ανδρεία, διηγωνισμένον προσήκατο.

Κανών τών Κοιμηθέντων

Ο Ειρμός

Χριστός μου δύναμις, Θεός καί Κύριος, η σεπτή Εκκλησία θεοπρεπώς, μέλπει ανακράζουσα, εκ διανοίας καθαράς, εν Κυρίω εορτάζουσα.

Στίχ. Πρεσβείαις τών Μαρτύρων σου ανάπαυσον, Κύριε, τάς ψυχάς τών δούλων σου.

Σοφίας μείζονος, δεικνύων γνώρισμα, καί τής περί τά δώρα πολυτελούς, Δέσποτα χρηστότητος, τάς τών Μαρτύρων χορείας, τοίς Αγγέλοις συνηρίθμησας.

Στίχ. Αί ψυχαί αυτών εν αγαθοίς αυλισθήσονται.

Αφράστου δόξης σου, τυχείν αξίωσον, τούς πρός σέ μεταστάντας, ένθα Χριστέ, τών ευφραινομένων εστίν, η κατοικία καί φωνή, καθαράς αγαλλιάσεως.

Στίχ. Μακάριοι ούς εξελέξω καί προσλάβω Κύριε.

Υμνούντας πρόσδεξαι, τό θείον κράτος σου, ούς εκ γής προσελάβου, τέκνα φωτός, τούτους εργαζόμενος, τής αμαρτίας τήν αχλύν, εκκαθαίρων πολυέλεε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Δοχείον άχραντον, Ναόν πανάμωμον, Κιβωτόν παναγίαν, παρθενικόν, τόπον αγιάσματος, σέ καλλονήν τού Ιακώβ, ο Δεσπότης εξελέξατο.

Ωδή ε' Ο Ειρμός

Ο τό φώς ανατέλλων τω κόσμω Χριστέ, φώτισον τήν καρδίαν μου, εκ νυκτός σοι κραυγάζοντος, καί σώσόν με.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Υφαντόν εκ τής άνωθεν χάριτος, ενδυθέντες ιμάτιον Αθληταί, τόν εχθρόν απεγυμνώσατε.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Σύν αγίοις Προφήταις τιμήσωμεν, Ιεράρχας θεόφρονας, καί Οσίους Θεώ ευαρεστήσαντας.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Εκ περάτων τού σύμπαντος Μάρτυρες, εναθλούντες κεκράγατε, καί Χριστός τής φωνής υμών εισήκουσε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ρυομένη ημάς πάσης φάνηθι, τού εχθρού βλάβης Δέσποινα, δυσωπούσα Χριστόν τόν μόνον εύσπλαγχνον.

Κανών τών Κοιμηθέντων

Ο Ειρμός

Τώ θείω φέγγει σου Αγαθέ, τάς τών ορθριζόντων σοι ψυχάς, πόθω καταύγασον δέομαι, σέ ειδέναι Λόγε Θεού, τόν όντως Θεόν, εκ ζόφου τών πταισμάτων ανακαλούμενον.

Στίχ. Πρεσβείαις τών Μαρτύρων σου ανάπαυσον, Κύριε, τάς ψυχάς τών δούλων σου.

Ως ολοκάρπωσις ιερά, καί ως απαρχή τής ανθρωπίνης οι Μάρτυρες φύσεως, τώ δεδοξασμένω προσενεχθέντες Θεώ, ημίν τήν σωτηρίαν αεί βραβεύουσι.

Στίχ. Αί ψυχαί αυτών εν αγαθοίς αυλισθήσονται.

Τής ουρανίου διαγωγής, τής διανομής τών χαρισμάτων αξίωσον Δέσποτα, τούς προκοιμηθέντας πιστούς ικέτας σου, παρέχων τών πταισμάτων τήν απολύτρωσιν.

Στίχ. Μακάριοι ούς εξελέξω καί προσλάβω Κύριε.

Ο μόνος φύσει ζωοποιός, τό τής αγαθότητος όντως, ανεξιχνίαστον πέλαγος, τούς τελειωθέντας, τής Βασιλείας τής σής, αξίωσον Οικτίρμον μόνε αθάνατε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ισχύς καί ύμνησις ο εκ σού, Δέσποινα τού κόσμου γεννηθείς, καί σωτηρία εγένετο τοίς απολλυμένοις, εκ τών τού Άδου πυλών, ρυόμενος τούς πίστει σε μακαρίζοντας.

Ωδή ς' Ο Ειρμός

Τώ κήτει καταποθείς, τώ τής αμαρτίας κραυγάζω σοι, Χριστέ. Ως τόν Προφήτην, εκ φθοράς με ελευθέρωσον.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Αιμάτων θείαις ροαίς, νοητούς εχθρούς εβυθίσατε, πιστών δέ τάς καρδίας, Αθλοφόροι κατηρδεύσατε.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Σταυρώσαντες εαυτούς, κόσμω καί τοίς πάθεσιν, Όσιοι σοφοί σύν Ιεράρχαις, θείας δόξης ηξιώθητε.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Τών Προφητών ο χορός, καί σεπτών Γυναίων κατάλογος, καλώς ηγωνισμένος, κατά χρέος μακαρίζονται.

Νεκρώσιμον

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ανάπαυσον ο Θεός, τών προκοιμηθέντων τά πνεύματα, μετά τών εκλεκτών σου, παρορών αυτών τά πταίσματα.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σαρκί τεκούσα Χριστόν, τής σαρκός μου τά πάθη θανάτωσον, καί ζώωσον Παρθένε, τήν ψυχήν μου μεσιτεία σου.

Κανών τών Κοιμηθέντων

Ο Ειρμός

Τού βίου τήν θάλασσαν, υψουμένην καθορών, τών πειρασμών τώ κλύδωνι, τώ ευδίω λιμένι σου προσδραμών, βοώ σοι. Ανάγαγε, εκ φθοράς τήν ζωήν μου πολυέλεε.

Στίχ. Πρεσβείαις τών Μαρτύρων σου ανάπαυσον, Κύριε, τάς ψυχάς τών δούλων σου.

Σταυρώ προσηλούμενος, τών Μαρτύρων τούς χορούς, πρός εαυτόν συνήγαγες, μιμουμένους το πάθος σου Αγαθέ, διό σου δεόμεθα, τούς πρός σέ μεταστάντας διανάπαυσον.

Στίχ. Αί ψυχαί αυτών εν αγαθοίς αυλισθήσονται.

Αφράστω τή δόξη σου, όταν έλθης φοβερός, κρίναι τόν κόσμον άπαντα, εν νεφέλαις ευδόκησον Λυτρωτά, φαιδρώς υπαντήσαί σοι, ούς εκ γής προσελάβου, πιστούς δούλους σου.

Στίχ. Μακάριοι ούς εξελέξω καί προσλάβω Κύριε.

Πηγή ζωής πέφυκας, εν ανδρεία θεϊκή, πεπεδημένους Δέσποτα, ο εξάγων τούς δούλους σου τούς πρός σέ, πιστώς εκδημήσαντας, εν τρυφή Παραδείσου κατασκήνωσον.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Εις γήν απεστράφημεν, παραβάντες τού Θεού, τήν εντολήν τήν ένθεον, διά σού, δέ Παρθένε πρός ουρανόν, εκ γής ανυψώθημεν, τήν φθοράν τού θανάτου εκτινάξαντες.

Ωδή ζ'  Ο Ειρμός

Ο τών οσίων σου Παίδων, τόν ύμνον επακούσας, καί την κάμινον καιομένην δροσίσας, ευλογητός εί Κύριε.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Τούς τού Χριστού Αθλοφόρους, τούς σβέσαντας τήν φλόγα, όμβροις αιμάτων, τής δεινής αθεΐας, μελωδικώς τιμήσωμεν.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Οι ευκλεείς Ιεράρχαι, αιρέσεων χειμώνα διαλύσαντες, πρός τό έαρ τό θείον, χαρμονικώς μετέστησαν.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Υπομονή εν πλουσία, τού Πνεύματος τήν χάριν, επλουτήσατε Ασκηταί καί τά θράση, τών δυσμενών ωλέσατε.

Νεκρώσιμον

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Λειμώνας τούς τής τρυφής σου, κληρώσασθαι, εν πίστει καταξίωσον, τούς μεταστάντας τού βίου, Οικτίρμον ως φιλάνθρωπος.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ο σέ τήν Παρθένον δείξας, αγνήν καί μετά τόκον, τών αγίων σοι, Γυναικών τάς χορείας, ακολουθούσας έσχηκε.

Κανών τών Κοιμηθέντων

Ο Ειρμός

Δροσοβόλον μέν τήν κάμινον ειργάσατο, Άγγελος τοίς οσίοις Παισί, τούς Χαλδαίους δέ καταφλέγον, πρόσταγμα Θεού, τόν τύραννον έπεισε βοάν. Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Στίχ. Πρεσβείαις τών Μαρτύρων σου ανάπαυσον, Κύριε, τάς ψυχάς τών δούλων σου.

Λυτρωθέντες τώ σώ αίματι οι Μάρτυρες, τής πρώτης παραβάσεως, ραντισθέντες δέ τώ ιδίω αίματι, τήν σήν σαφώς εικονίζουσι σφαγήν. Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Στίχ. Αί ψυχαί αυτών εν αγαθοίς αυλισθήσονται.

Θρασυνόμενον τόν θάνατον ενέκρωσας, Λόγε ζωαρχικώτατε, τούς εν πίστει δέ κοιμηθέντας, πρόσδεξαι τανύν, υμνούντας καί ψάλλοντας Χριστέ. Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Στίχ. Μακάριοι ούς εξελέξω καί προσλάβω Κύριε.

Ο ψυχώσας με τόν άνθρωπον φυσήματι, θείω θεαρχικώτατε, τούς μεταστάντας βασιλείας Δέσποτα τής σής, αξίωσον ψάλλειν σοι Σωτήρ. Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Υπερτέρα πάσης κτίσεως Πανάμωμε, γέγονας συλλαβούσα Θεόν, τόν συντρίψαντα τού θανάτου πύλας, καί μοχλούς συνθλάσαντα, όθεν σε Αγνή, υμνολογούμεν οι πιστοί ως Θεομήτορα.

Ωδή η'  Ο Ειρμός

Οι όσιοί σου Παίδες εν τή καμίνω, τά Χερουβείμ εμιμήσαντο, τόν τρισάγιον ύμνον αναβοώντες. Ευλογείτε, υμνείτε, καί υπερυψούτε τόν Κύριον.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Γενναίως τών βασάνων τήν τρικυμίαν, αικιζόμενοι χάριτι, οι θείοι Μάρτυρες διελθόντες, εις γαλήνην βαθείαν, τής άνω Βασιλείας κατήντησαν.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Οι όσιοι καί πάνσοφοι Ιεράρχαι, αναφανέντες ως ήλιος, φωταγωγούσι τήν οικουμένην, διδαγμάτων ακτίσι, καί ταίς τών θαυμάτων λαμπρότησι.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Υμνήσωμεν Γυναίων τάς φιλοθέους, καί τούς ασκήσει τε καί αθλήσει, δουλεύσαντας τώ Κτίστη, καί πρεσβευτάς γενομένους, πρός τόν τών όλων Δεσπότην καί Κύριον.

Νεκρώσιμον

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Υμνήσωμεν Δικαίους τούς απ' αιώνος, τούς θεηγόρους Προφήτας, καί εκβοήσωμεν κατανύξει. Τούτων Λόγε πρεσβείαις, τούς πίστει μεταστάντας ανάπαυσον.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Όλην σε τήν πλησίον Θεού Παρθένε, χορός Γυναίων ηγάπησε, καί σού οπίσω προσηνέχθη, τώ Δεσπότη τών όλων, συμφώνως μακαρίζων σε Άχραντε.

Κανών τών Κοιμηθέντων

Ο Ειρμός

Εκ φλογός τοίς Οσίοις δρόσον επήγασας, καί Δικαίου θυσίαν ύδατι έφλεξας, άπαντα γάρ δράς Χριστέ, μόνω τώ βούλεσθαι, σέ υπερυψούμεν, εις πάντας τούς αιώνας.

Στίχ. Πρεσβείαις τών Μαρτύρων σου ανάπαυσον, Κύριε, τάς ψυχάς τών δούλων σου.

Σταθερώς τούς αγώνας επιδειξάμενοι, τώ τής νίκης στεφάνω κατεκοσμήθητε, Μάρτυρες Χριστού, αθλοφόροι κραυγάζοντες. Σέ υπερυψούμεν, εις πάντας τούς αιώνας.

Στίχ. Αί ψυχαί αυτών εν αγαθοίς αυλισθήσονται.

Ιερώς τούς τόν βίον απολιπόντας πιστούς, καί πρός σέ τόν Δεσπότην μεταχωρήσαντας, δέξαι προσηνώς αναπαύων ως εύσπλαγχνος, σέ υπερυψούντας, εις πάντας τούς αιώνας.

Στίχ. Μακάριοι ούς εξελέξω καί προσλάβω Κύριε.

Νύν εν γή τών πραέων πάντας αυλίζεσθαι, τούς προκεκοιμημένους Σώτερ ευδόκησον, πίστει τή εις σέ, δικαιώσας καί χάριτι, σέ υπερυψούντας, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Μακαρίζομεν πάντες σέ Παμμακάριστε, τήν τόν Λόγον τόν όντως όντα μακάριον, σάρκα δι' ημάς, γεγονότα γεννήσασαν, όν υπερυψούμεν, εις πάντας τούς αιώνας.

Ωδή θ'  Ο Ειρμός

Η τό Χαίρε, δι' Αγγέλου δεξαμένη, καί τεκούσα τόν κτίστην τόν ίδιον Παρθένε σώζε τούς σέ μεγαλύνοντας.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ιερεία, καθαρά προσενεχθέντες τώ Δεσπότη αθλοφόροι Μάρτυρες αυτόν αιτείσθε σώσαι τάς ψυχάς ημών.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ως ποιμένες, επί χλόην ευσεβείας, Ιεράρχαι πιστούς εποιμάνατε, καί νύν εις μάνδραν θείαν εσκηνώσατε.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Σύν αγίοις, Ιεράρχαις καί Προφήταις καί Γυναίων χορώ εναθλήσαντι, τούς τών Οσίων χορούς μακαρίσωμεν.

Νεκρώσιμον

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ής μετέσχον, ευφροσύνης αϊδίου, τών Αγίων οι δήμοι, αξίωσον τούς μεταστάντας, τυχείν Πολυέλεε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φώς τεκούσα, φωταγώγησον Παρθένε τήν ψυχήν μου τό σκότος διώκουσα, τής αμαρτίας, Αγνή τό βαρύτατον.

Κανών τών Κοιμηθέντων

Ο Ειρμός

Θεόν ανθρώποις ιδείν αδύνατον, όν ου, τολμά Αγγέλων ατενίσαι τά τάγματα, διά σού δέ Πάναγνε, ωράθη βροτοίς, Λόγος σεσαρκωμένος, όν μεγαλύνοντες, σύν ταίς ουρανίαις Στρατιαίς, σέ μακαρίζομεν.

Στίχ. Πρεσβείαις τών Μαρτύρων σου ανάπαυσον, Κύριε, τάς ψυχάς τών δούλων σου.

Ελπίς Μαρτύρων χορούς ενεύρωσε, καί πρός τήν σήν αγάπην διαπύρως επτέρωσε, τών μελλόντων τούτοις προτυπώσασα, τήν μή σαλευομένην όντως ανάπαυσιν, ής τούς μεταστάντας Αγαθέ πιστούς αξίωσον.

Στίχ. Αί ψυχαί αυτών εν αγαθοίς αυλισθήσονται.

Λαμπράς καί θείας τυχείν ελλάμψεως, τής σής Χριστέ τούς πίστει μεταστάντας ευδόκησον, τήν εν κόλποις Αβραάμ ανάπαυσιν, μόνος ως ελεήμων, τούτοις δωρούμενος, καί τής αιωνίου αξιών μακαριότητος.

Στίχ. Μακάριοι ούς εξελέξω καί προσλάβω Κύριε.

Ο ών τή φύσει χρηστός καί εύσπλαγχνος, καί θελητής ελέους, ευσπλαγχνίας η άβυσσος, ούς εκ τόπου τούτου τής κακώσεως, καί σκιάς τού θανάτου Σώτερ μετέστησας ένθα καταλάμπει σου τό φώς, τούτους κατάταξον.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σκηνήν αγίαν Αγνή γινώσκομεν, καί Κιβωτόν καί Πλάκα σέ τού νόμου τής χάριτος, διά σού γάρ άφεσις δεδώρηται τοίς δεδικαιωμένοις, διά τού αίματος τού σωματωθέντος, εκ τής σής γαστρός Πανάμωμε.

Στιχηρά τών Αίνων Μαρτυρικά

Ήχος πλ. β'

Στίχ. Αινείτε αυτόν εν ήχω σάλπιγγος, αινείτε αυτόν εν ψαλτηρίω καί κιθάρα.

Κύριε, εν τή μνήμη τών Αγίων σου, πάσα η κτίσις εορτάζει, οι ουρανοί αγάλλονται σύν τοίς

Αγγέλοις, καί η γή ευφραίνεται σύν τοίς ανθρώποις. Αυτών ταίς παρακλήσεσιν, ελέησον ημάς.

Στίχ. Αινείτε αυτόν εν τυμπάνω καί χορώ, αινείτε αυτόν εν χορδαίς καί οργάνω.

Κύριε, ειμή τούς Αγίους σου είχομεν πρεσβευτάς, καί τήν αγαθότητά σου, συμπαθούσαν ημίν, πώς ετολμώμεν Σωτήρ υμνήσαί σε, όν ευλογούσιν απαύστως Άγγελοι; Καρδιογνώστα, φείσαι τών ψυχών ημών.

Στίχ. Αινείτε αυτόν εν κυμβάλοις ευήχοις, αινείτε αυτόν εν κυμβάλοις αλαλαγμού. Πάσα πνοή αινεσάτω τόν Κύριον.

Μνήμη Μαρτύρων, αγαλλίαμα τοίς φοβουμένοις τόν Κύριον, αθλήσαντες γάρ διά Χριστόν, στεφάνους παρ' αυτού εκομίσαντο, καί νύν εν παρρησία πρεσβεύουσιν, υπέρ τών ψυχών ημών.

Στίχ. Μακάριοι ούς εξελέξω καί προσελάβου, Κύριε.

Τούς εκλεκτούς εθαυμάστωσε, καί αγίους ο Θεός ημών, αγαλλιάσθε καί ευφραίνεσθε, πάντες οι δούλοι αυτού, υμίν γάρ ητοίμασε τόν στέφανον, καί τήν Βασιλείαν αυτού, αλλ' αιτούμεν, καί ημών μή επιλάθησθε.

Δόξα... καί νύν... Θεοτοκίον

Σύ εί ο Θεός ημών, ο εν σοφία τά πάντα δημιουργών καί πληρών. Προφήτας εξαπέστειλας, Χριστέ, προφητεύσαί σου τήν παρουσίαν, καί Αποστόλους κηρύξαί σου τά μεγαλεία, καί οι μέν προεφήτευσαν τήν έλευσίν σου, οι δέ τώ βαπτίσματι εφώτισαν τά έθνη. Μάρτυρες δέ έτυχον ών περ επόθουν, καί πρεσβεύει σοι ο χορός τών αμφοτέρων, σύν τή τεκούση σε. Ανάπαυσον Κύριε ψυχάς, άς προσελάβου, καί ημάς καταξίωσον τής Βασιλείας σου, ο Σταυρόν υπομείνας, δι' εμέ τόν κατάκριτον, ο Λυτρωτής μου καί Θεός.

## Απόστιχα τών Αίνων Νεκρώσιμα

Όλην αποθέμενοι

Στίχ. α'. Μακάριοι ούς εξελέξω καί προσλάβω Κύριε.

Έχων ακατάληπτον, τήν εις ημάς ευσπλαγχνίαν, καί πηγήν ακένωτον θεϊκής χρηστότητος πολυέλεε, τούς πρός σέ Δέσποτα, μεταβεβηκότας, εν γή ζώντων κατασκήνωσον, εις τά σκηνώματα, τά αγαπητά καί ποθούμενα, κατάσχεσιν δωρούμενος, τήν διηνεκώς διαμένουσαν, σύ γάρ υπέρ πάντων, εξέχεας τό αίμά σου Χριστέ, καί ζωηφόρω τιμήματι, κόσμον εξηγόρασας.

Στίχ. β'. Αί ψυχαί αυτών εν αγαθοίς αυλισθήσονται.

Νέκρωσιν υπέμεινας, ζωοποιόν εκουσίως, καί ζωήν επήγασας, καί τρυφήν αϊδιον πιστοίς δέδωκας, εν ή κατάταξον, τούς κεκοιμημένους, επ' ελπίδι αναστάσεως, τά τούτων πταίσματα, πάντα συγχωρών αγαθότητι, ως μόνος αναμάρτητος, μόνος αγαθός καί φιλάνθρωπος, ίνα διά πάντων, υμνήταί σου τό όνομα Χριστέ, καί σεσωσμένοι δοξάζωμεν, τήν οικονομίαν σου.

Στίχ. γ'. Καί τό μνημόσυνον αυτών, εις τόν αιώνα δοξάσαντα.

Ζώντων κυριεύοντα, θεαρχική εξουσία, καί νεκρών δεσπόζοντα, σέ Χριστέ γινώσκοντες ικετεύομεν. Τούς πιστούς δούλους σου, τούς πρός σέ τόν μόνον, ευεργέτην εκδημήσαντας, αυτούς ανάπαυσον, σύν τοίς εκλεκτοίς σου φιλάνθρωπε, εν τόποις αναψύξεως, εν ταίς τών Αγίων λαμπρότησι, θελητής ελέους, υπάρχεις γάρ καί σώζεις ως Θεός, ούς κατ' εικόνα σου έπλασας, μόνε πολυέλεε.

Δόξα... καί νύν... Θεοτοκίον  όμοιον

Ώφθης ενδιαίτημα, θεοπρεπές Παναγία, Θεόν γάρ εχώρησας, καί Χριστόν εγέννησας απειρόγαμε, βροτόν ορώμενον, εν δυσίν ουσίαις, εν μιά τή υποστάσει δέ, όν εκδυσώπησον, ως μονογενή καί πρωτότοκον, τόν σέ παρθένον άμωμον, καί μετά τόν τόκον φυλάξαντα, ψυχάς αναπαύσαι, τών πίστει κοιμηθέντων εν φωτί, εν ακηράτω φαιδρότητι, καί μακαριότητι.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

### Οι Μακαρισμοί

Μακάριοι οι ειρηνοποιοί, ότι αυτοί υιοί Θεού κληθήσονται.

Μνήσθητί μου, ο Θεός ο Σωτήρ μου, όταν έλθης εν τή Βασιλεία σου, καί σώσόν με, ως μόνος φιλάνθρωπος.

Μακάριοι οι δεδιωγμένοι ένεκεν δικαιοσύνης, ότι αυτών εστιν η βασιλεία τών ουρανών.

Ο Προφήτας, Διδασκάλους καί, Οσίους, καί Δικαίους, δοξάσας φιλάνθρωπε, αυτών πρεσβείαις, σώσον ημάς, Κύριε.

Μαρτυρικόν

Μακάριοί εστε όταν ονειδίσωσιν υμάς, καί διώξωσι, καί είπωσι πάν πονηρόν ρήμα καθυμών ψευδόμενοι ένεκεν εμού.

Πύρ καί ξίφος, ξέσεις καί αγρίους θήρας, Αθλοφόροι μή πτήξαντες ένδοξοι, τής αϊδίου, ζωής ηξιώθητε.

Νεκρώσιμον

Χαίρετε καί αγαλλιάσθε, ότι ο μισθός υμών πολύς εν τοίς ουρανοίς.

Μετά πάντων, τών Αγίων καί Δικαίων, τάξον Λόγε ούς πίστει μετέστησας, εκ τών προσκαίρων, όπως σε δοξάζωμεν.

Δόξα...

Παντοκράτορ, η Τριάς η εν Μονάδι, υμνουμένη εκ γής ούς μετέστησας, πιστούς εν κόλποις, Αβραάμ κατάταξον.

Καί νύν... Θεοτοκίον

Μακαρία, γενεαίς εν πάσαις ώφθης, τόν Θεόν ανερμηνεύτως, εκύησας Άχραντε.

HYPERLINK "" \l "top" top

7-1

## ΤΩ ΣΑΒΒΑΤΩ ΕΣΠΕΡΑΣ

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

### Στιχηρά Αναστάσιμα τής Οκτωήχου

Ήχος βαρύς

Δεύτε αγαλλιασώμεθα τώ Κυρίω, τώ συντρίψαντι θανάτου τό κράτος, καί φωτίσαντι ανθρώπων τό γένος, μετά τών Ασωμάτων κραυγάζοντες, Δημιουργέ καί Σωτήρ ημών δόξα σοι. (Δίς)

Σταυρόν υπέμεινας Σωτήρ, καί ταφήν δι' ημάς, θανάτω δέ ως Θεός, θάνατον ενέκρωσας, διό προσκυνούμεν τήν τριήμερόν σου ανάστασιν, Κύριε δόξα σοι.

Απόστολοι ιδόντες τήν Έγερσιν τού Δημιουργού, εθαύμασαν βοώντες τήν αίνεσιν τήν Αγγελικήν. Αύτη η δόξα τής Εκκλησίας, ούτος ο πλούτος τής Βασιλείας, ο παθών δι' ημάς, Κύριε δόξα σοι.

Δόξα... Καί νύν... Θεοτοκίον Δογματικόν

Ήχος βαρύς

Φρικτόν καί άρρητον όντως, τό επί σοί πεπραγμένον, μυστήριον Αμίαντε! Λόγον γάρ τών πάντων αίτιον, υπέρ αιτίαν καί λόγον, τώ αγίω Πνεύματι σωματωθέντα τέτοκας, εκ σού τήν σάρκα ανειληφότα, τής οικείας φύσεως, αμεταβλήτου μεινάσης, συνδραμόντων γάρ εκατέρων, αυθυπάρκτως καθ' υπόστασιν ενικήν, διπλούς τή φύσει προέρχεται όλος Θεός, καί όλος άνθρωπος, τήν επ' αμφοίν ολότητα, ενεργητικοίς ιδιώμασιν ενδεικνύμενος, πεπονθώς γάρ εν Σταυρώ σαρκικώς, απαθής διέμεινεν ο αυτός θεϊκώς, ώσπερ βροτός τεθνηκώς, ανεβίω ως Θεός τριήμερος, τό κράτος τού θανάτου καθελών, καί φθοράς ρυσάμενος τό ανθρώπινον. Αυτόν ως Λυτρωτήν, καί Σωτήρα τού γένους ημών, Θεομήτορ αίτησαι, καταπέμψαι ημίν, τών οικτιρμών αυτού, τό μέγα έλεος.

## Απόστιχα τής Θεοτόκου, Προσόμοια
## Καταφρονήσαντες πάντων

Ανέστης εκ τού τάφου, Σωτήρ τού κόσμου, καί συνήγειρας τούς ανθρώπους, σύν τή σαρκί σου, Κύριε δόξα σοι.

Στίχ. Μνησθήσομαι τού ονόματός σου εν πάση γενεά καί γενεά.

Ανατολή τού Αλίου, τού νοητού Παρθένε γέγονας, επί δυσμών τής καθ' ημάς γενομένου φύσεως, αλλ' ως έχουσα παρρησίαν, αυτόν εκδυσώπησον Θεοτόκε πανύμνητε, αμετρήτων πταισμάτων ελευθερώσαι, τάς ψυχάς ημών.

Στιχ. Άκουσον, θύγατερ, καί ίδε, καί κλίνον τό ούς σου, καί επιλάθου τού λαού σου καί τού οίκου τού Πατρός σου.

Ράβδος ρίζης Παρθένε, τού Ιεσσαί σαφώς εβλάστησας, τόν τά φυτά τής απάτης, εκ ρίζης αφανίσαντα, αλλ' ως έχουσα παρρησίαν, απαύστως ικέτευε, εκριζώσαι Πανύμνητε, τά τής καρδίας μου πάθη, καί τόν αυτού εμφυτεύσαι φόβον, καί σώσαί με.

Στιχ. Τό πρόσωπόν σου λιτανεύσουσιν οι πλούσιοι τού λαού.

Πύλη Θεού Παναγία, εκ τών πυλών τού άδου ρύσαί με, καί μετανοίας τήν οδόν, καμοί καθυπόδειξον, δι' ής ευρήσω πύλην, τήν πρός ζωήν εισάγουσαν, οδηγέ πλανωμένων, πιστών ανθρώπων τό γένος φρούρησον, καί σώσον τάς ψυχάς ημών.

Δόξα... Καί νύν... Θεοτοκίον

Εκ σού παναγία Θεοτόκε Παρθένε, αφράστως ετέχθη Χριστός ο Θεός ημών, αληθώς υπάρχων Θεός προαιώνιος, καί άνθρωπος πρόσφατος, τό μέν, ωναϊδιος, τό δέ, δι' ημάς γενόμενος, σώζει γάρ εν εαυτώ, εκατέρας φύσεως τήν ιδιότητα, τήν μέν, διαλάμπων θαύμασι, τήν δέ, πιστούμενος πάθεσιν, όθεν είς καί ο αυτός, καί θνήσκει ως άνθρωπος, καί ως Θεός ανίσταται, όν ικέτευε, σεμνή Απειρόγαμε, σωθήναι τάς ψυχάς ημών.

## Απολυτίκιον  Ήχος βαρύς

Κατέλυσας τώ Σταυρώ σου τόν θάνατον, ηνέωξας τώ Ληστή τόν Παράδεισον, τών Μυροφόρων τόν θρήνον μετέβαλες, καί τοίς σοίς Αποστόλοις κηρύττειν επέταξας, ότι ανέστης Χριστέ ο Θεός, παρέχων τώ κόσμω τό μέγα έλεος.

Δόξα... Καί νύν... Θεοτοκίον

Ως τής ημών Αναστάσεως θησαύρισμα, τούς επί σοί πεποιθότας Πανύμητε, εκ λάκκου καί βυθού πταισμάτων ανάγαγε, σύ γάρ τούς υπευθύνους τή αμαρτία, έσωσας τεκούσα τήν σωτηρίαν, η πρό τόκου Παρθένος, καί εν τόκω Παρθένος, καί μετά τόκον πάλιν ούσα Παρθένος.

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

### Ήχος βαρύς

Δεύτε αγαλλιασώμεθα τώ Κυρίω, τώ συντρίψαντι θανάτου τό κράτος, καί φωτίσαντι ανθρώπων τό γένος, μετά τών Ασωμάτων κραυγάζοντες, Δημιουργέ καί Σωτήρ ημών δόξα σοι.

- εμέ υπομενούσι δίκαιοι, έως ου ανταποδώς μοι.

Σταυρόν υπέμεινας Σωτήρ, καί ταφήν δι' ημάς, θανάτω δέ ως Θεός, θάνατον ενέκρωσας, διό προσκυνούμεν τήν τριήμερόν σου ανάστασιν, Κύριε δόξα σοι.

- εκ βαθέων εκέκραξά σοι, Κύριε, Κύριε εισάκουσον τής φωνής μου.

Απόστολοι ιδόντες τήν Έγερσιν τού Δημιουργού, εθαύμασαν βοώντες τήν αίνεσιν τήν Αγγελικήν. Αύτη η δόξα τής Εκκλησίας, ούτος ο πλούτος τής Βασιλείας, ο παθών δι' ημάς, Κύριε δόξα σοι.

- γενηθήτω τά ώτά σου προσέχοντα εις τήν φωνήν τής δεήσεώς μου.

Κάν συνελήφθης Χριστέ, υπό ανόμων ανδρών, αλλά σύ μου εί Θεός, καί ουκ αισχύνομαι, εμαστίχθης τόν νώτον, ουκ αρνούμαι. Σταυρώ προσηλώθης, καί ου κρύοτω, εις τήν Έγερσίν σου καυχώμαι, ο γαρ θάνατος σου ζωή μου. Παντοδύναμε καί φιλάνθρωπε, Κύριε δόξα σοι.

- εάν ανομίας παρατηρήσης, Κύριε, Κύριε τίς υποστήσεται; ότι παρά σοί ο ιλασμός εστιν.

Δαυϊτικήν προφητείαν εκπληρών, Χριστός μεγαλειότητα, εν Σιών, τήν οικείαν Μαθηταίς εξεκάλυψεν, αινετόν δεικνύς εαυτόν, καί δοξαζόμενον αεί, σύν Πατρί τε καί Πνεύματι αγίω, πρότερον μέν άσαρκον ως Λόγον, ύστερον δέ δι' ημάς, σεσαρκωμένον, καί νεκρωθέντα ως άνθρωπον, καί αναστάντα κατ' εξουσίαν ως φιλάνθρωπον.

- ένεκεν τού ονόματός σου υπέμεινά σε, Κύριε, υπέμεινεν η ψυχή μου εις τόν λόγον σου, ήλπισεν η ψυχή μου επί τόν Κύριον.

Κατήλθες εν τώ Άδη Χριστέ ως ηβουλήθης, εσκύλευσας τόν θάνατον, ως Θεός καί Δεσπότης, καί ανέστης τριήμερος, συναναστήσας τόν Αδάμ, εκ τών τού Άδου δεσμών καί τής φθοράς, κραυγάζοντα καί λέγοντα, Δόξα τή Αναστάσει σου, μόνε φιλάνθρωπε.

- από φυλακής πρωίας μέχρι νυκτός, από φυλακής πρωίας, ελπισάτω Ισραηλ επί τόν Κύριον.

Εν τάφω κατετέθης, ως ο υπνών Κύριε, καί ανέστης τριήμερος, ως δυνατός εν ισχύϊ, συναναστήσας τόν Αδάμ, εκ τής φθοράς τού θανάτου, ως παντοδύναμος.

- ότι παρά τώ Κυρίω τό έλεος καί πολλή παρ' αυτώ λύτρωσις' καί αυτός λυτρώσεται τόν Ισραηλ εκ πασών τών ανομιών αυτού.

- αινείτε τόν κύριον πάντα τά έθνη επαινέσατε αυτόν πάντες οι λαοί.

- ότι εκραταιώθη τό έλεος αυτού εφ' ημάς, καί η αλήθεια τού κυρίου μένει εις τόν αιώνα.

Θεοτοκίον

Μήτηρ μέν εγνώσθης, υπέρ φύσιν Θεοτόκε, έμεινας δέ παρθένος, υπέρ λόγον καί έννοιαν, καί τό θαύμα τού τόκου σου, ερμηνεύσαι γλώσσα ου δύναται, παραδόξου γάρ ούσης τής συλλήψεως Αγνή, ακατάληπτός εστιν ο τρόπος τής κυήσεως, όπου γάρ βούλεται Θεός, νικάται φύσεως τάξις. Διό σε πάντες Μητέρα τού Θεού γινώσκοντες, δεόμεθά σου εκτενώς. Πρέσβευε τού σωθήναι τάς ψυχάς ημών.

Απόστικα

Ήχος βαρύς

Ανέστης εκ τού τάφου, Σωτήρ τού κόσμου, καί συνήγειρας τούς ανθρώπους, σύν τή σαρκί σου, Κύριε δόξα σοι.

- Ο Κύριος εβασίλευσεν, ευπρέπειαν ενεδύσατο, ενεδύσατο Κύριος δύναμιν καί περιεζώσατο.

Τόν αναστάντα εκ νεκρών, καί φωτίσαντα τά πάντα, δεύτε προσκυνήσωμεν, εκ τής τού Άδου γάρ τυραννίδος, ημάς ηλευθέρωσε, διά τής αυτού τριημέρου Εγέρσεως, ζωήν ημίν δωρησάμενος, καί τό μέγα έλεος.

- καί γάρ εστερέωσεν τήν οικουμένην, ήτις ου σαλευθήσεται.

Υπό τόν Άδην κατελθών Χριστέ, θάνατον εσκύλευσας, καί τριήμερος αναστάς, ημάς συνανέστησας, δοξάζοντας τήν σήν παντοδύναμον Έγερσιν, Κύριε φιλάνθρωπε.

- τώ οίκω σου πρέπει αγίασμα, Κύριε εις μακρότητα ημερών.

Φοβερός ώφθης Κύριε, εν τάφω κείμενος ως ο υπνών, αναστάς δέ τριήμερος ως δυνατός, τόν Αδάμ συνανέστησας κραυγάζοντα. Δόξα τή Αναστάσει σου, μόνε φιλάνθρωπε.

Θεοτοκίον

Υπό τήν σήν Δέσποινα σκέπην, πάντες οι γηγενείς, προσπεφευγότες βοώμέν σοι, Θεοτόκε η ελπίς ημών, ρύσαι ημάς εξ αμέτρων πταισμάτων, καί σώσον τάς ψυχάς ημών.

Απολυτίκιον  Ήχος βαρύς

Κατέλυσας τώ Σταυρώ σου τόν θάνατον, ηνέωξας τώ Ληστή τόν Παράδεισον, τών Μυροφόρων τόν θρήνον μετέβαλες, καί τοίς σοίς Αποστόλοις κηρύττειν επέταξας, ότι ανέστης Χριστέ ο Θεός, παρέχων τώ κόσμω τό μέγα έλεος.

Δόξα... Καί νύν... Θεοτοκίον

Ως τής ημών Αναστάσεως θησαύρισμα, τούς επί σοί πεποιθότας Πανύμνητε, εκ λάκκου καί βυθού πταισμάτων ανάγαγε, σύ γάρ τούς υπευθύνους τή αμαρτία, έσωσας τεκούσα τήν σωτηρίαν, η πρό τόκου Παρθένος, καί εν τόκω Παρθένος, καί μετά τόκον πάλιν ούσα Παρθένος.

## ΕΝ ΤΩ ΜΕΣΟΝΥΚΤΙΚΩ

Κανών Τριαδικός, ού η Ακροστιχίς

## Αινώ, Τριάς, σέ τήν μοναρχικήν φύσιν

### Ωδή α'  Ήχος βαρύς
### Ο Ειρμός
### Νεύσει σου πρός γεώδη

Άνοιξόν μου τό στόμα, τό νοερόν τής καρδίας, καί χείλη τά ένυλα, πρός αίνεσίν σου τρίφωτε, μία θεότης απάντων άδειν σοι ωδήν, φωτουργέ χαριστήριον.

Ίνα τό υπερβάλλον, τής σής χρηστότητος δείξης, διέπλασας άνθρωπον, Τριάς απειροδύναμε, μόνην εικόνα πηλίνην, σού τής αρχικής, πλαστουργέ κυριότητος.

Νούς ο άναρχος Λόγον, συναϊδίως γεννήσας, και Πνεύμα συνάναρχον, εκλάμψας κατηξίωσεν, ένα Θεόν κατ' ουσίαν, σύμμορφον ημάς, προσκυνείν τρισυπόστατον.

Θεοτοκίον

Ώφθης επί τής βάτου, τώ Μωϋσή Θεού Λόγε, ως πύρ καθαρτήριον, μή φλέγον δέ τό σύνολον, τήν εκ Παρθένου προτυπών σου, σάρκωσιν δι' ής, τους βροτούς ανεμόρφωσας.

### Ωδή γ'  Ο κατ' αρχάς τούς ουρανούς

Τόν ενικόν καί τριλαμπή, καί παντουργόν σε Δεσπότην, ανυμνούντες τών αμαρτιών, καί τών πειρασμών αιτούμεν λύτρωσιν, απειροδύναμε Θεέ, μή ούν παρίδης τούς πίστει, σού τήν αγαθότητα δοξάζοντας.

Ράδαμνος ώφθης εκ Πατρός, ως από ρίζης ανάρχου, Θεός Λόγος καί ισοσθενής, σύν τώ συμφυεί καί θείω Πνεύματι, καί διά τούτο οι πιστοί, τριαδικήν τοίς προσώποις, μίαν Κυριότητα δοξάζομεν.

Ισοκλεή καί συμφυή, τήν τρισυπόστατον φύσιν, αμερίστως καί διαιρετώς, καί μοναρχικήν Τριάδα πάντες σε, δοξολογούμεν οι πιστοί, καί προσκυνούντες αιτούμεν, τών πλημμελημάτων τήν συγχώρησιν.

Θεοτοκίον

Αναλλοιώτως τοίς βροτοίς, ομοιωθείς κατά πάντα, Θεού Λόγε Κόρης εξ αγνής, προήλθες σαφώς, καί πάσιν έδειξας, τήν θεαρχίαν τριλαμπή, καί ενικήν τή ουσία, τών απαραλλάκτων υποστάσεων.

### Κάθισμα
### Ο δι' εμέ ανασχόμενος

Ημαρτηκότας ελέησον, Τριάς άγία τούς δούλους σου, ούς δέξαι μετανοούντάς σοι Εύσπλαγχνε, καί συγχωρήσεως αξίωσον.

Δόξα... Καί νύν... Θεοτοκίον, όμοιον

Τάς κακωθείσας ψυχάς ημών, ταίς αμαρτίαις αγάθυνον, πάναγνε Θεοτόκε, καί λύτρωσαι πταισμάτων, τούς σέ υμνούντας Θεονύμφευτε.

### Ωδή δ'  Ο Πατρικούς κόλπους

Συνεκτική τρίφωτε Μονάς, θεαρχική καί σωστική τών όλων τούς σούς υμνωδούς νύν περιφρούρησον, καί σώσον εκ θλίψεων, καί παθών καί πάσης κακώσεως.

Σημαντικών λέξεων τής σής, ακαταλήπτου τριφαούς θεότητος, απορούντες ανυμνούμεν σε, φιλάνθρωπε Κύριε, καί δοξάζομέν σου τήν δύναμιν.

Επί τής γής ως εν ουρανοίς, σύν Ασωμάτων τοίς χοροίς, Μονάς, Τριάς, αμερίστως σε μερίζομεν, καί πόθω δοξάζομεν, ως τών όντων πάντων δεσπόζουσαν.

Θεοτοκίον

Τής Πατρικής δόξης ουκ εκστάς, εις τήν ημών εσχατιάν κατήλθες εκών, σαρκωθείς ο Υπερούσιος, καί πάντας ανύψωσας, πρός τήν θείαν δόξαν ως εύσπλαγχνος.

### Ωδή ε'  Οι ορθρίζοντες

Ηαρχίφωτος φύσις, Τριάς τοίς χαρακτήρσι, καί Μονάς εν βουλήσει, καί δόξη καί τιμή, κραταίωσον ημάς, εις τήν σήν αγάπησιν. Δίς

Νούν καί Λόγον καί Πνεύμα, τήν μίαν θεαρχίαν, καί τρισήλιον φύσιν, δοξάζοντες αιτούμεν, ρυσθήναι πειρασμών, καί παντοίων θλίψεων.

Θεοτοκίον

Μορφωθείς Θεού Λόγε, τήν φύσιν τών ανθρώπων, εξ αγίας Παρθένου, Τριάδα εν Μονάδι εδίδαξας υμνείν, σύμμορφον καί σύνθρονον.

Ωδή ς'  Ναυτιών τώ σάλω

Ομοδόξω κράτει, τήν μοναρχικήν θεαρχίαν, τρισίν υποστάσεσι πεφυκυίαν, απαραλλάκτως αλλήλαις δοξάζομεν, τήν διαφοράν εχούσαις μόνην, τής υπαρκτικής εκάστης ιδιότητος. Δίς

Νοεραί σε τάξεις, τών Αγγελικών διακόσμων, αινούσι τρισήλιε Μοναρχία, μεθ' ών καί ημείς, εν πηλίνοις στόμασιν, ως ποιητικήν απάντων μόνην, ανυμνολογούμεν καί πιστώς δοξάζομεν.

Θεοτοκίον

Απορρήτω λόγω, Λόγος γεννηθείς εξ Ηλίου Πατρός, άλλος Ήλιος πρό αιώνων, εκ τής Παρθένου εσχάτως ανέτειλε, καί μοναδικόν τρισί προσώποις, τόν απερινόητον Θεόν εδίδαξε.

Κάθισμα

Πυρός φωτεινότερον

Τριάς ομοούσιε, Μονάς τρισυπόστατε, ελέησον ούς έπλασας Αθάνατε, καταφλέγουσα κακίας τών πταιόντων, καί φωτίζουσα καρδίας τών υμνούντων, τήν ευσπλαγχνίαν σου, ο Θεός ημών, δόξα σοι.

Θεοτοκίον Δόξα... Και νύν... όμοιον

Πυρός φωτεινότερον, φωτός εναργέστερον, τό έλεος τής χάριτός σου Δέσποινα, καταφλέγον αμαρτίας τών ανθρώπων, καί δροσίζον διανοίας αινούντων, τά μεγαλεία σου, Θεοτόκε πανάμωμε.

Ωδή ζ'  Οι εν καμίνω τού πυρός

Ρήσεσι θείων Προφητών, πειθαρχούντες ένα σε μόνον, Θεόν τών όλων δοξάζομεν, εν τρισί χαρακτήρσιν, ούτω βοώντες. Ευλογητός εί Κύριε, ο Θεός τών Πατέρων ημών. Δίς

Χοϊκοίς χείλεσιν ημείς, σύν αϋλοις Τάξεσιν ύμνοις, Τριάς αγία σε μέλπομεν, εν μονάδι ουσίας αναβοώντες. Ευλογητός εί Κύριε, ο Θεός τών Πατέρων ημών.

Θεοτοκίον

Ίνα ο πλάσας τόν Αδάμ, αναπλάση Πάναγνε πάλιν, εκ σού σαφώς ενηνθρώπησε, τούς ανθρώπους Θεώσας, ούτω βοώντας. Ευλογημένος Πάναγνε, ο καρπός τής κοιλίας σου.

Ωδή η'  Αφλεκτος πυρί

Κρατείς τού παντός, η τριττή καί ενιαία, Κυριαρχία άναρχε, καί διϊθύνεις ουρανόν καί τήν γήν, διό με φίλτρω τώ σώ, καταθελγόμενον αεί, φύλαξον ψάλλειν σοι, Πάντα τά έργα Κυρίου, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Ηλίου βολαίς, τριλαμπούς καταυγασθήναι, φωτουργικαίς αξίωσον, τών υμνωδών σου τάς καρδίας, καί νύν, οράν τό κάλλος τό σόν, Τριάς Μονάς ως εφικτόν, δώρησαι πάντοτε, πάσι τοίς πίστει πρεπούση, τήν σήν μεγαλωσύνην, ανυμνολογούσιν, εις πάντας τούς αιώνας.

Ναόν με τής σής, τριφαούς ποίησον αίγλης, αγαθουργέ φιλάνθρωπε, καί μετουσίας καί μεθέξεως, απρόσι τον τοίς εχθροίς τοίς αοράτοις, καί σαρκός πάθεσι, Δέσποτα, δείξον μονάρχα Θεέ μου, καί Κύριε τής δόξης, τού υμνολογείν σε, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Φώς θεαρχικόν, εκ γαστρός σου ανατείλαν, Παρθενομήτορ άχραντε, πάντα τόν κόσμον τρισηλίω φωτί κατηύγασε, καί τήν γήν, καθάπερ άλλον ουρανόν έδειξε ψάλλουσαν. Πάντα τά έργα Κυρίου, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Ωδή θ'  Μήτηρ Θεού καί Παρθένος

Υψηγορείν καί υμνείν αξίως σε, όν εν υψίστοις απαύστως, Σεραφείμ ανυμνούσιν, ουκ εξισχύομεν

οι πήλινοι, πλήν ως Δεσπότην τών όλων τολμώντες, καί φιλανθρωπότατον Θεόν μεγαλύνομεν.

Σωματικής αλγηδόνος λύτρωσαι, καί ψυχικής εμπαθείας, τούς πιστούς υμνωδούς σου, μοναδική Τριάς αχώριστε, καί διαφυλάττεσθαι ατρώτους, εκ πάντων τών βιοτικών, πειρατηρίων αξίωσον.

Ισοσθενής θεαρχία τρίφωτε, προϊσχομένη τό κράτος, απαράλλακτον κάλλος, τής ουσιώδους αγαθότητος, δός τών πταισμάτων τήν λύσιν σοίς δούλοις, καί τών πειρασμών, καί παθών απολύτρωσιν.

Θεοτοκίον

Νούν καί ψυχήν καί σαρκός τό φύραμα, προσειληφώς Θεοτόκε, εκ σής μήτρας αχράντου, ο Θεός Λόγος κατ' αλήθειαν, άνθρωπος ώφθη, καί θείας ουσίας, κοινωνόν τόν άνθρωπον, σαφώς εναπέφηνε.

Η Υπακοή Ήχος βαρύς

Ο ημετέραν μορφήν αναλαβών, καί υπομείνας Σταυρόν σωματικώς, σώσόν με τή Αναστάσει σου, Χριστέ ο Θεός, ως φιλάνθρωπος.

## ΕΝ ΤΩ ΟΡΘΡΩ

Απολυτίκιον Ήχος βαρύς

Κατέλυσας τώ Σταυρώ σου τόν θάνατον, ηνέωξας τώ Ληστή τόν Παράδεισον, τών Μυροφόρων τόν θρήνον μετέβαλες, καί τοίς σοίς Αποστόλοις κηρύττειν επέταξας, ότι ανέστης Χριστέ ο Θεός, παρέχων τώ κόσμω τό μέγα έλεος.

Δόξα... Καί νύν... Θεοτοκίον

Ως τής ημών Αναστάσεως θησαύρισμα, τούς επί σοί πεποιθότας Πανύμνητε, εκ λάκκου καί βυθού πταισμάτων ανάγαγε, σύ γάρ τούς υπευθύνους τή αμαρτία, έσωσας τεκούσα τήν σωτηρίαν, η πρό τόκου Παρθένος, καί εν τόκω Παρθένος, καί μετά τόκον πάλιν ούσα Παρθένος.

Καθίσματα Ήχος βαρύς

Η Ζωή εν τώ τάφω ανέκειτο, καί σφραγίς εν τώ λίθω επέκειτο, ως Βασιλέα υπνούντα, στρατιώται εφύλαττον Χριστόν, καί Άγγελοι εδόξαζον, ως Θεόν αθάνατον. Γυναίκες δέ εκραύγαζον, Ανέστη ο Κύριος, παρέχων τώ κόσμω τό μέγα έλεος.

Δόξα...

Τή τριημέρω ταφή σου σκυλεύσας τόν θάνατον, καί φθαρέντα τόν άνθρωπον, τή ζωηφόρω Εγέρσει σου, αναστήσας Χριστέ ο Θεός, ως φιλάνθρωπος δόξα σοι.

Καί νύν... Θεοτοκίον

Τόν σταυρωθέντα υπέρ ημών, καί αναστάντα Χριστόν τόν Θεόν, καί καθελόντα τού θανάτου τό κράτος, απαύστως ικέτευε, Θεοτόκε Παρθένε, ίνα σώση τάς ψυχάς ημών.

Εσφραγισμένου τού μνήματος, η Ζωή εκ τάφου ανέτειλας Χριστέ ο Θεός, καί τών θυρών κεκλεισμένων, τοίς Μαθηταίς επέστης, η πάντων ανάστασις Πνεύμα ευθές δι' αυτών εγκαινίζων ημίν, κατά τό μέγα σου έλεος.

Δόξα...

Επί τό μνήμα έδραμον Γυναίκες, μετά δακρύων μύρα φέρουσαι, καί στρατιωτών φυλασσόντων σε, τόν τών όλων Βασιλέα, έλεγον πρός εαυτάς, Τίς αποκυλίσει ημίν τόν λίθον, ανέστη ο μεγάλης Βουλής Άγγελος, πατήσας τόν θάνατον Παντοδύναμε Κύριε, δόξα σοι.

Καί νύν... Θεοτοκίον

Χαίρε κεχαριτωμένη Θεοτόκε Παρθένε, λιμήν καί προστασία τού γένους τών ανθρώπων, εκ σού γάρ εσαρκώθη ο Λυτρωτής τού κόσμου, μόνη γάρ υπάρχεις Μήτηρ καί Παρθένος, αεί ευλογημένη καί δε, δοξασμένη, πρέσβευε Χριστώ τώ Θεώ, ειρήνην δωρήσασθαι, πάση τή οικουμένη.

Η Υπακοή Ήχος βαρύς

Ο ημετέραν μορφήν αναλαβών, καί υπομείνας Σταυρόν σωματικώς, σώσόν με τή Αναστάσει σου, Χριστέ ο Θεός, ως φιλάνθρωπος.

Οι Αναβαθμοί Αντίφωνον Α'

- Τήν αιχμαλωσίαν Σιών, εκ πλάνης επιστρέψας, καμέ Σωτήρ ζώωσον, εξαίρων δουλοπαθείας.

- Εν τώ νότω ο σπείρων θλίψεις, νηστείας μετά δακρύων, ούτος χαράς δρέψεται, δράγματα αειζωοτροφίας.

Δόξα... καί νύν...

Αγίω Πνεύματι, πηγή τών θείων θησαυρισμάτων, εξ ού σοφία, σύνεσις, φόβος, αυτώ αίνεσις, δόξα, τιμή καί κράτος.

Αντίφωνον β'

- Εάν μή Κύριος οικοδομήση οίκον τόν τής ψυχής, μάτην κοπιώμεν, πλήν γάρ αυτού, ου πράξις, ου λόγος τελείται.
- Τού καρπού τής γαστρός, οι Άγιοι πνευματοκινήτως, αναβλαστούσι πατρώα δόγματα υιοθεσίας.

Δόξα... καί νύν...

Αγίω Πνεύματι, τά σύμπαντα τό είναι έχει, πρό πάντων γάρ Θεός, τών όλων κυριότης, φώς απρόσιτον, ζωή τών πάντων.

Αντίφωνον Γ'

- Οι φοβούμενοι τόν Κύριον, οδούς ζωής ευρόντες, νύν καί αεί μακαριούνται, δόξη ακηράτω.
- Κύκλω τής τραπέζης σου, ως στελέχη βλέπων τα εκγονά σου, χαίρε ευφραίνου, προσάγων ταύτα, τώ Χριστώ Ποιμενάρχα.

Δόξα... καί νύν...

Αγίω Πνεύματι, βυθός χαρισμάτων, πλούτος δόξης, κριμάτων βάθος μέγα, ομόδοξον Πατρί καί Υιώ, λατρευτόν γάρ.

Προκείμενον

Ανάστηθι, Κύριε ο Θεός μου, υψωθήτω η χείρ σου, μή επιλάθη τών πενήτων σου εις τέλος.
Στίχ. Εξομολογήσομαί σοι, Κύριε, εν όλη καρδία μου.

Κανών Αναστάσιμος

Ωδή α' Ήχος βαρύς
Ο Ειρμός

Νεύσει σου πρός γεώδη, αντιτυπίαν μετήχθη, η πρίν ευδιάχυτος, υδάτων φύσις Κύριε, όθεν αβρόχως πεζεύσας, άδει Ισραήλ σοι, ωδήν επινίκιον.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Κέκριται τού θανάτου, η τυραννίς διά ξύλου, αδίκω θανάτω σου, κατακριθέντος Κύριε, όθεν ο άρχων τού σκότους, σού μή κατισχύσας, δικαίως εκβέβληται.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Άδης σοι προσπελάσας, καί τοίς οδούσι μή σθένων, συντρίψαι τό σώμά σου, τάς σιαγόνας τέθλασται, όθεν Σωτήρ τάς οδύνας, λύσας τού θανάτου, ανέστης τριήμερος.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Λέλυνται αι οδύναι, αι τής προμήτορος Εύας, ωδίνας λαθούσα γάρ, απειρογάμως τέτοκας, όθεν σαφώς Θεοτόκον, Πάναγνε ειδότες σε πάντες δοξάζομεν.

Κανών Σταυροαναστάσιμος

Ο Ειρμός

Πόντω εκάλυψε.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Δύο πηγάς ημίν, εν Σταυρώ ανέβλυσεν, ο Σωτήρ ζωηφόρους, εκ τής αυτού νυγείσης πλευράς, άσωμεν αυτώ, ότι δεδόξασται.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Τάφον οικήσας, καί αναστάς τριήμερος, αφθαρσίας παρέσχεν, απεκδοχήν Χριστός τοίς θνητοίς, άσωμεν αυτώ, ότι δεδόξασται.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Μόνη Παρθένος, καί μετά τόκον εδείχθης, τόν γάρ Κτίστην τού κόσμου σεσαρκωμένον τέτοκας, Χαίρέ σοι διό πάντες κραυγάζομεν.

Κανών τής Θεοτόκου, κατ' Αλφάβητον

Ο Ειρμός

Νεύσει σου πρός γεώδη, αντιτυπίαν μετήχθη, η πρίν ευδιάχυτος, υδάτων φύσις Κύριε, όθεν αβρόχως πεζεύσας, άδει Ισραήλ σοι, ωδήν επινίκιον.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Άβυσσον η τεκούσα, τής ευσπλαγχνίας Παρθένε, ψυχήν μου καταύγασον, τή φωτοφόρω λάμψει σου, όπως αξίως υμνήσω, τών σών θαυμασίων, σύν πόθω τήν άβυσσον.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Βέλει τής αμαρτίας, κατατρωθέντας ο Λόγος, ημάς θεασάμενος, ως ευεργέτης ώκτειρεν, όθεν αφράστως ενούται, Πάναγνε σαρκί, τή εκ σού ο Υπέρθεος.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Γέγονε τώ θανάτω, κατασχεθείσα η φύσις, φθαρτή καί επίκηρος, η τών ανθρώπων Πάναγνε, σύ δέ ζωήν συλλαβούσα, ταύτην εκ φθοράς, πρός ζωήν επανήγαγες.

Ωδή γ'

Ο Ειρμός

Ο κατ' αρχάς τούς ουρανούς, παντοδυνάμω σου Λόγω, στερεώσας, Κύριε Σωτήρ, καί τώ παντουργώ καί θείω Πνεύματι, πάσαν τήν δύναμιν αυτών, εν ασαλεύτω με πέτρα, τής ομολογίας σου στερέωσον.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Σύ ανελθών επί ξύλου, υπέρ ημών οδυνάσαι, εκουσίως εύσπλαγχνε Σωτήρ, καί φέρεις πληγήν ειρήνης πρόξενον, καί σωτηρίας τοίς πιστοίς, δι' ής τώ σώ Ελεήμον, πάντες κατηλλάγημεν Γεννήτορι.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Σύ με καθήρας τής πληγής, τόν τή ψυχή τετρωμένον, δρακοντείω δήγματι Χριστέ, καί έδειξας φώς εν σκότει πάλαι μοι, κατωκισμένω καί φθορά, διά Σταυρού γάρ εις άδην, καταβεβηκώς με συνανέστησας.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τής απειράνδρου σου Μητρός, ταίς ικεσίαις τώ κόσμω, τήν ειρήνην βράβευσον Σωτήρ, καί τώ Βασιλεί τήν νίκην δώρησαι, κατά βαρβάρων δυσμενών, καί τής αφράστου σου δόξης, τούς δοξολογούντάς σε αξίωσον.

Κανών Σταυροαναστάσιμος.

Ο Ειρμός

Ο ουρανούς τώ λόγω στερεώσας, καί τό τής γής θεμέλιον εδράσας, επί υδάτων πολλών, στερέωσόν μου τόν νούν, εις τό θέλημά σου, μόνε Φιλάνθρωπε.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ο εν Σταυρώ τά πάθη υπομείνας, καί τώ Ληστή τόν Παράδεισον ανοίξας, ως ευεργέτης καί Θεός, στερέωσόν μου τόν νούν, εις τό θέλημά σου μόνε Φιλάνθρωπε.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ο αναστάς τριήμερος εκ τάφου, καί τήν ζωήν τώ κόσμω ανατείλας, ως ζωοδότης καί Θεός, στερέωσόν μουτόννούν, εις τό θέλημά σου μόνε Φιλάνθρωπε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Η τόν Θεόν ασπόρως συλλαβούσα, καί τής αράς τήν Εύαν ρυσαμένη, Παρθενομήτορ Μαριάμ, δυσώπησον τόν εκ σού, σαρκωθέντα Θεόν σώσαι τήν ποίμνην σου.

Κανών τής Θεοτόκου

Ο Ειρμός

Ο κατ' αρχάς τούς ουρανούς, παντοδυνάμω σου Λόγω, στερεώσας Κύριε Σωτήρ, καί τώ παντουργώ καί θείω Πνεύματι, πάσαν τήν δύναμιν αυτών, εν ασαλεύτω με πέτρα, τής ομολογίας σου στερέωσον.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Δράκων ερπύσας εξ Εδέμ, εμέ θεώσεως πόθω, δελεάσας έρριψεν εις γήν, αλλ' ο συμπαθής καί φύσει εύσπλαγχνος, κατοικτειρήσας θεουργεί, εν τή γαστρί σου σκηνώσας, καί ομοιωθείς μοι Μητροπάρθενε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ευλογημένος ο καρπός, της σής κοιλίας Παρθένε, Θεοτόκε πάντων η χαρά, χαράν γάρ παντί τώ κόσμω τέτοκας, καί ευφροσύνην αληθώς, διασκεδάζουσαν λύπην, τήν τής αμαρτίας Θεονύμφευτε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ζωήν αιώνιον καί φώς, Θεογεννήτορ Παρθένε, καί ειρήνην τέτοκας ημίν, τήν τόν παλαιόν ανθρώπων πόλεμον, πρός τόν Πατέρα καί Θεόν, καταπραϋνουσαν πίστει, καί ομολογία τή σής χάριτος.

Ωδή δ'

Ο Ειρμός

Ο Πατρικούς κόλπους μή λιπών, καί καταβάς επί τής γής, Χριστέ ο Θεός, τό μυστήριον ακήκοα τής οικονομίας σου, καί εδόξασά σε μόνε Φιλάνθρωπε.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Τόν εαυτού νώτον δεδωκώς, ο εκ Παρθένου σαρκωθείς εις μάστιγας, δούλου πταίσαντος αικίζεται, Δεσπότης ανεύθυνος, διαλύων μου τά εγκλήματα.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Παρεστηκώς βήματι κριτών, παρανομούντων ως κριτός ευθύνεται, καί ραπίζεται πηλίνη χειρί, ο

πλάσας τόν άνθρωπον, ως Θεός καί κρίνων δικαίως τήν γήν.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ως αληθώς Μήτηρ τού Θεού, τόν Ποιητήν σου καί Υιόν ικέτευε, πρός σωτήριον ιθύναί με, λιμένα Πανάμωμε, τού αυτού ενδόξου θελήματος.

Κανών Σταυροαναστάσιμος

Ο Ειρμός

Κατανοών ο Προφήτης.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ο μή ειδώς, αμαρτίαν, καί διά ταύτην γεγονώς Κύριε, ό ουκ ήσθα, μορφούσαι λαβών τό αλλότριον, ίνα σώσης τόν κόσμον, καί κτείνης δελεάσας τόν τύραννον.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Επί Σταυρού ανηρτήθης, καί τού προπάτορος Αδάμ, λύσας τήν αμαρτίαν, χαράς τήν προμήτορα, Κύριε ενεπλήσω, ότι πάντας τού σώσαι, τούς χριστούς σου ελήλυθας.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σύ γεννηθείς εκ Παρθένου, θνήσκεις, ζωοίς δέ τόν Αδάμ, γνώμη τόν πλανηθέντα, καί γάρ κατέπτηξε θάνατος τήν ισχύν σου, ότε πάντας τού σώσαι, τούς φθαρέντας ελήλυθας.

Κανών τής Θεοτόκου

Ο Ειρμός

Ο Πατρικούς κόλπους μή λιπών, καί καταβάς επί τής γής Χριστέ ο Θεός, τό μυστήριον ακήκοα, τής οικονομίας σου, καί εδόξασά σε μόνε Φιλάνθρωπε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Η εκλεκτή όλη καί καλή, αναφανείσα τώ Θεώ πρό κτίσεως, τή λαμπρότητι Πανύμνητε, τής φωτοχυσίας σου, τούς υμνούντάς σε καταφαίδρυνον.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Θεόν βροτοίς τέτοκας Αγνή, σεσαρκωμένον εξ αγνών αιμάτων σου, τόν λυτρούμενον πταισμάτων πολλών, τούς πόθω γεραίροντας, καί υμνούντάς σε Μητροπάρθενε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ιερουργεί φύσις λογική, τώ ανατείλαντι, εκ σού Πανύμνητε, τό μυστήριον τό άφραστον, τής κυοφορίας σου, μυηθείσα νύν παμμακάριστε.

Ωδή ε'

Ο Ειρμός

Νύξ αφεγγής τοίς απίστοις Χριστέ, τοίς δέ πιστοίς φωτισμός, εν τή τρυφή τών θείων λόγων σου, διά τούτο πρός σέ ορθρίζω, καί ανυμνώ σου τήν θεότητα.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Υπέρ σών δούλων πιπράσκη Χριστέ, καί ραπισμόν καρτερείς, ελευθερίας πρόξενον, τοίς μελωδούσί σοι. Πρός σέ ορθρίζω, καί ανυμνώ σου τήν θεότητα.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Τή θεϊκή σου δυνάμει Χριστέ, δι' ασθενείας σαρκός, τόν ισχυρόν κατέβαλες, καί νικητήν με θανάτου Σώτερ, δι' Αναστάσεως ανέδειξας.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Θεόν εγέννησας Μήτηρ αγνή, σεσαρκωμένον εκ σού, θεοπρεπώς πανύμνητε, επεί ουκ έγνως άρρενος ευνήν, αλλ' εξ αγίου κύεις Πνεύματος.

Κανών Σταυροαναστάσιμος

Ο Ειρμός

Κύριε ο Θεός μου, εκ νυκτός ορθρίσας σέ ικετεύω, παράσχου μοι άφεσιν, τών παραπτωμάτων μου, καί πρός φώς τών σών προσταγμάτων, τάς οδούς μου εύθυνον δέομαι.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ότε εν τοίς ανόμοις, λογισθείς υψώθης εν τώ Κρανίω, φωστήρες εκρύπτοντο, καί διεκλονείτο η γή, καί ναού φαιδρότης ερράγη, Εβραίων δηλούσα τήν έκπτωσιν.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Σέ τόν εξανελόντα, τού τυράννου πάσαν τήν δυναστείαν, ισχΰϊ θεότητος, τής ακαταλήπτου σου, καί νεκρούς τή σή Αναστάσει, εγείραντα, ύμνοις δοξάζομεν.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Μήτηρ τού Βασιλέως, καί Θεού πανύμνητε Θεοτόκε, τοίς πίστει καί πόθω σε, ύμνοις ευφημούσιν αεί, ιλασμόν ταίς σαίς ικεσίαις, τών παραπτωμάτων κατάπεμψον.

Κανών τής Θεοτόκου

Ειρμός ο αυτός

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Κλίμακα θεωρήσας, Ιακώβ, πρός ύψος εστηριγμένην, εικόνα μεμύηται, τής Απειρογάμου σου, διά σού γάρ Θεός ανθρώποις, ωμίλησε πάναγνε Δέσποινα.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Λύτρωσιν αιωνίαν, διά σού Παρθένε νύν ευρηκότες, προθύμως βοώμέν σοι, τό, Χαίρε Θεόνυμφε, καί τώ σώ φωτί γεγηθότες, πανύμνητε ύμνοις σε μέλπομεν.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Μόνην σε ο Νυμφίος, ακανθών εν μέσω κρίνον Παρθένε, ευρών διαλάμπουσαν, αγνείας στιλπνότητι, καί φωτί τώ τής παρθενίας, Πανάμωμε νύμφην προσήκατο.

Ωδή ς'

Ο Ειρμός

Ναυτιών τώ σάλω, τών βιοτικών μελημάτων, συμπλόοις ποντούμενος αμαρτίαις, καί ψυχοφθόρω θηρί προσριπτούμενος, ως Ιωνάς Χριστέ βοώ σοι. Εκ θανατηφόρου με βυθού ανάγαγε.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Εμνημόνευόν σου, αι κατακλεισθείσαι τώ άδη ψυχαί, καί εκλείπουσαι τών Δικαίων, καί παρά σού σωτηρίαν προσηύχοντο, ήν διά Σταυρού Χριστέ παρέσχες, τοίς καταχθονίοις επιβάς ως

εύσπλαγχνος.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Πρός τόν έμψυχόν σου, καί αχειροποίητον δόμον, λυθέντα παθήμασιν, επιβλέψαι πάλιν χορός Αποστόλων απήλπισεν, αλλ' υπέρ ελπίδα προσκυνήσας, ανεγηγερμένον, πανταχού εκήρυξε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τού αφράστου τόκου, σού τής παναμώμου τόν τρόπον, Παρθένε Θεόνυμφε, τού δι' ημάς, τίς ερμηνεύσαι ανθρώπων δυνήσεται; ότι ο Θεός απεριγράπτως, Λόγος ενωθείς σοι, σάρξ εκ σού εγένετο.

### Κανών Σταυροαναστάσιμος

### Ο Ειρμός

Ο Ιωνάς εκ κοιλίας άδου εβόα. Ανάγαγε εκ φθοράς τήν ζωήν μου, ημείς δέ σοι βοώμεν. Παντοδύναμε Σωτήρ, ελέησον ημάς.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Εν τώ Σταυρώ υψωθείς, Σωτήρ εκουσίως, τό τού εχθρού ηχμαλώτευσας κράτος, εν τούτω προσηλώσας, τής αμαρτίας Αγαθέ τό χειρόγραφον.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Εκ τών νεκρών αναστάς, Σωτήρ εξουσία, συνήγειρας τών ανθρώπων τό γένος, ζωήν καί αφθαρσίαν, δωρησάμενος ημίν ως φιλάνθρωπος.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Όν έτεκες Θεοτόκε ανερμηνεύτως, Θεόν ημών, δυσωπούσα μή παύση, ρυσθήναι εκ κινδύνων, τούς υμνούντάς σε αγνή Αειπάρθενε.

### Κανών τής Θεοτόκου

### Ο Ειρμός

Ναυτιών τώ σάλω, τών βιωτικών μελημάτων, συμπλόοις ποντούμενος αμαρτίαις, καί ψυχοφθόρω θηρί προσριπτούμενος, ως ο Ιωνάς Χριστέ βοώ σοι. Εκ θανατηφόρου με βυθού ανάγαγε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νομικοί σε τύποι, καί τών Προφητών αι προρρήσεις, σαφώς προεμήνυον, τεξομένην τόν ευεργέτην Αγνή πάσης κτίσεως, τόν πολυμερώς καί πολυτρόπως, ευηργετηκότα τούς πιστώς υμνούντάς σε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ξενωθέντα πάλαι, εξ επιβουλής βροτοκτόνου, Αδάμ τόν πρωτόπλαστον, τής ενθέου τού Παραδείσου τρυφής Απειρόγαμε, αύθις επανήγαγες τεκούσα, τόν εκ παραβάσεως ημάς ρυσάμενον.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ο βουλήσει θεία, δημιουργική τε δυνάμει, τό πάν συστησάμενος εκ μή όντων, εκ τής γαστρός σου Αγνή προελήλυθε, καί τούς εν τώ σκότει τού θανάτου, θεαρχικωτάταις αστραπαίς κατέλαμψεν.

### Κοντάκιον  'Ηχος βαρύς

Ουκέτι φλογίνη ρομφαία

Ουκέτι τό κράτος τού θανάτου, ισχύσει κατέχειν τούς βροτούς, Χριστός γάρ κατήλθε συντρίβων, καί λύων τάς δυνάμεις αυτού, δεσμείται ο Άδης, Προφήται συμφώνως αγάλλονται. Επέστη λέγοντες Σωτήρ, τοίς εν πίστει, εξέρχεσθε οι πιστοί εις τήν ανάσασιν.

Ο Οίκος

Έτρεμε κάτωθεν τά καταχθόνια σήμερον ο Άδης καί ο θάνατος τόν ένα τής Τριάδος, η γή εκλονείτο, πυλωροί δέ Άδου ιδόντες σε έπτηξαν, η κτίσις δέ πάσα συν τοίς Προφήταις χαίρουσα ψάλλει σοι, επινίκιον ωδήν τώ λυτρωτή ημών Θεώ τώ καταλύσαντι νύν θανάτου τήν δύναμιν, Αλαλάξωμεν καί βοήσωμεν τώ Αδάμ, καί τοίς εξ Αδάμ. Ξύλον τον εισήγαγεν, εξέρχεσθε οι πιστοί εις τήν ανάστασιν.

## Ωδή ζ'

Ο Ειρμός

Κάμινον Παίδες, πυρίφλεκτον πάλαι, δροσοβολούσαν υπέδειξαν, ένα Θεόν ανυμνούντες καί λέγοντες, ο υπερυψούμενος, τών Πατέρων Θεός, καί υπερένδοξος.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Ξύλω νεκρούται, Αδάμ εκουσίως, παρακοήν εργασάμενος, υπακοή δέ Χριστού αναπέπλασται, δι' εμέ σταυρούται γάρ ο Υιός τού Θεού, ο υπερένδοξος.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Σέ αναστάντα, Χριστέ εκ τού τάφου, η κτίσις πάσα ανύμνησε, σύ γάρ ζωήν τοίς εν άδη εξήνθησας, τοίς νεκροίς ανάστασιν, τοίς εν σκότει τό φώς, ο υπερένδξος.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Χαίρε Θυγάτηρ, Αδάμ τού φθαρέντος, χαίρε η μόνη Θεόνυμφος, χαίρε δι' ής η φθορά εξωστράκισται, η Θεόν κυήσασα, όν δυσώπει Αγνή, σωθήναι πάντας ημάς.

## Κανών Σταυροαναστάσιμος

Ο Ειρμός

Οι εν καμίνω τού πυρός, εμβληθέντες όσιοι Παίδες, τό πύρ εις δρόσον μετέβαλον, διά τής υμνωδίας ούτω βοώντες, Ευλογητός εί Κύριε, ο Θεός ο τών Πατέρων ημών.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ο εν τώ ξύλω τού Σταυρού, αμαρτίας κέντρον αμβλύνας, καί τής Αδάμ παραβάσεως, τό χειρόγραφον λύσας, λόγχη πλευρά σου, ευλογητός εί Κύριε, ο Θεός τών Πατέρων ημών.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ο τήν πλευράν διανυγείς, καί ρανίσιν αίματος θείου, τήν γήν καθάρας τοίς αίμασι, τής ειδωλομανίας καταχρανθείσαν, ευλογητός εί Κύριε, ο Θεός τών Πατέρων ημών.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τόν πρό ηλίου φωτισμόν, ανατέλλεις κόσμω Θεοκυήτορ, Χριστόν τού σκότους ρυσάμενον, καί φωτίζοντα πάντας, Θεογνωσία, ευλογητός εί κράζοντας, ο Θεός τών Πατέρων ημών.

## Κανών τής Θεοτόκου

Ο Ειρμός

Κάμινον Παίδες, πυρίφλεκτον πάλαι, δροσοβολούσαν υπέδειξαν, ενα Θεόν ανυμνούντες καί λέγοντες, ο υπερυψούμενος, τών Πατέρων Θεός καί υπερένδοξος.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Πεποικιλμένον διάχρυσον κόσμον, σέ κεκτημένην ηγάπησεν, ο πλαστουργός σου Παρθένε καί Κύριος, ο υπερυψούμενος, τών Πατέρων Θεός, καί υπερένδοξος.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ρύπτεται Κόρη τόν άνθρακα πάλαι, ο Ησαϊας δεξάμενος, συμβολικώς τόν σόν τόκον Θεώμενος, τόν υπερυψούμενον, τών Πατέρων Θεόν, καί υπερένδοξον.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σύμβολα πάλαι τού θείου σου τόκου, θείοι Προφήται Θεώμενοι, χαρμονικώς ανυμνούντες εκραύγαζον, ο υπερυψούμενος, τών Πατέρων Θεός, καί υπερένδοξος.

## Ωδή η'

### Ο Ειρμός

Άφλεκτος πυρί, εν Σινά προσομιλούσα, βάτος Θεόν εγνώρισε, τώ βραδυγλώσσω καί δυσήχω Μωσεί, καί Παίδας ζήλος Θεού, τρείς αναλώτους εν πυρί, υμνωδούς έδειξε. Πάντα τά έργα, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Άχραντος, Αμνός, λογικός υπέρ τού κόσμου, σφαγιασθείς κατέπαυσε, τά κατά νόμον προσφερόμενα, καθάρας τούτον χωρίς παραπτωμάτων ως Θεός, τόν αεί κράζοντα. Πάντα τά έργα, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Άφθαρτος ουκ ούσα, πρό πάθους η ληφθείσα, υπό τού Κτίστου σάρξ ημών, μετά τό πάθος καί τήν έγερσιν, απρόσιτος τή φθορά, κατεσκευάσθη, καί θνητούς καινουργεί κράζοντας. Πάντα τά έργα, τόν Κύριον υμνείτε, καί υπερυψούτε εις πάντας τούς αιώνας.

### Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σού τό καθαρόν, καί πανάμωμον Παρθένε, τό ρυπαρόν καί έμμυσον, τής οικουμένης απεκάθηρε, καί γέγονας τής ημών, πρός τόν Θεόν καταλλαγής αιτία Πάναγνε, πάντες διό σε, Παρθένε ευλογούμεν, καί υπερυψούμεν εις πάντας τούς αιώνας.

## Κανών Σταυροαναστάσιμος.

### Ο Ειρμός

Τόν μόνον άναρχον, Βασιλέα τής δόξης, όν ευλογούσιν ουρανών αι Δυνάμεις, καί φρίττουσι τών Αγγέλων αι τάξεις, υμνείτε Ιερείς, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Τόν υπομείναντα εκουσίως τά πάθη, καί εν Σταυρώ προσηλωθέντα βουλήσει, καί λύσαντα τάς τού άδου δυνάμεις, υμνείτε Ιερείς, λαός υπερυψούτε εις πάντας τούς αιώνας.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Τόν καταργήσαντα τού θανάτου τό κράτος, καί αναστάντα εκ τού τάφου εν δόξη, καί σώσαντα τών ανθρώπων τό γένος, υμνείτε Ιερείς, λαός υπερυψούτε εις πάντας τούς αιώνας.

### Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τόν μόνον ευσπλαγχνον καί προαιώνιον Λόγον, τόν επ' εσχάτων εκ Παρθένου τεχθέντα, καί λύσαντα τήν αρχαίαν κατάραν, υμνείτε Ιερείς, λαός υπερυψούτε εις πάντας τούς αιώνας.

## Κανών τής Θεοτόκου

### Ο Ειρμός

Άφλεκτος πυρί, εν Σινά προσομιλούσα, Βάτος Θεόν εγνώρισε, τώ βραδυγλώσσω καί δυσήχω Μωσή, καί Παίδας ζήλος Θεού, τρείς αναλώτους τώ πυρί υμνωδούς έδειξε. Πάντα τά έργα τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τώ φέγγει τού σού τοκετού, τήν οικουμένην, ξενοπρεπώς εφώτισας, Θεογεννήτορ, τόν γάρ όντως Θεόν, αγκάλαις φέρεις ταίς σαίς, καταλαμπρύνοντα πιστούς, τούς αεί κράζοντας. Πάντα τά έργα, τόν Κύριον υμνείτε, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Υμνούμεν Αγνή, ευσεβώς τήν σήν γαστέρα, τήν τόν Θεόν χωρήσασαν, ανερμηνεύτως σωματούμενον, τόν δόντα πάσι πιστοίς, Θεογνωσίας φωτισμόν, τοίς αεί κράζουσι. Πάντα τά έργα, τόν Κύριον υμνείτε, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φωτός σου ταίς μαρμαρυγαίς, τούς σέ υμνούντας, φωτοειδείς απέργασαι, φωτογεννήτορ Θεοτόκε αγνή, φωτός γάρ ώφθης σκηνή, καταφαιδρύνουσα φωτί τούς αεί κράζοντας. Πάντα τά έργα, τόν Κύριον υμνείτε, καί υπερυψούτε εις πάντας τούς αιώνας.

## Ωδή θ'

### Ο Ειρμός

Μή τής φθοράς διαπείρα κυοφορήσασα, καί παντεχνήμονι Λόγω σάρκα δανείσασα, Μήτερ α πείρανδρε, Παρθένε Θεοτόκε, δοχείον τού αστέκτου, χωρίον τού απείρου πλαστουργού σου Σέ μεγαλύνομεν.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Οι τή θεότητι πάθη προσεφαρμόζοντες, επιστομίζεσθε πάντες αλλοτριόφρονες, Κύριον δόξης γάρ, σαρκί εσταυρωμένον, ασταύρωτον δέ φύσει, τή θεία, ως εν δύο, ένα φύσεσι μεγαλύνομεν.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Οι τών σωμάτων τήν έγερσιν αθετήσαντες, πρός τό Χριστού πορευθέντες μνήμα διδάχθητε, ότι νενέκρωται, καί εγήγερται πάλιν, η σάρξ τού ζωοδότου, εις πίστωσιν εσχάτης, Αναστάσεως, ήν ελπίζομεν.

### Τριαδικόν

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ου Θεοτήτων Τριάδα, αλλ' υποστάσεων, ουδέ Μονάδα προσώπων, αλλά θεότητος, σέβοντες, τέμνομεν, τούς ταύτην διαιρούντας, συγχέομεν δέ πάλιν, τούς σύγχυσιν τολμώντας, κατά ταύτης, ήν μεγαλύνομεν.

## Κανών Σταυροαναστάσιμος

### Ο Ειρμός

Μήτηρ Θεού καί Παρθένος τε κούσα, καί παρθενεύουσα πάλιν, ουχί φύσεως έργον, αλλά Θεού συγκαταβάσεως, όθεν ως μόνην τών θείων θαυμάτων, καταξιωθείσάν σε αεί μεγαλύνομεν.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Φώς εκ φωτός, Πατρικής απαύγασμα δόξης, αχρόνως εκλάμψαν, ως εν σκότει τώ βίω, τώ ανθρωπίνω Χριστός έλαμψε, καί τό διώκον απήλασε σκότος, όν ακαταπαύστως οι πιστοί μεγαλύνομεν.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Πάθη σαρκός, καί ισχύν θεότητος, εν Χριστώ καθορώντες, οι φρονούντες τήν μίαν, σύνθετον φύσιν αισχυνέσθωσαν, ο γάρ αυτός ως μέν άνθρωπος θνήσκει, ως δέ τού παντός Δημιουργός εξανίσταται.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Πλήν σου Θεόν, ου γινώσκω έτερον, η Εκκλησία βοά σοι, εξ εθνών με απίστων, οικείαν νύμφην εκλεξάμενον, δίδου ούν Λόγε πιστοίς σωτηρίαν, σέ τής κυησάσης πρεσβείαις, ως εύσπλαγχνος.

Κανών τής Θεοτόκου

Ειρμός ο αυτός

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Χαράς ημίν αιωνίου πρόξενος, καί ευφροσύνης εδείχθης, αειπάρθενε Κόρη, τόν Λυτρωτήν κυοφορήσασα, τόν αληθεία καί Πνεύματι θείω, τούς αυτόν τιμώντας, ως Θεόν εκλυτρούμενον.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ψάλλων Δαυϊδ σός προπάτωρ Πάναγνε, σέ κιβωτόν ονομάζει, αγιάσματος θείου, υπερφυώς Θεόν χωρήσασαν, τόν εν πατρώοις καθήμενον κόλποις, όν ακαταπαύστως οι πιστοί μεγαλύνομεν.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ως αληθώς υπερτέρα πέφυκας, πάσης τής κτίσεως Κόρη, τόν γάρ κτίστην τών όλων, σωματικώς ημίν εγέννησας, όθεν ως Μήτηρ τού μόνου Δεσπότου, φέρεις κατά πάντων αρχικώς τό εκνίκημα.

Αίνοι  Ήχος βαρύς

1. Τού ποιήσαι εν αυτοίς κρίμα έγγραπτον. Δόξα αύτη έσται πάσι τοίς οσίοις αυτού.
-- Ανέστη Χριστός εκ νεκρών, λύσας θανάτου τά δεσμά, ευαγγελίζου γή χαράν μεγάλην, αινείτε ουρανοί Θεού τήν δόξαν.
2. Αινείτε τόν Θεόν εν τοίς Αγίοις αυτού, αινείτε αυτόν εν στερεώματι τής δυνάμεως αυτού.
-- Ανάστασιν Χριστού θεασάμενοι, προσκυνήσωμεν άγιον Κύριον, Ιησούν τόν μόνον αναμάρτητον.
3. Αινείτε αυτόν επί ταίς δυναστείαις αυτού, αινείτε αυτόν κατά τό πλήθος τής μεγαλωσύνης αυτού.
-- Χριστού τήν Ανάστασιν, προσκυνούντες ου παυόμεθα, αυτός γάρ ημάς έσωσεν, εκ τών ανομιών ημών, άγιος Κύριος Ιησούς, ο δείξας τήν Ανάστασιν.
4. Αινείτε αυτόν εν ήχω, σάλπιγγος, αινείτε αυτόν εν ψαλτηρίω καί κιθάρα.
-- Τί ανταποδώσωμεν τώ Κυρίω, περί πάντων ών ανταπέδωκεν ημίν, δι' ημάς Θεός εν ανθρώποις, διά τήν καταφθαρείσαν φύσιν, ο Λόγος σάρξ εγένετο, καί εσκήνωσεν εν ημίν, πρός τούς αχαρίστους ο Ευεργέτης, πρός τούς αιχμαλώτους ο Ελευθερωτής, πρός τούς εν σκότει καθημένους, ο Ήλιος τής δικαιοσύνης επί τόν Σταυρόν ο απαθής, επί τόν Άδην τό φώς, επί τόν θάνατον η ζωή , η Ανάστασις διά τούς πεσόντας, πρός όν βοήσωμεν, ο Θεός ημών δόξα σοι.
5. Αινείτε αυτόν εν τυμπάνω καί χορώ, αινείτε αυτόν εν χορδαίς καί οργάνω ,
-- Πύλας Άδου συνέτριψας Κύριε, καί θανάτου τό κράτος κατήργησας, τή κραταιά δυνάμει σου, καί συνήγειρας νεκρούς, τους απ' αιώνος εν σκότει καθεύδοντας, τή θεία καί ενδόξω Αναστάσει σου, ως Βασιλεύς τού παντός, καί Θεός παντοδύναμος.
6. Αινείτε αυτόν εν κυμβάλοις ευήχοις, αινείτε αυτόν εν κυμβάλοις αλαλαγμού. Πάσα πνοή

αινεσάτω τόν Κύριον.
-- Δεύτε αγαλλιασώμεθα τώ Κυρίω, καί ευφρανθώμεν εν τή Αναστάσει αυτού ότι συνήγειρε νεκρούς, εκ τών τού Άδου αλύτων δεσμών, καί εδωρήσατο τώ κόσμω ως Θεός, ζωήν αιώνιον, καί τό μέγα έλεος.
7. Ανάστηθι, Κύριε, ο Θεός μου, υψωθήτω η χείρ σου, μή επιλάθη τών πενήτων σου εις τέλος.
-- Εξαστράπτων Άγγελος, εν τώ λίθω εκάθητο τού Ζωοδόχου μνήματος, καί Γυναιξί Μυροφόροις ευηγγελίζετο λέγων. Ανέστη ο Κύριος, καθώς προείπεν υμίν, απαγγείλατε τοίς Μαθηταίς αυτού, ότι προάγει υμάς εις τήν Γαλιλαίαν, τώ δέ κόσμω παρέχει, ζωήν αιώνιον, καί τό μέγα έλεος.
8. Εξομολογήσομαί σοι, Κύριε, εν όλη καρδία μου, διηγήσομαι πάντα τά θαυμάσιά σου.
-- Τί απεδοκιμάσατε τόν λίθον τόν ακρογωνιαίον, ώ παράνομοι Ιουδαίοι; ούτός εστιν ο λίθος, όν έθετο ο Θεός εν Σιών, ο εκ πέτρας πηγάσας εν ερήμω τό ύδωρ, καί ημίν αναβλύζων εκ τής πλευράς αυτού αθανασίαν, ούτός εστιν ο λίθος, ο εξ όρους Παρθενικού αποτμηθείς, άνευ θελήματος ανδρός, ο Υιός τού ανθρώπου, ο ερχόμενος επί τών νεφελών τού ουρανού, πρός τόν Παλαιόν τών ημερών, καθώς είπε Δανιήλ, καί αιώνιος αυτού η Βασιλεία.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

### Οι Μακαρισμοί

Μακάριοι οι ελεήμονες, ότι αυτοί ελεηθήσονται.

Ωραίος ήν καί καλός εις βρώσιν, ο εμέ θανατώσας καρπός, Χριστός εστι τό ξύλον τής ζωής, εξ ού φαγών ου θνήσκω, αλλά βοώ σύν τώ Ληστή, Μνήσθητί μου Κύριε, εν τή Βασιλεία σου.

Μακάριοι οι καθαροί τή καρδία ότι αυ τοί τόν Θεόν όψονται.

Εν τώ Σταυρώ υψωθείς οικτίρμον, τού Αδάμ τό χειρόγραφον, τής πάλαι αμαρτίας εξήλειψας, καί έσωσας εκ πλάνης, άπαν τό γένος τών βροτών, όθεν ανυμνούμέν σε, ευεργέτα Κύριε.

Μακάριοι οι ειρηνοποιοί, ότι αυτοί υιοί Θεού κληθήσονται.

Προσήλωσας εν Σταυρώ Οικτίρμον, τάς ημών αμαρτίας Χριστέ, καί τώ σώ θανάτω, τόν θάνατον ενέκρωσας, εγείρας τούς τεθνεώτας εκ νεκρών, όθεν προσκυνούμέν σου, την σεπτήν Ανάστασιν.

Μακάριοι οι δεδιωγμένοι ένεκεν δικαιοσύνης, ότι αυτών εστιν η βασιλεία τών ουρανών.

Εξέχεε τόν ιόν ο όφις, ακοαίς ταίς τής Εύας ποτέ, Χριστός δέ εν τώ ξύλω τού Σταυρού, επήγασε τώ κόσμω, τής ζωής τόν γλυκασμόν, Μνήσθητί μου Κύριε, εν τή Βασιλεία σου.

Μακάριοί εστε όταν ονειδίσωσιν υμάς, καί διώξωσι, καί είπωσι πάν πονηρόν ρήμα καθυμών ψευδόμενοι ένεκεν εμού.

Εν μνήματι ως θνητός ετέθης, η ζωή τών απάντων Χριστέ, καί έθλασας τού άδου τούς μοχλούς, καί αναστάς εν δόξη, τριήμερος ως δυνατός, πάντας κατεφώτισας, Δόξα τή εγέρσει σου.

Χαίρετε καί αγαλλιάσθε, ότι ο μισθός υμών πολύς εν τοίς ουρανοίς.

Ο Κύριος αναστάς τριήμερος εκ νεκρών, εδωρήσατο ειρήνην τήν ιδίαν τοίς μαθηταίς, καί τούτους ευλογήσας, εξαπέστειλεν ειπών. Πάντας προσαγάγετε, εις τήν Βασιλείαν μου.

Δόξα...

Φώς ο Πατήρ, φώς ο Υιός καί Λόγος, φώς τό Πνεύμα τό άγιον, αλλ' έν φώς τά τρία, είς γάρ Θεός, εν τρισί μέν προσώποις, μιά δέ φύσει καί αρχή, άτμητος, ασύγχυτος, πέλων προαιώνιος.

Καί νύν... Θεοτοκίον

Εκύησας τόν Υιόν καί Λόγον τού Πατρός, εν σαρκί επί γής, ως οίδε Θεοτόκε ο αυτός, διό Παρθενομήτορ, οι θεωθέντες άζομεν, τών Χριστιανών η ελπίς.

HYPERLINK "" \l "top" top

## Στιχηρά Προσόμοια Δεσποτικά
### Ήχος βαρύς
### Σήμερον γρηγορεί ο Ιούδας

Στίχ. α'. Εάν ανομίας παρατηρήσης, Κύριε, Κύριε τίς υποστήσεται; ότι παρά σοί ο ιλασμός εστιν.

Αρόν σου ώ ψυχή μου τό όμμα, καί Θεού ενατένισον, τή οικονομία, καί τή ευσπλαγχνία, πώς ουρανούς κλίνας, ήλθεν επί γής, ίνα υψώση σε εκ τής ταλαιπωρίας σου, τών παθών, καί στήση σε, εν πέτρα τής πίστεως, βαβαί φρικτού θαύματος! Δόξα τή κενώσει σου Φιλάνθρωπε.

Στίχ. β'. Ένεκεν τού ονόματός σου υπέμεινά σε, Κύριε, υπέμεινεν η ψυχή μου εις τόν λόγον σου, ήλπισεν η ψυχή μου επί τόν Κύριον.

Βλέψον σου τά παράνομα έργα, ώ ψυχή μου, και θαύμασον, πώς σε γή βαστάζει, και σκηπτός ου φλέγει; πώς άγριοι θήρες ουκ εσθιουσί σε; πώς δέ καί ο Ήλιος ο άδυτος, ελλάμπων σοι, αεί ουκ επαύσατο; ανάστα, μετανόησον, βόησον πρός Κύριον. Ήμαρτόν σοι ήμαρτον, ελέησόν με.

Στίχ. γ'. Από φυλακής πρωϊας μέχρι νυκτός, από φυλακής πρωϊας ελπισάτω Ισραήλ επί τόν Κύριον.

Έχοντες επί σοί τάς ελπίδας, παντοδύναμε Κύριε, σέ εκδυσωπούμεν, παντοίων κινδύνων, παθών τε τής ζάλης ημάς εκλυτρούσθαι, όπως τήν ζωήν ημών ειρηνικώς διάγωμεν, καί εν καθαρότητι, βιώσαντες, εύρωμεν, εν ημέρα κρίσεως, ευμενή σε Δεσπότην καί ίλεων.

### Έτερα Στιχηρά τών Ασωμάτων
### Ξύλον ζωής

Στίχ. δ'. Ότι παρά τώ Κυρίω τό έλεος, καί πολλή παρ' αυτώ, λύτρωσις. καί αυτός λυτρώσεται τόν Ισραήλ έκ πασών τών ανομιών αυτού.

Φλόγα πυρός τούς Αγγέλους, Χριστέ απειργάσω, τούτων ημίν τό θερμόν υπεμφαίνων, καί πνεύμα πάλιν τό ταχύ διαγράφων. Παντοδύναμε Κύριε, δόξα σοι.

Στίχ. ε'. Αινείτε τόν Κύριον πάντα τά έθνη, επαινέσατε αυτόν, πάντες οι λαοί.

Σώσον ημάς προστασίαις, Κύριε τών Αγγέλων, πλύνον ημών τών πταισμάτων τόν ρύπον, τής αμαρτίας τάς ουλάς εξαλείφων, ίνα κράζωμεν, Κύριε δόξα σοι.

Στίχ. ς'. Ότι εκραταιώθη τό έλεος αυτού εφ' ημάς, καί η αλήθεια τού Κυρίου μένει εις τόν αιώνα.

Τά Σεραφείμ, Χερουβείμ, Άγγελοι καί Δυνάμεις, θρόνοι, Αρχαί, Κυριότητες πάσαι, σύν Αρχαγγέλοις καί λαμπραίς Εξουσίαις, σοί κραυγάζουσι, Κύριε δόξα σοι.

### Δόξα... Καί νύν... Θεοτοκίον, όμοιον

Σοί τή Μητρί τού Θεού, Χαίρε σύν τώ Αγγέλω αναβοά, γηγενών πάσα φύσις, ως σωτηρίας τής αυτών γενομένη, Θεοτόκε προξένω τώ τόκω σου.

## Απόστιχα Κατανυκτικά

Ως ο άσωτος Υιός, ήλθον καγώ Οικτίρμον, δέξαι με προσπίπτοντα, ως ένα τών μισθίων σου, ο Θεός, καί ελέησόν με.

Στίχ. Α'. Πρός σέ ήρα τούς οφθαλμούς μου, τόν κατοικούντα εν τώ ουρανώ. Ιδού, ως οφθαλμοί δούλων εις χείρας τών κυρίων αυτών, ως οφθαλμοί παιδίσκης εις χείρας τής κυρίας αυτής, ούτως οι οφθαλμοί ημών πρός Κύριον τόν Θεόν ημών, έως ού οικτιρήσαι ημάς.

Ως ο περιπεσών εις τούς ληστάς, καί τετραυματισμένος, ούτω καγώ περιέπεσα, εξ εμών αμαρτιών, καί τετραυματισμένη υπάρχει μου η ψυχή, πρός τίνα καταφύγω ο υπεύθυνος εγώ, ειμή πρός σέ τόν Εύσπλαγχνον, τών ψυχών τόν ιατρόν. Επίχεε επ' εμέ ο Θεός, τό μέγα σου έλεος.

Στίχ. Β'. Ελέησον ημάς, Κύριε, ελέησον ημάς, ότι επί πολύ επλήσθημεν εξουδενώσεως, επί

πλείον επλ ήσθη η ψυχή ημών, τό όνειδος τοίς ευθηνούσι, καί η εξουδένωσις τοίς υπερηφάνοις.

Δόξα σοι Χριστέ ο Θεός, Αποστόλων καύχημα, Μαρτύρων αγαλλίαμα, ών τό κήρυγμα, Τριάς η ομοούσιος.

Δόξα... Καί νύν... Θεοτοκίον

Σήμερον γρηγορεί ο Ιούδας

Τάγματα υπερέβης Αγγέλων, ως Θεόν σωματώσασα, εγώ δέ τούς πάντας νικήσας αμαρτίαις, οίμοι! δέδοικα, καί τρέμω, όθεν ουδαμώς αποτολμώ παρακαλέσαι σε, Θεοτόκε Δέσποινα, σύ ούν μή παρίδης με, αλλά σπεύσον σώσόν με, οδόν εις ευθείαν οδηγούσά με.

Μετά τήν α' Στιχολογίαν

Καθίσματα Κατανυκτικά

Ήχος βαρύς

Έχουσα ψυχή μου, τό ιατρείον τής μετανοίας, πρόσελθε προσπίπτουσα, εν στεναγμοίς κραυγάζουσα, τω ιατρώ ψυχών τε καί σωμάτων. Ελευθέρωσόν με φιλάνθρωπε, εκ τών εμών πλημμελημάτων, συναρίθμησόν με τή Πόρνη, καί τώ Ληστή καί τώ Τελώνη, καί δώρησαί μοι ο Θεός, τών ανομιών μου τήν συγχώρησιν, καί σώσόν με.

Τού Τελώνου τήν μετάνοιαν ουκ εζήλωσα, καί τής Πόρνης τά δάκρυα ου κέκτημαι, απορώ γάρ εκ πωρώσεως, τής τοιαύτης διορθώσεως, αλλά τή σή ευσπλαγχνία, Χριστέ ο Θεός, σώσόν με ως Φιλάνθρωπος.

Δόξα Καί νύν... Θεοτοκίον

Θεοτόκε Παρθένε αμίαντε, τόν Υιόν σου, δυσώπει, σύν ταίς άνω Δυνάμεσι, συγχώρησιν πταισμάτων ημίν, πρό τού τέλους δωρήσασθαι, τοίς πιστώς σε δοξάζουσι.

Μετά τήν β' Στιχολογίαν

Καθίσματα Κατανυκτικά

Ο τού Πέτρου τήν άρνησιν, τοίς δάκρυσι καθαρίσας, καί τού Τελώνου τά πταίσματα, εν στεναγμώ συγχωρήσας, φιλάνθρωπε Κύριε ελέησόν με.

Ετοιμάζου ψυχή, μου εν τή ζωή σου, πρός τήν μέλλουσαν ζωήν μή ταραχθήναι, εκεί γάρ ουδείς ο βοηθών, ου πλούτος, ου δύναμις, ου φίλοι ουκ άρχοντες, αλλ' η τών έργων επίδειξις, καί η τού Θεού φιλανθρωπία.

Δόξα... Καί νύν... Θεοτοκίον

Τιμιωτέρα τών ενδόξων Χερουβείμ υπάρχεις, Παναγία Παρθένε, εκείνα γάρ τήν θείαν, μή φέροντα έλλαμψιν, πτέρυξι κεκαλυμμένω προσώπω, τήν λειτουργίαν επιτελούσιν, αυτή δέ σεσαρκωμένον τόν Λόγον, αυτόπτως ορώσα φέρεις, όν απαύστως ικέτευε, υπέρ τών ψυχών ημών.

Μετά τήν γ' Στιχολογίαν

Καθίσματα Κατανυκτικά

Ο τού Πέτρου προσδεξάμενος τά δάκρυα, καί Τελώνην στενάξαντα εκ βαθέων δικαιώσας, καμέ εν μετανοία προσπίπτοντα, οικτείρησον Σωτήρ, καί σώσόν με.

Μαρτυρικόν

Άγιοι πρεσβεύσατε, άφεσιν δωρηθήναι ημίν, τών πλημμελημάτων ημών, καί τών προσδοκωμένων δεινών ρυσθήναι ημάς, καί πικρού θανάτου δεόμεθα.

Δόξα... Καί νύν... Θεοτοκίον

Υπερέβης τάς Δυνάμεις τών ουρανών, ότι ναός εδείχθης θεϊκός, ευλογημένη Θεοτόκε, ως τεκούσα Χριστόν, τόν Σωτήρα τών ψυχών ημών.

Κανών Κατανυκτικός

Ποίημα Ιωσήφ

Ωδή α'  Ήχος βαρύς

Ο Ειρμός

Τώ συνεργήσαντι Θεώ, Μωϋσή εν Αιγύπτω, εξαγαγείν τόν Ισραήλ, αυτώ μόνω άσωμεν, ότι δεδόξασται.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Εν τώ πελάγει τών δεινών, εμπεσών εκβοώ σοι, Χείρά μοι έκτεινον, Οικτίρμον καί σώσόν με, ως τόν Πέτρον φιλάνθρωπε.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Μετανοούντά με Χριστέ, ως τήν Πόρνην, πταισμάτων πολλών απόπλυνον, ροπή τού ελέους σου, ίνα πίστει δοξάζω σε.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ο τούς Αγίους σου Χριστέ, τή χωνεία λαμπρύνας, πολυειδών αικισμών, αυτών παρακλήσεσι, σκοτασμού παθών ρύσαί με.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Υπομονή τών αικισμών, καθαρθέντες ηλίου, πλέον εξέλαμψαν, οι άγιοι Μάρτυρες, καί τήν πλάνην ημαύρωσαν.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Η προστασία τών πιστών, η τών αμαρτανόντων, επιστροφή πρός Θεόν, Παρθένε πανάμωμε, τή πρεσβεία σου σώσόν με.

Κανών τών Ασωμάτων, ού η Ακροστιχίς
Ασωμάτοις έπαινον έβδομον φέρω
Ποίημα Θεοφάνους

Ο Ειρμός

Τώ εκτινάξαντι Θεώ, τόν Φαραώ εν θαλάσση Ερυθρά, επινίκιον ωδήν άσωμεν, ότι δεδόξασται.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Απειροδύναμε Χριστέ, τώ σώ φωτί καταυγάσας μου τόν νούν, τούς Αγγέλους σου υμνείν έμπνευσον, ότι δεδόξασαι.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Σταθηράν έχοντες αυγήν, θεαρχικής προϊούσαν εκ πηγής, επουράνιοι Χοροί, άσμασι Χριστόν γεραίρουσιν.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ωραιωθείσάν σε Αγνή, ταίς θεϊκαίς αγλαΐαις οι πιστοί, επιστάμενοι σαφώς, Χαίρέ σοι πάντες κραυγάζομεν.

Ωδή γ'

Ο Ειρμός

Ο στερεώσας τώ λόγω σου τήν οικουμένην, ήτις ου σαλευθήσεται, στερέωσον καί ημών τήν διάνοιαν, εις τόν φόβον σου Κύριε.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Νυκτί ατόπων κατεσχέθην αμαρτημάτων, φωτί μετανοίας με νύν καταύγασον, Φωτοδότα

φιλάνθρωπε, ίνα πίστει δοξάζω σε.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Αι τρίβοι πάσαι, άς διώδευσα εν τώ βίω, εν βαράθροις ηδονών με κατεκρήμνισαν, Ιησού μετανοίας μοι, θείας τρίβους υπόδειξον.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Γενναιοφρόνως διανύσαντες τόν αγώνα, επάθλων ουρανίων ηξιώθητε, παναοίδιμοι μάρτυρες, υπέρ πάντων πρεσβεύοντες.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Μυρίους πόνους υπομείναντες αθλοφόροι, μυρίων αγαθών ηξιώθητε, μυριάσιν ενούμενοι, ασωμάτων Δυνάμεων.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Μόνη τεκούσα τόν ουράνιον Βασιλέα, Παρθένε εν εμοί τήν βασιλεύουσαν, αμαρτίαν κατάβαλε, καί οικτείρασα σώσόν με.

Κανών τών Ασωμάτων

Ο Ειρμός

Εστερεώθη τή πίστει, Χριστού η Εκκλησία, καί γάρ απαύστως εν ύμνοις, βοά μελωδούσα, Άγιος εί Κύριε, καί σέ υμνεί τό πνεύμά μου.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Μεσίται θείας χρηματίζοντες εκφαντορίας, χοροί Αγγέλων αϋλως, κραυγάζετε πάντες, Άγιος εί Κύριε, ο μόνος παντοδύναμος.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Αγάπης νόμω τάς θείας, Αρχάγγελοι εμφάσεις, διαδιδόντες ευρύθμως, Χριστώ μελωδείτε, Άγιος εί Κύριε, ο μόνος παντοδύναμος.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Τής πρώτης αίγλης, δευτέρας λαμπρότητος ζηλούντες, οι ευσεβούντες συμφώνως, Χριστώ μελωδούσιν, Άγιος εί Κύριε, ο σώζων τάς ψυχάς ημών.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ο εκ μή όντων τά πάντα, παραγαγών βουλήσει, εκ σού Παρθένε τήν σάρκα, δανείζεται Λόγος, άνθρωπος γενόμενος, δι' οίκτον ο φιλάνθρωπος.

Ωδή δ'

Ο Ειρμός

Εκάλυψεν ουρανούς Χριστέ ο Θεός, εν τή σή οικονομία, η αρετή τής αφράστου, σοφίας σου Φιλανθρωπε.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ο θέλων πάντας Οικτίρμον σώζεσθαι, σώσόν με τόν παραβάντα, σού τά προστάγματα Λόγε, καί μή εξουδενώσης με.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Υπέκυψα τοίς αλόγοις πάθεσι, καί τοίς κτήνεσιν ο τάλας, εξωμοιώθην, Οικτίρμον, Λόγε Θεού οίκτειρον.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Στρεβλούμενοι καί πυρί καιόμενοι, κατεφλέξατε τήν πλάνην, αναπτόμενοι τώ ζήλω τής ευσεβείας μάρτυρες.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Παράδεισος νοητός εδείχθητε, μέσον έχοντες τό ξύλον, τό τής ζωής μακάριοι, Χριστόν τόν φυτουργόν τού παντός.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Παρθένε αγνή θεοχαρίτωτε, χαριτώσασα τόν νούν μου, τού σκοτασμού τής αγνοίας, τελείως ελευθέρωσον.

Κανών τών Ασωμάτων

Ο Ειρμός

Ακήκοα τήν ακοήν σου Κύριε, ότι ώφθης επί γής, διά τό σώσαι ημάς, Διό βοώ σοι, Δόξα τή δυνάμει σου Κύριε.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Ιάσασθε τά τής ψυχής μου τραύματα, παριστάμενοι Χριστώ ως λειτουργοί εκλεκτοί, χοροί Αγγέλων, τούτον ικετεύοντες.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Στρατεύματα τών Ασωμάτων Κύριε, τόν σόν θρόνον ευλαβώς, περικυκλούντα τρανώς, αεί βοώσι, Δόξα τή δυνάμει σου Κύριε.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Εξέστησαν τά τών Αγγέλων τάγματα, καθορώντά σε Χριστέ, μετά σαρκός επί γής, θνητοίς ανθρώποις αναστρεφόμενον.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Πανύμνητε καί Θεομήτορ άχραντε, η τεκούσα τόν Θεόν, ανερμηνεύτως σαρκί, σέ δυσωπούμεν, πρέσβευε σωθήναι ημάς.

Ωδή ε'

Ο Ειρμός

Οι ορθρίζοντες Λόγε, εις δόξαν σήν καί αίνον, ανυμνούμεν απαύστως, τόν τύπον τού Σταυρού σου, όν έδωκας ημίν, όπλον εις βοήθειαν.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ραθυμία τόν βίον, ανήλωσα καί τρέμω, τό αλάθητον βήμα, εν ώ κριθήναι μέλλω, ο άσωτος εγώ, οίκτειρόν με Κύριε.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ο τά όμματα Λόγε, τά τών τυφλών φωτίσας, τής ψυχής μου τάς κόρας, δεινώς αμαυρωθείσας, διάνοιξον οράν, φώς τών προσταγμάτων σου.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Σταθηρά διανοία, Χριστόν ομολογούντες, υπεμείνατε πάσαν, βασάνων αλγηδόνα, γενναίοι αθληταί, όθεν μακαρίζεσθε.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Διαπλεύσαντες πάσαν, βασάνων τρικυμίαν, προσωρμίσθητε όρμω, τής άνω Βασιλείας, γαλήνης αληθούς, μάρτυρες πληρούμενοι.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Διά σού Παναγία, ποιήσας μεγαλεία, ο Θεός υπέρ λόγον, εκ σού εσωματώθη, αυτόν ούν εκτενώς, υπέρ πάντων πρέσβευε.

Κανών τών Ασωμάτων

Ο Ειρμός

Πρός σέ ορθρίζω, τόν τού παντός Δημιουργόν, τήν υπερέχουσαν πάντα νούν ειρήνην, διότι φώς τά προστάγματά σου, εν οίς με καθοδήγησον.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Αγιωτάτοις, καί πολυφθόγγοις στόμασιν άδουσι, τήν υπεράρχιον καί υπέρθεον Αρχήν, Σεραφείμ ταίς αϋλοις, φωτοχυσίαις πυρσευόμενοι.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Ιερωτάταις, όψεις καί πόδας πτέρυξι σκέπονται, θείαν λαμπηδόνα μή τολμώντες καθοράν, Χερουβείμ τής σοφίας, τής υπερθέου καταγώγια.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Νοήσει θεία, καί πανολβίω θρόνοι οι ένδοξοι, ταίς ωραιοτάταις εντρυφώντες αστραπαίς, θεωροί τών αρρήτων, υπερκοσμίως αναδείκνυσθε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ο Νούς ο θείος, τώ ανθρωπίνω Πάναγνε μίγνυται, εν τή παναχράντω καί πανάγνω σου γαστρί, ενωθείς ασυγχύτως, αναλλλοιώτως καθ' υπόστασιν.

Ωδή ς'

Ο Ειρμός

Ο Ιωνάς εκ κοιλίας άδου εβόα. Ανάγαγε εκ φθοράς τήν ζωήν μου, ημείς δέ σοι βοώμεν. Παντοδύναμε Σωτήρ, ελέησον ημάς.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Εκύκλωσεν άβυσσός με πταισμάτων, κατέδυσεν εις βυθόν αμαρτίας, ανάγαγε με Λόγε, ως ποτέ τόν Ιωνάν, εκ φθοράς πρός ζωήν.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Χειμάζει με λογισμών τρικυμία, πρός όρμον με αληθούς μετανοίας, κυβέρνησον Οικτίρμον, εν γαλήνη συντηρών, τήν καρδίαν μου.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Οι άγιοι, θυρεώ αληθείας, σκεπόμενοι, τάς ψευδείς τών τυράννων, εξέκλιναν θωπείας, καί θανόντες σύν Χριστώ βασιλεύουσιν.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Υψούμενοι, πρός Θεόν εν αγάπη, εμίσησαν τήν τού κόσμου φιλίαν, οι μάρτυρες καί φίλοι, τού τών όλων ποιητού εχρημάτισαν.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Υμνούμέν σε, υπερύμνητε Κόρη, κυήσασαν υπερύμνητον Λόγον, όν πάσαι αι Δυνάμεις, ανυμνούσιν ουρανών, ασιγήτοις φωναίς.

Κανών τών Ασωμάτων

Ειρμός ο αυτός

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Νεανικώς, αγλαϊαις τής Κυριαρχίας, αστράπτουσαι, καί τήν άρρητον δόξαν, τήν ταύτης ανυμνούσαι, Κυριότητες αεί διαδείκνυνται.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Ερωτικώς, δυναστείας τής υπερδυνάμου, τήν δύναμιν, κατοπτεύουσαι θείαι, δυνάμεις, εν ισχύϊ, διαμένουσι σαφώς δυναμούμεναι.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Βασιλικής, εκ φυλής προαχθείσα Παρθένε, γεγέννηκας υπέρ φύσιν καί λόγον, τόν πάντων Βασιλέα, καί παρθένος αληθώς διετέλεσας.

Ωδή ζ'

Ο Ειρμός

Κάμινον καιομένην, εδρόσισας Σωτήρ, Παίδας δέ διέσωσας, υμνούντας καί λέγοντας. Ευλογητός εί εις τούς αιώνας Κύριε, ο Θεός τών Πατέρων ημών.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Θύσον ψυχή θυσίαν, αινέσεως Θεώ, σπεύσον μετανόησον, εν όσω η πανήγυρις, τού βίου εστί, νύν εμπορεύου, τών καλών τήν επίδοσιν.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Εγγίζει τού θανάτου, ψυχή η εκτομή, καρπούς αξίους ποίησον, όπως μή ώσπερ άκαρπον, εκβληθήση δένδρον, εις πύρ γεέννης, καί θρηνήσης ανόνητα.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Οι άγιοι τήν κάμινον, τής πλάνης τών αιμάτων, τοίς όμβροις κατασβέσαντες, εβόων ως οι Παίδες. Ευλογητός εί, εις τούς αιώνας Κύριε, ο Θεός τών Πατέρων ημών.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Υιοί φωτός γεγόνατε, φωτί τώ ακροτάτω, ανακραθέντες μάρτυρες, καί πάντας τούς εν σκότει, φωταγωγείτε, καί τής απάτης τήν αχλύν εκδιώκετε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Βάτος σε προεικόνιζεν, Αγνή, μή φλεγομένη, τό πύρ γάρ απεκύησας, τό άστεκτον Παρθένε, διό βοώ σοι. Κατάφλεξόν μου, τά υλώδη παθήματα.

Κανών τών Ασωμάτων

Ειρμός ο αυτός

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Δοξολογούσιν ακλινώς, τόν σόν θρόνον περιεστώσαι, παντοδύναμε Κύριε, αί ένδοξοι καί λαμπρόταται Εξουσίαι. Ευλογητός εί κράζουσαι, ο Θεός τών Πατέρων ημών.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Ολικωτάταις σε Αρχαί, προθυμίαις, περί τήν μίαν αρχήν αϋλως στρεφόμεναι, εν ακαταπαύστοις, δοξολογίαις. Ευλογητός εί κράζουσιν, ο Θεός τών Πατέρων ημών.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Μίαν υπόστασιν δυσίν, εν ουσίαις Θεογεννήτορ, Χριστόν τόν μόνον φιλάνθρωπον, τήν φρικτήν εκτελούντα οικονομίαν, άνευ σποράς γεγέννηκας, τόν Θεόν τών Πατέρων ημών.

Ωδή η'

Ο Ειρμός

Τούς εν καμίνω Παίδας μιμούμενοι, οι τού Πνεύματος τήν δρόσον δεξάμενοι, εν πίστει κραυγάζομεν. Ευλογείτε τά έργα, Κυρίου τόν Κύριον.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Λόγον ως λύχνον φαίνοντα είληφα, αλλ' ως άνους τοίς αλόγοις υπέκυψα, ο άθλιος πάθεσι, καί εν σκότει, κακίας πορεύομαι πάντοτε.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ο Κύριος εγγύς ως πιστεύομεν, μερίμνησον ψυχή μου καί μή κάθευδε, αγρύπνησον βόησον εγρηγόρως, Οικτίρμον φιλάνθρωπε σώσόν με.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Γευσάμενοι ενθέου γλυκύτητος, πικρίαν τών αλγεινών υπεμείνατε, καί νύν ενηδύνεσθε, θειοτάταις τού Λόγου μεθέξεσι Μάρτυρες.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Εισήλθετε πρός θείαν κατάπαυσιν, ετύχετε καλών ών ηλπίζετε, πανεύφημοι Μάρτυρες, διά τούτο αξίως υμάς μακαρίζομεν.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ελύθη τής κατάρας τώ τόκω σου, Παρθένε τό ανθρώπινον φύραμα, τόν γάρ Παντευλόγητον, ευλογίαις τά πάντα κοσμούντα, εκύησας.

Κανών τών Ασωμάτων

Ο Ειρμός

Τόν μόνον άναρχον, Βασιλέα τής δόξης, όν ευλογούσιν ουρανών αι Δυνάμεις, καί φρίττουσι τών Αγγέλων αι τάξεις, υμνείτε Ιερείς, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Οι πάσαν έφεσιν, πρός, Θεόν μεταθέντες, καί ταίς εκείθεν εντρυφώντες ακτίσιν, Αρχάγγελοι, τοίς υμάς ανυμνούσιν, αιτείσθε εκτενώς, συγχώρησιν πταισμάτων, δοθήναι εις αιώνας.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Νόες υπάρχοντες, καθαρώτατοι πάσης, απηλλαγμένοι υλικής προσπαθείας, ώ Άγγελοι, διασώσατε πάντας, τούς πόθω σύν υμίν, Χριστόν υπερυψούντας, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φώς τό απρόσιτον, Θεοτόκε Παρθένε, εν τή γαστρί σου δεξαμένη αφράστως, εφώτισας τούς εν σκότει τού βίου, δοξάζειν ευσεβώς, Χριστόν τόν προελθόντα, εκ σού ανερμηνεύτως.

Ωδή θ

Ο Ειρμός

Τήν υπέρ φύσιν Μητέρα, καί κατά φύσιν Παρθένον, τήν μόνην εν γυναιξίν Ευλογημένην, άσμασι μυστικοίς, οι πιστοί μεγαλύνομεν.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ιδού η κρίσις εγγίζει, καί κατακρίσεως έργα, κτησάμενος, εμαυτόν, απογινώσκω, Δικαιοκρίτα Χριστέ ο Θεός, μή κατακρίνης με.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ως η πιστή Χαναναία, Ελέησόν με, βοώ σοι, ως τήν συγκύπτουσαν πρίν ανόρθωσόν με, τού βηματίζειν ορθώς, πρός τάς τρίβους σου φιλάνθρωπε.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Συναπεκδύσασθε πάσαν τώ ιματίω κακίαν, καί επενδύσει σφοδρών μαστίγων, δόξης καταστολήν, εαυτοίς Αθληταί προεξενήσατε.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Η θεία χώρα τών ζώντων, Σιών η άνω τε πόλις, τών πρωτοτόκων, υμάς λελαμπρυσμένους, ταίς καλλοναίς Αθληταί, τών αγώνων υπεδέξατο.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φωτιστικαίς φρυκτωρίαις, τού ανατείλαντος Λόγου, εκ σου Παρθένε αγνή καταύγασόν με, αμαρτιών καί παθών, εν τώ σκότει καλυπτόμενον.

Κανών τών Ασωμάτων

Ο Ειρμός

Πανύμνητε, τών ουρανών υψηλοτέρα, η τόν άναρχον Λόγον ασπόρως συλλαβούσα, καί σεσαρκωμενον Θεόν, τεκούσα τοίς ανθρώποις, ωδαίς πάντες σε πιστοί μεγαλύνομεν.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Ελλάμψεσι, θεαρχικής φωτοχυσίας, ενηδόμεναι πάσαι, χορείαι τών Αγγέλων, τόν δεδοξασμένον Θεόν, απαύστως ανυμνούσι, καί δοξάζουσιν αεί μεγαλύνοντες.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Ρυσθήναί με, τής τών παθών επικρατείας, ώ Χερουβείμ, Σεραφείμ, Δυνάμεις, Εξουσίαι, Άγγελοι, Αρχάγγελοι, Αρχαί, θρόνοι τε ομού, καί Κυριότητες Χριστόν ικετεύσατε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ως Μήτηρ νύν, πρός τόν Υιόν σου Θεοτόκε, παρρησία χρωμένη, τούς πόθω σε υμνούντας, ρύσαι εκ πταισμάτων, καί νόσων καί κινδύνων, ίνα πάντες σε αεί μεγαλύνωμεν.

Απόστιχα τών Αίνων Κατανυκτικά

Ως τήν συκήν τήν άκαρπον, μή εκκόψης με Σωτήρ τόν αμαρτωλόν, αλλ' επί πολλώ τώ έτει, συγχώρησίν μοι δώρησαι, αρδεύων μου τήν ψυχήν, τοίς δάκρυσι τής μετανοίας, ίνα καγώ καρπόν προσενέγκω σοι ελεημοσύνης.

Στίχ. α'. Ενεπλήσθημεν τό πρωϊ τού ελέους σου, Κύριε, καί ηγαλλιασάμεθα καί ηυφράνθημεν έν πάσαις ταίς ημέραις ημών. Ευφρανθείημεν, ανθών ημερών εταπείνωσας ημάς, ετών, ών είδομεν κακά, καί ίδε επί τούς δούλους σου καί επί τά έργα σου, καί οδήγησον τούς υιούς αυτών.

Ως Ήλιος υπάρχων δικαιοσύνης, φωταγώγησον τάς καρδίας τών σοί βοώντων, Κύριε δόξα σοι.

Μαρτυρικόν

Στίχ. β'. Καί έστω η λαμπρότης Κυρίου τού Θεού ημών εφ' ημάς, καί τά έργα τών χειρών ημών κατεύθυνον εφ' ημάς, καί τό έργον τών χειρών ημών κατεύθυνον.

Τήν μνήμην τών αγίων σου, αθλοφόρων εορτάζοντες, σέ ανυμνούμεν, Κύριε δόξα σοι.

Δόξα... Καί νύν... Θεοτοκίον

Τό Χαίρέ σοι προσάγομεν Θεοτόκε, τών Αγγέλων γάρ ανωτέρα εδείχθης, Θεόν κυήσασα.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

### Οι Μακαρισμοί

Μακάριοι οι ειρηνοποιοί, ότι αυτοί υιοί Θεού κληθήσονται.

Ωραίος ήν καί καλός εις βρώσιν, ο εμέ θανατώσας καρπός, Χριστός εστι τό ξύλον τής ζωής, εξ ού φαγών ου θνήσκω, αλλά βοώ σύν τώ Ληστή. Μνήσθητί μου Κύριε, εν τή Βασιλεία σου.

Μακάριοι οι δεδιωγμένοι ένεκεν δικαιοσύνης, ότι αυτών εστιν η βασιλεία τών ουρανών.

Ως η πιστή Χαναναία κράζω, εν οδύνη τής καρδίας μου. Ελέησόν με Σωτήρ, ως αγαθός, καί γάρ ψυχήν απάσαις, ταίς μεθοδείαις τού εχθρού, έχω κινδυνεύουσαν, καί χειμαζομένην δεινοίς.

Μακάριοί εστε όταν ονειδίσωσιν υμάς, καί διώξωσι, καί είπωσι πάν πονηρόν ρήμα καθυμών ψευδόμενοι ένεκεν εμού.

Τά Χερουβείμ, Σεραφείμ καί θρόνοι, Αρχαί καί Δυνάμεις αεί, Αρχάγγελοι, Αγγέλων αι στρατιαί, καί τών Κυριοτήτων, καί σοφών Εξουσιών, δήμοι σε, δοξάζουσιν, ευεργέτα Κύριε.

Μαρτυρικόν

Χαίρετε καί αγαλλιάσθε, ότι ο μισθός υμών πολύς εν τοίς ουρανοίς.

Τάς τού εχθρού, πονηράς επάρσεις, πρός Θεόν ανυψούμενοι, κατέρραξαν τελείως οι αθληταί, καί νικηταί οφθέντες, εν χαρά τούς ουρανούς, νύν περιπολεύουσι, δόξη απαστράπτοντες.

Δόξα...

Τόν άναρχον, προσκυνώ Πατέρα, σύν Υιώ καί τώ Πνεύματι, τήν άκτιστον ουσίαν καί συμφυή, τήν κτίσασαν τά πάντα, εκ τού μή όντως θεουργώς, ήτις καί Τριάς εστι, καί Μονάς γνωρίζεται.

Καί νύν... Θεοτοκίον

Ταίς ηδοναίς μολυνθείς τού βίου, επί σέ τήν αμόλυντον, κατέφυγον Παρθένον, μώμου παντός, καί εγκλημάτων ρύσαι, τήν παμακαρίζω σε, τήν Αειμακάριστον.

HYPERLINK "" \l "top" top

7-3

Στιχηρα Προσόμοια Δεσποτικά

Ήχος βαρύς

Σήμερον γρηγορεί ο Ιούδας

Στίχ. α'. Εάν ανομίας παρατηρήσης, Κύριε, Κύριε τίς υποστήσεται; ότι παρά σοί ο ιλασμός εστιν.

Δέσποτα καί Θεέ πανοικτίρμον, οίς επίστασαι κρίμασι, δός μοι εν καρδία, τόν σόν φόβον έχειν, δός μοι τό φιλείν σε, εξ όλης ψυχής μου, δός μοι τό μυσάττεσθαι, τάς πράξεις τού αλάστορος, καί ποιείν τό θέλημα, τό σόν τό σωτήριον, σύ γάρ εί Θεός ημών, ο ειπών. Αιτείτε καί λαμβάνετε.

Στίχ. β'. Ένεκεν τού ονόματός σου υπέμεινά σε, Κύριε, υπέμεινεν η ψυχή μου εις τόν λόγον σου, ήλπισεν η ψυχή μου επί τόν Κύριον.

Γέγονα τών δαιμόνων μέν γέλως, τών ανθρώπων δέ όνειδος, τών Δικαίων θρήνος, τών Αγγέλων πένθος, μολυσμός αέρος, καί γής καί υδάτων, σώμα γάρ εμίανα, ψυχήν καί νούν εσπίλωσα, παραλόγοις πράξεσι, Θεώ εχθρός πέφυκα, οίμοι! Κύριε, ήμαρτόν σοι, ήμαρτον συγχώρησον.

Στίχ. γ'. Από φυλακής πρωϊας μέχρι νυκτός, από φυλακής πρωϊας ελπισάτω Ισραήλ επί τόν Κύριον.

Δέομαι επ' εμοί τώ ακάρπω, μακροθύμησον Δέσποτα, καί μή με εκκόψης, ως άκαρπον δένδρον, τομή τού θανάτου, εις πύρ αποπέμπων, αλλά καρποφόρον με, ποιήσαι παρακλήθητι, καιρόν μετανοίας μοι, διδούς ως φιλάνθρωπος, όπως απονίψω μου, τάς πολλάς Σωτήρ μου αμαρτίας Χριστέ.

Έτερα τού Προδρόμου

Καταφρονήσαντες

Στίχ. δ'. Ότι παρά τώ Κυρίω τό έλεος, καί πολλή παρ' αυτώ, λύτρωσις. καί αυτός λυτρώσεται τόν Ισραήλ έκ πασών τών ανομιών αυτού.

Νυμφοστολήσας τοίς λόγοις, ιερώς τήν Εκκλησίαν Χριστού, προσηγάγου Σοφέ ως νύμφην, πανάμωμον, καί υπήκοον ταύτην, τώ Δεσπότη παρέστησας, αλλ' ως έχων νύν δυναστείαν, αυτής υπεράσπισον, καί υπέρμαχος φάνηθι, από πάσης κακίας, τού διαβόλου Παμμάκαρ λυτρούμενος.

Στίχ. ε'. Αινείτε τόν Κύριον πάντα τά έθνη, επαινέσατε αυτόν, πάντες οι λαοί.

Φώς νοερόν επιλάμψας, τή ταπεινή ψυχή μου Πρόδρομε, εναποδίωξον αυτής, ομίχλην τήν άπασαν, ηδονών ψυχοφθόρων, καί παθών τών τού σώματος, καί ως έχων νύν δυναστείαν, καμού υπεράσπισον, καί προστάτης μοι φάνηθι, από πάσης ανάγκης, καί περιστάσεως δεινής λυτρούμενος.

Στίχ. ς'. Ότι εκραταιώθη τό έλεος αυτού εφ' ημάς, καί η αλήθεια τού Κυρίου μένει εις τόν αιώνα.

Ώ Προφητών η ακρότης, καί σφραγίς τού νόμου τού τυπικού, ώ τών απάντων γηγενών, μείζων αγιότης, ώ Χριστού παρουσίας, θείος Κήρυξ καί Πρόδρομος, ώ Διδάσκαλε μετανοίας, ώ αγνείας άγαλμα, τούς σούς δούλους περίσωζε, από πάσης ανάγκης, καί περιστάσεως, ημάς λυτρούμενος.

Δόξα... Καί νύν... Θεοτοκίον

Χαίρε Αγνή, τό σεπτόν κειμήλιον παρθενίας. Χαίρε σεμνή, ενδιαίτημα θείον. Χαίρε Παρθένε, τών πιστών σωτηρία. Χαίρε Δέσποινα, Νύμφη ανύμφευτε.

Απόστιχα Κατανυκτικά

Ως ο Άσωτος υιός, ήλθον καγώ Οικτίρμον, δέξαι με προσπίπτοντα, ως ένα τών μισθίων σου, ο Θεός, καί ελέησόν με.

Στίχ. Α'. Πρός σέ ήρα τούς οφθαλμούς μου, τόν κατοικούντα εν τώ ουρανώ. Ιδού, ως οφθαλμοί δούλων εις χείρας τών κυρίων αυτών, ως οφθαλμοί παιδίσκης εις χείρας τής κυρίας αυτής, ούτως οι οφθαλμοί ημών πρός Κύριον τόν Θεόν ημών, έως ού οικτιρήσαι ημάς.

Ως ο περιπεσών εις τούς ληστάς, καί τετραυματισμένος, ούτω καγώ περιέπεσα, εξ εμών αμαρτιών, καί τετραυματισμένη υπάρχει μου η ψυχή, πρός τίνα καταφύγω τού θεραπευθήναι, ει μή πρός Σέ τόν εύσπλαγτών ψυχών τόν ιατρόν. χνον,, Επίχεε επ' εμέ ο Θεός, τό μέγα σου έλεος.

Μαρτυρικόν

Στίχ. Β'. Ελέησον ημάς, Κύριε, ελέησον ημάς, ότι επί πολύ επλήσθημεν εξουδενώσεως, επί πλείον επλ ήσθη η ψυχή ημών, τό όνειδος τοίς ευθηνούσι, καί η εξουδένωσις τοίς υπερηφάνοις.

Άγιοι Μάρτυρες, οι καλώς αθλήσαντες, καί στεφανωθέντες, πρεσβεύσατε πρός Κύριον, ελεηθήναι τάς ψυχάς ημών.

Δόξα... Καί νύν... Θεοτοκίον

Ειρήνευσον πρεσβείαις τής Θεοτόκου, τήν ζωήν ημών, τών βοώντων σοι. Ελεήμον Κύριε δόξα σοι.

Μετά τήν α' Στιχολογίαν

Καθίσματα Κατανυκτικά

Ήχος βαρύς

Έχουσα ψυχή μου, τό ιατρείον τής μετανοίας, πρόσελθε προσπίπτουσα, εν στεναγμοίς κραυγάζουσα, τώ Ιατρώ ψυχών τε καί σωμάτων. Ελευθέρωσόν με φιλάνθρωπε, εκ τών εμών πλημμελημάτων, συναρίθμησόν με τή Πόρνη, καί τώ Ληστή καί τώ Τελώνη, καί δώρησαί μοι ο Θεός, τών ανομιών μου τήν συγχώρησιν, καί σώσόν με.

Τό πέλαγος τού βίου, χειμάζει με Κύριε, τά κύματα τών ανομιών μου, βυθίζουσί με Δέσποτα, αλλ' έκτεινόν σου τήν χείρα, καί σώσόν με, ως τόν Πέτρον φιλάνθρωπε.

Δόξα... Καί νύν... Θεοτοκίον

Προστασία θερμή, καί αντίληψις Χριστιανών, υπάρχεις Θεοτόκε ανύμφευτε, διό σύν τώ Προδρόμω, τόν Υιόν σου δυσώπησον, τού ευρείν ημάς έλεος.

Μετά τήν β' Στιχολογίαν

Καθίσματα Κατανυκτικά

Τού Τελώνου τήν μετάνοιαν ουκ εζήλωσα, καί τής Πόρνης τά δάκρυα ου κέκτημαι, απορώ γάρ εκ πωρώσεως, τής τοιαύτης διορθώσεως, αλλά τή σή ευσπλαγχνία ο Θεός, σώσόν με ως φιλάνθρωπος.

Ο τού Πέτρου τήν άρνησιν, τοίς δάκρυσι καθαρίσας, καί τού Τελώνου τά πταίσματα, τώ στεναγμώ συγχωρήσας, φιλάνθρωπε Κύριε ελέησόν με.

Δόξα... Καί νύν... Θεοτοκίον

Κύριε, ημείς εσμέν λαός σου, καί πρόβατα νομής σου, πλανηθέντας ως ποιμήν, επίστρεψον ημάς, σκορπισθέντας τή φθορά, συνάγαγε ημάς, ελέησον τήν ποίμνην σου Φιλάνθρωπε, σπλαγχνίσθητι επί τόν λαόν σου, πρεσβείαις τής Θεοτόκου, μόνε αναμάρτητε.

Μετά τήν γ' Στιχολογίαν

Καθίσματα Κατανυκτικά

Κύριε, τόν ρύπον τής ψυχής μου, ελέους σου υσσώπω, σπλαγχνισθείς ως αγαθός, απόπλυνον Σωτήρ, καί καθαρίσας μολυσμού, τής ιλύος τών παθών, ελέησόν με Δέσποτα, διάσωσον τό πλάσμα σου, πρεσβείαις τού σού Προδρόμου, μόνε Πολυέλεε.

Μαρτυρικόν

Οι Άγιοί σου Κύριε, επί τής γής αγωνισάμενοι, τόν εχθρόν κατεπάτησαν, καί τών ειδώλων τήν

πλάνην κατήργησαν, διό καί τούς στεφάνους, παρά σού εκομίσαντο, τού φιλανθρώπου Δεσπότου, καί ελεήμονος Θεού, τού παρέχοντος τώ κόσμω, τό μέγα έλεος.

Δόξα... Καί νύν... Θεοτοκίον

Ως έχουσα τό συμπαθές, εις τήν ταπείνωσιν ημών, καί σκέπουσα τούς επί γής, εις απερίστατον λαόν, σπλαγχνίσθητι ευλογημένη Θεοτόκε, επίμεινον πρεσβεύουσα, μή απολώμεθα δεινώς, ικέτευε ως άχραντος, τόν ευδιάλλακτον Θεόν, σωθήναι τάς ψυχάς ημών, Παναγία Παρθένε.

## Κανών Κατανυκτικός. Ποίημα Ιωσήφ

### Ωδή α'  Ήχος βαρύς

Ο Ειρμός

Τώ συντρίψαντι πολέμους, εν βραχίονι αυτού, καί αναβάτας τριστάτας βυθίσαντι, άσωμεν αυτώ, ως λυτρωτή ημών Θεώ, ότι δεδόξασται.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Καθ' εκάστην αμαρτάνω, και ου φρίττω σε Χριστέ, μακροθυμία ζητούντά μου τήν μετάνοιαν, δός μοι λογισμόν επιστροφής ως Αγαθός, καί μή παρίδης με.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Αμαρτίαις αμαρτίας, προστιθέμενος Χριστέ, διαλιμπάνω ουδόλως ο τάλας εγώ, μόνε Αγαθέ καί αναμάρτητε Σωτήρ, οίκτειρον σώσόν με.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Θαρσαλέως οι γενναίοι, επεφώνουν Αθληταί, Ιδού τό στάδιον πλήρες αγώνων, δράμωμεν, κάθηται Χριστός, αγωνοθέτης στεφανών, τούς νικητάς τού εχθρού.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Απεκδύσασθε τό σώμα, πολυτρόποις αικισμοίς, καί αφθαρσίας χιτώνα περιεβάλεσθε, Μάρτυρες σοφοί, καί τού Πατρός τών οικτιρμών, υιοί γεγόνατε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τόν πολλαίς κεκακωμένον, αμαρτίαις τήν ψυχήν, Θεογεννήτορ Παρθένε θεράπευσον, όπως εν φωναίς, ευχαριστίας εκτενώς, αεί δοξάζω σε.

## Κανών τού Προδρόμου, ού η Ακροστιχίς
## Καί τήν δε, Κλεινέ, τήν μελωδίαν δέχου
## Ιωσήφ

Ο Ειρμός

Νεύσει σου πρός γεώδη

Κόσμος τής Εκκλησίας, ωραϊσμένος εδείχθης, μακάριε Πρόδρομε, ήν πάντοτε πρεσβείαις σου, σώζε πάσης καταδίκης, τών αιρετιζόντων, εδραίαν ακλόνητον.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Άμωμον ιερείον, τώ ποιητή προσηνέχθης, τυθείς θείε Πρόδρομε, ώσπερ αρνίον άκακον, όθεν πίστει δυσωπώ σε, πάσης με κακίας, εχθρών απολύτρωσαι.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Ίασαι τών σωμάτων, καί τών ψυχών ημών νόσους, αοίδιμε Πρόδρομε, εκδυσωπών εκάστοτε,

Λόγον τόν πάντων τάς νόσους, καί τάς μαλακίας, ευσπλάγχνως αράμενον.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τέτοκας Παναγία, τόν απερίληπτον Λόγον, σαρκί καθ' υπόστασιν, ημίν προσομιλήσαντα, τούτον πάντοτε δυσώπει, σώσαι τούς πιστώς σε, αεί μακαρίζοντας.

Ωδή γ'

Ο Ειρμός

Ο ουρανούς τώ λόγω στερεώσας, καί τό τής γής θεμέλιον εδράσας, επί υδάτων πολλών, στερέωσόν μου τόν νούν, εις τό θέλημά σου, μόνε Φιλάνθρωπε.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ο παρορών ανθρώπων αμαρτίας, διά πολλήν Χριστέ φιλανθρωπίαν, πάριδε μόνε Σωτήρ, τά πλήθη μου τών κακών, ίνα δοξάζω σε, τόν Υπεράγαθον.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ίνα σαρκός τό θέλημα ποιήσω, τά σά Χριστέ, θελήματα παρείδον, ο ασυνείδητος, καί δέδοικα τής φλογός, τήν τιμωρίαν Λόγε, αφ' ής με λύτρωσαι.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Σωματικοίς προσομιλούντες πόνοις, οι Αθληταί τήν άπονον εσκόπουν, ζωήν καί άνεσιν, ής έτυχον εν χαρά, τών ανθρώπων πόνους αεί κουφίζοντες.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Μαρμαρυγαίς τών άθλων θεοφόροι, πλάνης δεινής ελύσατε τήν νύκτα, καί πρός ανέσπερον φώς, μετέβητε τών ημών, οδυνών τό σκότος αεί εξαίροντες.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Πύλην Θεού προείδεν ο Προφήτης, δι' ής αυτός διήλθε καθώς οίδε, Παρθένε άχραντε, διό σε εκδυσωπώ, μετανοίας πύλας αυτή μοι άνοιξον.

Κανών τού Προδρόμου

Ο Ειρμός

Ο κατ' αρχάς τούς ουρανούς, παντοδυνάμω σου Λόγω, στερεώσας Κύριε Σωτήρ, καί τώ παντουργώ καί θείω Πνεύματι, πάσαν τήν δύναμιν αυτών, εν ασαλεύτω με πέτρα, τής ομολογίας σου στερέωσον.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Ηλιοβόλοις αστραπαίς, πάσαν φωτίζεις τήν κτίσιν, τού Ηλίου γάρ τού νοητού, αστήρ φωτεινός εδείχθης Πρόδρομε, όν εκδυσώπει εκτενώς, παθών τό σκότος διώξαι, εκ τών πανωδύνων καρδιών ημών.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Νόμου καί χάριτος εστώς, εν μέσω θείε Προφήτα, παρεδήλους πάσιν εμφανώς, τήν παύλαν τού μέν, τής δέ τήν έλλαμψιν, γενησομένην καθαρώς, ανακαινίσει τελεία, τών παλαιωθέντων αμαρτήμασι.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Δαιμονικής επιφοράς, εκ τών σκανδάλων τού βίου, από πάσης θλίψεως ημάς, Χριστού Βαπτιστά, βοώμεν, λύτρωσαι, εκδυσωπών τόν Αγαθόν, καί εν ημέρα τής δίκης, τών κολαστηρίων απολύτρωσαι.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ευλογημένη η Θεόν, ανερμηνεύτως τεκούσα, σύν τώ θείω τούτου Βαπτιστή, δυσώπει Αγνή απαύστως Δέσποινα, υπέρ ημών τών συμφοραίς, περιπιπτόντων τού βίου, καί συνεχομένων αμαρτήμασι.

## Ωδή δ

### Ο Ειρμός

Τήν ένσαρκον παρουσιαν σου Χριστέ, πιστούμενος ο Προφήτης, Αββακούμ εκραύγαζε, Δόξα τή δυνάμει σου.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Εξένευσα τής οδού τής πρός ζωήν, φερούσης με, καί εις βόθρον τών κακών κατέπεσον. Σώτερ μή παρίδης με.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Δακρύων μοι οχετούς Λόγε Θεού, κατάπεμψον, ίνα πλύνω, τών πολλών πταισμάτων μου, Δέσποτα τόν βόρβορον.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Αγόμενοι ως αρνία πρός σφαγήν, οι Μάρτυρες, τόν πολέμιον εχθρόν κατέσφαττον, δόξης αξιούμενοι.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Κενούμενοι τών αιμάτων οι κρουνοί, Πανεύφημοι τού χειμάρρου, τής τρυφής, ηυτρέπιζον, πάσι τήν απόλαυσιν.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σεσάρκωται εξ αιμάτων σου αγνών, ο Κύριος, τήν μετάνοιαν, βροτοίς, δωρούμενος, Κόρη μεσιτείαις σου.

## Κανών τού Προδρόμου

### Ο Ειρμός

Ο Πατρικούς κόλπους μή λιπών, καί καταβάς επί τής γής Χριστέ ο Θεός, τό μυστήριον ακήκοα, τής οικονομίας σου, καί εδόξασά σε μόνε Φιλάνθρωπε.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Καταβαλών στίφος δυσμενών, καί αριστεύσας κατ' αυτών λαμπρότατα, εν εμοί τήν βασιλεύουσαν, αμαρτίαν δέομαι, Βαπτιστά ευχαίς σου κατάβαλε.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Λύχνος οφθείς Μάκαρ νοητός, δικαιοσύνης τοίς βροτοίς υπέδειξας, Ιησούν τόν μέγαν Ήλιον, υφ' ού καταυγάζεσθαι, τάς καρδίας πάντων ικέτευε.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Εν ανομίαις συλληφθείς καί γεννηθείς, ζώ αμελώς καί δέδοικα, τά εκείθεν κολαστήρια, εξ ών με εξάρπασον, Βαπτιστά Θεόν ιλεούμενος.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Ικετηρίαν υπέρ ημών, τών σε τιμώντων τώ Θεώ προσάγαγε, όπως πάσης ημάς ρύσηται, δεινής περιστάσεως, καί δαιμόνων βλάβης πανόλβιε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νόμου σκιαί σε πολυειδώς, τήν τεξαμένην τόν Θεόν εδήλωσαν, όν ικέτευε Πανάμωμε, πάσης ανομίας με, καί παθών ρυσθήναι τού σώματος.

Ωδή ε'

Ο Ειρμός

Διασκεδάσας τήν νύκτα τών παθών, λάμψον μοι φώς νοερόν, ο τό αρχέγονον σκότος, τής αβύσσου διώξας, καί τό πρωτόκτιστον φώς, καταλάμψας τώ κόσμω, Δημιουργέ τού παντός.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ρύσαί με Λόγε δικαίας σου οργής, ηνίκα κρίνης τήν γήν, καί τών πολλών μου πταισμάτων, μετανοία καθάρας, ναόν με δείξον τής σής, αγαθότητος μόνε, Δημιουργέ τού παντός.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Υπό τής άγαν αχλύος τών παθών, απετυφλώθην τόν νούν, καί ου γινώσκω τί πράττω, πωρωθείς τήν καρδίαν, επίστρεψόν με Χριστέ, καί μετάνοιάν μοι δίδου, καθαρτικήν μολυσμών.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Στάδιον πλήρες ιδρώτων Αθληταί, δραμόντες νεανικώς, πρός τήν ουράνιον νύσσαν κατηντήσατε, νίκης, βραβεία ζωαρχικής, εκ χειρός δεδεγμένοι, όθεν επαγάλλεσθε νύν.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ισχυροτάταις νευραίς τών ιερών, πόνων υμών Αθληταί, απηγχονίσατε όντως, τόν αρχέκακον όφιν, καί Παραδείσου τρυφής, ηξιώθητε, όθεν, ανευφημούμεν υμάς.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Η τού Ήλίου νεφέλη φωτεινή, λάμψον μοι φώς νοερόν, τής αληθούς μετανοίας, καί απέλασον σκότος, τών πονηρών λογισμών, ίνα πίστει υμνώ σε, ως σωτηρίαν πιστών.

Κανών τού Προδρόμου

Ο Ειρμός

Κύριε ο Θεός μου, εκ νυκτός ορθρίσας σέ ικετεύω, παράσχου μοι άφεσιν, τών παραπτωμάτων μου, καί πρός φώς τών σών προσταγμάτων, τάς οδούς μου εύθυνον δέομαι.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Έφυς φωνή βοώντος, εν ερήμοις Πάνσοφε διανοίαις, Θεού επιγνώσεως, διό ικετεύω σε, τήν ψυχήν μου ερημωθείσαν, πάση παραβάσει καινούργησον.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Τίμιον τού Δεσπότου, σκεύος δεδειγμένος Θεού Προφήτα, ατίμων με πράξεων, πρεσβείαις σου λύτρωσαι, καί τιμής τυχείν αιωνίου, τόν Αγαθοδότην δυσώπησον.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Ήγγισαν ανομίαι, επ' εμέ εισόδω τής ραθυμίας, τρόποις μετανοίας με, μακάριε Πρόδρομε, βελτίωσον, όπως προθύμως, τάς οδούς Κυρίου αφίκωμαι.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νέκρωσον τής σαρκός μου, τό γεώδες φρόνημα Θεοτόκε, ζωήν η κυήσασα, θανάτω τόν θάνατον, πάντελώς θεία δυναστεία, Άχραντε σεμνή αφανίσασαν.

## Ωδή ς'

### Ο Ειρμός

Βυθώ αμαρτημάτων, περιπεσών Αγαθέ, ως Ιωνάς εκ τού κήτους βοώ σοι. Ανάγαγε εκ φθοράς τήν ζωήν μου, καί σώσόν με φιλάνθρωπε.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Νέος άσωτος ώφθην, αισχρώς βιώσας εν γή, καί ηδονών υποκύψας ταίς ορμαίς, επίστρεψόν με Χριστέ ο Θεός μου, καί σώσον ως φιλάνθρωπος.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Στέναξον ώ ψυχή μου, ίνα ρυσθής στεναγμών, δάκρυσον όπως δακρύων απαύστων, μή λάβης πείραν εκεί εν οδύνη, ουδέν εχόντων όφελος.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ώφθητε ώσπερ λίθοι, εν τώ στεφάνω σαφώς, τής τού Χριστού Εκκλησίας πηχθέντες, καί κόσμος ταύτης τερπνός γεγονότες, σεπτοί Μεγαλομάρτυρες.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Τέλους αξιοθέου, αξιωθέντες σοφοί, ατελευτήτους κληρούσθε αμοιβάς, διό τά τέλη ημών εν μετανοία, γενέσθαι ικετεύσατε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Βυθού με ραθυμίας, τών αμετρήτων παθών, η τόν βυθόν ευσπλαγχνίας τεκούσα, ανάγαγε Αγαθή καί δακρύων, πολλών πηγήν μοι δώρησαι.

## Κανών τού Προδρόμου

### Ο Ειρμός

Ο Ιωνάς εκ κοιλίας άδου εβόα. Ανάγαγε εκ φθοράς τήν ζωήν μου, ημείς δέ σοι βοώμεν, Παντοδύναμε Σωτήρ ελέησον ημάς.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Μαρμαρυγαίς αρετών σαφώς εξαστράπτων, καί φωταυγεί μαρτυρίω εκλάμπων, φωτίζεις πάσαν κτίσιν, νοητής Ανατολής Φίλε γνήσιε.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Εβλάστησας γηραλέας Μάκαρ εκ στείρας, διό βοώ αμαρτίαις πολλαίς με, γηράσαντα, ευχαίς σου, μετανοίας καλλοναίς ανακαίνισον.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Λύχνε φωτός ανεσπέρου θείε Προφήτα, τόν λύχνον μου, τής καρδίας σβεσθέντα, επάναψον ευχαίς σου, καί φωτός με κοινωνόν θείου ποίησον.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ως υετός εν γαστρί σου ο Λόγος κατέβη, όν αίτησαι Παναγία Παρθένε, τά ρεύματα ξηράναι, τών αμέτρων μου κακών ικετεύω σε.

## Ωδή ζ

### Ο Ειρμός

Τούς εν καμίνω Παίδας ουκ έφλεξεν, ουδέ παρηνώχλησε τό πύρ, τότε οι Τρείς, ως εξ ενός στόματος, ύμνουν, καί ευλόγουν λέγοντες. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Εις πάθη ατιμίας ενέπεσα, κτήνεσι Σώτερ ομοιωθείς, καί σκοτισθείς, ου θεωρώ τής ανοχής σου, Λόγε τό μακρόθυμον, επιστροφής μοι καιρόν, δίδου καί σώσόν με.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ραθύμως τήν ζωήν μου εξετέλεσα, πράττων ά ουκ έξεστι ποιείν, καί νύν ιδού, άδου λοιπόν πύλαις εγγίζω, μή λαμβάνων αίσθησιν, μή με παρίδης Χριστέ, ο μόνος ών αγαθός.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ποθήσαντες ζωήν τήν αιώνιον, κόσμω ενεκρώθητε σοφοί, καί τόν εχθρόν απονεκρώσαντες τελείως, εις ουρανούς ανίπτασθε, υπέρ ημών Αθληταί, αεί πρεσβεύοντες.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Λυθέντες αναγκών τών τού σώματος, ελύσατε πλάνης τά δεσμά, καί τή τού Χριστού Άγιοι Μάρτυρες, στοργή, ψυχάς συνεδήσατε, τού δεσμευθέντος σαρκί, καί λύσαντος τήν φθοράν.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τόμον καινόν σε Προφήτης έβλεψεν, εν ώ Λόγος γέγραπται Πατρός, όθεν Αγνή εκδυσωπώ, βίβλω με ζώντων γραφήναι ικέτευε, τόν και νουργόν τού παντός, εκδυσωπούσα Ιησούν.

## Κανών τού Προδρόμου

### Ο Ειρμός

Κάμινον Παίδες, πυρίφλεκτον πάλαι, δροσοβολούσαν υπέδειξαν, ενα Θεόν ανυμνούντες καί λέγοντες, ο υπερυψούμενος, τών Πατέρων Θεός καί υπερένδοξος.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Δίδου μοι όμβρους, δακρύων ευχαίς σου, τής ευσπλαγχνίας τήν άβυσσον, ο ποταμού προχοαίς λούσας Πρόδρομε, καί όλον με κάθαρον, μολυσμού σαρκός τε καί πνεύματος.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Ικετηρίαν, προσάγαγε μάκαρ, τώ επί πάντων Θεώ ημών, όπως καμέ ελεήση ως εύσπλαγχνος,

πολλά αμαρτάνοντα, καί ανάνευσιν νύν μή έχοντα.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Άγονε σπεύσον, ψυχή μεταγνώναι, μή ως συκήν σε τήν άκαρπον, η θεία δίκη εκτίλη προθέλυμνον, τώ Δεσπότη βόησον, ο Θεός ιλάσθητι, σώσόν με.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νενεκρωμένην, ψυχήν κεκτημένος, ταίς χαλεπαίς παραβάσεσι, Σέ τήν νεκρώσασαν άδην τώ τόκω σου, ικετεύω Δέσποινα. Μετανοίας τρόποις με ζώωσον.

## Ωδή η'

### Ο Ειρμός

Τόν υπ' Αγγέλων ασιγήτως, εν υψίστοις δοξαζόμενον Θεόν, οι ουρανοί τών ουρανών, γή καί όροι καί βουνοί καί βυθός, καί πάν γένος ανθρώπων, ύμνοις αυτόν ως Κτίστην, καί Λυτρωτήν ευλογείτε.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Υπερβαλλόντως εντρυφήσας, ταίς βλαπτούσαις ηδοναίς φρενοβλαβώς, ο ασυνείδητος εγώ, υπερέβην πάντας αμαρτωλούς, ο έχων ευσπλαγχνίας υπερβολήν, παράσχου μοι, ιλασμόν τών πταισμάτων.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Νύν επί θύραις ο Νυμφίος, τήν λαμπάδα κατακόσμησον ψυχή, ελαίω άρδευσον αυτήν, συμπαθείας καί παντοίων καλών, πρίν άν κλεισθή, η θύρα, σπεύσον Χριστώ συνεισελθείν, εν χαρά ασυγκρίτω.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ου δειλιώντες τάς βασάνους, οι γενναίοι ανεβόων Αθληταί. Ιδού ευπρόσδεκτος καιρός, στώμεν πάντες στερροτάτω νοϊ, κτησώμεθα βραχέσι πόνοις, ζωήν τήν άπονον, καί τρυφήν τήν αγήρω.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Νάμασι θείοις Αθλοφόροι, τού Σωτήρος προσκλυζόμενοι αεί, πάσαν αρδεύετε γήν, εκμιμήσει τών αγωνων υμών, καί καρποφόρον ταύτην, ταίς αρεταίς εργάζεσθε, εν Χριστώ εις αιώνας.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Θεοτόκε ούσα βεβαία, προστασία καί ελπίς Χριστιανών, εν τή ημέρα τή φρικτή, πρόστηθί μοι επταικότι πολλά, καί ρύσαι τής γεέννης τής φοβεράς, προβάτοις με, δεξιοίς αριθμήσασα.

## Κανών τού Προδρόμου

### Ο Ειρμός

Τόν μόνον άναρχον, Βασιλέα τής δόξης, όν ευλογούσιν ουρανών αι Δυνάμεις, καί φρίττουσι τών Αγγέλων αι τάξεις, υμνείτε Ιερείς, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Δεσμών λυθήναί με, τών πολλών μου πταισμάτων, τόν δεσμευθέντα, καί δεσμώταις τήν λύσιν, βραβεύσαντα, ικετεύων Προφήτα, τόν μόνον Λυτρωτήν, μή παύση εις αιώνας, αεί σε ευφημούντα.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Επλήγην Πρόδρομε, ηδονής τή ρομφαία καί εν οδύνη σοι καρδίας κραυγάζω. Ιάτρευσον τής ψυχής μου τό άλγος, Χριστόν εκδυσωπών, τόν μόνον ιατήρα, ψυχών τε καί σωμάτων.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Χειρί σου Πρόδρομε, όν εβάπτισας Λόγον, μή διαλίπης ικετεύειν απαύστως, ρυσθήναί με εκ χειρός αμαρτίας, τόν πταίσαντα πολλά, καί τεταπεινωμένον, καί κατακεκριμένον.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Ότι κατώρυξα, εις τήν γήν αγνωμόνως, τάλαντον, όπερ εκ Θεού επιστεύθην, εκδέχομαι τήν πικράν τιμωρίαν, εξ ής με Βαπτιστά, εξάρπασον ευχαίς σου, πιστώς εκδυσωπώ σε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Υπήρξας άφλεκτος, δεξαμένη εν σπλάγχνοις, τό πύρ τό άστεκτον, ώ Παρθένε, διό με, εξάρπασον τού πυρός τού ασβέστου, δροσίζουσά με νύν, γνησίας μετανοίας, περικαλλέσι τρόποις.

Ωδή θ'

Ο Ειρμός

Ασπόρου τόκου σύλληψιν, τίς ερμηνεύσει βροτών; αφθόρου τόκου γέννησιν, τίς μή θαυμάσει γηγενών, διό σε αι φυλαί τής γής, Θεοτόκε μεγαλύνομεν.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ίνα κληρονομήσωμεν, τά μέλλοντα αγαθά, πενθήσωμεν, στενάξωμεν, παρακαλέσωμεν Χριστόν, εν όσω καιρόν έχομεν πιστοί, μετανοίας καί δεήσεως.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ως Χαναναία κράζω σοι, Ελέησόν με Χριστέ, ως πάλαι τήν συγκύπτουσαν, ανόρθωσόν με Ιησού, καί σώσόν με Σωτήρ μου τόν πολλαίς, αμαρτίαις βυθιζόμενον.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Στενούμενοι εν θλίψεσι, καί φυλακαίς καί ποιναίς, οι Αθλοφόροι Μάρτυρες, πρός πλατυσμόν αναψυχής, μετήλθον εκ στενώσεως ημάς, εγκλημάτων εκλυτρούμενοι.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Η γή μέν κατεκάλυψεν, υμών τά σώματα, ουρανός δέ Άγιοι, φέρει τά πνεύματα αεί, τώ θρόνω παρεστώτα τής δόξης, μετ' Αγγέλων αγαλλόμενα.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φορέσας με ο Κύριος, εκ σού προήλθεν Αγνή, αυτόν ούν εκδυσώπησον, στολή φαιδρύναί με φωτός, Παρθένε καί εκδύσαι τών παθών, νύν τόν σάκκον τόν βαρύτατον.

Κανών τού Προδρόμου

Ο Ειρμός

Μή τής φθοράς διαπείρα κυοφορήσασα, καί παντεχνήμονι Λόγω σάρκα δανείσασα, Μήτερ απείρανδρε, Παρθένε Θεοτόκε, δοχείον τού αστέκτου, χωρίον τού απείρου, Πλαστουργού σου, σέ μεγαλύνομεν.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Ιερωτάτης Προφήτα, ρίζης εβλάστησας, καί τής κακίας τάς ρίζας, πάσας ανέσπασας, καί συμπνιγόμενον, καί κατηχρειωμένον, επίσκεψαί με Μάκαρ, καί θείας μετανοίας, εκβλαστάνειν καρπούς ευόδωσον.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Ωραιοτάτην τρυγόνα, καί αηδόνα σε, η Εκκλησία γνωρίζει, μέγιστε Πρόδρομε, τής μετανοίας γάρ, εβόησας τό μέλος, ψυχαίς ερημωθείσαις, καί κακοίς χερσωθείσαις, όθεν πίστει σε μακαρίζομεν.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Σύ τάς οδούς τάς φερούσας, πάσιν υπέδειξας, πρός σωτηρίους εισόδους, άγιε Πρόδρομε, αίς βηματίζειν με, ευόδωσον τόν πάσαις, τού βίου ανοδίαις πλανώμενον απάτη, τού κακίαν δημιουργήσαντος.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Η φοβερά επί θύραις, ημέρα ήγγικε, καί κατακρίσεως έργα, έχων οδύρομαι, εύσπλαγχνε Κύριε, ο μόνος ελεήμων, ευχαίς τού σού Προδρόμου, καί πάντων τών Αγίων, ακατάκρι τον τότε δείξόν με.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φώς η τεκούσα, τό θείον θεοχαρίτωτε, τήν σκοτισθείσαν ψυχήν μου ταίς παραβάσεσι, φώτισον δέομαι, καί σκότους αιωνίου, ελεύθερόν με, δείξον, όπως Σέ μεγαλύνω, καί δοξάζω αειμακάριστε.

Απόστιχα τών Αίνων Κατανυκτικά

Ως τήν συκήν τήν άκαρπον, μή εκκόψης με Σωτήρ τόν αμαρτωλόν, αλλ' επί πολλώ τώ έτει, κατάνυξίν μοι δώρησαι, αρδεύων μου τήν ψυχήν, τοίς δάκρυσι τής μετανοίας, ίνα καγώ, καρπόν προσενέγκω σοι ελεημοσύνης.

Στίχ. α'. Ενεπλήσθημεν τό πρωϊ τού ελέους σου, Κύριε, καί ηγαλλιασάμεθα καί ηυφράνθημεν έν πάσαις ταίς ημέραις ημών. Ευφρανθείημεν, ανθών ημερών εταπείνωσας ημάς, ετών, ών είδομεν κακά, καί ίδε επί τούς δούλους σου καί επί τά έργα σου, καί οδήγησον τούς υιούς αυτών.

Ως Ήλιος υπάρχων δικαιοσύνης, φωταγώγησον τάς καρδίας, τών σοί βοώντων, Κύριε δόξα σοι.

Μαρτυρικόν

Στίχ. β'. Καί έστω η λαμπρότης Κυρίου τού Θεού ημών εφ' ημάς, καί τά έργα τών χειρών ημών κατεύθυνον εφ' ημάς, καί τό έργον τών χειρών ημών κατεύθυνον.

Εν μέσω τού σταδίου τών παρανόμων, αγαλλόμενοι ανεβόων οι Αθλοφόροι, Κύριε δόξα σοι.

Δόξα... Καί νύν... Θεοτοκίον

Σήμερον γρηγορεί ο Ιούδας

Εύρατο εκ γαστρός στειρευούσης, θεολογείν τόν εν σπλάγχνοις σου, Θεόν Λόγον Κόρη, Φωνή η τού Λόγου εν τοίς ασπασμοίς σου, τήν χάριν ευρούσα, όθεν Θεοτόκον σε, μητρός τή γλώσση έκραζε, δι' αυτής υστέρημα, πληρούσα τής φύσεως, καί οργάνων στέρησιν, δι' ών διαρθρούνται τά νοήματα.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Οι Μακαρισμοί

Μακάριοι οι ειρηνοποιοί, ότι αυτοί υιοί Θεού κληθήσονται.

Ωραίος ήν, καί καλός εις βρώσιν, ο εμέ θανατώσας καρπός, Χριστός εστι τό ξύλον τής ζωής, εξ ού φαγών ου θνήσκω, αλλά βοώ σύν τώ Ληστή. Μνήσθητί μου Κύριε, εν τή Βασιλεία σου.

Μακάριοι οι δεδιωγμένοι ένεκεν δικαιοσύνης, ότι αυτών εστιν η βασιλεία τών ουρανών.

Τά τραύματα, τής εμής καρδίας, τά ανίατα Κύριε, ιάτρευσον ως μόνος ιατρός, ψυχών τε καί σωμάτων, καί βηματίζειν με ορθώς, πάντοτε ευόδωσον, τάς σωτηριώδεις οδούς.

Μακάριοί εστε όταν ονειδίσωσιν υμάς, καί διώξωσι, καί είπωσι πάν πονηρόν ρήμα καθυμών ψευδόμενοι ένεκεν εμού.

Ο προδραμών τής δικαιοσύνης, τού Ηλίου Χριστού Βαπτιστά, τόν λύχνον τής ψυχής μου τόν τη πολλή, κακία εσβεσμένον, άναψον θείαις προσευχαίς, όπως μακαρίζω σε, πάντοτε σωζόμενος.

Μαρτυρικόν

Χαίρετε καί αγαλλιάσθε, ότι ο μισθός υμών πολύς εν τοίς ουρανοίς.

Αθλήσαντες καί στεφανωθέντες, τόν εχθρόν κατησχύνατε, καί νύν περιπολείτε τούς ουρανούς, φωτός αδιαδόχου, αποπληρούμενοι σοφοί, Μάρτυρες πρεσβεύοντες, υπέρ τών ψυχών ημών.

Δόξα...

Ιάτρευσον τής ψυχής μου τά πάθη, τά ανίατα θεία Τριάς, καί ρύσαί με γεέννης καί πειρασμών, η εν μιά θεότητι, δοξαζομένη ευσεβώς, καί τήν αιωνίαν, μοι Βασιλείαν δώρησαι.

Καί νύν... Θεοτοκίον

Εχώρησας αστενοχωρήτως, εν γαστρί τόν αχώρητον, όν πάντοτε δυσώπει Μήτηρ αγνή, στενοχωρίας πάσης, καί παθών εούλους σου, πόθω σε δοξάζοντας.

HYPERLINK "" \l "top" top

7-4

Στιχηρά προσόμοια Σταυρώσιμα

Ήχος βαρύς

Ουκ έτι κωλυόμεθα

Στίχ. α'. Εάν ανομίας παρατηρήσης, Κύριε, Κύριε τίς υποστήσεται; ότι παρά σοί ο ιλασμός εστιν.

Εν ξύλω σε προσήλωσαν Ιουδαίοι, ίνα ξύλω τόν θάνατον αναστείλης, Κύριε δόξα σοι.

Στίχ. β'. Ένεκεν τού ονόματός σου υπέμεινά σε, Κύριε, υπέμεινεν η ψυχή μου εις τόν λόγον σου, ήλπισεν η ψυχή μου επί τόν Κύριον.

Εκών εδέξω ράπισμα Ελεήμον, ίνα ρύση τόν άνθρωπον εκ δουλείας, Κύριε δόξα σοι.

Στίχ. γ'. Από φυλακής πρωϊας μέχρι νυκτός, από φυλακής πρωϊας ελπισάτω Ισραήλ επί τόν Κύριον.

Ξύλω Σταυρού ιάσω πικρίαν ξύλου, καί Παράδεισον ήνοιξας τοίς ανθρώποις, Κύριε δόξα σοι.

Έτερα τής Θεοτόκου, όμοια

Στίχ. δ'. Ότι παρά τώ Κυρίω τό έλεος, καί πολλή παρ' αυτώ, λύτρωσις. καί αυτός λυτρώσεται τόν Ισραήλ έκ πασών τών ανομιών αυτού.

Προσάξωμεν τό, Χαίρε τή Θεοτόκω, ως ο Άγγελος, καί βοήσωμεν. Ευλογημένη, Πάναγνε δόξα σοι.

Στίχ. ε'. Αινείτε τόν Κύριον πάντα τά έθνη, επαινέσατε αυτόν, πάντες οι λαοί.

Ανύμφευτε Παρθένε Μήτηρ Κυρίου, οικέτας σου ελευθέρωσον εκ τών βελών, απάντων τού όφεως.

Στίχ. ς'. Ότι εκραταιώθη τό έλεος αυτού εφ' ημάς, καί η αλήθεια τού Κυρίου μένει εις τόν αιώνα.

Κατέπαυσας τήν λύπην Αγνή τής Εύας, ως κυήσασα τήν χαράν τού κόσμου. Χαίρε Ανύμφευτε.

Δόξα... Καί νύν... Σταυροθεοτοκίον

Εν ξύλω προσπαγέντα σε εκουσίως, η Πανάμωμος ως εώρακε θρηνωδούσα, ύμνει τό κράτος

σου.

Απόστιχα Σταυρώσιμα

Ουκ έτι κωλυόμεθα ξύλου ζωής, τήν ελπίδα έχοντες τού Σταυρού σου, Κύριε δόξα σοι.

Στίχ. Α'. Πρός σέ ήρα τούς οφθαλμούς μου, τόν κατοικούντα εν τώ ουρανώ. Ιδού, ως οφθαλμοί δούλων εις χείρας τών κυρίων αυτών, ως οφθαλμοί παιδίσκης εις χείρας τής κυρίας αυτής, ούτως οι οφθαλμοί ημών πρός Κύριον τόν Θεόν ημών, έως ού οικτιρήσαι ημάς.

Κρεμάμενος Αθάνατε επί ξύλου, εθριάμβευσας τάς παγίδας τού διαβόλου, Κύριε δόξα σοι.

Μαρτυρικόν

Στίχ. Β'. Ελέησον ημάς, Κύριε, ελέησον ημάς, ότι επί πολύ επλήσθημεν εξουδενώσεως, επί πλείον επλ ήσθη η ψυχή ημών, τό όνειδος τοίς ευθηνούσι, καί η εξουδένωσις τοίς υπερηφάνοις.

Καταφρονήσαντες πάντων τών επί γής, άγιοι Μάρτυρες, καί εν σταδίω τόν Χριστόν ανδρείως κηρύξαντες, αμοιβάς τών βασάνων παρ' αυτού εκομίσασθε, αλλ' ως έχοντες παρρησίαν, αυτόν ικετεύσατε, ως Θεόν παντοδύναμον, τάς ψυχάς ημών σώσαι, τών εις υμάς προστρεχόντων δεόμεθα.

Δόξα... Καί νύν... Σταυροθεοτοκίον

Νέκρωσιν καθυπέμεινας Λόγε, επί Σταυρού προσηλούμενος, η Παρθενομήτωρ εβόα θρηνούσα, σύν ηγαπημένω σεπτώ θεολόγω, ών ταίς ικεσίαις, ο παθών υπέρ ημών Χριστέ, καί νεκρώσας θάνατον, τά πάθη μου νέκρωσον, καί ζωής με μέτοχον, τής θείας απέργασαι, καί σώσόν με.

Μετά τήν α' Στιχολογίαν

Καθίσματα Σταυρώσιμα

Ήχος βαρύς

Ο δι' εμέ ανασχόμενος, τής εν Σταυρώ προσηλώσεως, δέξαι μου τήν άγρυπνον αίνεσιν, Χριστέ ο Θεός, ως φιλάνθρωπος.

Ο δεσπόζων τών ασωμάτων Δυνάμεων, καί γινώσκων τής ψυχής μου τό ράθυμον, τώ Σταυρώ σου σώσόν με, Χριστέ ο Θεός, ως φιλάνθρωπος.

Δόξα... Καί νύν... Σταυροθεοτοκίον

Τώ Σταυρώ τού Υιού σου αεί φρουρούμενοι, τάς προσβολάς Παρθένε τών δαιμόνων εκκλίνομεν, διό σε κατά χρέος, ανυμνούντες δοξάζομεν, Θεοτόκε πανύμνητε.

Μετά τήν β' Στιχολογίαν

Καθίσματα Σταυρώσιμα

Πυρός φωτεινότερον, φλογός εναργέστερον, τό ξύλον ανέδειξας Χριστέ, τό τού Σταυρού σου, καταφλέγον αμαρτίας τών νοσούντων, καί φωτίζον τάς καρδίας τών υμνούντων, τήν εκούσιόν σου σταύρωσιν, Χριστέ ο Θεός δόξα σοι.

Η Εκκλησία βοά σοι Χριστέ ο Θεός, εν κέδρω καί πεύκη καί κυπαρίσσω προσκυνούσά σε, νίκας τοίς Βασιλεύσι ημών, διά τής Θεοτόκου δωρούμενος, ελέησον ημάς.

Δόξα... Καί νύν... Θεοτοκίον

Ει καί Μητέρα σε, η κτίσις εγνώρισεν, αλλά παρθένον σε ο Πλάστης ανέδειξεν; έτεκες γάρ εν σαρκί Χριστόν τόν Θεόν, τόν Σωτήρα τών ψυχών ημών.

Μετά τήν γ' Στιχολογίαν

Έτερα Καθίσματα Σταυρώσιμα

Ο δι' ημάς επονείδιστον, καταδεξάμενος σταύρωσιν, δέξαι τούς υμνούντας τά πάθη σου, Χριστέ ο Θεός, καί σώσον ημάς.

Μαρτυρικόν

Αγαλλιάσθε δίκαιοι, ευφραινέσθω τά ουράνια, επί γής γάρ οι Μάρτυρες αγωνισάμενοι, τόν εχθρόν κατεπάτησαν, καί τών ειδώλων τήν πλάνην κατήργησαν, σκιρτάτω η Εκκλησία, τά νικητήρια εορτάζουσα, τώ αθλοθέτη καί μόνω νικοποιώ Χριστώ τώ Θεώ, τώ παρέχοντι τώ κόσμω τό μέγα έλεος.

Δόξα... Καί νύν... Σταυροθεοτοκίον

Τόν σταυρωθέντα υπέρ ημών, Χριστόν τόν Θεόν, καί καθελόντα τού θανάτου τό κράτος, απαύστως Ικέτευε Θεοτόκε Παρθένε, ίνα σώση τάς ψυχάς ημών.

Κανών Σταυρώσιμος, ού η Ακροστιχίς
Σταυρός φυτευθείς, τήν πλάνην ανέσπασεν. Ιωσήφ

Ωδή α'  Ήχος βαρύς
Ο Ειρμός

Νεύσει σου πρός γεώδη, αντιτυπίαν μετήχθη, η πρίν ευδιάχυτος, υδάτων φύσις Κύριε, όθεν αβρόχως πεζεύσας, άδει Ισραήλ σοι, ωδήν επινίκιον.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Σταύρωσιν ο Δεσπότης, ονειδιζόμενος φέρει, βροτών αφαιρούμενος, ονείδη ως φιλάνθρωπος, λόγχη πλευράν εκκεντάται, ταύτη κατασφάττων, εχθρόν τόν πολέμιον.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Τείνας καθάπερ τόξον, τόν σόν Σταυρόν Ελεήμον, βέλεσι κατέτρωσας, τών ήλων τόν αντίπαλον, Σώτερ, καί τούς υπ' εκείνου, πάλαι τετρωμένους, ανθρώπους υγείωσας.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Αίμασι τών Αγίων, τά εναγή τών αιμάτων, επαύθη μιάσματα, ειδώλοις προσφερόμενα, πάσα δέ η γή ηγιάσθη, τούτους εν αινέσει, αεί μακαρίζουσα.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ύμνησαν αι Δυνάμεις, τών ουρανών τούς γηϊνους, ορώσαι εν σώματι, Ασωμάτους παλαίοντας, όθεν ο Αγωνοθέτης, τούτους τοίς στεφάνοις, νικήσαντας έστεψε.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ρήγνυται γραμματείον, τό τού Αδάμ, ανεβόα, η πάναγνος Δέσποινα, λόγχη Υιέ τρωθέντος σου, όθεν υμνώ σου τό πάθος, πάσι τό πηγάσαν, απάθειαν Δέσποτα.

Κανών τής Θεοτόκου, ού η Ακροστιχίς:
Τήν έβδόμην δέησιν, Αγνή, νύν δέχου

Ειρμός ο αυτός

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τάγματα υπερέβης, τών ασωμάτων Αγγέλων, Θεόν σωματώσασα, Παρθένε τόν ασώματον, όθεν Αγνή δυσωπώ σε, πάντα μου τά πάθη, τού σώματος νέκρωσον.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Η Κεχαριτωμένη, ευλογημένη Παρθένε, τόν νούν μου χαρίτωσον, καί τήν ψυχήν μου λάμπρυνον, όπως αεί ευλογώ σε, τήν ταίς ευλογίαις, βροτούς στεφανώσασαν.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νάμασι ζωηρρύτοις, τήν εκτακείσαν ψυχήν μου, Παρθένε τώ καύσωνι, τής αμαρτίας άρδευσον, όπως στάχυν καρποφόρον, θείας εκβλαστήσω, Αγνή κατανύξεως.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Έχων σε μέγα τείχος, καθυπερβήσομαι τείχη, πολλών παραπτώσεων, τειχιζόμενος σκέπη σου, μόνη βροτών σωτηρία, μόνη τού πεσόντος, Αδάμ η ανάκλησις.

### Ωδή γ'
### Ο Ειρμός

Ο κατ' αρχάς τούς ουρανούς, παντοδυνάμω σου Λόγω, στερεώσας Κύριε Σωτήρ, καί τώ παντουργώ καί θείω Πνεύματι, πάσαν τήν δύναμιν αυτών, εν ασαλεύτω με πέτρα, τής ομολογίας σου στερέωσον.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ο διατείνας ουρανόν, καθάπερ δέρριν Οικτίρμον, απετάθης χείρας εν Σταυρώ, χειρός ακρατούς Αδάμ αμάρτημα, ιώμενος ώς συμπαθής, καί εκ χειρός αφαρπάζων, πάντας τού δολίου πολεμήτορος.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Σέ ταίς ακάνθαις Βασιλεύ, λαός Παράνομος στέφει, τόν τή δόξη στέψαντα βροτούς, καί παρακοής Αδάμ τήν άκανθαν, απορριζώσαντα Χριστέ, καί εμφυτεύοντα πάσι, τής Θεογνωσίας τά βλαστήματα.

### Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Φύσει υπάρχοντες θνητοί, αθανασίαν εν ταύτη, μελετήσαι είλεσθε σοφοί, διό τάς ποινάς, τάς θλίψεις Μάρτυρες, τούς διωγμούς τε καί ξεσμούς, τάς τών μελών εκκοπάς τε, άπαντα γηθόμενοι υπέστητε.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Υπερηφάνω λογισμώ, τόν εξαλείφειν τά πάντα, απειλούντα δόλιον εχθρόν, υμείς Αθληταί εταπεινώσατε, ταπεινωθέντες εν Χριστώ, καί ανυψώθητε κράτος, θείον κατ' αυτού αναδυσάμενοι.

### Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τόν εθελόθυτον Αμνόν, επί τό πάθος ελθόντα, καθορώσα Μήτηρ καί Αμνάς, δακρύων πηγάς προχέεις λέγουσα. Τί τούτο Τέκνον ιερόν, πώς θανατούσαι ζωώσαι, πάντας τούς θανέντας προμηθούμενος;

### Κανών τής Θεοτόκου
### Ειρμός ο αυτός

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Βήμα φρικτόν καί φοβερόν, ημαρτηκότα με μένει, εν ώ μέλλω κρίνεσθαι φρικτώς, Παρθένε αγνή η μόνη τέξασα, κριτήν αιώνιον Θεόν, αυτόν ικέτευε τότε, τής δεινής με ρύσασθαι κολάσεως.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Δεδοξασμένα περί σού, καθά φησίν ο Προφήτης, ελαλήθη πόλις τού Θεού, αυτόν ούν αεί ως δόξης Κύριον, αίτησαι μόνη Αγαθή, μετόχους δόξης ποιήσαι, πάντας τούς εν πίστει σε δοξάζοντας.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ο θεηγόρος σε ποτέ, προεθεάσατο τόμον, εν ώ Λόγος γέγραπται Αγνή, δακτύλω Πατρός, διό

ικέτευε, βίβλω γραφήναί με ζωής, τό πονηρόν γραμματείον, τών αμαρτιών μου διαρρήξασα.

Ωδή δ'
Ο Ειρμός
Ο Πατρικούς κόλπους μή λιπών, καί καταβάς επί τής γής Χριστέ ο Θεός, τό μυστήριον ακήκοα, τής οικονομίας σου, καί εδόξασά σε μόνε Φιλάνθρωπε.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Επί τής γής άνθρωπος οφθείς, επουρανίους τούς βροτούς ετέλεσας, υψωθείς εν ξύλω Δέσποτα, πάντας συνανύψωσας, ανυμνούντάς σου τά παθήματα.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Υπέρ θνητών θνήσκεις η Ζωή, υπέρ αδίκων Ιησού μου δίκαιε, πάθος φέρεις επονείδιστον, υμνούμεν Μακρόθυμε, τήν αμέτρητον ευσπλαγχνίαν σου.

Μαρτυρικά
Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Θηρών ορμάς, βράσματα πυρός, χειρών ποδών τε εκκοπάς, καί ξέσεις μελών, καί παντοίαν άλλην βάσανον, υπέστητε Μάρτυρες, προξενούσαν θείαν απόλαυσιν.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Εκ τών τού σώματος Αθληταί, περάτων ήδη πρός Χριστόν, τών πάντων Θεόν, κεκραγότες εισηκούσθητε, καί πέτρα υψώθητε, τής ενθέου νύν τελειώσεως.

Σταυροθεοτοκίον
Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ικετηρίαν υπέρ ημών, τών σέ υμνούντων, Θεοτόκε ποίησον, όπως εύρωμεν βοήθειαν, καιρώ περιστάσεως, οι Χριστού τό πάθος δοξάζοντες.

Κανών τής Θεοτόκου
Ειρμός ο αυτός
Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Μύρον εκ σού εκκενωθέν, άχραντε Αγνή, ο πλαστουργός τής κτίσεως, ευωδίασε τά σύμπαντα, θείαις επιγνώσεσι, τού αυτού ενδόξου θελήματος.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ηλιακαίς θείαις αστραπαίς, ο ανατείλας εκ γαστρός σου Άχραντε, κατεφώτισε τά σύμπαντα, διό με καταύγασον, τόν εσκοτισμένον τοίς πάθεσι.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νόμου σκιαί σε καί Προφητών, θεηγορίαι μυστικώς εδήλωσαν, Νομοδότην τίκτειν μέλλουσαν, διό ανυμνούντά σε, Θεομήτορ Κόρη διόρθωσον.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Διά τών σών Λόγε Προφητών, διά τών θείων καί σεπτών Μαρτύρων σου, καί Οσίων καί Δικαίων σου, καί τής κυησάσης σε, τόν λαόν σου σώσον φιλάνθρωπε.

Ωδή ε'
Ο Ειρμός

Κύριε ο Θεός μου, εκ νυκτός ορθρίσας σέ ικετεύω, παράσχου μοι άφεσιν, τών παραπτωμάτων μου, καί πρός φώς τών σών προσταγμάτων, τάς οδούς μου εύθυνον δέομαι.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Σταύρωσιν κατεδέξω, εις κακών αναίρεσιν Θεού Λόγε, χολής απεγεύσω τε, ενηδόνου βρώσεως, τήν πικράν βλάβην αναστέλλων, δόξα τή πολλή ευσπλαγχνία σου.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Τή εν Σταυρώ υψώσει, πάσαν γήν σαλεύεις θείω σου κράτει, καί ιάσαι Δέσποτα, ταύτης τά συντρίμματα, καί σαλευομένας καρδίας, πρός τήν σήν στηρίζεις επίγνωσιν.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ήπλωσεν ο Βελίαρ, πανταχού τά θήρατρα κακίας, αλλ' ου συνελάβετο, τού Χριστού τούς Μάρτυρας, πτέρυγας λαβόντες πυρός γάρ, πρός μονάς ενθέους κατέπαυσαν.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Νεύσεσιν ανενδότοις, πρός Θεού Θεούμενοι Αθλοφόροι, αλγεινών κολάσεων, όλως ουκ ησθάνεσθε, ώσπερ άλλου πάσχοντος, ούτω πάνσοφοι αυτοί διακείμενοι.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ποίοις όμμασι βλέψω, όμμα τό ξηραίνον πάσας αβύσσους, Υιέ μου σβεννύμενον, Σταυρώ κρεμαμένου σου, η αγνή Παρθένος εβόα, θρήνοις εαυτήν συνταράσσουσα.

Κανών τής Θεοτόκου

Ειρμός ο αυτός

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Έπαισέ με πονηρώ, ο Βελίαρ έλκει, καί τραυματίαν, όλον εργασάμενος, ημίθνητον έλιπεν, αλλ' αυτή τή σή χειρουργία, ίασαί με ζώωσον Δέσποινα.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Η τών κατερραγμένων, αρραγής ανόρθωσις Θεοτόκε, έγειρόν με κείμενον, σώσον απολλύμενον, ταίς σαίς μητρικαίς ικεσίαις, καί τόν νούν μου φώτισον δέομαι.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σύμβολα τού σού τόκου, Προφητών ο σύλλογος εμυείτο, όρος γάρ κατάσκιον, όρος αλατόμητον, πίον όρος τετυρωμένον, σέ ποικιλοτρόπως ετράνωσε.

Ωδή ς'

Ο Ειρμός

Ναυτιών τώ σάλω, τών βιωτικών μελημάτων, συμπλόοις ποντούμενος αμαρτίαις, καί ψυχοφθόρω θηρί προσριπτούμενος, ως ο Ιωνάς Χριστέ βοώ σοι. Εκ θανατηφόρου με βυθού ανάγαγε.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Λυτρωτής ών μόνος, τίμημα τό σόν κατεβάλου, αίμα τό σωτήριον, καί ηγοράσω τούς αιχμαλώτους ημάς Υπεράγαθε, καί τώ σώ Γεννήτορι προσήξας, κτείνας τώ Σταυρώ σου Χριστέ μου τόν τύραννον.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ακρασία πάλαι, πτώμα χαλεπόν κατηνέχθην, Χριστός δέ υψούμενος επί ξύλου, χείρας εκτείνας, Πεσόντα με ήγειρε, καί τραυματισθείς εθελουσίως, πάντα μου τά τραύματα σαφώς ιάσατο.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Νυσταγμόν απάτης, όλως μή νυστάξαντες πάσαν, ορμήν εκοιμίσατε τών τυράννων, καί τόν δικαίοις αρμόζοντα ύπνον, κοιμηθέντες μακαρίως, άγρυπνοι τών πιστών απάντων πρεσβευταί γεγόνατε.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ηδρασμένοι πέτρα, θείων τού Χριστού θελημάτων, εχθρού απερίτρεπτοι μεθοδείαις, πανευκλεείς διεμείνατε Μάρτυρες, τούτον συμποδίζοντες εμφρόνως, καί πρός ουρανόν πανευπρεπώς βαδίζοντες.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νέον βρέφος τίκτεις, τόν πρό τών αιώνων αχρόνως, Πατρί συννοούμενον Θεοτόκε, νεοποιούντα Σταυρώ τό ανθρώπινον, πεπαλαιωμένον αμαρτίαις, τή του αρχεκάκου συμβουλή Πανάμωμε.

Κανών τής Θεοτόκου

Ειρμός ο αυτός

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ιωνάς ετύπου, τού εκ σού τεχθέντος Παρθένε, ταφήν καί τήν έγερσιν παραδόξως, τώ εναλίω θηρί προσριπτούμενος, όθεν δυσωπώ Αγνή θηρός με, τών θανατηφόρων ηδονών εξάρπασον.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νυσταγμώ κακίας, νύν περισχεθείς κατηνέχθην, εις ύπνον Πανάμωμε αμαρτίας, καί απογνώσεως κλίνη κατάκειμαι, αλλά τή αγρύπνω σου πρεσβεία, φώτισον εξέγειρον Αγνή καί σώσόν με.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Απορώ καί τρέμω, όταν επί θρόνου σε δόξης, καθήμενον Κύριε εννοήσω, αμαρτιών γάρ περίκειμαι άβυσσον, πέλαγος ούν έχων ευσπλαγχνίας, διά τής τεκούσης σε καμέ ελέησον.

Ωδή ζ'

Ο Ειρμός

Κάμινον Παίδες, πυρίφλεκτον πάλαι, δροσοβολούσαν υπέδειξαν, ενα Θεόν ανυμνούντες καί λέγοντες, ο υπερυψούμενος, τών Πατέρων Θεός καί υπερένδοξος.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Άπονον εύρε, ζωήν ο Προπάτωρ, σού εκουσίως πονήσαντος, επί Σταυρού καί νεκρού χρηματίσαντος, καί όφιν νεκρώσαντος, Ιησού Χριστέ πολυέλεε.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Νόμου κατάρας, λυτρούμεθα πάντες, ο Νομοδότης υψούται γάρ, επί Σταυρού ευλογίαν αέναον, καί χάριν καί έλεος, καί φθοράς πηγάζων αναίρεσιν.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Εθελουσίοις, ορμαίς προχωρούντες, πρός τάς βασάνους οι Μάρτυρες, τόν εκουσίως παθόντα εικόνιζον, υφ' ού στεφανούμενοι, τοίς Αγγέλοις νύν συγχορεύουσι.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Σώμα προδόντες, ποικίλαις βασάνοις, ταίς τών αιμάτων προσχύσεσι, τούς ασωμάτους εχθρούς απεπνίξατε, πανεύφημοι Μάρτυρες, καί πηγάς ιάσεων βλύζετε.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Πώς ου πενθήσω, γλυκύτατον Τέκνον, επί Σταυρού θεωρούσά σε; πώς ου θρηνήσω, αδίκως σου πάσχοντος, Κριτά δικαιότατε; η Παρθένος Μήτηρ εφθέγγετο.

Κανών τής Θεοτόκου

Ειρμός ο αυτός

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Γεύσει με ξύλου, πληγέντα ιάσω, πληγάς εν ξύλω δεξάμενος, ο απαθής τή θεότητι Δέσποτα, διό τής τεκούσης σε, ικεσίαις σώσον τήν ταπεινήν μου ψυχήν.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νέοι τρείς Παίδες, εν μέσω καμίνου, σού προτυπούσι τήν γέννησιν, ου κατεφλέχθης, τό πύρ γάρ κυήσασα, διό τά υλώδη μου, τής καρδίας πάθη Αγνή κατάφλεξον.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Η θεία δρόσος, εκ σού προϊούσα, τούς εκτακέντας τώ καύσωνι, τής αμαρτίας δροσίζει Πανάμωμε, όθεν ικετεύω σε, τήν κατατακείσαν ψυχήν μου δρόσισον.

Ωδή η'

Ο Ειρμός

Άφλεκτος πυρί, εν Σινά προσομιλούσα, Βάτος Θεόν εγνώρισε, τώ βραδυγλώσσω καί δυσήχω Μωσή, καί Παίδας ζήλος Θεού, τρείς αναλώτους τώ πυρί υμνωδούς έδειξε. Πάντα τά έργα τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Αίμα καί ύδωρ εκρυέντα τής πλευράς σου, κόσμον όλον ανέπλασαν, καί αφθαρσίας Σώτερ έπλησαν, θυσίας τε μυσαράς, καί διεκχύσεις εναγών αιμάτων έπαυσαν. Πάντα τά έργα τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Στέφος Σωτήρ εξ ακανθών ανεδήσω όξους χολής εγεύσω τε, καί ενεπτύσθης φραγγελλούμενος, υψώθης επί Σταυρού, ήλους δεξάμενος, δι' ών σωθείς κραυγάζω σοι. Πάντα τά έργα τόν Κύριον υμνείτε, καί ύπερυψούτε, εις πάντας τούς αιώνας.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Εξ ακενώτων θησαυρών τής αληθείας, περιφανώς πλουτήσαντες, πάσης πενίας κατεπτύσατε, ειδώλων καί πλουτισταί, τών πενομένων Αθληταί, βοώντες ώφθητε. Πάντα τά έργα τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Νομοθεσίας δυσσεβούς καταφρονούντες, ώσπερ οι Παίδες Μάρτυρες, εις πύρ παφλάζον ενεβλήθητε, εν ώ τήν δρόσον Θεού, επαναψύχουσαν υμάς βοώντας εύρατε. Πάντα τά έργα τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νόμου σε πάλαι, κιβωτός προδιετύπου, ου πλάκας ένδον φέρουσα, αλλά Χριστόν τόν νομοδότην Αγνή, όν άνομος εν Σταυρώ, λαός προσήλωσεν, ημάς βοώντας σώζοντα. Πάντα τά έργα τόν Κύριον υμνείτε, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Κανών τής Θεοτόκου

Ειρμός ο αυτός

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νεύματι θείω σε Αγνή πύλην προείδε, τών Προφητών ο μέγιστος, δι' ής διήλθε καί εξήλθε Θεός, εσφραγισμένην λιπών, καί τοίς βοώσιν ουρανού πύλην ανοίγουσαν. Πάντα τά έργα τόν Κύριον υμνείτε, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Υπέρ αιτίαν, Υιόν άγιον τίκτεις, αγιασμόν δωρούμενον, Αγνή τοίς τούτον αγιάζουσι, διό μου τόν λογισμόν, καί τήν ψυχήν αγιασμού πλήρωσον ψάλλουσαν. Πάντα τά έργα τόν Κύριον υμνείτε, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νύν τών κακών, μου τάς σειράς τή θεία λόγχη, τού σού Υιού διάρρηξον, τού διαρρήξαντος τού άδου δεσμά, καί φαίδρυνόν με στολαίς, τής απαθείας τού βοάν θεοχαρίτωτε. Πάντα τά έργα τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Δήμος τών θείων, Προφητών εκδυσωπεί σε, τών Αποστόλων σύλλογος, καί τών Μαρτύρων η ομήγυρις, πρεσβείαις τής σής Μητρός, πάσης ανάγκης τούς πιστώς κράζοντας λύτρωσαι. Πάντα τά έργα τόν Κύριον υμνείτε, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Ωδή θ'

Ο Ειρμός

Μήτηρ Θεού, καί Παρθένος τίκτουσα, καί παρθενεύουσα πάλιν, ουχί φύσεως έργον, αλλά Θεού συγκαταβάσεως, όθεν ως μόνην τών θείων θαυμάτων, καταξιωθείσάν σε Αγνή μεγαλύνομεν.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ισχύς εχθρού, παντελώς εξέλιπε, σού ισχυρώς επί ξύλου, Δυνατέ κεκραγότος, πρός τόν προάναρχον Πατέρα σου, καί συγκαλούντος τά εσκορπισμένα πρόβατά σου, Δέσποτα Χριστέ πρός επίγνωσιν.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ώσπερ αμνός, ανηρτήθης Δέσποτα, επί Σταυρού εκουσίως, αφαρπάζων τού λύκου, τά λογικά σου Σώτερ θρέμματα, καί εν τή μάνδρα τών σών προσταγμάτων, κατασφαλιζόμενος, αυτά ανυμνούντά σε.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Σού τών παθών, μιμηταί δεικνύμενοι, οι ευκλεείς Αθλοφόροι, πολυτρόπους ιδέας, βασάνων

έφερον Φιλάνθρωπε, όθεν στεφάνων επέτυχον δόξης, καί τής βασιλείας σου, Χριστέ ηξιώθησαν.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ηλιακάς, απαστράπτει χάριτας, φωταγωγούσα τούς πιστούς, τών σεπτών Αθλοφόρων, η αξιέπαινος πανήγυρις, όθεν οι ταύτην αεί εκτελούντες, σκότους παραπτώσεων, δεινών εκλυτρούμεθα.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φώς νοητόν, εν Σταυρώ απήστραψεν, ο σός Πανάχραντε Υιός, καί αρχάς τάς τού σκότους παρεδειγμάτισε Πανάμωμε, καί τό τού Ηλίου ημαύρωσε φέγγος, καί πιστών τό πλήρωμα Αγνή κατεφώτισε.

Κανών τής Θεοτόκου

Ο Ειρμός

Μή τής φθοράς διαπείρα κυοφορήσασα, καί παντεχνήμονι Λόγω σάρκα δανείσασα, Μήτερ απείρανδρε, Παρθένε Θεοτόκε, δοχείον τού αστέκτου, χωρίον τού απείρου, Πλαστουργού σου, σέ μεγαλύνομεν.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Εν αμελεία τόν βίον μου κατηνάλωσα, καί πρός τό τέλος ο τάλας άκαρπος έφθασα, Μήτηρ απείρανδρε, μετάνοιάν μοι δίδου, καί άφεσιν πταισμάτων, ταίς σαίς πρός τόν Δεσπότην, ικεσίαις καθικετεύω σε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Χοροστασίαι τών άνω σεπτών Δυνάμεων, Ιερομύσται Προφήται, Μάρτυρες ένδοξοι, θείοι Απόστολοι, μετά τής Θεοτόκου, Θεώ παρεστηκότες, πρεσβεύσατε απαύστως, πάσης βλάβης ημάς λυτρώσασθαι.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ολοσχερώς νύν τοίς χείρω προσεπεκτείνομαι, καί τής ψυχής αλογήσας, σαρκί δεδούλωμαι, οίμοι! τί γένωμαι; πώς φύγω τάς κολάσεις; πώς τύχω σωτηρίας; Παρθένε Θεοτόκε, βοηθός μοι γενού καί σώσόν με.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Υιόν μακάριον μόνη Θεομακάριστε, εναπεκύησας, πάντας αποδεικνύοντα, τούς σέ δοξάζοντας, Παρθένε μακαρίους, διό σε ικετεύω, τών μακαριζομένων, τής μερίδος με καταξίωσον.

Απόστιχα τών Αίνων, Σταυρώσιμα

Ουκ έτι κωλυόμεθα

Δεσπότης ών φιλάνθρωπε Ζωοδότα, εξηγόρασας διά Σταυρού σου, τήν οικουμένην, Κύριε Δόξα σοι.

Στίχ. α'. Ενεπλήσθημεν τό πρωϊ τού ελέους σου, Κύριε, καί ηγαλλιασάμεθα καί ηυφράνθημεν έν πάσαις ταίς ημέραις ημών. Ευφρανθείημεν, ανθών ημερών εταπείνωσας ημάς, ετών, ών είδομεν κακά, καί ίδε επί τούς δούλους σου καί επί τά έργα σου, καί οδήγησον τούς υιούς αυτών.

Ο ήλιος εσκότασεν Ελεήμον, σταυρουμένου σου εκουσίως, υπέρ τού κόσμου, Κύριε δόξα σοι.

Μαρτυρικόν

Στίχ. β'. Καί έστω η λαμπρότης Κυρίου τού Θεού ημών εφ' ημάς, καί τά έργα τών χειρών ημών κατεύθυνον εφ' ημάς, καί τό έργον τών χειρών ημών κατεύθυνον.

Φωστήρες ανεδείχθησαν οικουμένης, οι πανεύφημοι Αθλοφόροι, Χριστώ βοώντες, Κύριε δόξα σοι.

Δόξα... Καί νύν... Σταυροθεοτοκίον

Εν ξύλω προσπαγέντα Σε εκουσίως, ως εώρακεν, η Θεοτόκος θρηνολογούσα, ύμνει τό κράτος σου.

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Οι Μακαρισμοί

Μακάριοι οι ειρηνοποιοί, ότι αυτοί υιοί Θεού κληθήσονται.

Ωραίος ήν καί καλός εις βρώσιν, ο εμέ θανατώσας καρπός, Χριστός εστι τό ξύλον τής ζωής, εξ ού φαγών ου θνήσκω, αλλά βοώ σύν τώ Ληστή. Μνήσθητί μου Κύριε, εν τή Βασιλεία σου.

Μακάριοι οι δεδιωγμένοι ένεκεν δικαιοσύνης, ότι αυτών εστιν η βασιλεία τών ουρανών.

Εξέτεινας εν Σταυρώ παλάμας, τής ταθείσης χειρός τού Αδάμ, πρός ξύλον τής γνώσεως ανορθών, ολίσθημα Οικτίρμον, δι' αγαθότητα πολλήν, όθεν σε δοξάζομεν, ευεργέτα Κύριε.

Μακάριοί εστε όταν ονειδίσωσιν υμάς, καί διώξωσι, καί είπωσι πάν πονηρόν ρήμα καθυμών ψευδόμενοι ένεκεν εμού.

Εν τόπω σε τού Κρανίου δήμος, τών Εβραίων Χριστέ Βασιλεύ, εσταύρωσε συνθλώντα τού πονηρού, τήν ολεθρίαν κάραν, καί πηγάζοντα ημίν, εκ πλευράς αγίας σου, ποταμούς αφέσεως.

Μαρτυρικόν

Χαίρετε καί αγαλλιάσθε, ότι ο μισθός υμών πολύς εν τοίς ουρανοίς.

Μιμούμενοι, τού Χριστού τά πάθη, τά θεία καί σωτήρια, υπέστητε βασάνους πολυειδείς, καί πρός αθανασίαν, μετεβιβάσθητε ομού, Μάρτυρες πανεύφημοι, όθεν μακαρίζεσθε.

Δόξα...

Φώς τριλαμπές τής Τριάδος σέβω, εν τρισί προσώποις νοούμενον, καί μια ουσία ένα Θεόν, τά τρία νύν γινώσκω, μία γάρ φύσις καί αρχή, Πατρός Υιού καί Πνεύματος, συνέχουσα τά πέρατα.

Καί νύν... Σταυροθεοτοκίον

Σταυρούμενον τόν εκ σού τεχθέντα, καθορώσα εκραύγαζες, τά σπλάγχνα δονουμένη Μαριάμ. Πώς ταύτα εκουσίως, πάσχεις, μακρώπινον, εκ φθοράς λυτρώσασθαι;

HYPERLINK "" \l "top" top

7-5

Στιχηρά Προσόμοια τών Αποστόλων

Ήχος βαρύς

Ουκ έτι κωλυόμεθα

Στίχ. α'. Εάν ανομίας παρατηρήσης, Κύριε, Κύριε τίς υποστήσεται; ότι παρά σοί ο ιλασμός εστιν.

Ο φθόγγος τών αγίων Αποστόλων, εις τά πέρατα διεξήλθε τής οικουμένης, Κύριε δόξα σοι.

Στίχ. β'. Ένεκεν τού ονόματός σου υπέμεινά σε, Κύριε, υπέμεινεν η ψυχή μου εις τόν λόγον σου, ήλπισεν η ψυχή μου επί τόν Κύριον.

Ευωδία οφθέντες Θεού τού Λόγου, Πανσεβάσμιοι μυρίσατέ με, οσμή τού Πνεύματος.

Στίχ. γ'. Από φυλακής πρωϊας μέχρι νυκτός, από φυλακής πρωϊας ελπισάτω Ισραήλ επί τόν Κύριον.

Ουράνιον πολίτευμα κεκτημένοι, τά ουράνια φρονείν με διδάξατε, καί λαλείν τά θεία Θεού θελήματα.

Έτερα, τού αγίου Νικολάου, όμοια

Στίχ. δ'. Ότι παρά τώ Κυρίω τό έλεος, καί πολλή παρ' αυτώ, λύτρωσις. καί αυτός λυτρώσεται τόν Ισραήλ έκ πασών τών ανομιών αυτού.

Ώσπερ ερρύσω Πάτερ τούς στρατηλάτας, θνήσκειν μέλλοντας, δι' εντεύξεως καί νύν ωσαύτως ημάς διάσωσον.

Στίχ. ε'. Αινείτε τόν Κύριον πάντα τά έθνη, επαινέσατε αυτόν, πάντες οι λαοί.

Τούς πίστει σε καί πόθω προσκαλουμένους, καί τιμώντάς σε πανσεβάσμιε Ιεράρχα, ρύσαι τών θλίψεων.

Στίχ. ς'. Ότι εκραταιώθη τό έλεος αυτού εφ' ημάς, καί η αλήθεια τού Κυρίου μένει εις τόν αιώνα.

Λοιμού, σεισμού, καί θλίψεων, καί ανάγκης, ελευθέρωσον τούς ικέτας σου, Ιεράρχα, σοφέ Νικόλαε.

Δόξα... Καί νύν... Θεοτοκίον

Παρθένον σε γινώσκομεν μετά τόκον, απειράνδρως γάρ σύ εκύησας τόν Σωτήρα, ώ πρέσβευε σωθήναι τάς ψυχάς ημών.

Απόστιχα Αποστολικά

Απόστολοι ένδοξοι, στύλοι τών Εκκλησιών, τής αληθείας κήρυκες, λαμπάδες υπάρχοντες φαειναί, υμείς τώ πυρί τού πνεύματος, πασαν τήν πλάνην εφλέξατε, ανθρώπων τό γένος εφωτίσατε, διό ικετεύσατε δεόμεθα, τώ Σωτήρι καί Θεώ ημών, ειρηνεύσαι τόν κόσμον, καί σώσαι τάς ψυχάς ημών.

Στίχ. Α'. Πρός σέ ήρα τούς οφθαλμούς μου, τόν κατοικούντα εν τώ ουρανώ. Ιδού, ως οφθαλμοί δούλων εις χείρας τών κυρίων αυτών, ως οφθαλμοί παιδίσκης εις χείρας τής κυρίας αυτής, ούτως οι οφθαλμοί ημών πρός Κύριον τόν Θεόν ημών, έως ού οικτιρήσαι ημάς.

Απόστολοι τού Χριστού, εργάται τού Σωτήρος, Σταυρόν γάρ ώσπερ άροτρον, εν τοίς ώμοις φέροντες, κεχερσωμένην τήν γήν, τής τών ειδώλων πλάνης εκκαθάραντες, καί πίστεως τόν λόγον σπείραντες, αξίως τιμάσθε, άγιοι τού Χριστού Απόστολοι.

Μαρτυρικόν

Στίχ. Β'. Ελέησον ημάς, Κύριε, ελέησον ημάς, ότι επί πολύ επλήσθημεν εξουδενώσεως, επί πλείον επλ ήσθη η ψυχή ημών, τό όνειδος τοίς ευθηνούσι, καί η εξουδένωσις τοίς υπερηφάνοις.

Πανεύφημοι Μάρτυρες, θρέμματα πνευματικά, ολοκαυτώματα λογικά, θυσία δεκτή, ευάρεστος τώ Θεώ, υμάς ουχ η γή κατέκρυψεν, αλλ' ουρανός υπεδέξατο, Αγγέλων συμμέτοχοι γεγόνατε, μεθ' ών ικετεύσατε δεόμεθα, τώ Σωτήρι καί Θεώ ημών, ειρηνεύσαι τόν κόσμον, καί σώσαι τάς ψυχάς ημών.

Δόξα... Καί νύν... Θεοτοκίον

Λύτρωσαι Θεοτοκε, τών συνεχουσών ημάς αμαρτιών, ότι άλλην ελπίδα οι πιστοί ουκ έχομεν, ειμή σέ, καί τόν εκ σού τεχθέντα Θεόν.

Μετά τήν α' Στιχολογίαν

Καθίσματα Αποστολικά. Ήχος βαρύς

Γεωργούς τού αγρού σου ανέδειξας, τους Αποστόλους σου Κύριε, εκτεμόντας τά είδωλα, διό σε τόν Σωτήρα, εις τά έθνη κηρύξαντες, ευσεβώς εμεγάλυναν.

Μαθηταί τού Κυρίου πανεύφημοι, οι τήν υφήλιον πάσαν, ως πυρσοί καταυγάσαντες, εν σκότει με παθών καί πταισμάτων υπάρχοντα, φωτισθήναι πρεσβεύσατε.

Δόξα... Καί νύν... Θεοτοκίον

Ο καρπός τής κοιλίας σου Άχραντε, τών προφητών υπάρχει, καί τού νόμου τό πλήρωμα, διό σε Θεοτόκον, εν επιγνώσει δοξάζοντες, ευσεβώς μεγαλύνομεν.

Μετά τήν β' Στιχολογίαν

## Καθίσματα Αποστολικά

Φωστήρες υμείς όντες τού κόσμου, Απόστολοι Κυρίου, απαστράπτετε αεί τόν λόγον τοίς πιστοίς, απελαύνοντες σφοδρώς, τής πλάνης τήν αχλύν, διόπερ καί φωτίζετε τά έθνη τώ βαπτίσματι, ως κήρυκες τής Τριάδος όντες αεισέβαστοι.

Προφήται προεκήρυξαν, Απόστολοι εδίδαξαν, Μάρτυρες ωμολόγησαν, καί ημείς επιστεύσαμεν, ότι σύ εί Χριστέ, ο Υιός τού Θεού, ο λυτρωτής τού κόσμου.

Δόξα... Καί νύν... Θεοτοκίον

Ουρανόν επί γής Σέ εκήρυξαν, καινοφανή Παρθένε, οι αυτόπται τής χάριτος, Θεόν τόν επουράνιον εν γαστρί σου χωρήσασαν, ουρανούντα τό πρόσλημμα.

## Μετά τήν γ' Στιχολογίαν

Έτερα Καθίσματα

Τήν τής γής επί τής γής, δόξαν ουκ ηγαπήσατε ένδοξοι, Θεόν τόν επουράνιον, τοίς ανθρώποις κηρύξαντες, τούτω πάντας ηγάγετε.

Μαρτυρικόν

Οι Μάρτυρές σου Κύριε, τόν εχθρόν ετροπώσαντο, καί τήν πλάνην τών ειδώλων κατήσχυναν, καθοπλισάμενοι τού Σταυρού τήν δύναμιν, διό καί σύν Αγγέλοις ανυμνούντές σε, κραυγάζουσι τόν επινίκιον ύμνον, δοξολογούντές σε, Χριστέ. Αυτών ταίς ικεσίαις, δώρησαι ημίν τό μέγα έλεος.

Δόξα... Καί νύν... Θεοτοκίον

Ο καρπός τής γαστρός σου Θεόνυμφε, τοίς ανθρώποις εδείχθη, σωτηρίας πρόξενος, διό σε Θεοτόκον, γνώμη καί γλώσση δοξάζοντες, οι πιστοί μεγαλύνομεν.

## Κανών τών Αγίων Αποστόλων

### Ωδή α'  Ήχος βαρύς

Ο Ειρμός

Νεύσει σου πρός γεώδη, αντιτυπίαν μετήχθη, η πρίν ευδιάχυτος, υδάτων φύσις Κύριε, όθεν αβρόχως πεζεύσας, άδει Ισραήλ σοι, ωδήν επινίκιον.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Νεύσεσι πρός τό θείον, θεοειδείς γεγονότες, Θεούς συνετρίψατε, αθέων καί πρός ένθεον, πάντας ηγείρατε πόθον, τούς πεπιστευκότας, Θεώ Πανσεβάσμιοι.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Άλας ως πεφυκότες, πάσης τής γής θεηγόροι, Κυρίου Απόστολοι, τήν σηπεδόνα στήσατε, πάσαν τής εμής καρδίας, καί μεμωραμένην, δεινώς θεραπεύσατε.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Πάντων ηνίκα μέλλη, εν τή δευτέρα ελεύσει, σύν υμίν καθέζεσθαι, Κριτής ο δικαιότατος, θείοι Απόστολοι τότε, πάσης καταδίκης, ημάς εκλυτρώσασθε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Άχραντε Θεοτόκε, σύν ασωμάτοις Αγγέλοις, Προφήταις καί Μάρτυσι, καί Αποστόλοις πρέσβευε, όπως άφεσιν πταισμάτων, λάβωμεν Παρθένε, καί πλούσιον έλεος.

## Κανών τού Αγίου Νικολάου, ού η Ακροστιχίς
## Δέχου δέησιν εβδόμην, Νικόλαε, τού Ιωσήφ

Ο Ειρμός

Τώ συνεργήσαντι Θεώ, Μωϋσή εν Αιγύπτω, εξαγαγείν τόν Ισραήλ, αυτώ μόνω άσωμεν, ότι δεδόξασται.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Δεδοξασμένην επί γής, μετελθών πολιτείαν, τούς σέ δοξάζοντας, μετόχους Νικόλαε, τής εκεί δόξης ποίησον.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Εν τώ πελάγει τού φθαρτού, διαπλέοντες βίου, πειρασμών κύμασι, Παμμάκαρ κυκλούμεθα, εξ ών ημάς διάσωσον.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Χείρά μοι όρεξον αεί, βοηθείας καί πάντων, Πάτερ Νικόλαε, εχθρών ορωμένων τε, καί αοράτων λύτρωσαι.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ο τούς αϋλους λειτουργούς, Θεοτόκε ποιήσας, εκ σού γεγέννηται, δι' έλεον άφατον, ανθρώποις καθορώμενος.

## Ωδή γ'

### Ο Ειρμός

Ο κατ' αρχάς τούς ουρανούς, παντοδυνάμω σου Λόγω, στερεώσας Κύριε Σωτήρ, καί τώ παντουργώ καί θείω Πνεύματι, πάσαν τήν δύναμιν αυτών, εν ασαλεύτω με πέτρα, τής ομολογίας σου στερέωσον.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Βέλη Χριστού τού δυνατού, ηκονημένα δειχθέντες, τών βελών με τών τού πονηρού, σοφοί Μαθηταί τού Λόγου ρύσασθαι δέομαι, καί πληγωθείσαν χαλεπώς, τής αμαρτίας ρομφαία, τήν εμήν καρδίαν θεραπεύσατε.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Ως ουρανοί δόξαν Θεού, καθάφησίν ο Προφήτης, διηγείσθε θείοι Μαθηταί, τρανούντες αυτού τήν θείαν σάρκωσιν, καί τά παθήματα σαφώς, δι' ών παθών καί θανάτου, πάντες καί φθοράς απελυτρώθημεν.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Απατηθέντα με δεινώς, καί τής στολής γυμνωθέντα, τής ενθέου θείοι Μαθηταί, στολαίς με φωτός φαιδρύναι σπεύσατε, οι τού εχθρού τάς μηχανάς, απογυμνώσαντες πίστει, καί τούτον αισχύνην επενδύσαντες.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ο τάς Δυνάμεις ουρανών, καθυποστήσας τώ λόγω, ο Προφήταις χάριν παρασχών, καί τοίς Μαθηταίς, καί πάσι Μάρτυσι, τούτων πρεσβείαις ο Θεός, καί τής αχράντου Μητρός σου, σώσον πάντας, οίκτειρον ως εύσπλαγχνος.

### Κανών τού Αγίου Νικολάου

### Ο Ειρμός

Στερέωμά μου γενού ο λόγω στερεώσας τούς ουρανούς καί εδράσας, τήν γήν επί τών υδάτων, καί ρύσαι ο Θεός, πάσης περιστάσεως.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Υπέρ τής οικουμένης, προσφέρων ικεσίας, από πάσης ανάγκης, καί θλίψεων μυρίων, περίσωζε ημάς, άγιε Νικόλαε.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Δεδεμένους αφύκτω, φρουρά ως ελυτρώσω, τά δεσμά διαρρήξας, ευχαίς σου τών κακών μου, κατάλλαξον Θεώ, άγιε Νικόλαε.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Εν νυκτί καί ημέρα, προστάτην σε καλούμεν, τάς ημών ικεσίας, προσάγαγε Κυρίω, φρουρών ημάς αεί, άγιε Νικόλαε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Η λαβίς η τόν θείον, άνθρακα δεξαμένη, εν τοίς θείοις σου σπλάγχνοις, μηδόλως δέ φλεχθείσα, κατάφλεξον ημών, Πάναγνε τά πταίσματα.

## Ωδή δ'

### Ο Ειρμός

Ο Πατρικούς κόλπους μή λιπών, καί καταβάς επί τής γής, Χριστέ ο Θεός, τό μυστήριον ακήκοα, τής οικονομίας σου, καί εδόξασά σε μόνε Φιλάνθρωπε.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Ο τού Πατρός σύνθρονος Υιός, επί τής γής σωματωθείς ως άνθρωπος, εξελέξατο υμάς μαθητάς, αυτού τήν θεότητα, διαγγέλλοντας πάσι τοίς έθνεσι.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Δημιουργοίς πάντων τών παθών, περιπεσών φρενοβλαβώς ο τάλας εγώ, τήν καρδίαν τετραυμάτισμαι, δέομαι ιάσασθε, ιατροί νοσούντων Απόστολοι.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Από παθών ρύσασθε ημάς, από κινδύνων χαλεπών καί θλίψεων, από πάσης περιστάσεως, Απόστολοι ένδοξοι, καί τής πανωδύνου κολάσεως.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Η τού Θεού Μήτηρ εκλεκτή, σύν Αποστόλοις ιεροίς καί Μάρτυσι, καί Προφήταις καθικέτευε, κινδύνων καί θλίψεων, καί πλημμελημάτων ρυσθήναί με.

## Κανών τού Αγίου Νικολάου

### Ο Ειρμός

Εκάλυψεν ουρανούς Χριστέ ο Θεός, εν τή σή οικονομία, η αρετή τής αφράστου, σοφίας σου Φιλάνθρωπε.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Σοφία σου αμαυρών Αρείου τόν νούν, τόν αιρέσει σκοτισθέντα, τούς υπ' αυτού πλανωμένους, Νικόλαε διέσωσας.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Ιάτρευσον τά πολλά μου πταίσματα, ευπροσδέκτοις σου πρεσβείαις, Θεομακάριστε Πάτερ, καί τήν καρδίαν φώτισον.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Νεκρώσας τά τών παθών σκιρτήματα, υπ' αυτών με νεκρωθέντα, ταίς προσευχαίς σου παμμάκαρ, ζωώσας καινοποίησον.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Εκύησας εν σαρκί τόν Άχρονον, όν δυσώπει τών χρονίων, παθών ημάς λυτρώσασθαι, υμνούντας σε Πανάμωμε.

## Ωδή ε'

### Ο Ειρμός

Κύριε ο Θεός μου, εκ νυκτός ορθρίσας σέ ικετεύω, παράσχου μοι άφεσιν, τών παραπτωμάτων μου, καί πρός φώς τών σών προσταγμάτων, τάς οδούς μου εύθυνον δέομαι.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Κύριε ο Θεός μου, ο τοίς Αποστόλοις σου τήν ειρήνην, πάλαι δωρησάμενος, τούτων παρακλήσεσι, τήν ειρήνην δώρησαι πάσι, καί πλημμελημάτων τήν άφεσιν.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Κύριε ο Θεός μου, ο Ληστήν καί Πόρνην ημαρτηκότας, διά υπερβάλλουσαν σώσας αγαθότητα, καί εμέ οίκτειρον καί σώσον, ταίς τών Αποστόλων δεήσεσι.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Κύριε ο Θεός μου, ο τεχθείς εκ Κόρης απειρογάμου, ταύτης παρακλήσεσι, καί τών Αποστόλων σου, ιλασμόν πταισμάτων μοι δίδου, καί μελλούσης ρύσαι κολάσεως.

## Κανών τού Αγίου Νικολάου

### Ο Ειρμός

Ορθρίζει τό πνεύμά μου, πρός σέ ο Θεός, διότι φώς εί, καί τά σά προστάγματα, εγένοντο ιάματα, τοίς δούλοις σου φιλάνθρωπε.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Βουλεύματα Πάτερ συγκινούμενα, αεί καθ' ημών απαιδεύτων ανθρώπων, ταίς σαίς πρεσβείαις άπρακτα, απέργασαι Νικόλαε.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Δεσμά τών κακών ημών διάρρηξον, ταίς σαίς προσευχαίς ο δεσμεύσας κακίαν, τού ψυχοφθόρου δράκοντος, πανάγιε Νικόλαε.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Οι γνώμη αεί κατολισθαίνοντες, καί πλήθει δεινών συνεχόμενοι Πάτερ, προστάτην σε θερμότατον, Νικόλαε κεκτήμεθα.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Μαρία Κυρία πάσης κτίσεως, εχθρού αναιδώς, κυριεύειν ζητούντος, τήν ταπεινήν καρδίαν μου, Θεογεννήτορ λύτρωσαι.

Ωδή ς'
Ο Ειρμός
Ναυτιών τώ σάλω, τών βιοτικών μελημάτων, συμπλόοις ποντούμενος αμαρτίαις, καί ψυχοφθόρω θηρί προσριπτούμενος, ως ο Ιωνάς Χριστέ βοώ σοι. Εκ θανατηφόρου με βυθού ανάγαγε.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Τής αυτοσοφίας, θείοι Μαθηταί γεγονότες, Ελλήνων εμώραναν τήν σοφίαν, καί σοφιστήν τής κακίας απώλεσαν, καί τούς εν αγνοία πλανωμένους, φέγγει ευσεβείας οι σοφοί εφώτισαν.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Ο τού Πέτρου πάλαι, δάκρυσι τό πταίσμα καθάρας, αυτού ταίς δεήσεσι, τής ψυχής μου, τά αναρίθμητα πταίσματα κάθαρον, διά τήν πολλήν σου ευσπλαγχνίαν, καί τήν υπερβάλλουσαν Χριστέ χρηστότητα.

Ο τούς Νινευϊτας, πάλαι μεταγνόντας οικτείρας, καμέ τή συνήθει σου ευσπλαγχνία, διά τών σών Αποστόλων ελέησον, καί μή διά πλήθος εγκλημάτων, πλήθει υποβάλης, Λυτρωτά κολάσεων.
Θεοτοκίον
Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Η τό φώς τεκούσα, φώτισον τήν εσκοτισμένην, ψυχήν μου τοίς πάθεσι, καί δυσώπει, σύν Αποστόλοις Προφήταις καί Μάρτυσι, πάσης αμαρτίας, πάσης βλάβης, πάσης τής κακίας τού εχθρού ρυσθήναί με.

Κανών τού Αγίου Νικολάου
Ο Ειρμός
Ο Ιωνάς εκ κοιλίας άδου εβόα, Ανάγαγε εκ φθοράς τήν ζωήν μου, ημείς δέ σοι βοώμεν, Παντοδύναμε Σωτήρ ελέησον ημάς.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Ηκύρωσας τήν τού θανάτου άδικον ψήφον, καί έσωσας συμπαθεία σου Πάτερ μέλλοντας αποθνήσκειν, ως θερμός υπερασπιστής τών καλούντων σε.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Νοσήματα τών ψυχών ημών παύσον, καί στόματα ανοιγόμενα μάτην, κατά τών σέ ποθούντων, ιερώτατε Ποιμήν εναπόφραξον.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Νομήν πικράν δυσσεβείας Αρείου, ανέστειλας τώ φαρμάκω τών λόγων, τών σών Ιερομύστα, ορθοδόξων στηριγμός σύ γενόμενος.
Θεοτοκίον
Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ιάτρευσον ανιάτως νοσούσαν, Πανάμωμε, τήν αθλίαν ψυχήν μου, τού βίου ταίς απάταις, καί πολλών αμαρτιών επικλύσεσι.

Ωδή ς'
Ο Ειρμός
Κάμινον Παίδες, πυρίφλεκτον πάλαι, δροσοβολούσαν υπέδειξαν, ένα Θεόν ανυμνούντες καί

λέγοντες, ο υπερυψούμενος, τών Πατέρων Θεός, καί υπερένδοξος.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Κάμινον πάλαι, πικράς αθεϊας, δρόσω τού θείου κηρύγματος, εναπεσβέσατε κράζοντες ένδοξοι, ο υπερυψούμενος, τών Πατέρων Θεός ευλογητός εί.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Τής χαλεπής με, Χριστέ αμαρτίας, τής εν τώ άδη κολάσεως, τής εν γεέννη οδύνης εξάρπασον, καί σώσόν με δέομαι, ικεσίαις Λόγε τών Αποστόλων σου.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Λόγου σαγήνη, βυθού αγνωσίας, οι τούς βροτούς σαγηνεύσαντες, βεβυθισμένον αμέτροις με πταίσμασι, καί κλυδωνιζόμενον, μαθηταί Χριστού διασώσατε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Μετά Μαρτύρων, Αγγέλων Οσίων, καί Αποστόλων Πανάμωμε, τόν σόν Υιόν εκδυσώπει καί Κύριον, σωθήναι τούς δούλους σου, πειρασμών, κινδύνων καί θλίψεων.

### Κανών τού Αγίου Νικολάου

Ο Ειρμός

Κάμινον καιομένην, εδρόσισας Σωτήρ, Παίδας δέ διέσωσας, υμνούντας καί λέγοντας. Ευλογητός εί εις τούς αιώνας Κύριε, ο Θεός τών Πατέρων ημών.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Κόσμος τής Εκκλησίας γενόμενος Σοφέ, πάσης ακοσμίας με παθών ατίμων λύτρωσαι, τόν Ευεργέτην παντός τού κόσμου, εκδυσωπών Ιεράρχα αεί.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Όμβροις τών πρεσβειών σου Νικόλαε σοφέ, πάντων ημών άρδευσον, καρδίας όπως φέρωμεν, καρπούς αξίους τής μετανοιας, καί λάβωμεν θεόθεν τήν άφεσιν.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Λάμπρυνον σαίς πρεσβείαις ημών τούς λογισμούς, πίστει επορθρίζοντας, καί τόν Θεόν δοξάζοντας, καί σέ τόν τούτου ανυμνούντας, αληθή Ιεράρχην Νικόλαε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Άπασα γλώσσα πίστει δοξάζει σε Αγνή, δόξαν χρηματίζουσαν, καί καύχημα τού γένους ημών, καί οδηγίαν τών πλανωμένων, Θεοτόκε πανύμνητε.

### Ωδή η'

Ο Ειρμός

Άφλεκτος πυρί εν Σινά προσομιλούσα, Βάτος Θεόν εγνώρισε, τώ βραδυγλώσσω καί δυσήχω Μωσεί, καί Παίδας ζήλος Θεού, τρείς αναλώτους έν πυρί, υμνωδούς έδειξε. Πάντα τά έργα τόν Κύριον υμνείτε, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Άνθρακες πυρί, νοητώ προσαναφθέντες, ώσπερ καλάμην άπασαν, ειδώλων πλάνην

απετέφρωσαν, οι τού Χριστού Μαθηταί, καί κατεφώτισαν πιστών ψυχάς κραυγάζοντες. Πάντα τα έργα τόν Κύριον υμνείτε, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Τήν εσβεσμένην μου ψυχήν τή αμαρτία, τήν σκοτισθείσαν πάθεσι, τής ατιμίας νύν καρδίαν μου, φωτίσατε τού φωτός, τού αϊδίου κοινωνοί θείοι Απόστολοι, όπως κραυγάζω. Τόν Κύριον υμνείτε, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Τήν πληγωθείσάν μου ψυχήν τοίς ιοβόλοις, τού αλαζόνος δήγμασιν, ο τάς πληγάς σαρκί δεξάμενος, ιάτρευσον προσευχαίς, τών ιερών σου Μαθητών, καί σώσόν με ψάλλοντα. Πάντα τά έργα τόν Κύριον υμνείτε, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Άφλεκτος τεκούσα τό πύρ διεφυλάχθης, Παρθένε απειρόγαμε, διό ικέτευε όν έτεκες, σύν Ασωμάτων χοροίς, καί Αποστόλοις, τούς πιστώς σωθήναι ψάλλοντας. Πάντα τά έργα τόν Κύριον υμνείτε, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Κανών τού Αγίου Νικολάου

Ο Ειρμός

Τούς εν καμίνω παίδας μιμούμενοι, οι τού Πνεύματος τήν δρόσον δεξάμενοι, εν πίστει κραυγάζομεν, Ευλογείτε τά έργα Κυρίου τόν Κύριον.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Εν Μύροις τό μυρίπνοον σώμά σου, πανάγιε Νικόλαε κείμενον, μύρα τοίς προστρέχουσιν, αναβλύζει καί παύει, ανθρώπων νοσήματα.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Τού κόσμου σε προστάτην ανέδειξεν, ο κόσμου ποιητής τε καί Κύριος, διό τοίς καλούσί σε, εν ανάγκαις ευρίσκη, ρύστης ετοιμότατος.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Ουκ έστιν ός καλεί σε εν θλίψεσι, καί θάττον ουχ ευρίσκει παράκλησιν, διό σου δεόμεθα. Πάντα πόνον, Παμμάκαρ ημών επικούφισον.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Υμνεί σε πασα γλώσσα δοξάζουσα, Θεόν τόν υπερύμνητον τέξασαν, Παρθένε Θεόνυμφε, όν δυσώπει απαύστως, σώσαι τάς ψυχάς ημών.

Ωδή θ'

Ο Ειρμός

Μή τής φθοράς διαπείρα κυοφορήσασα, καί παντεχνήμονι Λόγω σάρκα δανείσασα, Μήτερ απείρανδρε, Παρθένε Θεοτόκε, δοχείον τού αστέκτου, χωρίον τού απείρου, Πλαστουργού σου, σέ μεγαλύνομεν.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Ισχύς αφήρηται πάσα τού κοσμοκράτορος, τήν γάρ ισχύν ωπλισμένοι τού Παντοκράτορος, οι παμμακάριστοι Απόστολοι καί θείοι, καθείλον παρατάξεις, καί έσωσαν τής τούτου, κακουργίας

πάντα τά πέρατα.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Ως ποταμοί τής πηγαίας Πνεύματος χάριτος, ύδασι θείων δογμάτων επικλυζόμενοι, πάσαν ηρδεύσα καί ταύτε, Απόστολοι τήν κτίσιν, την καρποφόρον, ειργάσασθε πανσόφως, όθεν πάντοτε μακαρίζεσθε.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Σύν τοίς σεπτοίς Αποστόλοις ανευφημήσωμεν, τούς ιερούς Αθλοφόρους καί εκβοήσωμεν. Δέσποτα Κύριε, ταίς τούτων ικεσίαις, καί τών σών Αποστόλων, ειρήνευσον τόν κόσμον, καί παντοίων κινδύνων λύτρωσαι.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Η γή τοίς θείοις λειψάνοις καθαγιάζεται, τών ευκλεών Αποστόλων εν θείω Πνεύματι, τών πρωτοτόκων δέ, η άνω Εκκλησία, τοίς πνεύμασι τοίς τούτων, φαιδρύνεται απαύστως, διών Σώτερ πάντας οικτείρησον.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φωτεινοτάτην λαμπάδα μέσον σε έχουσαι, χοροστασίαι Μαρτύρων καί Αποστόλων Αγνή, φώς απαστράπτουσαν, ενθέων χαρισμάτων, φωτίζονται αϋλως, καί πάντας τούς εν πίστει, μεγαλύνοντάς σε φωτίζουσι.

## Κανών τού Αγίου Νικολάου

### Ο Ειρμός

Τήν υπέρ φύσιν Μητέρα, καί κατά φύσιν Παρθένον, τήν μόνην εν γυναιξίν Ευλογημένην, άσμασι μυστικοίς, οι πιστοί μεγαλύνομεν.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Ιχνηλατήσας τούς τρόπους, τών ιερών Αποστόλων, τήν αυθεντίαν αυτών κατεκληρώσω, ως ιεράρχης σεπτός, αξιάγαστε Νικόλαε.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Ως ζηλωτήν ένΘεόν σε, καί βοηθόν κατά πάντα, τών σέ καλούντων θερμώς εις πάντα κόσμον, Παμμάκαρ ο ποιητής, περιβόητον ανέδειξε.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Συντετριμμένη καρδία, αναβοώμέν σοι Πάτερ, Παραμυθία ημών γενού, τάς θλίψεις, σκεδάζων διηνεκώς, τών ψυχών ημών Νικόλαε.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Η εκτομή τού θανάτου, καθάπερ πέλεκυς δένδρω, επίκειταί σοι ψυχή, μή ούν αμέλει, τής μετανοίας καρπούς, επιδείξαι προθυμήθητι.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φέρεις τόν φέροντα πάντα, εν ταίς αγίαις χερσί σου, όν εκδυσώπει Αγνή τού αλλοτρίου, τής κακουργίας ημάς, αχειρώτους περισώζεσθαι.

Απόστιχα τών Αίνων, Αποστολικά

Απόστολοι του Χριστού, εργάται τού Σωτήρος. Σταυρόν γάρ ώσπερ άροτρον, εν τοίς ώμοις φέροντες, κεχερσωμένην τήν γήν, τής τών ειδώλων πλάνης εκκαθάραντες, πίστει τόν λόγον σπείραντες, αξίως τιμάσθε, άγιοι τού Χριστού Απόστολοι.

Στίχ. α'. Ενεπλήσθημεν τό πρωϊ τού ελέους σου, Κύριε, καί ηγαλλιασάμεθα καί ηυφράνθημεν έν πάσαις ταίς ημέραις ημών. Ευφρανθείημεν, ανθών ημερών εταπείνωσας ημάς, ετών, ών είδομεν κακά, καί ίδε επί τούς δούλους σου καί επί τά έργα σου, καί οδήγησον τούς υιούς αυτών.

Απόστολοι ένδοξοι, στύλοι τών Εκκλησιών, τής αληθείας κήρυκες, λαμπάδες υπάρχοντες φαειναί, υμείς τώ πυρί τού Πνεύματος, πάσαν τήν πλάνην εφλέξατε, ανθρώπων τό γένος εφωτίσατε, καί νύν ικετεύσατε δεόμεθα, τώ Σωτήρι καί Θεώ ημών, ειρηνεύσαι τόν κόσμον, καί σώσαι τάς ψυχάς ημών.

Μαρτυρικόν

Στίχ. β'. Καί έστω η λαμπρότης Κυρίου τού Θεού ημών εφ' ημάς, καί τά έργα τών χειρών ημών κατεύθυνον εφ' ημάς, καί τό έργον τών χειρών ημών κατεύθυνον.

Εν πνέοντες, πρός έν βλέποντες, οι αθλοφόροι Μάρτυρες, μίαν οδόν ζωής ευράμενοι, τόν υπέρ Χριστού θάνατον, ζηλοτυπούντες αλλήλων τήν τελευτήν, ώ τού θαύματος! ώσπερ θησαυρούς, τάς βασάνους προαρπάζοντες, πρός αλλήλους έλεγον. Ότι κάν μή νύν αποθάνωμεν, τεθνηξόμεθα πάντως, καί τή γενέσει τά οφειλόμενα λειτουργήσομεν, ποιήσωμεν τήν ανάγκην φιλοτιμίαν, τό κοινόν ίδιον ηγησώμεθα, θανάτω ζωήν ωνησάμενοι. Ταίς πρεσβείαις αυτών ο Θεός, ελέησον ημάς.

Δόξα... Καί νύν... Θεοτοκίον

Σήμερον γρηγορεί ο Ιούδας

Γέγονα καταγώγιον οίμοι, τών ηδονών ο πανάθλιος! Γέλως ούν ορώμαι, αεί τοίς εχθροίς μου, όθεν σοι προσπίπτω αγία Παρθένε, ίδε μου τήν θλίψιν, καί βοήθειάν μοι όρεξον, καί δακρύοις κάθαρον, καί ρύσαί με δέομαι, καί καταισχυνθείησαν, οι χαίροντες Αγνή τή απωλεία μου.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Οι Μακαρισμοί

Μακάριοι οι ειρηνοποιοί, ότι αυτοί υιοί Θεού κληθήσονται.

Ωραίος ήν καί καλός εις βρώσιν, ο εμέ θανατώσας καρπός, Χριστός εστι τό ξύλον τής ζωής, εξ ού φαγών ου θνήσκω, αλλά βοώ σύν τώ Ληστή. Μνήσθητί μου Κύριε, εν τή Βασιλεία σου.

Μακάριοι οι δεδιωγμένοι ένεκεν δικαιοσύνης, ότι αυτών εστιν η βασιλεία τών ουρανών.

Εκ τού βυθού τού τής απιστίας, τών εθνών τάς αγέλας σοφοί, ηγρεύσατε πρός πίστιν Θεοτερπή, καί νοητή τραπέζη, οψώνιον πολυτελές, πάντας προσηγάγετε, ένδοξοι Απόστολοι.

Μακάριοί εστε όταν ονειδίσωσιν υμάς, καί διώξωσι, καί είπωσι πάν πονηρόν ρήμα καθυμών ψευδόμενοι ένεκεν εμού.

Τόν σκοτασμόν τής δεινής απάτης, τώ φωτί τού κηρύγματος, διώξαντες καρδίας τών ευσεβών, Απόστολοι Κυρίου, κατεφωτίσατε σαφώς, όθεν υμάς άσμασι, θείοις μακαρίζομεν.

Μαρτυρικόν

Χαίρετε καί αγαλλιάσθε, ότι ο μισθός υμών πολύς εν τοίς ουρανοίς.

Τεμνόμενοι μεληδόν τώ ξίφει, Αθληταί θείοι άτμητοι, εμείνατε αγάπης τού Λυτρωτού, πρός όν αναδραμόντες, νύν κατοικείτε εν χαρά, πάντα τά ουράνια, δόξη απαστράπτοντες.

Δόξα...

Ο κάκιστος καί φθορεύς τού γένους, τών ανθρώπων κατέχει με, πρεσβείαις τών κηρύκων η πανσθενής, Τριάς εξάρπασόν με, εκ τού φάρυγγος αυτού, ίνα μεγαλύνω σου, τό άμετρον έλεος.

Καί νύν... Θεοτοκίον

Τόν σύνθρονον τώ Πατρί Παρθένε, εξ αγνών σου αιμάτων σεμνή, προήγαγες φορούντα σάρκα

θνητήν, όπως αθανατίση, τήν ουσά χρέος σε, πάντες μακαρίζομεν.

HYPERLINK "" \l "top" top
7-6

Στιχηρά Προσόμοια Σταυρώσιμα
Ήχος βαρύς
Ουκ έτι κωλυόμεθα ξύλου

Στίχ. α'. Εάν ανομίας παρατηρήσης, Κύριε, Κύριε τίς υποστήσεται; ότι παρά σοί ο ιλασμός εστιν.

Ίνα Θεόν τόν άνθρωπον απεργάση, βροτός γέγονας Υπεράγαθε, καί σταυρούσαι, δόξα τή δόξη σου.

Στίχ. β'. Ένεκεν τού ονόματός σου υπέμεινά σε, Κύριε, υπέμεινεν η ψυχή μου εις τόν λόγον σου, ήλπισεν η ψυχή μου επί τόν Κύριον.

Ότε Σταυρώ σε δήμος Εβραίων, Λόγε, κατεδίκασε, γή εσείετο, καί ηλίου σέλας εκρύπτετο.

Στίχ. γ'. Από φυλακής πρωϊας μέχρι νυκτός, από φυλακής πρωϊας ελπισάτω Ισραήλ επί τόν Κύριον.

Ο ήλιος εσκότασεν Ελεήμον, σταυρουμένου σου, καί η κτίσις συνεκλονείτο, κράζουσα, Δόξα σοι.

Έτερα, τής Θεοτόκου
Σήμερον γρηγορεί ο Ιούδας

Στίχ. δ'. Ότι παρά τώ Κυρίω τό έλεος, καί πολλή παρ' αυτώ, λύτρωσις. καί αυτός λυτρώσεται τόν Ισραήλ έκ πασών τών ανομιών αυτού.

Κλίνόν μοι τό φιλάγαθον ούς σου, δεομένω Πανάμωμε, καί μή απορρίψης τού σού με προσώπου, μηδέ πόρρω πέμψης τής σής βοηθείας, δόλω γάρ ο δόλιος, σπουδάζει απολέσαι με, παραλόγοις πάθεσι, κινεί τήν καρδίαν μου, σύ δέ με συντήρησον, όλον τής αυτού βλάβης αμέτοχον.

Στίχ. ε'. Αινείτε τόν Κύριον πάντα τά έθνη, επαινέσατε αυτόν, πάντες οι λαοί.

Όφελος ουδαμώς εκ τής ύλης, ώ ψυχή μου γενήσεται, περί ήν σπουδάζεις εις μάτην τού βίου, περί ήν εκτήκεις σαυτήν ταίς φροντίσι, πάσαν ούν τήν μέριμναν, επίρριψον πρός Κύριον, τόν κρίναί σε μέλλοντα, καί δάκρυσι βόησον. Δέσποτα φιλάνθρωπε, σώσόν με πρεσβείαις τής Τεκούσης σε.

Στίχ. ς'. Ότι εκραταιώθη τό έλεος αυτού εφ' ημάς, καί η αλήθεια τού Κυρίου μένει εις τόν αιώνα.

Όνομα ευλαβείας Παρθένε, εμαυτώ έξω θέμενος, παίγνιον πορνείας, εντός χρηματίζω, καί αλαζονείας, γέλως καθορώμαι, θηρίοις γάρ δυσίν, ως αντιμάχοις, παραδέχομαι εξ απροσεξίας, διά τούτο ρύσαί με, σύ γάρ αγαλλίαμα, πέφυκας ψυχής μου καί πεποίθησις.

Δόξα... Καί νύν... Σταυροθεοτοκίον

Ρήματα εν τώ τόκω σου Τέκνον, διών χαροποιά πρώην ήκουον, προσεδόκων, χαράς εμπλησθήναι, καί χαροποι ήσαι, ψυχάς τεθλιμμένας, ταύτα δέ πρός λύπην μετετράπη, τή σταυρώσει σου εναργώς τά πράγματα, η λύπη γάρ τήκει με, καί θανείν προήρημαι, πληρούσης τής λύπης τήν καρδίαν μου.

Απόστιχα Σταυρώσιμα

Ουκ έτι κωλυόμεθα ξύλου ζωής, τήν ελπίδα έχοντες τού Σταυρού σου, Κύριε δόξα σοι.

Στίχ. Α'. Πρός σέ ήρα τούς οφθαλμούς μου, τόν κατοικούντα εν τώ ουρανώ. Ιδού, ως οφθαλμοί δούλων εις χείρας τών κυρίων αυτών, ως οφθαλμοί παιδίσκης εις χείρας τής κυρίας αυτής, ούτως οι οφθαλμοί ημών πρός Κύριον τόν Θεόν ημών, έως ού οικτιρήσαι ημάς.

Κρεμάμενος Αθάνατε επί ξύλου, εθριάμβευσας τάς παγίδας τού διαβόλου, Κύριε δόξα σοι.

Μαρτυρικόν

Στίχ. Β'. Ελέησον ημάς, Κύριε, ελέησον ημάς, ότι επί πολύ επλήσθημεν εξουδενώσεως, επί πλείον επλ ήσθη η ψυχή ημών, τό όνειδος τοίς ευθηνούσι, καί η εξουδένωσις τοίς υπερηφάνοις.

Δόξα σοι Χριστέ ο Θεός, Αποστόλων καύχημα, Μαρτύρων αγαλλίαμα, ών τό κήρυγμα, Τριάς η ομοούσιος.

Δόξα... Καί νύν... Σταυροθεοτοκίον

Σήμερον γρηγορεί ο Ιούδας

Τέτρωμαι τή ρομφαία τής λύπης, εν Σταυρώ καθορώσά σε, τόν επί υδάτων τήν γήν στερεούντα, καί καθάπερ δέρριν εκτείναντα πόλον, βλέπω γάρ γυμνόν κατεσφαγμένον σε κρεμάμενον, καί θανείν Υιέ μου νύν, αιρούμαι παμφίλτατε, φρίξον γή καί σείσθητι, έλεγεν η Πάναγνος δακρύουσα.

Μετά τήν α' Στιχολογίαν

Καθίσματα Σταυρώσιμα. Ήχος βαρύς

Ο δι' εμέ ανασχόμενος, τής εν Σταυρώ προσηλώσεως, δέξαι μου τήν άγρυπνον αίνεσιν, Χριστέ ο Θεός, καί σώσόν με ως φιλάνθρωπος.

Ο δεσπόζων τών ασωμάτων Δυνάμεων, καί γινώσκων τής ψυχής μου τό ράθυμον, τώ Σταυρώ σου σώσόν με, Χριστέ ο Θεός, ως φιλάνθρωπος.

Δόξα... Καί νύν... Σταυροθεοτοκίον

Θεοτόκε αειπάρθενε, εν τώ Σταυρώ ορώσα, τόν Υιόν σου κρεμάμενον, ως Μήτηρ θρηνωδούσα, τήν αυτού εμεγάλυνας, φοβεράν συγκατάβασιν, απειρόγαμε Δέσποινα.

Μετά τήν β' Στιχολογίαν

Καθίσματα Σταυρώσιμα

Πυρός φωτεινότερον, φλογός εναργέστερον, τό ξύλον ανέδειξας Χριστέ τό τού Σταυρού σου, καταφλέγον αμαρτίας τών νοσούντων, καί φωτίζον τάς καρδίας τών υμνούντων, τήν εκούσιόν σου σταύρωσιν, Χριστέ ο Θεός δόξα σοι.

Ο δι' ημάς τήν εκούσιον, καταδεξάμενος σταύρωσιν, σύντριψον εχθρούς, μή ειδότας σε Θεόν αληθή, καί σώσον ημάς.

Δόξα... Καί νύν... Σταυροθεοτοκίον

Ότε προσηλώθης βουλήσει, καί υψώθης τώ Σταυρώ σου, η Θεοτόκος παρισταμένη έλεγε, Κύριε Κύριε, ουδεμιά γυναικί συνέβη τό άλγος μου, Θεόν σε επίσταμαι εκ τών θαυμάτων, καί ιδού βλέπω σε, νεκρόν εν ξύλω κρεμάμενον, αλλ' ανάστηθι, ως είπας, όπως σοι βοώ, χαίρουσα, δόξα σοι.

Μετά τήν γ' Στιχολογίαν

Καθίσματα έτερα

Ο τού Αδάμ τό κατάκριμα, ξύλω Σταυρού ιασάμενος, ίασαι ημών τά συντρίμματα τών καρδιών, καί σώσον ημάς.

Μαρτυρικόν

Άγιοι πρεσβεύσατε, άφεσιν δωρηθήναι ημίν, τών πλημμελημάτων ημών, καί τών προσδοκωμένων, δεινών ρυσθήναι ημάς, καί πικρού θανάτου δεόμεθα.

Δόξα... Καί νύν... Σταυροθεοτοκίον

Ασπόρως συνέλαβες, εν μήτρα σου Παρθένε Θεοτόκε, όνπερ κατείδες εν Σταυρώ κρεμάμενον, απαύστως ούν ικέτευε, υπέρ τών ψυχών ημών.

Κανών Σταυρώσιμος, ού η Ακροστιχίς

Χριστός ξύλω πέπαυκε τήν ξύλου βλάβην. Άσμα Ιωσήφ

Ωδή α' Ήχος βαρύς

Ο Ειρμός

Τώ εκτινάξαντι Θεώ, τόν Φαραώ εν θαλάσση Ερυθρά, επινίκιον ωδήν άσωμεν, ότι δεδόξασται.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Χριστός υψούμενος Σταυρώ, πρός εαυτόν πάντας είλκυσε πιστούς, καί κατέρραξεν εχθρόν, άπαντας τόν καταπτώσαντα.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ρείθρον ζωής μοι Ιησού, εκ ζωηφόρου επήγασας πλευράς, καί ενέκρωσας εχθρόν, Δέσποτα νεκρός γενόμενος.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ικετηρίαν τώ Χριστώ, υπέρ ημών οι Αθλοφόροι εκτενή, προσηνέγκατε φρικτής, άπαντας ρυσθήναι κρίσεως.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Σοβαρευόμενον εχθρόν, ταπεινωθέντες υμείς διά Χριστόν, κατεπτώσατε σοφοί, Μάρτυρες τή θεία χάριτι.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τόν ανατείλαντα εκ σού, υπερβολή ευσπλαγχνίας, εν Σταυρώ καθορώσα, θρηνωδείς, Δέσποινα τούτον δοξάζουσα.

Έτερος, τής Υπεραγίας Θεοτόκου

Ο Ειρμός

Τώ συντρίψαντι πολέμους, εν βραχίονι αυτού, καί διαβιβάσαντι, τόν Ισραήλ εν Ερυθρά θαλάσση, άσωμεν αυτώ, ως λυτρωτή ημών Θεώ, ότι δεδόξασται.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ως τερπνότατον ασμάτων, ωδήν Θεοτερπή, ευχαριστίας ένεκα προσφέρομεν, τό Χαίρέ σοι Αγνή, ότι εκ θλίψεως χαράν, ημίν εβράβευσας.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τού ελέους σουτήν χάριν, καί τής σκέπης τήν ισχύν, ου σιωπώμεν Παρθένε πανύμνητε, κηρύττομεν δέ νύν, ότι κινδύνων χαλεπών, ημάς διέσωσας.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Εκ ποικίλων λυτρωθέντες, πειρασμών καί συμφορών, ταίς μητρικαίς σου πρεσβείαις Πανύμνητε, ψάλλομεν θερμώς, ευχαριστίας σοι φωναίς, ωδήν επινίκιον.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Κροσσωτοίς κεχρυσωμένη, ως χρυσοίς ταίς αρεταίς, καί ταίς τού Πνεύματος χάρισι Πάναγνε, ως νύμφη τού Πατρός, ωραϊσθείσα αληθώς, εδείχθης Μήτηρ Θεού.

## Ωδή γ'

Ο Ειρμός

Εστερεώθη τή πίστει, Χριστού η Εκκλησία, καί γάρ απαύστως εν ύμνοις, βοά μελωδούσα, Άγιος εί Κύριε, καί σέ υμνεί τό πνεύμά μου.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ο απαθής κατ' ουσίαν, πώς πάθος υπέστης; ο τήν ζωήν μοι εμπνέων, πώς θνήσκεις εν ξύλω; Μέγα σου τό έλεος, καί η μακροθυμία σου.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Σταυρώ ληστών μέσον Λόγε, αδίκως ανυψώθης, καί εδικαίωσας πίστει, τόν σέ επεγνωκότα, Κτίστην πάσης κτίσεως, εθελουσίως πάσχοντα.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ξέσεις σαρκός καρτερούντες, χειρών τε αφαιρέσεις, καί τών ποδών καί παντοίων, μελών Αθλοφόροι, δόξης επετύχετε, υπέρ ημών πρεσβεύοντες.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Υπερβολή τών βασάνων, ενθέως λαμπρυνθέντες, τήν υπερβάλλουσαν δόξαν, Σοφοί νύν κληρούσθε, πάντοτε πρεσβεύοντες, σωθήναι τάς ψυχάς ημών.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Λύσιν ημίν οφλημάτων, αγνή Παρθένε δίδου, ταίς μητρικαίς σου πρεσβείαις, η τόν Σταυρώ παγέντα, άνθρωπον γενόμενον, Θεόν Λόγον κυήσασα.

Έτερος, τής Θεοτόκου

Ο Ειρμός

Ο ουρανούς τώ λόγω στερεώσας, καί τό τής γής θεμέλιον εδράσας, επί υδάτων πολλών, στερέωσόν μου τόν νούν, εις τό θέλημά σου, μόνε Φιλάνθρωπε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τό τής χαράς, τής θείας μεγαλείον, ως παροχήν ημίν τής σωφροσύνης, ευχαριστίας φωναίς, προφθάσωμεν ευσεβώς, χαιρετίζοντες αυτήν, ως προστασίαν ημών.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Οι διά σού, ρυσθέντες τών κινδύνων, καί διά σού χαράς επιτυχόντες, Μήτηρ ανύμφευτε, ως δοτήρα αγαθήν, καί προστάτιν ευκλεή, πάντες δοξάζομεν.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Καταλλαγήν, πταισμάτων και κινδύνων, τήν θεϊκήν πρεσβείαν σου πλουτούντες, Μήτηρ Χριστού του Θεού, ως αιτίαν αγαθών, ανυμνούμεν σε πιστώς, ευχαριστίας φωναίς.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Η τής χαράς, πηγή τής αθανάτου, βρύεις χαράς τά ρείθρα ιαμάτων τοίς κινδυνεύουσι, καί σώζεις πάντας Αγνή, ως αέναος ημών, αγαθοδότις Θεού.

Ωδή δ'

Ο Ειρμός

Εισακήκοα τήν ακοήν σου, καί εφοβήθην, κατενόησα τά έργα σου, καί εξέστην Κύριε.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ωραιότατος καθάπερ βότρυς, Σταυρώ υψώθης, ευφροσύνης γλεύκος Δέσποτα, εναποστάξας φιλάνθρωπε.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Πολυώδυνα ανθρώπων πάθη, έπαυσας Λόγε, πάθος Δέσποτα εκούσιον, εν τή σαρκί σου δεξάμενος.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ετραυμάτισαν τώ τραυματούσθαι, οι Αθλοφόροι, τόν πολέμιον καί ώφθησαν, ιατροί τών παθημάτων ημών.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Παρετάξαντο πρός τούς τυράννους, οι Αθλοφόροι, καί νικήσαντες εστέφθησαν, νικητικοίς διαδήμασι.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Αεκύησας άνευ σποράς, Παρθένε τόν Λόγον, τόν Σταυρώ εξαφανίσαντα, τήν φθοράν αγαθότητι.

Έτερος, τής Θεοτόκου

Ο Ειρμός

Εκάλυψεν ουρανούς Χριστέ ο Θεός, εν τή σή οικονομία, η αρετή τής αφράστου, σοφίας σου Φιλανθρωπε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Επάξιόν σοι ωδήν, τό Χαίρε Αγνή, οι ρυσθέντες τών κινδύνων, ταίς σαίς πρεσβείαις Παρθένε, γηθόμενοι προσάγομεν.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Επήγειρον καθ' ημών, κινδύνους πολλούς, τών παθών αι αμαρτίαι, αλλά η θεία σου σκέπη, ημάς Αγνή ερρύσατο.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ευχάριστόν σοι ωδήν, ψυχής ταίς χερσίν, επισείομεν Παρθένε, τοίς θείοις ύμνοις σκιρτώντες, εκ θλίψεως ρυσθέντες πολλής.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Μακάριοι αληθώς, οι σέβοντές σε Θεοτόκε Παναγία, ότι εν σοί αμαρτίας, καί θλίψεως ερρύσθημεν.

Ωδή ε'

Ο Ειρμός

Ορθρίζει τό πνεύμά μου, πρός σέ ο Θεός, διότι φώς εί, καί τά σά προστάγματα, εγένοντο ιάματα, τοίς δούλοις σου φιλάνθρωπε.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Υψούμενος Δέσποτα εν ξύλω σαρκί, τήν κτίσιν πάσαν, εκ βαράθρων χαλεπών, τής αγνωσίας είλκυσας, πρός γνώσίν σου φιλάνθρωπε.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Κρανίου σε τόπω εξητήσαντο, λαός άνομος, σταυρωθήναι Ιησού, τήν κάραν τήν ολέθριον, τού όφεως συντρίβοντα.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Εστήσατε δυσσεβείας ρεύματα, Χριστού Μάρτυρες, θείοις αίμασιν υμών, καί Φαραώ τόν τύραννον, εν τούτοις απεπνίξατε.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Τοίς όνυξιν αφειδώς ξεόμενοι, εσπαράξατε, τοίς ελέγχοις Αθληταί, καρδίας ματαιόφρονας, καί νικηταί γεγόνατε.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ηγίασεν ο Θεός τήν μήτραν σου, αγία Σεμνή, κατοικήσας εν αυτή, καί εν Σταυρώ υψούμενος, τήν κτίσιν συνανύψωσε.

Έτερος, τής Θεοτόκου

Ο Ειρμός

Διασκεδάσας τήν νύκτα τών παθών, λάμψον μοι φώς νοερόν, ο τό αρχέγονον σκότος, τής αβύσσου διώξας, καί τό πρωτόκτιστον φώς, καταλάμψας τώ κόσμω, Δημιουργέ τού παντός.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τής αμαρτίας αναίρεσιν πιστών, Παρθένε τέτοκας, καί εκ κινδύνων καί πόνων, διεσώθη ο κόσμος, διό τό Χαίρέ σοι, καί ημείς εκβοώμεν, ρυσθέντες εκ θλίψεως.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Κατασχεθέντες ποικίλοις πειρασμοίς, άχραντε Δέσποινα, καί αθυμία καί θλίψει, καί δεινή περιστάσει, απογνωσθέντες ημείς, ευφροσύνης ελπίδα, σέ επλουτήσαμεν.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ως σωτηρίας φύλαξ τών πιστών, καί οικετών σου Αγνή, αποδιώκεις κινδύνους, καί φρουρείς απημάντους, διό οι μέτοχοι, τών πολλών αγαθών σου, ευχαριστούμεν ωδαίς.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ευχαριστούμέν σοι ρυσθέντες διά σού, αμαρτημάτων πολλών, καί ασθενείας καί πόνων, καί κινδύνων χαλεπών, άχραντε Δέσποινα, η ελπίς η βεβαία, τών πιστών σου οικετών.

Ωδή ς'

Ο Ειρμός

Ο Ιωνάς εκ κοιλίας άδου εβόα. Ανάγαγε εκ φθοράς τήν ζωήν μου, ημείς δέ σοι βοώμεν, Παντοδύναμε Σωτήρ ελέησον ημάς.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Νοσήσασαν τών ανθρώπων τήν φύσιν, επέφανας διά σπλάγχνα ελέους, ιατρέ τών νοσούντων, καί ιάσω τώ Σταυρώ καί τώ πάθει σου.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ξύλω τό πρίν ο Αδάμ κατεκρίθη, ξύλω δέ νύν τού Σταυρού δικαιούται, τήν είσοδον λαμβάνων, Παραδείσου καί τρυφής τήν απόλαυσιν.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Υμνούμεν σε τόν Σταυρώ υψωθέντα, δοξάζομεν τόν ακάνθαις στεφθέντα, καί δόξη στεφανούντα, τούς ανθρώπους Βασιλεύ υπεράγαθε.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Λυμαντικήν απωσάμενοι βλάβην, οι Αθληταί τής ειδωλομανίας, βασάνοις ομιλούντες καί θανόντες, σύν Χριστώ βασιλεύουσιν.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ου διωγμός, ου λιμός, ου γυμνότης, ου κίνδυνοι, ουδέ θάνατος όλως, τούς θείους Αθλοφόρους, τής αγάπης τού Χριστού διεχώρισαν.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Υμνολογείς τόν εκ σού σαρκωθέντα, καί θρηνωδείς, εν Σταυρώ υψωθέντα, αυτόν κατανοούσα, Μητροπάρθενε αγνή παναμώμητε.

Έτερος τής Θεοτόκου

Ο Ειρμός

Βυθώ αμαρτημάτων, περιπεσών Αγαθέ, ως Ιωνάς εκ τού κήτους βοώ σοι. Ανάγαγε εκ φθοράς τήν ζωήν μου, καί σώσόν με φιλάνθρωπε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Αγγέλων γλώσσαι Κόρη, τά σά εγκώμια, ανακηρύττειν ου σθένουσιν Αγνή, ημείς δέ νύν δουλικώς, δανεισάμενοι τό Χαίρε, τού Γαβριήλ προσφέρομεν.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Εις βάθος αθυμίας, καί περιστάσεως, ταίς αμαρτίαις ημών, πεπτωκότες ερρύσθημεν, διά σού τής ανάγκης τών κινδύνων, Παρθένε Θεοτόκε Αγνή.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Υπόχρεων ειργάσω, πάντα τόν κόσμον Αγνή, ευχαριστείν καί αινείν καί δοξάζειν, τήν χάριν σου ευσεβώς, διά σού γάρ τών κινδύνων, καί θλίψεων λυτρούμεθα.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Εν νυκτί καί εν ημέρα, καί φανερώς καί κρυπτώς, επί τήν σήν καταφεύγομεν, πάντες βοήθειαν, Παναγία Θεοτόκε Αγνή, καί σεπτώς σε γεραίρομεν.

Ωδή ζ'

Ο Ειρμός

Κάμινον Παίδες, πυρίφλεκτον πάλαι, δροσοβολούσαν υπέδειξαν, ένα Θεόν ανυμνούντες καί λέγοντες, ο υπερυψούμενος, τών Πατέρων Θεός καί υπερένδοξος.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Βάρος κουφίζων, τών ανομιών μου, μέσον, ανόμων ανήρτησαι, επί Σταυρού Ιησού υπεράγαθε, ο

υπερυψούμενος, τών Πατέρων Θεός καί υπεράγαθος.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Λόγχη ενύγης, τήν θείαν πλευράν σου, καί τής πλευράς τό ολίσθημα, επανορθώσω, φλογίνη ρομφαία δέ, διδόναι μοι είσοδον, Παραδείσου, Σώτερ προστάττεις πάντοτε.

### Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Άστρα εν ύψει, τεθεμελιωμένα, τής Εκκλησίας οι Άγιοι, γεγενημένοι τήν κτίσιν αυγάζουσιν, άθλων ταίς λαμπρότησι, καί τών ιαμάτων φαιδρότησι.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Βίβλος προσφέρει, αεί γεγραμμένους, ζώντων Κυρίου τούς Μάρτυρας, τά γεγραμμένα Θεού δικαιώματα, προθύμως φυλάξαντας, καί ενηθληκότας στερρότατα.

### Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Η Παναγία, πανάγιον Λόγον, τόν εξ αυτής ανατείλαντα, εν τώ αγίω Σταυρώ ανυψούμενον, καί καθαγιάζοντα τούς ανθρώπους, ορώσα επωδύρετο.

### Έτερος, τής Θεοτόκου

### Ο Ειρμός

Τούς εν Καμίνω Παίδας μιμούμενοι, οι τού Πνεύματος τήν δρόσον δεξάμενοι, εν πίστει κραυγάζομεν. Ευλογείτε τά έργα, Κυρίου τόν Κύριον.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τό Χαίρειν ευχαρίστως σοι προσφέρομεν, πάσης δυσχερείας διά σού, Μήτηρ Θεού ως αληθώς λελυτρωμένοι καί συμφώνως κράζοντες, εν ευφροσύνη καί χαρά, σε μεγαλύνομεν.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ηυλίσθημεν εσπέρας, κλαυθμώ πολλώ, επί τή προσδοκία τών κακών, αλλά τήν σήν θεοπρεπή σκέπην Παρθένε, δεηθέντες εύρομεν, αγαλλίασιν καί λύσιν, απάσης θλίψεως.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ως θείον καταφύγιον, τήν σκέπην σου, πάντες κεκτημένοι πρός Θεόν, εν πειρασμοίς καί διωγμοίς, καί αμαρτίαις, επί σοί προσπίπτομεν, καί διά σού απαλλαγήν, πλουτούμεν Άχραντε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τήν χάριν τής πρεσβείας σου κηρύττομεν, στόματι καί πνεύματι αεί, ως δι' αυτής καί πειρασμών καί τυραννίδος, καί βαρείας θλίψεως, καί παντοίων παθών, οι δούλοί σου λυτρούμενοι.

### Ωδή η'

### Ο Ειρμός

Τόν μόνον άναρχον, Βασιλέα τής δόξης, όν ευλογούσιν ουρανών αι Δυνάμεις, καί φρίττουσι τών Αγγέλων αι τάξεις, υμνείτε Ιερείς, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Νεκρόν με έδειξε, τό τής γνώσεως ξύλον, σύ δε Χριστέ μου νεκρωθείς επί ξύλου, εζώωσας καί εφώτισας ψάλλειν, Υμνείτε Ιερείς, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ακάνθαις έστεψεν, ο παράνομος δήμος, σέ Βασιλεύ παρακοής εκριζούντα, τήν άκανθαν, Αδάμ τού πρωτοπλάστου, καί ύψωσε Σταυρώ, τόν πάντας εκ τού βάθους, ελκύσαντα τής πλάνης.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Συνέσει τείναντα, ουρανούς σε τανύει, επί τού ξύλου ο λαός ο αγνώμων, ιώμενον τάς ημών αμαρτίας, τώ πάθει σου Σωτήρ, καί παύσαντα τούς πόνους, τοίς εκ τών ήλων πόνοις.

Μαρτυρικόν

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Μαρτύρων λείψανα, ευωδίαν θαυμάτων, τοίς προσιούσιν αδιστάκτω καρδία, εκπέμπουσι, καί παθών δυσωδίαν, διώκουσιν αεί, καί πάσιν ευρωστίαν, ενθέως χορηγούσι.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Αγίων τάγματα, λιτανεύουσι Κόρη, τόν εκ γαστρός σου προελθόντα Δεσπότην, τόν δείξαντα, εν Σταυρώ τούτοις τρίβον, αθλήσεως Αγνή, καί σέ δοξολογούσιν, ως πάντων Βασιλίδα.

Έτερος, τής Θεοτόκου

Ο Ειρμός

Τόν υπ' Αγγέλων ασιγήτως, εν υψίστοις δοξαζόμενον Θεόν, οι ουρανοί τών ουρανών, γή καί όροι καί βουνοί καί βυθός, καί πάν γένος ανθρώπων, ύμνοις αυτόν ως Κτίστην, καί Λυτρωτήν ευλογείτε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ως λυτρωθέντες καταιγίδος, αμαρτίας καί παθών καί πειρασμών, ταίς σαίς πρεσβείαις αγαθή, Θεοτόκε ευχαρίστω φωνή, τό Χαίρε σοι βοώμεν, ως διά σού εκ θλίψεως, εις χαράν μετελθόντες.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Εν τή οδύνη τών κινδύνων, κεκραγότας ου παρείδες Αγαθή, αλλά δεήσεως πτωχής, επακούσασα ερρύσω ημάς, εκ θλίψεως μεγάλης, όθεν πιστώς τήν σήν πρεσβείαν, Αγνή ανυμνούμεν.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Αμαρτημάτων καί πταισμάτων, η αιτία νύν επήγειρεν ημίν, θλίψεις κινδύνων καί παθών, καί ανθρώπων πειρασμούς απηνείς, ταίς σαίς Θεοκυήτορ, θείαις λιταίς ερρύσθημεν, εξ εχθρών παραδόξως.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Οι οικτιρμοί σου επί πάντας, αενάως καταπέμπονται Χριστέ, αγαθοδότως αληθώς, ταίς πρεσβείαις τής Τεκούσης σε, εν ταύτη γάρ πλουτούμεν, Χριστιανοί τό έλεός σου, Σωτήρ ελεήμον.

Ωδή θ'

Ο Ειρμός

Πανύμνητε, τών ουρανών υψηλοτέρα, η τόν άναρχον Λόγον ασπόρως συλλαβούσα, καί σεσαρκωμένον Θεόν, τεκούσα τοίς ανθρώποις, ωδαίς πάντες σε πιστοί μεγαλύνομεν.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ικρίω σε, ανυψωθέντα ως εώρα, Βασιλεύ τών απάντων ο ήλιος εσβέσθη, καί τό καταπέτασμα τό

τού ναού, ερράγη, η φαιδρότης Ιησού παντοδύναμε.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ώ ρυξάν σου, χείρας, οι άνομοι καί πόδας, καί πλευράν ζωηφόρον, εκέντησαν τή λόγχη, καί χολήν καί όξος σε, επότισαν Οικτίρμον, τού παντός τόν γλυκασμόν καί Θεόν ημών.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Συνέτριψαν, τού αρχεκάκου τάς παγίδας, συντριβόμενοι πάσαις, ιδέαις τών βασάνων, καί στεφανηφόροι τή νίκη γεγονότες, οι γενναίοι Αθληταί μακαρίζονται.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ηγίασαν, τή καταθέσει τών λειψάνων, πάσαν γήν οι Αθλοφόροι καί έπαυσαν τάς κνίσσας, τών ειδωλοθύτων, πυρί προσομιλούντες, καί εν τούτω μυστικώς, ολοκαυτούμενοι.

Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φιλάγαθε, τών Χερουβείμ αγιωτέρα, η Θεού Θεόν Λόγον σαρκί, αποτεκούσα, τόν ανυψωθέντα σαρκί Σταυρώ εθελουσίως, υπέρ πάντων εκτενώς, τούτον πρέσβευε.

Έτερος, τής Θεοτόκου

Ο Ειρμός

Ασπόρου τόκου σύλληψιν, τίς ερμηνεύσει βροτών; αφθόνου τόκου γέννησιν, τίς μή θαυμάει γηγενών; διό σε αι φυλαί τής γής, Θεοτόκε μεγαλύνομεν.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τό Χαίρε επαξίως σοι, μετά φωνής αλαλαγμού, Παρθένε νύν προσφέρομεν, σύν τώ Αγγέλω Γαβριήλ, ρυσθέντες εκ ποικίλων πειρασμών, Θεοτόκε ταίς πρεσβείαις σου.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Χαρά καί αγαλλίασις, καί ευφροσύνη θεϊκή, Παρθένε απειρόγαμε ημίν επλήθυνε Θεού, ιδού γάρ οι πενθούντες χαλεπώς, αγαλλόμεθα πρεσβείαις σου.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Θυσίαν σοι αινέσεως, θύω καί γλώσση καί φωνή, ωδήν ευχαριστήριον, αποδιδούς σοι εκτενώς, Παρθένε ως ηυξάμην διά σού, εν ημέρα ρυσθείς εκ θλίψεως.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Συγχαίρομέν σοι Άχραντε, τώ θείω τόκω ευσεβώς, χαράν ημίν έβλυσας, εκ θλίψεως καί πειρασμού, διό σοι ευχαρίστως καί ημείς, τήν ωδήν αποπληρούμεν.

Απόστιχα τών Αίνων, Σταυρώσιμα

Δεσπότης ών φιλάνθρωπε Ζωοδότα, εξηγόρασας διά Σταυρού σου τήν οικουμένην, Κύριε δόξα σοι.

Στίχ. α'. Ενεπλήσθημεν τό πρωϊ τού ελέους σου, Κύριε, καί ηγαλλιασάμεθα καί ηυφράνθημεν έν πάσαις ταίς ημέραις ημών. Ευφρανθείημεν, ανθών ημερών εταπείνωσας ημάς, ετών, ών είδομεν κακά, καί ίδε επί τούς δούλους σου καί επί τά έργα σου, καί οδήγησον τούς υιούς αυτών.

Σταυρώ προσηλώθη, η άμπελος η αληθινή, ετρύγησαν τά έθνη, Παράδεισον μετά Ληστού. Αύτη η

δόξα τής Εκκλησίας, ούτος ο πλούτος τής βασιλείας, ο παθών δι' ημάς, Κύριε δόξα σοι.

Μαρτυρικόν

Στίχ. β'. Καί έστω η λαμπρότης Κυρίου τού Θεού ημών εφ' ημάς, καί τά έργα τών χειρών ημών κατεύθυνον εφ' ημάς, καί τό έργον τών χειρών ημών κατεύθυνον.

Τήν μνήμην τών αγίων σου, Αθλοφόρων εορτάζοντες, σέ ανυμνούμεν Χριστέ βοώντες, Κύριε δόξα σοι.

Δόξα... Καί νύν... Σταυροθεοτοκίον

Σήμερον γρηγορεί ο Ιούδας

Σταύρωσιν καί σφαγήν ως κακούργος, κατεδέξω Μακρόθυμε, ίνα πεπτωκότας ημάς διά ξύλου, πάλιν διά ξύλου Σταυρού σου υψώσης, αλλ' η τετοκυία σε Παρθένος εξεπλήττετο, νεκρόν καθορώσά σε, καί στένουσα έκραζεν. Ώ μανία άδικος! πώς κτείνουσιν άνομοι τόν Δίκαιον;

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Οι Μακαρισμοί

Μακάριοι οι ειρηνοποιοί, ότι αυτοί υιοί Θεού κληθήσονται.

Ωραίος ήν καί καλός εις βρώσιν, ο εμέ θανατώσας καρπός, Χριστός εστι τό ξύλον τής ζωής, εξ ού φαγών ου θνήσκω, αλλά βοώ σύν τώ Ληστή. Μνήσθητί μου Κύριε, εν τή Βασιλεία σου.

Μακάριοι οι δεδιωγμένοι ένεκεν δικαιοσύνης, ότι αυτών εστιν η βασιλεία τών ουρανών.

Ιώμενος τού Αδάμ τό άλγος, ό υπέστη εχθρού συμβουλή, υψώθης επί ξύλου Βασιλεύ, καί άλγος καθυπέστης, χείρας καί πόδας, ηλωθείς, όθεν σου δοξάζομεν, Λόγε τό μακρόθυμον.

Μακάριοί εστε όταν ονειδίσωσιν υμάς, καί διώξωσι, καί είπωσι πάν πονηρόν ρήμα καθυμών ψευδόμενοι ένεκεν εμού.

Εν μέσω σε τών ανόμων δήμος, τών Εβραίων εσταύρωσε, τόν μόνον Νομοδότην Λυτρωτά, πάσης παρανομίας, εκλυτρούμενον Χριστέ, γένος τό ανθρώπινον, όθεν ανυμνούμέν σε.

Μαρτυρικόν

Χαίρετε καί αγαλλιάσθε, ότι ο μισθός υμών πολύς εν τοίς ουρανοίς.

Τά στίγματα τών πολλών βασάνων, ως τερπνά ωραϊσματα, προσφέροντες οι θείοι Αθληταί, κόσμος τής Εκκλησίας, εγνωρίσθησαν φαιδρός, πάντοτε πρεσβεύοντες, υπέρ τών ψυχών ημών.

Δόξα...

Διάσωσον ώ Τριάς αγία, τούς σούς δούλους υμνούντάς σε, δυνάμωσον ισχΰϊ τού Σταυρού, καί πρός τήν άνω Πόλιν, βαίνειν οδήγησον ημάς, ένθα καί γενόμενοι, εύροιμεν τό έλεος.

Καί νύν... Σταυροθεοτοκίον

Μή έχοντα καθορώσα είδος, ουδέ κάλλος Χριστέ, σέ σαρκί υψούμενον εν ξύλω τού Σταυρού, η πάναγνος Παρθένος, ανεβσε άνομοι, Τέκνον κατεσπάραξαν.

HYPERLINK "" \l "top" top

7-7

## Στιχηρά Μαρτυρικά

Ήχος βαρύς

Στίχ. α'. Εάν ανομίας παρατηρήσης, Κύριε, Κύριε τίς υποστήσεται; ότι παρά σοί ο ιλασμός εστιν.

Άγιοι Μάρτυρες, οι καλώς αθλήσαντες, καί στεφανωθέντες, πρεσβεύσατε πρός Κύριον, ελεήθήναι τάς ψυχάς ημών.

Στίχ. β'. Ένεκεν τού ονόματός σου υπέμεινά σε, Κύριε, υπέμεινεν η ψυχή μου εις τόν λόγον σου, ήλπισεν η ψυχή μου επί τόν Κύριον.

Καταφρονήσαντες πάντων τών επί γής, άνιοι Μάρτυρες. καί εν σταδίω τόν Χριστόν ανδρειως κηρύξαντες, αμοιβάς τών βασάνων, παρ' αυτού εκομίσασθε, αλλ' ως έχοντες παρρησίαν, αυτόν

ικετεύσατε, ως Θεόν παντοδύναμον, τάς ψυχάς ημών σώσαι, τών εις υμάς προστρεχόντων δεόμεθα.

Στίχ. γ'. Από φυλακής πρωϊας μέχρι νυκτός, από φυλακής πρωϊας ελπισάτω Ισραήλ επί τόν Κύριον.

Πανεύφημοι Μάρτυρες, θρέμματα πνευματικα, ολοκαυτώματα λογικά, θυσία δεκτή, ευάρεστος τώ Θεώ, υμάς ουχ η γή κατέκρυψεν, αλλ' ουρανός υπεδέξατο. Αγγέλων συμμέτοχοι γεγόνατε, μεθ' ών ικετεύσατε δεόμεθα, τώ Σωτήρι καί Θεώ ημών, ειρηνεύσαι τόν κόσμον, καί σώσαι τάς ψυχάς ημών.

Έτερα Προσόμοια, Δεσποτικά

Ουκ έτι κωλυόμεθα

Στίχ. δ'. Ότι παρά τώ Κυρίω τό έλεος, καί πολλή παρ' αυτώ, λύτρωσις. καί αυτός λυτρώσεται τόν Ισραήλ έκ πασών τών ανομιών αυτού.

Σώτερ μή καταισχύνης με, όταν έλθης κρίναι κόσμον άπαντα, τόν αισχύνης έργα ποιήσαντα.

Στίχ. ε'. Αινείτε τόν Κύριον πάντα τά έθνη, επαινέσατε αυτόν, πάντες οι λαοί.

Αμέτρητά σοι πταίσας, αμετρήτους κολάσεις εκδέχομαι, ο Θεός μου οίκτειρον καί σώσόν με.

Νεκρώσιμον

Στίχ. ς'. Ότι εκραταιώθη τό έλεος αυτού εφ' ημάς, καί η αλήθεια τού Κυρίου μένει εις τόν αιώνα.
Άγιοι Μάρτυρες, οι καλώς αθλήσαντες, καί στεφανωθέντες, πρεσβεύσατε πρός Κύριον, ελεηθήναι τάς ψυχάς ημών.

Ανάπαυσον τούς πίστει κεκοιμημένους, εν αυλαίς σου Δέσποτα, καί Βασιλείας σου αξίωσον.

Δόξα... Καί νύν... Θεοτοκίον

Μήτηρ μέν εγνώσθης, υπέρ φύσιν Θεοτόκε, έμεινας δέ Παρθένος, υπέρ λόγον καί έννοιαν, καί τό θαύμα τού τόκου σου, ερμηνεύσαι γλώσσα ου δύναται, παραδόξου γάρ ούσης τής συλλήψεως Αγνή, ακατάληπτός εστιν ο τρόπος τής κυήσεως, όπου γάρ βούλεται Θεός, νικάται φύσεως τάξις. Διό σε πάντες Μητέρα τού Θεού γινώσκοντες, δεόμεθά σου εκτενώς, πρέσβευε, τού σωθήναι τάς ψυχάς ημών.

Απόστιχα, Δεσποτικόν

Στίχ. Μνησθήσομαι τού ονόματός σου εν πάση γενεά καί γενεά.

Δόξα σοι Χριστέ ο Θεός, Αποστόλων καύχημα, Μαρτύρων αγαλλίαμα, ών τό κήρυγμα, Τριάς η ομοούσιος.

Νεκρώσιμα

Στιχ. Άκουσον, θύγατερ, καί ίδε, καί κλίνον τό ούς σου, καί επιλάθου τού λαού σου καί τού οίκου τού Πατρός σου.

Κατ' εικόνα σήν καί ομοίωσιν, πλαστουργήσας κατ' αρχάς τόν άνθρωπον, εν Παραδείσω τέθεικας, κατάρχειν σου τών κτισμάτων, φθόνω δέ διαβόλου απατηθείς, τής βρώσεως μετέσχε, τών εντολών σου παραβάτης γεγονώς, διό πάλιν αυτόν εις γήν εξ ής ελήφθη, κατεδίκασας επιστρέφειν Κύριε, καί αι τείσθαι τήν ανάπαυσιν.

Στιχ. Τό πρόσωπόν σου λιτανεύσουσιν οι πλούσιοι τού λαού.

Ανάπαυσον Σωτήρ ημών ζωοδότα, ούς μετέστησας αδελφούς ημών, εκ τών προσκαίρων, κράζοντας, Κύριε δόξα σοι.

Δόξα... Καί νύν... Θεοτοκίον

Όρος θείον άγιον, είδέ σε ο Δανιήλ, καί Ησαϊας δέ ο σοφός, Μητέρα Θεού εκήρυξέ σε Σεμνή, Θεόν εν σαρκί χωρήσασαν, τόν Αδάμ πλαστουργήσαντα, όν τά Χερουβείμ ετρόμαξαν σαρκούμενον, υμνούντα καί δοξάζοντα, ασιγήτω τρισαγία φωνή, αλλά τούτον αίτησαι, σωθήναι τάς ψυχάς ημών.

Μετά τήν α' Στιχολογίαν

Καθίσματα Μαρτυρικά. Ήχος βαρύς

Οι Μάρτυρές σου Κύριε, τόν εχθρόν ετροπώσαντο, καί τών ειδώλων τήν πλάνην κατήργησαν, καθοπλισάμενοι τού Σταυρού τήν δύναμιν, διό καί σύν Αγγέλοις ανυμνούντες, κραυγάζουσι τόν επινίκιον ύμνον, δοξολογούντές σε Χριστέ. Αυτών ταίς ικεσίαις, δώρησαι ημίν τό μέγα έλεος.

Οι Άγιοί σου Κύριε, επί τής γής αγωνισάμενοι, τόν εχθρόν κατεπάτησαν, καί τών ειδώλων τήν πλάνην κατήργησαν, διό καί τούς στεφάνους, παρά σού εκομίσαντο, τού φιλανθρώπου Δεσπότου, καί ελεήμονος Θεού, τού παρέχοντος τώ κόσμω τό μέγα έλεος.

Δόξα... Καί νύν... Θεοτοκίον

Ως τής ημών Αναστάσεως θησαύρισμα, τούς επί σοί πεποιθότας Πανύμνητε, εκ λάκκου καί βυθού πταισμάτων ανάγαγε, σύ γαρ τούς υπευθύνους τή αμαρτία, έσωσας τεκούσα τήν σωτηρίαν, η πρό τόκου Παρθένος, καί εν τόκω Παρθένος, καί μετά τόκον πάλιν ούσα Παρθένος.

Έτερα Καθίσματα, μετά τόν άμωμον

Μαρτυρικόν

Άγιοι πρεσβεύσατε, άφεσιν δοθήναι ημίν, τών πλημμελημάτων ημών, καί τών προσδοκωμένων δεινών, ρυσθήναι ημάς, καί πικρού θανάτου δεόμεθα.

Νεκρώσιμον

Ο θάνατός σου Κύριε, τοίς νεκροίς ζωήν εξήνθησε, τόν γάρ άδην εσκύλευσας, ανακαλύπτων τούς εν σκότει καθεύδοντας, διό σε Ζωοδότα, ως Θεόν ικετεύομεν. Ούς εξ ημών προσελάβου, μετά Δικαίων ανάπαυσον, όπως εύρωσιν εν κρίσει, τό μέγα έλεος.

Δόξα... Καί νύν... Θεοτοκίον

Χαίρε η τόν αχώρητον εν ουρανοίς, χωρήσασα εν μήτρα σου. Χαίρε Παρθένε τών Προφητών τό κήρυγμα, εξ ής έλαμψεν ο Εμμανουήλ. Χαίρε Μήτηρ Χριστού τού Θεού.

Κανών εις Μάρτυρας, Οσίους, Ιεράρχας, καί εις Κοιμηθέντας, ού η Ακροστιχίς

Χορούς ανυμνώ Ποιμένων καί Μαρτύρων, εγώ ο Ιωσήφ

Ωδή α' Ήχος βαρύς

Ο Είρμός

Τώ συνεργήσαντι Θεώ, Μωϋσή εν Αιγύπτω, εξαγαγείν τόν Ισραήλ, αυτώ μόνω άσωμεν, ότι δεδόξασται.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Χορός Μαρτύρων απλανών, πάσαν πλάνην νικήσας, τού πολεμήτορος, χορεύει γηθόμενος, πρό προσώπου τού Κτίσαντος.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Οι Ιεράρχαι τού Χριστού, καί οι Όσιοι πάντες, αγωνισάμενοι, τρυφής ηξιώθησαν, αιωνίου εν χάριτι.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ρύσαι ημάς πάσης οργής, Προφητών καί Οσίων, καί Γυναικών ιερών, Χριστέ παρακλήσεσι, καί σώσον τάς ψυχάς ημών.

Νεκρώσιμον

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ο διαπλάσας με εκ γής, καί εις γήν πάλιν Λόγε, καθυποστρέφειν με, κελεύσας ανάπαυσον, ούς εν πίστει μετέστησας.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Υπεραγία η Θεόν, υπεράγιον Λόγον, αποκυήσασα, αγίασον άπαντας, τούς πίστει σε δοξάζοντας.

Έτερος, εις Κοιμηθέντας, ού η Ακροστιχίς
Κανών τόν αυτόν έβδομος σκοπόν φέρων

Ο Ειρμός
Νεύσει σου πρός γεώδη, αντιτυπίαν μετήχθη, η πρίν ευδιάχυτος, υδάτων φύσις Κύριε, όθεν αβρόχως πεζεύσας, άδει Ισραήλ σοι, ωδήν επινίκιον.

Στίχ. Πρεσβείαις τών Μαρτύρων σου ανάπαυσον, Κύριε, τάς ψυχάς τών δούλων σου.

Κόσμος ωραϊσμένος, τών αρετών ταίς ιδέαις, καί θείον ανάθημα, τοίς διαφόροις κάλλεσι, λάμπον ταίς θεοσημείαις, Μάρτυρες Χριστώ, τώ Θεώ προσηνέχθητε.

Στίχ. Αί ψυχαί αυτών εν αγαθοίς αυλισθήσονται.

Αίγλης τής απροσίτου, καί τρισηλίου λαμπάδος, τυχείν καταξίωσον, τούς μεταστάντας δούλους σου, ένθα απέδρα οδύνη, λύπη στεναγμός, πολυέλεε Κύριε.

Στίχ. Μακάριοι ούς εξελέξω καί προσλάβω Κύριε.

Νεκρώσει Ζωοδότα, κατακριθείσαν τήν φύσιν, ζωή ενυπόστατος, υπάρχων Χριστέ ήγειρας, όθεν ως μόνος οικτίρμων, πίστει τούς πρός σέ, μεταστάντας ανάπαυσον.

Θεοτοκίον
Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ώρθωσας Παναγία, τήν τής προμήτορος πτώσιν, τεκούσα τόν Κύριον, τόν ταύτην αναστήσαντα, Λόγον τόν εν τοίς μνημείοις, πνέοντα ζωήν, εξουσία θεότητος.

Ωδή γ'
Ο Ειρμός
Οι ορθρίζοντες Λόγε, εις δόξαν σήν καί αίνον, ανυμνούμεν απαύστως, τόν τύπον τού Σταυρού σου, όν έδωκας ημίν, όπλον εις βοήθειαν.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Συντριβόμενοι λίθοις, καί βόθροις ομιλούντες, συνετρίψατε πάσαν, τού πλάνου δυναστείαν, καί άθραυστοι τόν νούν, εμείνατε Άγιοι.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Αίγλη θείων δογμάτων, καί αρετών ταίς ακτίσιν, οι σοφοί Ιεράρχαι, πιστούς φωταγωγούντες, αιρέσεων αχλύν, πάσαν διεσκέδασαν.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Νεκρωθέντες τώ κόσμω, οι Οσιοί σου Λόγε, υπερκόσμιον όντως, ζωήν κληρονομούσι, δι' ών ημάς Χριστέ, άπαντας οικτείρησον.

Νεκρώσιμον
Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Υπέρ τών μεταστάντων, εν πίστει καί ελπίδι, ικετεύομεν πάντες, τόν αγαθόν Δεσπότην, τού φείσασθαι αυτών, εν ώρα τής κρίσεως.

Θεοτοκίον
Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Μή κενώσας τούς κόλπους, τούς Πατρικούς ο Λόγος, σοίς εν κόλποις ως βρέφος, κρατούμενος ωράθη αρχήν εκ σού λαβών, Άχραντε ο άναρχος.

Έτερος, εις Κοιμηθέντας
Ο Ειρμός

Ο κατ' αρχάς τούς ουρανούς, παντοδυνάμω σου Λόγω, στερεώσας Κύριε Σωτήρ, καί τώ παντουργώ καί θείω Πνεύματι, πάσαν τήν δύναμιν αυτών, εν ασαλεύτω με πέτρα, τής ομολογίας σου στερέωσον.

Στίχ. Πρεσβείαις τών Μαρτύρων σου ανάπαυσον, Κύριε, τάς ψυχάς τών δούλων σου.

Νεανικήν καί σταθηράν, τήν καρτερίαν ανδρείως, οι Μαρτύρων έδειξαν χοροί, τών γάρ αικισμών τήν ρύμην ήνεγκαν, καί τών βασάνων τάς πληγάς, τής ακηράτου σου δόξης, Σώτερ εφιέμενοι καί τέρψεως.

Στίχ. Αί ψυχαί αυτών εν αγαθοίς αυλισθήσονται.

Τής αιωνίου σου ζωής, τών επ' ελπίδι θανέντων, Ελεήμον πρόσδεξαι ψυχάς, καί τών ορεκτών καί θείων εύσπλαγχνε, κόλπων τού θείου Αβραάμ, ένδον σκηνώσας Λαζάρω καί τοίς εκλεκτοίς σου συναρίθμησον.

Στίχ. Μακάριοι ούς εξελέξω καί προσλάβω Κύριε.

Ο καταβάς εξ ουρανού, επί τό σώσαι τό γένος, τών ανθρώπων εύσπλαγχνε Σωτήρ, αϋλου φωτός καί θείας δόξης σου, κατατρυφήσαι καί χαράς, τούς ευσεβώς μεταστάντας, τή σή ευσπλαγχνία καταξίωσον.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νόμοι τής φύσεως εν σοί, τόν απερίληπτον Λόγον, συλλαβούση λέλυνται Αγνή, καί νόμος ημίν ο θείος δέδοται, πάσι τήν άφεσιν διδούς, απεγνωσμένοις πταισμάτων, χάριτι τής θείας αγαθότητος.

Ωδή δ'
Ο Ειρμός

Τήν ένσαρκον παρουσίαν σου Χριστέ, πιστούμενος ο Προφήτης, Αββακούμ εκραύγαζε. Δόξα τή δυνάμει σου Κύριε.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Νευρούμενοι τή πρός Κύριον στοργή, οι Μάρτυρες, εξενεύρισαν εχθρού τήν δύναμιν, όθεν μακαρίζονται.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ως θρέμματα τού Ποιμένος καί Αμνού, μακάριοι, Ιεράρχαι λογικής προέστητε, ποίμνης θεία χάριτι.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Πολύφωτοι ως αστέρες αρετών, λαμπρότητι, κατηυγάσατε πιστών πληρώματα, Όσιοι Πατέρες ημών.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ομήγυρις στερροτάτων Γυναικών, καί σύλλογος, τών αγίων Προφητών τετύχηκε, τών εν ουρανοίς αγαθών.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ικέτευε όν εκύησας Θεόν, Πανύμνητε, πειρασμών παντοδαπών καί θλίψεων, ρύσασθαι τήν ποίμνην σου.

Έτερος, εις Κοιμηθέντας

Ο Ειρμός

Ο Πατρικούς κόλπους μή λιπών, καί καταβάς επί τής γής Χριστέ ο Θεός, τό μυστήριον ακήκοα, τής οικονομίας σου, καί εδόξασά σε μόνε Φιλάνθρωπε.

Στίχ. Πρεσβείαις τών Μαρτύρων σου ανάπαυσον, Κύριε, τάς ψυχάς τών δούλων σου.

Αθλητικούς πόνους καρτερώς, επιδειξάμενοι Χριστέ οι Μάρτυρες, τούς στεφάνους ανεδήσαντο, τής δικαιοσύνης σου, καί εδόξασάν σου τήν δύναμιν.

Στίχ. Αί ψυχαί αυτών εν αγαθοίς αυλισθήσονται.

Υπερφυούς δόξης σου Χριστέ, τούς μεταστάντας ευσεβώς αξίωσον, όταν έλθης εν τή δόξη σου, μετά τών Αγγέλων σου, ως Οικτίρμων καί πολυέλεος.

Στίχ. Μακάριοι ούς εξελέξω καί προσλάβω Κύριε.

Τρισσοφαούς αίγλης αγαθέ, καί ενιαίας αστραπή θεότητος, απολαύσαι καταξίωσον, τούς προεκδημήσαντας, καί δοξάζοντάς σε Φιλάνθρωπε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ο Πατρικούς κόλπους μή λιπών, παρθενικοίς κόλποις ο Χριστός αυλίζεται, καί θανάτου ελυτρώσατο, τούς σέ μακαρίζοντας, Θεομήτορ μόνη πανύμνητε.

Ωδή ε'

Ο Ειρμός

Ορθρίζει τό πνεύμά μου πρός σέ ο Θεός, διότι φώς εί, καί τά σά προστάγματα, εγένοντο ιάματα, τοίς δούλοις σου Φιλάνθρωπε.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Μωλώπων σαρκός κατεφρονήσατε, στερροί Αθληταί καί τούς μώλωπας πάντων, ιάσθε καί τά τραύματα, τών προσερχομένων υμίν.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ελάβετε λύειν καί δεσμείν επί γής, τήν εξουσίαν, Ιεράρχαι τού Χριστού, διό τά τών κακών ημών, αεί φορτία λύσατε.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Νοϊ καθαρώ τώ Θεώ ενούμενοι, χοροί Ασκητών, Προφητών καί Δικαίων καί Γυναικών, χορεύουσι, χορείαν ακατάλυτον.

Νεκρώσιμον

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ως μόνος υπάρχων πολυέλεος, τούς πίστει Χριστέ, μεταστάντας τού βίου, τού Παραδείσου ποίησον, Φιλάνθρωπε οικήτορας.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νυμφών ακατάλυτος οφθείσα Θεού, δυσώπει αυτόν, Παναγία Παρθένε, τού νυμφώνος οικήτορα, τού νοητού γενέσθαι με.

Έτερος εις Κοιμηθέντας
Ο Ειρμός

Κύριε ο Θεός μου, εκ νυκτός ορθρίσας σέ ικετεύω, παράσχου μοι άφεσιν, τών παραπτωμάτων μου, καί πρός φώς τών σών προσταγμάτων, τάς οδούς μου εύθυνον δέομαι.

Στίχ. Πρεσβείαις τών Μαρτύρων σου ανάπαυσον, Κύριε, τάς ψυχάς τών δούλων σου.

Νέκρωσιν ζωηφόρον, διά τών βασάνων εξυφανθείσαν, πανεύφημοι Μάρτυρες, περιβεβλημένοι φαιδρώς, ταίς ψυχαίς τών προκοιμηθέντων, τήν θείαν αιτήσασθε άνεσιν.

Στίχ. Αί ψυχαί αυτών εν αγαθοίς αυλισθήσονται.

Εκ τών αδαπανήτων, θησαυρών προχέων τήν ευσπλαγχνίαν, ψυχάς άς μετέστησας, σύν τοίς πρωτοτόκοις σου, εν σκηναίς ταίς ακαταλύτοις, ευδόκησον Σώτερ αυλίζεσθε.

Στίχ. Μακάριοι ούς εξελέξω καί προσλάβω Κύριε.

Βάρος αποθεμένους, καί δεσμών λυθέντας νύν πρός τήν άνω, ζωήν τούς οικέτας σου, μεταβεβηκότας Χριστέ, εντρυφάν ταίς τών σών Αγίων, λαμπρότησι Σώτερ ευδόκησον.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Δέσποινα Θεομήτορ, τών εμών πταισμάτων λύσιν παράσχου, καί δός μοι συγχώρησιν, τών πλημμελημάτων μου, η ζωήν τώ κόσμω τεκούσα. Πανάμωμε τήν ενυπόστατον.

Ο Ειρμός
Ωδή ς

Ο Ιωνάς εκ κοιλίας άδου εβόα. Ανάγαγε εκ φθοράς τήν ζωήν μου, ημείς δέ σοι βοώμεν, Παντοδύναμε Σωτήρ ελέησον ημάς.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Καθείλετε τού εχθρού τάς επάρσεις, υψούμενοι πρός Θεόν εν τοίς άθλοις, πανένδοξοι Οπλίται, οικήτορες ουρανών χρηματίζοντες.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Αιρέσεων τόν χειμώνα σοβούντες, οι τού Χριστού αληθείς Ιεράρχαι, πρός έαρ αληθείας, τήν πληθύν τών ευσεβών μετεβίβασαν.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ισχύϊ σου τών Οσίων τά πλήθη, καί Προφητων καί Γυναίων αγίων, Χριστέ δικαιωθέντα, τού αδύτου φωτισμού απολαύουσι.

Νεκρώσιμον

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Μετέστησας τών προσκαίρων Οικτίρμον, τούς δούλους σου, αλλ' αυτούς αιωνίου, μετασχείν ευφροσύνης, καί ζωής αληθινής καταξίωσον.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Αγίασον, Παναγία Παρθένε, τούς δούλους σου, τόν πανάγιον Λόγον σαρκί αποτεκούσα, όν υμνεί πάσα πνοή αγιάζουσα.

Έτερος, εις Κοιμηθέντας
Ο Ειρμός
Ναυτιών τώ σάλω, τών βιωτικών μελημάτων, συμπλόοις ποντούμενος αμαρτίαις, καί ψυχοφθόρω θηρί προσριπτούμενος, ως ο Ιωνάς Χριστέ βοώ σοι. Εκ θανατηφόρου με βυθού ανάγαγε.

Στίχ. Πρεσβείαις τών Μαρτύρων σου ανάπαυσον, Κύριε, τάς ψυχάς τών δούλων σου.

Ο χορός τών Μαρτύρων, τάς δυσφορωτάτας οδύνας, στερρώς καρτερήσαντες, τάς απόνους, καί ανωδύνους τρυφάς εκαρπώσαντο, τής δικαιοσύνης τούς στεφάνους, εκ τής ζωηφόρου δεξιάς δεξάμενοι.

Στίχ. Αί ψυχαί αυτών εν αγαθοίς αυλισθήσονται.

Μετά τών Δικαίων, ένθα τών Αγγέλων χορείαι, καί όπου λαμπρότητες τών Αγίων, καί αιωνίου ζωής απόλαυσις, τούς προκοιμηθέντας σου οικέτας, τάξον ελεήμον ως Θεός αθάνατος.
Θεοτοκίον
Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ο βουλήσει θεία, δημιουργική τε δυνάμει, τό πάν συστησάμενος εκ μή όντων, εκ τής γαστρός σου Αγνή προελήλυθε, καί τούς εν τώ σκότει τού θανάτου, πάντας ως Θεός, εκ φθοράς αφήρπασε.

Ωδή ζ'
Ο Ειρμός
Ο τών Πατέρων καί ημών Θεός, ευλογητός εί εις τούς αιώνας.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ροαίς αιμάτων οι Αθλοφόροι, τής ασεβείας έσβεσαν φλόγα.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Τούς Ιεράρχας φωστήρας κόσμου, γεγενημένους ανευφημούμεν.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ύμνοις τιμάσθω τών Προφητών τε, καί τών Οσίων άγιος δήμος.
Νεκρώσιμον
Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ρύσαι γεέννης ούς προσελάβου, πιστούς σου δούλους Χριστέ οικτίρμον.
Θεοτοκίον
Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ως τών Αγγέλων τιμιωτέραν, τήν Θεοτόκον υμνολογούμεν.

Έτερος, εις Κοιμηθέντας
Ο Ειρμός
Οι εν καμίνω τού πυρός, εμβληθέντες όσιοι Παίδες, τό πύρ εις δρόσον μετέβαλον, διά τής υμνωδίας ούτω βοώντες, Ευλογητός εί Κύριε, ο Θεός ο τών Πατέρων ημών.

Στίχ. Πρεσβείαις τών Μαρτύρων σου ανάπαυσον, Κύριε, τάς ψυχάς τών δούλων σου.

Στεφηφορούντες οι χοροί, τών Μαρτύρων τόν Βασιλέα, Χριστόν τρανώς περιέπουσι, νοητώς σύν Αγγέλων χοροστασίαις. Ευλογητός εί Κύριε, ο Θεός ο τών Πατέρων ημών.

Στίχ. Αί ψυχαί αυτών εν αγαθοίς αυλισθήσονται.

Σύ τού θανάτου καί ζωής, εξουσίαν έχων Οικτίρμον, τρυφής ενθέου αξίωσον, τούς εν πίστει σούς δούλους, προκοιμηθέντας. Ευλογητός εί Κύριε, ο Θεός ο τών Πατέρων ημών.

Στίχ. Μακάριοι ούς εξελέξω καί προσλάβω Κύριε.

Καταλαμπρύνας τώ φωτί, τάς αϋλους φωτοχυσίας, ψυχάς άς αυτός μετέστησας, εν σκηναίς αιωνίοις κατασκηνώσαις. Ευλογητός εί Κύριε, ο Θεός ο τών Πατέρων ημών.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ο πρίν αμήτωρ εκ Πατρός, νύν απάτωρ εκ σού Παρθένε, Χριστός αφράστως γεγέννηται, δι' ημάς τούς ανθρώπους, εκών πτωχεύσας. Ευλογημένος Πάναγνε, ο καρπός τής κοιλίας σου.

## Ωδή η'

### Ο Ειρμός

Τούς εν Καμίνω Παίδας μιμούμενοι, οι τού Πνεύματος τήν δρόσον δεξάμενοι, εν πίστει κραυγάζομεν. Ευλογείτε τά έργα, Κυρίου τόν Κύριον.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ναούς ειδωλικούς κατεστρέψατε, Πανεύφημοι, καί οίκους εδείμασθε, εαυτούς τού Πνεύματος, Αθλοφόροι ανδρείως, τόν δρόμον τελέσαντες.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Εφάνητε ως κρίνα ηδύπνοα, Ιεράρχαι ψυχάς επιγνώσεσι, πιστών κατευφραίνοντες, ευσεβείας, αξίως, διό μακαρίζεσθε.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Γής πάσης παρεπίδημοι Όσιοι, ως οι τού Θεού Προφήται γεγόνατε, τήν άνω σκοπούμενοι, κληρουχίαν καί δόξαν, τήν πάντοτε μένουσαν.

Νεκρώσιμον

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ως ζώντων καί νεκρών Λόγε Κύριος, τούς πίστει κοιμηθέντας οικέτας σου, χορoίς συναρίθμησον, σωζομένων απάντων, ως μόνος φιλάνθρωπος.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ο τών Γυναίων απάντων κατάλογος, ο ασκήσει καί αθλήσει Πανάμωμε, ζητήσας τόν Κύριον, λιτανεύει απαύστως, τό θείον σου πρόσωπον.

### Έτερος, εις Κοιμηθέντας

### Ο Ειρμός

Τόν μόνον άναρχον, Βασιλέα τής δόξης, όν ευλογούσιν ουρανών αι Δυνάμεις, καί φρίττουσι τών Αγγέλων αι τάξεις, υμνείτε Ιερείς, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Στίχ. Πρεσβείαις τών Μαρτύρων σου ανάπαυσον, Κύριε, τάς ψυχάς τών δούλων σου.

Πρός τήν ουράνιον ατενίζοντες δόξαν, τής επιγείου κατεφρόνησαν δόξης, οι Μάρτυρες τής

Χριστού παρουσίας, υμνούντες ευσεβώς, αυτόν ως Βασιλέα, εις πάντας τούς αιώνας.

Στίχ. Αί ψυχαί αυτών εν αγαθοίς αυλισθήσονται.

Ο τήν επίγειον καταλύσας οικίαν, τών επ' ελπίδι εις ζωήν μεταστάντων, ουράνιον κατοικίαν παράσχου, Δικαίων εν σκηναίς, τούτους επαναπαύων, εις πάντας τούς αιώνας.

Στίχ. Μακάριοι ούς εξελέξω καί προσλάβω Κύριε.

Νεκροίς ανάπαυσιν, ως Θεός ο παρέχων, σύ πότισον τής τρυφής τόν χειμάρρουν, ο τήν πηγήν τής ζωής κεκτημένος, ως μόνος αγαθός, τούς προκεκοιμημένους, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φώς τό απρόσιτον, Θεοτόκε Παρθένε, εν τή γαστρί σου δεξαμένη αφράστως, εφώτισας τούς εν σκότει τού βίου, δοξάζειν ευσεβώς, Χριστόν τόν προελθόντα, εκ σού ανερμηνεύτως.

## Ωδή θ'

### Ο Ειρμός

Τήν υπέρ φύσιν Μητέρα, καί κατά φύσιν Παρθένον, τήν μόνην εν γυναιξίν ευλογημένην, άσμασι μυστικοίς, οι πιστοί μεγαλύνομεν.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ιερωτάτων Μαρτύρων, καί Προφητών καί Δικαίων, τών απ' αιώνος καλώς βεβιωκότων, ταίς ικεσίαις Χριστέ, τάς ψυχάς ημών ελέησον.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ως λειτουργοί τού Δεσπότου, Ιερομύσται δειχθέντες, συνήφθητε Λειτουργοίς επουρανίοις, μεθ' ών τάς υπέρ ημών, ικεσίας προσαγάγετε.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Σύν Γυναιξί μακαρίως, τελειωσάσαις τόν δρόμον, τιμήσωμεν Ασκητών χορούς αγίους, τοίς τούτων αγιασμοίς, όπως τύχωμεν εντεύξεως.

Νεκρώσιμον

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ής ηξιώθησαν δόξης, αι τών Αγίων απάντων, χοροστασίαι Χριστέ τούς μεταστάντας, αξίωσον μετασχείν, ορθοδόξως σοι λατρεύσαντας.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φιλαμαρτήμων υπάρχων, τό δικαστήριον τρέμω, τό φοβερόν τού Αγνή τεχθέντος, εν ώ εκ σου, με ως Αγαθή, ακατάκριτον συντήρησον.

### Έτερος, εις Κοιμηθέντας

### Ο Ειρμός

Μήτηρ Θεού, καί Παρθένος τίκτουσα, καί παρθενεύουσα πάλιν, ουχί φύσεως έργον, αλλά Θεού συγκαταβάσεως, όθεν ως μόνην τών θείων θαυμάτων, καταξιωθείσάν σε Αγνή μεγαλύνομεν.

Στίχ. Πρεσβείαις τών Μαρτύρων σου ανάπαυσον, Κύριε, τάς ψυχάς τών δούλων σου.

Επιφανώς, οι γενναίοι Μάρτυρες, καταλαμπρύνουσι κόσμον, οιτής πίστεως στύλοι, Εκκλησιών οι αρραγέστατοι πύργοι, καί πρόβολοι τής ευσεβείας, τούτους, επαξίως ευσεβώς μακαρίζομεν.

Στίχ. Αί ψυχαί αυτών εν αγαθοίς αυλισθήσονται.

Ρύσαι πυρός, τής γεέννης Δέσποτα, τούς εξ ημών μεταστάντας, τής πλευράς σου τή λόγχη, τής αμαρτίας τό χειρόγραφον, τούτων ως μόνος φιλάνθρωπος ρήξας, καί τής τών Αγίων αξιών λαμπρότητος.

Στίχ. Μακάριοι ούς εξελέξω καί προσλάβω Κύριε.

Ως αγαθός, καί φιλάνθρωπος φύσει, ως συμπαθής καί οικτίρμων, ως ζωής αθανάτου, ών θησαυρός ο αδαπάνητος, Σώτερ τούς πίστει προκεκοιμημένους, τής ακαταλήπτου σου τρυφής καταξίωσον.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νόμου σκιαί, καί τά πρίν αινίγματα, τή σή γεννήσει παρήλθον, καί γάρ πλήρωμα νόμου, καί Προφητών ο Χριστός γέγονεν, όν εν δυσί ταίς ουσίαις υμνούντες, σέ τήν Αειπάρθενον Αγνήν μακαρίζομεν.

Στιχηρά Μαρτυρικά Ήχος βαρύς

Στίχ. Αινείτε αυτόν επί ταίς δυναστείαις αυτού, αινείτε αυτόν κατά τό πλήθος τής μεγαλωσύνης αυτού.

Εν μέσω τού σταδίου τών παρανόμων, αγαλλόμενοι ανεβόωω, οι Αθλοφόροι, Κύριε δόξα σοι.

Στίχ. Αινείτε αυτόν εν ήχω σάλπιγγος, αινείτε αυτόν εν ψαλτηρίω καί κιθάρα.

Φωστήρες ανεδείχθησαν οικουμένης, οι πανεύφημοι Αθλοφόροι, Χριστώ βοώντες, Κύριε δόξα σοι.

Στίχ. Αινείτε αυτόν εν τυμπάνω καί χορώ, αινείτε αυτόν εν χορδαίς καί οργάνω.

Εν πνέοντες, πρός έν βλέποντες οι Αθλοφόροι Μάρτυρες, μίαν οδόν ζωής ευράμενοι, τόν υπέρ Χριστού θάνατον, ζηλοτυπούντες αλλήλων τήν τελευτήν, ώ τού θαύματος! ώσπερ θησαυρούς, τάς βασάνους προαρπάζοντες, πρός αλλήλους έλεγον. Ότι κάν μή νύν αποθάνωμεν, τεθνηξόμεθα πάντως, καί τή γενέσει τά όφειλόμενα λειτουργήσομεν, ποιήσωσωμεν τήν ανάγκην φιλοτιμίαν, τό κοινόν ίδιον ηγησώμεθα, θανάτω ζωήν ωνησάμενοι. Ταίς πρεσβείαις αυτών ο Θεός, ελέησον ημάς.

Στίχ. Αινείτε αυτόν εν κυμβάλοις ευήχοις, αινείτε αυτόν εν κυμβάλοις αλαλαγμού. Πάσα πνοή αινεσάτω τόν Κύριον.

Τήν μνήμην τών αγίων σου Αθλοφόρων, εορτάζοντες, σέ ανυμνούμεν, Κύριε δόξα σοι.

Νεκρώσιμον

Στίχ. Μακάριοι ούς εξελέξω καί προσελάβου, Κύριε.

Εν χώρα τών Δικαίων σου ελεήμον, τούς εν πίστει σοι μεταστάντας, εκ τών προσκαίρων, τάξον φιλάνθρωπε.

Δόξα... Καί νύν... Θεοτοκίον

Ικέτευε Παρθένε, σύν Αποστόλοις καί τοίς Μάρτυσιν, ευρείν εν κρίσει τούς μεταστάντας, τό μέγα έλεος.

Απόστιχα τών Αίνων, Νεκρώσιμα

Ποίημα τού κυρού Θεοφάνους

Καταφρονήσαντες πάντων

Στίχ. α'. Μακάριοι ούς εξελέξω καί προσλάβω Κύριε.

Νενεκρωμένος ωράθης, επί Σταυρού μόνε αθάνατε, καί εν τάφω ως θνητός ετέθης, νεκρώσεως καί φθοράς καί θανάτου, τούς ανθρώπους λυτρούμενος, αλλ' ως πέλαγος ευσπλαγχνίας υπάρχων ακένωτον, καί πηγή αγαθότητος, τάς ψυχάς τών σών δούλων, τών εξ ημών μεταστάντων ανάπαυσον.

Στίχ. β'. Αί ψυχαί αυτών εν αγαθοίς αυλισθήσονται.

Τώ ακηράτω σου κάλλει, καί γλυκασμώ τής σής ωραιότητος, καί ταίς τού θείου σου φωτός ακτίσιν, ελλάμπεσθαι τούς πρός σέ μεταστάντας, Αγαθέ καταξίωσον, εν αϋλω φωτοχυσία τής φωτοφανείας σου, σύν Αγγέλοις χορεύοντας, περί σέ τόν Δεσπότην, καί Βασιλέα τής δόξης καί Κύριον.

Στίχ. γ'. Καί τό μνημόσυνον αυτών, εις τόν αιώνα δοξάσαντα.

Ως αδαπάνητον έχων, τών δωρεών τήν μεγαλοπρέπειαν, ως θησαυρός ανελλιπής, πλουσίας χρηστότητος, τούς πρός σέ μεταστάντας, ως Θεός κατασκήνωσον, εν τή χώρα τών εκλεκτών σου, εν τόπω ανέσεως, εν τώ οίκω τής δόξης σου, εν τρυφή Παραδείσου, εν τώ τών παρθένων νυμφώνι ως Εύσπλαγχνος.

Δόξα... Καί νύν... Θεοτοκίον

Νόμου τό πλήρωμα τίκτεις, τόν Λυτρωτήν σάρκα γενόμενον, ου γάρ εγένετο τοίς πρίν, εν νόμω δικαίωσις, αλλ' ημάς ο Χριστός νύν, σταυρωθείς εδικαίωσεν. Ως ούν έχουσα παρρησίαν, Παρθένε ικέτευε, τόν Υιόν σου τόν εύσπλαγχνον, τάς ψυχάς αναπαύσαι, τών ευσεβώς μεταστάντων δεόμεθα.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

### Οι Μακαρισμοί

Μακάριοι οι ειρηνοποιοί, ότι αυτοί υιοί Θεού κληθήσονται.

Ωραίος ήν καί καλός εις βρώσιν, ο εμέ θανατώσας καρπός, Χριστός εστι τό ξύλον τής ζωής, εξ ού φαγών ου θνήσκω, αλλά βοώ σύν τώ Ληστή. Μνήσθητί μου Κύριε, εν τή Βασιλεία σου.

Μακάριοι οι δεδιωγμένοι ένεκεν δικαιοσύνης, ότι αυτών εστιν η βασιλεία τών ουρανών.

Τελέσαντες τόν καλόν αγώνα, καί τήν πίστιν τηρήσαντες, στεφάνους αφθαρσίας παρά Θεού, εδέξασθε καί δόξης, καταξιούσθε τής αυτού, Μάρτυρες πανεύφημοι, τών Αγγέλων σύσκηνοι.

Μακάριοί εστε όταν ονειδίσωσιν υμάς, καί διώξωσι, καί είπωσι πάν πονηρόν ρήμα καθυμών ψευδόμενοι ένεκεν εμού.

Ιερουργών καί Οσίων δήμοι, Προφητών καί σεπτών Γυναικών, κατάλογος τιμάσθω ο ιερός, σκηναίς τών πρωτοτόκων, νύν κατοικούντες εν χαρά, καί συναγελάζοντες, Ασωμάτων τάξεσι.

Νεκρώσιμον

Χαίρετε καί αγαλλιάσθε, ότι ο μισθός υμών πολύς εν τοίς ουρανοίς.

Κατάταξον εν σκηναίς Δικαίων, εξ ημών ούς μετέστησας, τά τούτων παραβλέψας Λόγε Θεού, εν γνώσει καί αγνοία, πεπραγμένα επί γής, ψυχικά εγκλήματα, διά μέγα έλεος.

Δόξα...

Ικέται σοι, ώ Τριάς αγία, οι θανέντες προσέρχονται, ρυσθήναι εξαιτούντες εκ φλογός, τής φοβεράς εκείνης, καί τυχείν τών αγαθών, δόξης τής αγίας σου, εν ημέρα κρίσεως.

Καί νύν... Θεοτοκίον

Εσκήνωσεν εν τή σή νηδύϊ, τού Πατρός τό απαύγασμα, καί τούς καθυπαχθέντας τού εχθρού, κακίστη συμβουλία, καί εμαγία Άχραντε, πάλιν ανεκαίνισε.

HYPERLINK "" \l "top" top

## ΤΩ ΣΑΒΒΑΤΩ ΕΣΠΕΡΑΣ

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

### Στιχηρά Αναστάσιμα τής Οκτωήχου

Ήχος πλ. δ'

Εσπερινόν ύμνον, καί λογικήν λατρείαν, σοί Χριστέ προσφέρομεν, ότι ηυδόκησας, τού ελεήσαι ημάς, διά τής Αναστάσεως. (Δίς)

Κύριε, Κύριε, μή απορρίψης ημάς από τού προσώπου σου, αλλά ευδόκησον, τού ελεήσαι ημάς, διά τής Αναστάσεως.

Χαίρε Σιών αγία, Μήτηρ τών Εκκλησιών, Θεού κατοικητήριον, σύ γάρ εδέξω πρώτη, άφεσιν αμαρτιών, διά της, Αναστάσεως.

Δόξα... Καί νύν... Θεοτοκίον Δογματικόν

Ήχος πλ. δ'

Πώς σε μακαρίσωμεν Θεοτόκε; πώς δέ ανυμνήσωμεν Υπερευλογημένη, τό ακατάληπτον μυστήριον τής κυοφορίας σου. Τών αιώνων γάρ ο ποιητής, καί τής ημετέρας δημιουργός φύσεως, τήν ιδίαν εικόνα οικτείρας, καθήκεν εαυτόν εις κένωσιν, τήν ανεξιχνίαστον, ο ών εν τοίς αϋλοις κόλποις τού Πατρός, εν μήτρα σου Αγνή κατεσκήνωσε, καί σάρξ ατρέπτως εγένετο εκ σού Απειρόγαμε, μείνας μέν, όπερ υπήρχε, φύσει Θεός. Διό αυτόν προσκυνούμεν Θεόν τέλειον, καί άνθρωπον τέλειον, τόναυτόν εν εκατέρα μορφή, εκατέρα γάρ φύσις, εστίν εν αυτώ αληθώς, διπλά δέ πάντα κηρύττομεν, τά φυσικά αυτού ιδιώματα, κατά τήν διπλόην τών ουσιών, δύο σέβοντες τάς ενεργείας, καί τά θελήματα. Ομοούσιος γάρ ών τώ Θεώ καί Πατρί, αυτεξουσίως θέλει καί ενεργεί ως Θεός, ομοούσιος δέ ών καί ημίν, αυτεξουσίως θέλει καί ενεργεί ως άνθρωπος. Αυτόν ικέτευε, σεμνή Παμμακάριστε, τού σωθήναι τάς ψυχάς ημών.

### Απόστικα

Ώ τού παραδόξου θαύματος

Ανήλθες επί σταυρού Ιησού, ο καταβάς εξ ουρανού, ήλθες επί θάνατον, η ζωή η αθάνατος, πρός τούς εν σκότει, τό φώς τό αληθινόν, πρός τούς πεσόντας, η πάντων Ανάστασις, ο φωτισμός, καί ο Σωτήρ ημών, δόξα σοι.

Στίχ. Μνησθήσομαι τού ονόματός σου εν πάση γενεά καί γενεά.

Χαίρε Θεοτόκε πάνσεμνε. Χαίρε πηγή τήν ζωήν, τοίς πιστοίς η πηγάζουσα. Χαίρε πάντων Δέσποινα, καί Κυρία τής κτίσεως, ευλογημένη, Χαίρε Πανάμωμε, δεδοξασμένη, χαίρε Πανάχραντε. Χαίρε παλάτιον. Χαίρε θείον σκήνωμα. Χαίρε Αγνή. Χαίρε Μητροπάρθενε. Χαίρε Θεόνυμφε.

Στιχ. Άκουσον, θύγατερ, καί ίδε, καί κλίνον τό ούς σου, καί επιλάθου τού λαού σου καί τού οίκου τού Πατρός σου.

Χαίρε Θεομήτορ άχραντε. Χαίρε πιστών η ελπίς. Χαίρε κόσμου καθάρσιον. Χαίρε πάσης θλίψεως, ρυομένη τούς δούλους σου, η τών ανθρώπων, χαίρε παράκλησις, η ζωηφόρος, χαίρε αντίληψις. Χαίρε προπύργιον, τών προσκαλουμένων σε. Χαίρε Θεού, θείον ενδιαίτημα καί όρος άγιον.

Στιχ. Τό πρόσωπόν σου λιτανεύσουσιν οι πλούσιοι τού λαού.

Χαίρε Θεοτόκε Δέσποινα. Χαίρε η μόνη ελπίς, τών βροτών καί αντίληψις. Χαίρε καταφύγιον, καί λυχνία αείφωτος, ηγλαϊσμένον, χαίρε λαμπάδιον, ηγιασμένον, χαίρε παλάτιον. Χαίρε Παράδεισε. Χαίρε θείον σκήνωμα. Χαίρε πηγή, βρύουσα τά νάματα, τοίς προσιούσί σοι.

Δόξα... Καί νύν... Θεοτοκίον Δογματικόν

Όν ουρανός ουκ εχώρησε, Παρθένε Θεοτόκε, εν γαστρί σου αστενοχωρήτως εχωρήθη, καί έμεινας αγνή, αρρήτω λόγω, μηδέν τής παρθένίας λυμανθείσης. Σύ γάρ μόνη γέγονας εν γυναιξί,

καί Μήτηρ καί Παρθένος, καί σύ μόνη Πάναγνε, εγαλούχησας Υιόν ζωοδότην, καί αγκάλαις σου εβάστασας, τό ανύστακτον όμμα, αλλ' ου διέλιπε τού κόλπου του Πατρικού, ως προϋπήρχε πρό τών αιώνων, αλλ' άνω όλως, Θεός μετά Αγγέλων, καί κάτω όλως, εκ σού μετά ανθρώπων, καί πανταχού ανερμηνεύτως. Αυτόν ικέτευε, Δέσποινα Παναγία, τού σωθήναι τούς ορθοδόξως, ομολογούντάς σε Θεοτόκον αγνήν.

Απολυτίκιον Ήχος πλ. δ'

Εξ ύψους κατήλθες ο εύσπλαγχνος, ταφήν καταδέξω τριήμερον, ίνα ημάς ελευθερώσης τών παθών, Η ζωή καί η Ανάστασις ημών, Κύριε δόξα σοι.

Δόξα... Καί νύν... Θεοτοκίον

Ο δι' ημάς γεννηθείς εκ Παρθένου, καί σταύρωσιν υπομείνας αγαθέ, ο θανάτω τόν θάνατον σκυλεύσας, καί Έγερσιν δείξας ως Θεός, μή παρίδης ούς έπλασας τή χειρί σου, δείξον τήν φιλανθρωπίαν σου ελεήμον, δέξαι τήν τεκούσάν σε Θεοτόκον πρεσβεύουσαν υπέρ ημών καί σώσον Σωτήρ ημών, λαόν απεγνωσμένον.

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Στιχηρά
Ήχος πλ. δ'

Εσπερινόν ύμνον, καί λογικήν λατρείαν, σοί Χριστέ προσφέρομεν, ότι ηυδόκησας, τού ελεήσαι ημάς, διά τής Αναστάσεως.

- εμέ υπομενούσι δίκαιοι, έως ου ανταποδώς μοι.

Κύριε, Κύριε, μή απορρίψης ημάς από τού προσώπου σου, αλλά ευδόκησον, τού ελεήσαι ημάς, διά τής Αναστάσεως.

- εκ βαθέων εκέκραξά σοι, Κύριε, Κύριε εισάκουσον τής φωνής μου.

Χαίρε Σιών αγία, Μήτηρ τών Εκκλησιών, Θεού κατοικητήριον, σύ γάρ εδέξω πρώτη, άφεσιν αμαρτιών, διά της, Αναστάσεως.

- γενηθήτω τά ώτά σου προσέχοντα εις τήν φωνήν τής δεήσεώς μου.

Ο εκ Θεού Πατρός Λόγος, πρό τών αιώνων γεννηθείς, επ' εσχάτων δέ τών χρόνων, ο αυτός εκ τής Απειρογάμου σαρκωθείς, βουλήσει σταύρωσιν θανάτου υπέμεινε, καί τόν πάλαι νεκρωθέντα άνθρωπον έσωσε, διά τής εαυτού Αναστάσεως.

- εάν ανομίας παρατηρήσης, Κύριε, Κύριε τίς υποστήσεται; ότι παρά σοί ο ιλασμός εστιν.

Τήν εκ νεκρών σου Ανάστασιν, δοξολογούμεν Χριστέ, δι' ής ηλευθέρωσας Αδαμιαίον γένος, εκ τής τού Άδου τυραννίδος, καί εδωρήσω τώ κόσμω ως Θεός, ζωήν αιώνιον, καί τό μέγα έλεος.

- ένεκεν τού ονόματός σου υπέμεινά σε, Κύριε, υπέμεινεν η ψυχή μου εις τόν λόγον σου, ήλπισεν η ψυχή μου επί τόν Κύριον.

Δόξα σοι Χριστέ Σωτήρ, Υιέ, Θεού μονογενές, ο προσπαγείς εν τώ σταυρώ, καί αναστάς εκ τάφου τριήμερος.

- από φυλακής πρωίας μέχρι νυκτός, από φυλακής πρωίας, ελπισάτω Ισραηλ επί τόν Κύριον.

Σέ δοξάζομεν Κύριε, τόν εκουσίως δι' ημάς, Σταυρόν υπομείναντα, καί σέ προσκυνούμεν, παντοδύναμε Σωτήρ, μή απορρίψης ημάς από τού προσώπου σου, αλλ' επάκουσον καί σώσον ημάς, διά τής Αναστάσεώς σου Φιλάνθρωπε.

- ότι παρά τώ Κυρίω τό έλεος καί πολλή παρ' αυτώ λύτρωσις' καί αυτός λυτρώσεται τόν Ισραηλ εκ πασών τών ανομιών αυτού.
- αινείτε τόν κύριον πάντα τά έθνη επαινέσατε αυτόν πάντες οι λαοί.
- ότι εκραταιώθη τό έλεος αυτού εφ' ημάς, καί η αλήθεια τού κυρίου μένει εις τόν αιώνα.

Θεοτοκίον

Ο Βασιλεύς τών ουρανών, διά φιλανθρωπίαν, επί τής γής ώφθη, καί τοίς ανθρώποις συνανεστράφη. εκ Παρθένου γάρ αγνής, σάρκα προσλαβόμενος καί εκ ταύτης προελθών μετά τής προσλήψεως, είς εστιν Υιός, διπλούς τήν φύσιν, αλλ' ου τήν υπόστασιν, διό τέλειον αυτόν Θεόν, καί τέλειον άνθρωπον, αληθώς κηρύττοντες, ομολογούμεν Χριστόν τόν Θεόν ημών, όν ικέτευε Μήτηρ ανύμφευτε, ελεηθήναι τάς ψυχάς ημών.

Απόστικα
Ήχος πλ. δ'

Ανήλθες επί σταυρού Ιησού, ο καταβάς εξ ουρανού, ήλθες επί θάνατον, η ζωή η αθάνατος, πρός τούς εν σκότει, τό φώς τό αληθινόν, πρός τούς πεσόντας, η πάντων Ανάστασις, ο φωτισμός, καί ο Σωτήρ ημών, δόξα σοι.

- Ο Κύριος εβασίλευσεν, ευπρέπειαν ενεδύσατο, ενεδύσατο Κύριος δύναμιν καί περιεζώσατο.

Χριστόν δοξολογήσωμεν, τόν αναστάντα εκ νεκρών, ψυχήν καί σώμα γάρ αναλαβών, τώ πάθει απ' αλλήλων διέτεμε, τής αχράντου μέν ψυχής εν Άδη κατελθούσης, όν καί εσκύλευσε, τάφω δέ διαφθοράν ουκ οιδε τό άγιον σώμα, τού Λυτρωτού τών ψυχών ημών.

- καί γάρ εστερέωσεν τήν οικουμένην, ήτις ου σαλευθήσεται.

Ψαλμοίς καί ύμνοις δοξολογούμεν Χριστέ, τήν εκ νεκρών σου Ανάστασιν, δι' ής ημάς ηλευθέρωσας, τής τυραννίδος τού Άδου, καί ως Θεός εδωρήσω, ζωήν αιώνιον, και τό μέγα έλεος.

- τώ οίκω σου πρέπει αγίασμα, Κύριε εις μακρότητα ημερών.

Ω Δέσποτα τών απάντων, ακατάληπτε Ποιητά ουρανού καί γής, διά Σταυρού παθών, εμοί απάθειαν επήγασας, ταφήν δέ καταδεξάμενος, καί αναστάς εν δόξη, συνανέστησας τόν Αδάμ χειρί παντοδυνάμω, Δόξα τή σή τριημέρω Εγέρσει, δι' ής δεδώρησαι ημίν, τήν αιώνιον ζωήν, καί ιλασμόν αμαρτιών, ως μόνος εύσπλαγχνος.

Θεοτοκίον

Ανύμφευτε Παρθένε, η τόν Θεόν αφράστως συλλαβούσα σαρκί, Μήτηρ Θεού τού υψίστου, σών οίκετών παρακλήσεις δέχου Πανάμωμε, η πάσι χορηγούσα καθαρισμόν τών πταισμάτων, νύν τάς ημών ικεσίας προσδεχομένη, δυσώπει σωθήναι πάντας ημάς.

Απολυτίκιον Ήχος πλ. δ'

Εξ ύψους κατήλθες ο εύσπλαγχνος, ταφήν καταδέξω τριήμερον, ίνα ημάς ελευθερώσης τών παθών, Η ζωή καί η Ανάστασις ημών, Κύριε δόξα σοι.

Δόξα... Καί νύν... Θεοτοκίον

Ο δι' ημάς γεννηθείς εκ Παρθένου, καί σταύρωσιν υπομείνας αγαθέ, ο θανάτω τόν θάνατον σκυλεύσας, καί Έγερσιν δείξας ως Θεός, μή παρίδης ούς έπλασας τή χειρί σου, δείξον τήν φιλανθρωπίαν σου ελεήμον, δέξαι τήν τεκούσάν σε Θεοτόκον πρεσβεύουσαν υπέρ ημών καί σώσον Σωτήρ ημών, λαόν απεγνωσμένον.

## ΕΝ ΤΩ ΜΕΣΟΝΥΚΤΙΚΩ

### Κανών Τριαδικός Μητροφάνους, ού η Ακροστιχίς
### Τριάς Μονάς, σώσόν με τόν σόν οικέτην

Ωδή α' Ήχος πλ. δ'

Αρματηλάτην Φαραώ εβύθισε

Τώ τρισηλίω Βασιλεί καί πρύτανι, καί προμηθεί τού παντός, καί αγαθώ μόνω, φυσικώς υπάρχοντι, καί ενιαίαν έχοντι, τής θεότητος δόξαν, Θεώ Μονάρχη προσπίπτομεν, ύμνον τόν τρισάγιον άδοντες.

Ρήσεις τάς θείας, καί χρησμούς τούς άνωθεν, μεμυημένοι σαφώς, θεαρχικήν φύσιν, ενικήν δοξάζομεν, αϊδιον συνάναρχον, εν τρισί τοίς προσώποις, Πατρί Υιώ καί τώ Πνεύματι, δημιουργικήν, παντοδύναμον.

Ιερομύστης Αβραάμ γενόμενος, ιεροτύπως τό πρίν, τόν Ποιητήν πάντων καί Θεόν καί Κύριον, τρισί μέν υποστάσεσιν, υπεδέξατο χαίρων, τών δέ τριών υποστάσεων, κράτος ενιαίον εγνώρισεν.

Θεοτοκίον

Απειρογάμως τόν Χριστόν εκύησας, τόν καθ' ημάς δι' ημάς, ειληφότα φύσιν, Πάναγνε καί άτρεπτον, κατ' άμφω διαμείναντα, όν δυσώπει απαύστως, αμαρτιών μοι δωρήσασθαι, καί τών πειρασμών απολύτρωσιν.

Ωδή γ' Ο στερεώσας κατ' αρχάς

Σέ τόν απρόσιτον Θεόν, καί Βασιλέα τής δόξης, επί θρόνου Ησαΐας κατείδεν, υψηλού καί Χερουβείμ, καί Σεραφείμ δοξάζοντα, ακαταπαύστοις ύμνοις, μοναδικόν τρισυπόστατον.

Μόνον πατρόθεν ως εκ Νού, γεγεννημένον τόν Λόγον, καί τό Πνεύμα προελθόν απορρήτως,

καταλλήλοις λογισμοίς, καί γραφικοίς διδάγμασι, κατειληφότες ένα, Θεόν τρισήλιον σέβομεν.

Ο ών αγέννητος Πατήρ, καί τής ιδίας ουσίας, τό απαύγασμα γεννήσας αρρεύστως, τόν Υιόν φώς εκ φωτός, εκπορευτώς προβάλλεται, συμφυές φώς τό Πνεύμα, τό παντουργόν καί ομότιμον.

Θεοτοκίον

Ναός εδείχθης καθαρός, Παρθενομήτορ Μαρία, τού τά πάντα πανσθενώς καί πανσόφως, υποστήσαντος Χριστού, καί τάξαντος καί φέροντος, όν εξιλέωσαί μοι, ταίς μητρικαίς σου δεήσεσι.

### Κάθισμα

Τό προσταχθέν μυστικώς

Τής τρισηλίου καί σεπτής τελεταρχίας, τάς δυναστείας οι πιστοί νύν ευφημούμεν, ότι νεύματι μόνω τό πάν συνέστησε, τάς άνω χοροστασίας Αγγελικάς, τάς κάτω Ιεραρχίας Εκκλησιών, τού κραυγάζειν τό Άγιος, Άγιος, Άγιος, εί, Θεέ Υπεράγαθε, δόξα, ύμνος τώ κράτει σου.

Δόξα... Καί νύν... Θεοτοκίον, όμοιον

Τόν αναλλοίωτον Θεόν η τετοκυία, αλλοιουμένην εις αεί τή αμαρτία, ταίς προσβολαίς τού δολίου καί τή ραθυμία, στερέωσον τήν καρδίαν μου Αγαθή, πρεσβείαις ταίς μητρικαίς σου, όπως καγώ, ευχαρίστως κραυγάζω σοι, Θεογεννήτορ Μαριάμ, ελέησον τήν ποίμνην σου, ήν εκτήσω Πανάμωμε.

### Ωδή δ'  Σύ μου ισχύς, Κύριε

Ανατολή, επιφανείσα θεότητος, τοίς εν σκότει, πάσαν διεσκέδασε, τήν αφεγγή νύκτα τών παθών, καί δικαιοσύνης, τόν Ήλιον εξανέτειλεν, απλούν μέν κατ' ουσίαν, τριλαμπή δέ προσώποις, όν υμνούμεν αεί καί δοξάζομεν.

Σεραφικοίς, στόμασι τόν ανυμνούμενον, τοίς πηλίνοις, χείλεσι δοξάζομεν, μοναδικόν, καί τριαδικόν, Κύριον τής δόξης, τή φύσει καί υποστάσεσι, βοώντες. Ώ Παντάναξ, τοίς σοίς δούλοις παράσχου, τών ποικίλων πταισμάτων συγχώρησιν.

Συνεκτική, πάντων τών όντων αόρατε, πανοικτίρμον, εύσπλαγχνε φιλάνθρωπε, Τριάς σεπτή καί θεαρχική, μή μου επιλάθη, τού σού οικέτου τό σύνολον, μηδέ διασκεδάσης ήν διέθου σοις δούλοις, διαθήκην δι' άφατον έλεος.

Θεοτοκίον

Ωραίαν σέ, Πάναγνε μόνην ευράμενος, εξ αιώνος, Λόγος ο προάναρχος, τήν Ιακώβ Κόρη καλλονήν, καί εν σοί σκηνώσας, δι' ευσπλαγχνίαν ανέπλασε, τήν φύσιν τών ανθρώπων, όν δυσώπει απαύστως, από πάσης ρυσθήναί με θλίψεως.

### Ωδή ε'  Ίνα τί με απώσω

Συναΐδια τρία, πρόσωπα δοξάζομεν, ενα δέ Κύριον, σέ τήν θείαν φύσιν, διαιρούντες απλώς καί συνάπτοντες, καί πιστώς βοώμεν, θεαρχική Τριάς αγία, τούς σούς δούλους εκ θλίψεως λύτρωσαι.

Ολοφύρομαι σφόδρα, διά τήν ασθένειαν τής διανοίας μου, πώς μή θέλων πάσχω, τήν αβούλητον όντως αλλοίωσιν, διά τούτο κράζω. Ζωαρχική Τριάς αγία, τών καλων εν τή στάσει με σύνταξον.

Νυσταγμώ βαρυνθέντα, τώ τής αμαρτίας, με καί συνωθούμενον, πρός θανάτου ύπνον, ως φιλάνθρωπος καί υπεράγαθος, καί παντελεήμων, θεαρχική Τριάς αγία, κατοικτείρησον καί διανάστησον.

Θεοτοκίον

Μητροπάρθενε Κόρη, πάναγνε, πανάμωμε, Θεοχαρίτωτε, ταίς σαίς ικεσίαις, τόν Υιόν καί Θεόν σου καί Κύριον, εξιλέωσαί μοι, καί τών παθών καί τών πταισμάτων, τόν σόν δούλον εκλύτρωσαι τάχιον.

### Ωδή ϛ'  Ιλάσθητί μοι Σωτήρ

Επουρανίων Νοών, ταξιαρχίας μιμούμενοι, μοναρχική τού παντός, Τριάς υπερούσιε, τρισαγίοις άσμασι, σέ δοξολογούμεν, τοίς πηλίνοις ημών στόμασι.

Τόν κατ' εικόνα τήν σήν, τόν άνθρωπον διαπλάσαντα, καί εξ ουκ όντων τό πάν, σοφώς

υποστήσαντα, Θεόν τρισυπόστατον, προσκυνώ καί σέβω, καί υμνώ καί μεγαλύνω σε.

Ο παντοκράτωρ Θεός, καί μόνος απεριόριστος, ενοίκησον εν εμοί, δι' άφατον έλεος, τρισήλιε Δέσποτα, καί καταύγασόν με, καί συνέτισον ως εύσπλαγχνος.

Θεοτοκίον

Ναός εδείχθης Θεού, τού αχωρήτου Πανάχραντε, ναόν καμέ τής αυτού, δείξον θείας χάριτος, Παναγία Δέσποινα, ταίς σαίς ικεσίαις, καί συντήρησον αλώβητον.

Καθίσματα

Τό προσταχθέν

Πατέρα άναρχον πιστοί, Υιόν συνάναρχον, καί Πνεύμα θείον, αληθώς υμνολογούμεν, ασυγχύτως, ατρέπτως, καί αναλλοιώτως, Τριάδα απλήν αγίαν καί συμφυή, βοώντες σύν τοίς Αγγέλοις. Άγιος εί, Πάτερ Υιέ σύν τώ Πνεύματι, τώ παναγίω καί σεπτώ, ελέησον ούς έπλασας, κατ' εικόνα σου Δέσποτα.

Δόξα... Καί νύν... Θεοτοκίον, όμοιον

Ευχαριστούμέν σοι αεί Θεοτόκε, καί μεγαλύνομεν Αγνή καί προσκυνούμεν, ανυμνούντες τόν τόκον σου κεχαριτωμένη, βοώντες ακαταπαύστως. Σώσον ημάς, Παρθένε παντελεήμον ως αγαθή, καί δαιμόνων εξάρπασον, λογοθεσίου φοβερού, εν ώρα τής ετάσεως, μή αισχυνθώμεν οι δούλοί σου.

Ωδή ζ'  Θεού συγκατάβασιν

Σοφία αρρήτω σου, καί τώ πελάγει τής αγαθότητος, δωρεάν τόν σόν δούλον, ηλεημένον ανάδειξόν με καί νύν, καθάπερ πάλαι, καί ρύσαι κακώσεως, Τριάς Μονάς ο Θεός, αμαρτιών καί παθών. Δίς

Ο νούς ο αγέννητος, Πατήρ καί Λόγος ο γεννηθείς, εξ αυτού, καί τό Πνεύμα τό θείον, ακαταλήπτως εκπορευτόν πεφυκός, Θεέ Μονάρχα τρισήλιε, ψάλλω σοι. Ευλογητός ο Θεός, ο τών πατέρων ημών.

Θεοτοκίον

Νενέκρωμαι Πάναγνε, τής αμαρτίας πιών τό φάρμακον, καί προστρέχω σοι πίστει, τή τετοκυία τόν αρχηγόν τής ζωής, ταίς σαίς πρεσβείαις, τόν δούλόν σου ζώωσον, καί πειρασμών καί παθών, λύτρωσαι μόνη Αγνή.

Ωδή η'  Επταπλασίως κάμινον

Ο φώς υπάρχων άδυτον, τριλαμπές καί τρισήλιον, καί μοναρχικόν, μονοκρατές, απλούστατον, Θεός ακατάληπτος, καί μονοκράτωρ Κύριος, νύν τήν σκοτεινήν, καί ζοφεράν μου καρδίαν, καταύγασον καί δείξον, φωταυγή καί φωσφόρον, υμνείν σε καί δοξάζειν, εις πάντας τούς αιώνας.

Ιερωτάταις πτέρυξι, Σεραφείμ οι θειότατοι, πρόσωπα καί πόδας, ευλαβώς καλύπτουσι, τήν δόξαν μή φέροντες, τού αμηχάνου κάλλους σου, αγαθαρχική, θεαρχική Μοναρχία, Τριάς υπεραγία, πλήν ημείς ανυμνείν σε, τολμώμεν καί δοξάζειν, πιστώς εις τούς αιώνας.

Κυριαρχίαν άναρχον, πανσθενή καί πανάγαθον, τελεταρχικήν, αγαθουργόν αόριστον, αιτίαν αναίτιον, ποιητικήν αΐδιον, προνοητικήν, καί σωστικήν τών απάντων, Μονάδα κατ' ουσίαν, καί Τριάδα προσώποις, δοξάζω σε Θεέ μου, πιστώς εις τούς αιώνας.

Θεοτοκίον

Επί τής γής ανέτειλεν, ο ανέσπερος Ήλιος, διά τής εκ σού παρθενικής γεννήσεως, πανάχραντε Δέσποινα, καί τούς βροτούς απήλλαξε, τής ειδωλικής, καί ζοφεράς σκοτομήνης, διό καί νύν με μάλλον, τής αυτού θεαρχίας, καταύγασον ταίς αίγλαις, καί φρούρει τόν σόν δούλον.

Ωδή θ'  Εξέστη επί τούτω ο ουρανός

Τήν πάντων Βασιλίδα καί παντουργόν, υπεράρχιον φύσιν, υπέρχρονον, ζωαρχικήν, εύσπλαγχνον, φιλάνθρωπον, αγαθήν, εναρχικήν Τριάδα σε, νύν δοξολογούντες αμαρτιών, συγχώρησιν αιτούμεν, τώ κόσμω τήν ειρήνην, καί Εκκλησίας τήν ομόνοιαν. Δίς

Η μία κυριότης καί τριλαμπής, ενική θεαρχία τρισήλιε, τούς υμνητάς, πρόσδεξαι τούς σούς

αγαθοπρεπώς, καί τών πταισμάτων λύτρωσαι, καί τών πειρασμών καί τών δυσχερών, καί θάττον τήν ειρήνην, παράσχου φιλανθρώπως, ταίς Εκκλησίαις καί τήν ένωσιν.

Θεοτοκίον

Νηδύν Χριστέ Σωτήρ μου παρθενικήν, ενοικήσας εφάνης τώ κόσμω σου, θεανδρικώς, άτρεπτος ασύγχυτος αληθώς, καί καθυπέσχου πάντοτε, μετά τών σών δούλων είναι σαφώς, διό τής σέ τεκούσης, πρεσβείαις τήν ειρήνην, πάση τή ποίμνη σου πρυτάνευσον.

Η Υπακοή Ήχος πλ. δ'

Αι Μυροφόροι τού Ζωοδότου επιστάσαι τώ μνήματι, τόν Δεσπότην εζήτουν, εν νεκροίς τόν αθάνατον, καί χαράς ευαγγέλια, εκ τού, Αγγέλου δεξάμεναι, τοίς Αποστόλοις εμήνυον. Ότι ανέστη Χριστός ο Θεός, παρέχων τώ κόσμω τό μέγα έλεος.

## ΕΝ ΤΩ ΟΡΘΡΩ

Απολυτίκιον Ήχος πλ. δ'

Εξ ύψους κατήλθες ο εύσπλαγχνος, ταφήν καταδέξω τριήμερον, ίνα ημάς ελευθερώσης τών παθών, Η ζωή καί η Ανάστασις ημών, Κύριε δόξα σοι.

Δόξα... Καί νύν... Θεοτοκίον

Ο δι' ημάς γεννηθείς εκ Παρθένου, καί σταύρωσιν υπομείνας αγαθέ, ο θανάτω τόν θάνατον σκυλεύσας, καί Έγερσιν δείξας ως Θεός, μή παρίδης ούς έπλασας τή χειρί σου, δείξον τήν φιλανθρωπίαν σου ελεήμον, δέξαι τήν τεκούσάν σε Θεοτόκον πρεσβεύουσαν υπέρ ημών καί σώσον Σωτήρ ημών, λαόν απεγνωσμένον.

Καθίσματα Ήχος πλ. δ'

Ανέστης εκ νεκρών, η ζωή τών απάντων, καί Άγγελος φωτός, ταίς Γυναιξίν εβόα, Παύσασθε τών δακρύων, τοίς Αποστόλοις ευαγγελίσασθε, κράξατε ανυμνούσαι, Ότι ανέστη Χριστός ο Κύριος, ο ευδοκήσας σώσαι ως Θεός, τό γένος τών ανθρώπων.

Δόξα... Τήν σοφίαν καί Λόγον

Αναστάς εκ τού τάφου ως αληθώς, ταίς οσίαις προσέταξας Γυναιξί, κηρύξαι τήν Έγερσιν, Αποστόλοις ως γέγραπται, καί δρομαίος ο Πέτρος, επέστη τώ μνήματι, καί τό φώς εν τώ τάφω, ορών κατεπλήττετο, όθεν καί κατείδε, τά οθόνια μόνα, χωρίς τού θείου σώματος, εν αυτώ κατακείμενα, καί πιστεύσας εβόησε, Δόξα σοι Χριστέ ο Θεός, ότι σώζεις άπαντας Σωτήρ ημών, τού Πατρός γάρ υπάρχεις απαύγασμα.

Καί νύν... Θεοτοκίον, όμοιον

Τήν ουράνιον πύλην καί κιβωτόν, τό πανάγιον όρος τήν φωταυγή, νεφέλην υμνήσωμεν, τήν ουράνιον κλίμακα, τόν λογικόν Παράδεισον, τής Εύας τήν λύτρωσιν, τής οικουμένης πάσης, τό μέγα κειμήλιον, ότι σωτηρία, εν αυτή διεπράχθη τώ κόσμω καί άφεσις τών αρχαίων εγκλημάτων, διά τούτο βοώμεν αυτή. Πρέσβευε τώ σώ Υιώ καί Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοις ευσεβώς προσκυνούσι, τόν πανάγιον Τόκον σου.

Άνθρωποι τό μνήμά σου, Σωτήρ εσφραγίσαντο, Άγγελος τόν λίθον, εκτής θύρας απεκύλισε. Γυναίκες εθεάσαντο, εγηγερμένον εκ νεκρών, καί αύται ευηγγελίσαντο τοίς Μαθηταίς σου εν Σιών, Ότι ανέστης η ζωή τών απάντων, καί διελύθη τά δεσμά τού θανάτου. Κύριε δόξα σοι.

Δόξα...

Τά μύρα τής ταφής, αι Γυναίκες κομίσασαι, φωνής Αγγελικής, εκ τού τάφου ήκουον, Παύσασθε τών δακρύων, καί αντί λύπης χαράν κομίσασθε, κράξατε ανυμνούσαι, ότι ανέστη Χριστός ο Κύριος, ο ευδοκήσας σώσαι ως Θεός, τό γένος τών ανθρώπων.

Καί νύν... Θεοτοκίον

Επί σοί χαίρει, Κεχαριτωμένη, πάσα η κτίσις, Αγγέλων τό σύστημα, καί ανθρώπων τό γένος, ηγιασμένε ναέ, καί Παράδεισε λογικέ, παρθενικόν καύχημα, εξ ής Θεός εσαρκώθη, καί παιδίον γέγονεν, ο πρό αιώνων υπάρχων Θεός ημών, τήν γάρ σήν μήτραν, θρόνον εποίησε, καί τήν σήν γαστέρα, πλατυτέραν ουρανών απειργάσατο. Επί σοί χαίρει Κεχαριτωμένη, πάσα η κτίσις, δόξα σοι.

Η Υπακοή Ήχος πλ. δ'

Αι Μυροφόροι τού Ζωοδότου επιστάσαι τώ μνήματι, τόν Δεσπότην εζήτουν, εν νεκροίς τόν

αθάνατον, καί χαράς ευαγγέλια, εκ τού, Αγγέλου δεξάμεναι, τοίς Αποστόλοις εμήνυον. Ότι ανέστη Χριστός ο Θεός, παρέχων τώ κόσμω τό μέγα έλεος.

Οι Αναβαθμοί  Αντίφωνον Α'

- Εκ νεότητός μου ο εχθρός με πειράζει, ταίς ηδοναίς φλέγει με, εγώ δέ πεποιθώς, εν σοί Κύριε τροπούμαι τούτον.
- Οι μισούντες Σιών, γενηθήτωσαν δή, πρίν εκσπασθήναι ως χόρτος, συγκόψει γάρ Χριστός, αυχένας αυτών, τομή βασάνων.

Δόξα... Καί νύν...

Αγίω Πνεύματι, τό ζήν τά πάντα, φώς εκ φωτός, Θεός μέγας, σύν Πατρί υμνούμεν αυτό καί τώ Λόγω.

Αντίφωνον Β'

- Η καρδία μου τώ φόβω σου σκεπέσθω, ταπεινοφρονούσα, μή υψωθείσα αποπέση, εκ σού Πανοικτίρμον.
- Επί τόν Κύριον ο εσχηκώς ελπίδα, ου δείσει τότε, ότε πυρί τά πάντα κρινεί καί κολάσει.

Δόξα... Καί νύν...

Αγίω Πνεύματι, πάς τις θείος βλέπει καί προλέγει, τερατουργεί ύψιστα, εν τρισίν ένα Θεόν μέλπων, ει γάρ καί τριλαμπεί, μοναρχεί τό θείον.

Αντίφωνον Γ'

- Εκέκραξά σοι Κύριε, πρόσχες, κλίνόν μοι τό ούς σου βοώντι, καί κάθαρον πρίν άρης με, από τών ενθένδε.
- Επί τήν μητέρα αυτού γήν, δύνων πάς αύθις αναλύσει, τού λαβείν βασάνους, ή γέρα τών βεβιωμένων.

Δόξα... Καί νύν...

Αγίω Πνεύματι, θεολογία μονάς τρισαγία ο Πατήρ γάρ άναρχος, εξ ού έφυ ο Υιός αχρόνως, καί τό Πνεύμα σύμμορφον, σύνθρονον, εκ Πατρός συνεκλάμψαν.

Αντίφωνον Δ'

- Ιδού δή τί καλόν, ή τί τερπνόν, αλλ' ή τό κατοικείν αδελφούς άμα; εν τούτω γάρ Κύριος, επηγγείλατο ζωήν αιωνίαν.
- Τού ενδύματος αυτού, ο τά κρίνα τού αγρού κοσμών, κελεύει μή δείν φροντίζειν.

Δόξα... Καί νύν...

Αγίω Πνεύματι, ενοειδεί αιτία, πάντα έχεται ειρηνοβραβεύτως. Θεός τούτο γάρ εστι, Πατρί τε καί Υιώ, ομοούσιον κυρίως.

Προκείμενον

Βασιλεύσει Κύριος εις τόν αιώνα, ο Θεός σου Σιών, εις γενεάν καί γενεάν.
Στίχ. Αίνει η ψυχή μου τόν Κύριον.

## Κανών Αναστάσιμος

### Ωδή α'  Ήχος πλ. δ'

Ο Ειρμός

Αρματηλάτην Φαραώ εβύθισε, τερατουργούσά ποτε, Μωσαϊκή ράβδος, σταυροτύπως πλήξασα, καί διελούσα θάλασσαν, Ισραήλ δέ φυγάδα, πεζόν οδίτην διέσωσεν άσμα τώ, Θεώ αναμέλποντα.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Τήν παντοδύναμον Χριστού θεότητα, πώς μή θαυμάσωμεν, εκ μέν παθών πάσι, τοίς πιστοίς απάθειαν, καί αφθαρσίαν βλύζουσαν, εκ πλευράς δέ αγίας, πηγήν αθάνατον στάζουσαν, καί ζωήν εκ τάφου αΐδιον.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Ως ευπρεπής ταίς Γυναιξίν ο Άγγελος, νύν εμπεφάνισται, καί τηλαυγή φέρων, τής εμφύτου σύμβολα, αϋλου καθαρότητος, τή μορφή δέ μηνύων, τό φέγγος τής Αναστάσεως, κράζει. Εξηγέρθη ο Κύριος.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Δεδοξασμένα περί σού λελάληνται, εν γενεαίς γενεών, η τόν Θεόν Λόγον, εν γαστρί χωρήσασα, αγνή δέ διαμείνασα, Θεοτόκε Παρθένε, διό σε πάντες γεραίρομεν, τήν μετά Θεόν προστασίαν ημών.

## Κανών Σταυροαναστάσιμος

### Ο Ειρμός

Υγράν διοδεύσας ωσεί ξηράν, καί τήν Αιγυπτίαν, μοχθηρίαν διαφυγών, ο Ισραηλίτης ανεβόα, τώ Λυτρωτή καί Θεώ ημών άσωμεν.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Επήρθησαν πύλαι οδυνηραί, καί έφριξαν άδου, καθορώντες οι πυλωροί, εν τοίς κατωτάτοις τόν εν ύψει, τής τών απάντων επέκεινα φύσεως.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Εξέστησαν τάξεις Αγγελικαί, Ορώσαι εν θρόνω, ιδρυμένην τώ Πατρικώ, τήν έκπτωτον φύσιν τών ανθρώπων, τήν καθειργμένην, εν τοίς κατωτάτοις τής γής.

### Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τάξεις σε Αγγέλων καί τών βροτών, ανύμφευτε Μήτερ, ευφημούσιν ανελλιπώς, τόν κτίστην γάρ τούτων ώσπερ βρέφος, εν ταίς αγκάλαις σου εβάστασας.

## Κανών τής Υπεραγίας Θεοτόκου Κατά Αλφάβητον

### Ο Ειρμός

Άσωμεν τώ Κυρίω, τώ διαγαγόντι τόν λαόν αυτού, εν Ερυθρά θαλάσση, ότι μόνος ενδόξως δεδόξασται.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Άχραντε Θεοτόκε, η σεσαρκωμένον τόν αϊδιον, καί υπέρθεον Λόγον, υπέρ φύσιν τεκούσα υμνούμέν σε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Βότρυν σε ζωηφόρον, τόν τής παγκοσμίου αποστάζοντα, γλυκασμόν σωτηρίας, η Παρθένος Χριστέ απεκύησε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Γένος Αδαμιαίον, πρός τήν υπέρ νούν μακαριότητα, διά σού ανηγμένον, Θεοτόκε αξίως δοξάζει σε.

## Ωδή γ'

### Ο Ειρμός

Ο στερεώσας κατ' αρχάς, τούς ουρανούς εν συνέσει, καί τήν γήν επί υδάτων εδράσας, εν τή πέτρα με Χριστέ, τών εντολών σου στήριξον, ότι ουκ έστι πλήν σου, άγιος μόνε Φιλάνθρωπε.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Κατακριθέντα τόν Αδάμ, τή γεύσει τής αμαρτίας, τής σαρκός σου τό σωτήριον πάθος, εδικαίωσε Χριστέ, αυτός γάρ ουχ υπεύθυνος, τή τού θανάτου πείρα, πέφηνας ο αναμάρτητος.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Τής Αναστάσεως τό φώς, εξέλαμψε τοίς εν σκότει, τού θανάτου καί σκιά καθημένοις, ο Θεός μου Ιησούς, καί τή αυτού θεότητι, τόν ισχυρόν δεσμεύσας, τούτου τά σκεύη διήρπασε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τών Χερουβείμ καί Σεραφείμ, εδείχθης υψηλοτέρα, Θεοτόκε, σύ γάρ μόνη εδέξω, τόν αχώρητον Θεόν, εν σή γαστρί αμόλυντε, διό πιστοί σε πάντες, ύμνοις αεί μακαρίζομεν.

Κανών Σταυροαναστάσιμος

Ο Ειρμός

Ουρανίας αψίδος οροφουργέ Κύριε, καί τής Εκκλησίας δομήτορ, σύ με στερέωσον, εν τή αγάπη τή σή, τών εφετών η ακρότης, τών Πιστών τό στήριγμα, μόνε φιλάνθρωπε.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Απειθήσαντα πρώην, τή εντολή Κύριε, τού πεποιηκότος με όντως, σύ απεξένωσας, όν μορφωσάμενος, υπακοήν τε παιδεύσας, σεαυτώ οικείωσας διά σταυρώσεως.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ο σοφία τά πάντα, προεγνωκώς Κύριε, καί τή σή συνέσει, συμπήξας τά υποχθόνια, ουκ απηξίωσας, συγκαταβάσει σου Λόγε, τού Θεού αναστήσαι τόν κατ' εικόνα σου.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ενοικήσας Παρθένω, σωματικώς Κύριε, ώφθης τοίς ανθρώποις, ως έπρεπε θεαθήναί σε, ήν καί ανέδειξας, ως αληθώς Θεοτόκον, καί πιστών βοήθειαν, μόνε Φιλάνθρωπε.

Κανών τής Θεοτόκου

Ο Ειρμός

Σύ εί τό στερέωμα, τών προστρεχόντων σοι Κύριε, σύ εί τό φώς, τών εσκοτισμένων, καί υμνεί σε τό πνεύμά μου.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Δός ημίν βοήθειαν, ταίς ικεσίαις σου Πάναγνε, τάς προσβολάς, αποκρουομένη, τών δεινών περιστάσεων.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Εύας τής προμήτορος, σύ επανόρθωσις γέγονας, τόν αρχηγόν, τής ζωής τώ κόσμω, Θεοτόκε κυήσασα.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ζώσον δυναστείαν με, η αληθώς Θεόν Πάναγνε, τήν τού Πατρός, εν σαρκί τεκούσα, ενυπόστατον δύναμιν.

Ωδή δ'

Ο Ειρμός

Σύ μου ισχύς, Κύριε, σύ μου καί δύναμις, σύ Θεός μου, σύ μου αγαλλίαμα, ο Πατρικούς κόλπους μή λιπών, καί τήν ημετέραν, πτωχείαν επισκεψάμενος, διό σύν τώ Προφήτη, Αββακούμ σοι κραυγάζω. Τή δυνάμει σου δόξα Φιλάνθρωπε.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Σύ δυσμενή, όντα με λίαν ηγάπησας, σύ κενώσει, ξένη καταβέβηκας, επί τής γής, εύσπλαγχνε Σωτήρ, τής εσχατιάς μου, τήν ύβριν μή ανηνάμενος, καί μείνας εν τώ ύψει, τής αφράστου σου δόξης, τόν πρίν ητιμωμένον εδόξασας.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Τίς καθορών, Δέσποτα νύν ουκ εξίσταται, διά πάθους, θάνατον λυόμενον, διά Σταυρού, φεύγουσαν φθοράν, καί διά θανάτου, τόν άδην πλούτου κενούμενον, τής θείας δυναστείας, σού τού Εσταυρωμένου, τό εξαίσιον έργον φιλάνθρωπε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σύ τών πιστών, καύχημα πέλεις Ανύμφευτε, σύ προστάτις, σύ καί καταφύγιον, Χριστιανών, τείχος καί λιμήν, πρός γάρ τόν Υιόν σου, εντεύξεις φέρεις Πανάμωμε, καί σώζεις εκ κινδύνων, τούς εν πίστει καί πόθω, Θεοτόκον αγνήν σε γινώσκοντας.

Κανών Σταυροαναστάσιμος

Ο Ειρμός

Εισακήκοα Κύριε, τής οικονομίας σου τό μυστήριον, κατενόησα τά έργα σου, καί εδόξασά σου τήν θεότητα.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Τώ Σταυρώ σε προσήλωσαν, οι τών παρανόμων παίδες Φιλάνθρωπε, δι' ού έσωσας ως εύσπλαγχνος, τούς δοξάζοντάς σου τά παθήματα.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Αναστάς εκ τού μνήματος, πάντας συνανέστησας τούς εν άδη νεκρούς, καί εφώτισας ως εύσπλαγχνος, τούς δοξάζοντάς σου τήν Ανάστασιν.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τόν Θεόν όν εκύησας, άχραντε Μαρία, τούτον δυσώπησον, τοίς ικέταις σου δωρήσασθαι, τών πλημμελημάτων τήν συγχώρησιν.

Κανών τής Θεοτόκου

Ειρμός ο αυτός

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Η τόν στάχυν βλαστήσασα, τόν ζωοποιόν ανήροτος άρουρα, τόν παρέχοντα τώ κόσμω ζωήν, Θεοτόκε σώζε τούς υμνούντάς σε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Θεοτόκον σε Πάναγνε, οι πεφωτισμένοι πάντες γινώσκομεν, τόν γάρ Ήλιον εκύησας, τής δικαιοσύνης αειπάρθενε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ιλασμόν ημίν δώρησαι, τών αγνοημάτων ως αναμάρτητος, καί ειρήνευσον τόν κόσμον σου, ο Θεός πρεσβείαις τής τεκούσης σε.

Ωδή ε'
Ο Ειρμός
Ίνα τί με απώσω, από τού προσώπου σου, τό φώς τό άδυτον, καί εκάλυψέ με, τό αλλότριον σκότος τόν δείλαιον, αλλ' επίστρεψόν με, καί, πρός τό φώς τών εντολών σου, τάς οδούς μου κατεύθυνον δέομαι.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Περιθέσθαι ηνέσχου, χλαίναν πρό τού πάθους σου, Σώτερ παιζόμενος, τήν τού πρωτοπλάστου, περιστέλλων ασχήμονα γύμνωσιν, καί γυμνός παγήναι, εν τώ Σταυρώ απαμφιάζων, τόν χιτώνα Χριστέ τής νεκρώσεως.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Εκ χοός τού θανάτου, σύ τήν πεπτωκυίάν μου ανωκοδόμησας, αναστάς ουσίαν, καί αγήρω Χριστέ κατεσκεύασας, αναδείξας πάλιν, βασιλικήν ώσπερ εικόνα, αφθαρσίας φωτί απαστράπτουσαν.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Μητρικήν παρρησίαν, τήν πρός τόν Υιόν σου κεκτημένη Πάναγνε, συγγενούς προνοίας, τής ημών μή παρίδης δεόμεθα, ότι σέ καί μόνην, Χριστιανοί πρός τόν Δεσπότην, ιλασμόν ευμενή προβαλλόμεθα.

Κανών Σταυροαναστάσιμος
Ο Ειρμός
Φώτισον ημάς, τοίς προστάγμασι σου Κύριε, καί τώ βραχίονί σου τώ υψηλώ, τήν σήν ειρήνην, παράσχου ημίν Φιλάνθρωπε.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Οδήγησον ημάς, τή δυνάμει τού Σταυρού σου Χριστέ, δι' αυτού γάρ σοί προσπίπτομεν, τήν σήν ειρήνην, παράσχου ημίν Φιλάνθρωπε.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Κυβέρνησον ημών, τήν ζωήν νύν ο Θεός ημών, τών υμνούντων σου τήν Έγερσιν, καί τήν ειρήνην παράσχου ημίν Φιλάνθρωπε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Δυσώπησον Αγνή, τόν Υιόν σου καί Θεόν ημών, απειρόγαμε Μαρία σεμνή, τού καταπέμψαι ημίν, τοίς πιστοίς τό μέγα έλεος.

Κανών τής Θεοτόκου
Ο Ειρμός
Ορθρίζοντες βοώμέν σοι Κύριε, Σώσον ημάς, σύ γάρ εί Θεός ημών, εκτός σου άλλον ουκ οίδαμεν.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Κατεύνασον τόν άστατον κλύδωνα, τών παθών μου, η Θεόν κυήσασα τόν Κυβερνήτην καί Κύριον.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Λατρεύουσι τώ τόκω σου άχραντε, Θεοτόκε, Αγγέλων τά τάγματα, καί τών βροτών τά συστήματα.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Μαρία Θεοτόκε ανύμφευτε, τάς ελπίδας, τών εχθρών ματαίωσον, καί τούς υμνούντάς σε εύφρανον.

### Ωδή ς'
### Ο Ειρμός

Ιλάσθητί μοι Σωτήρ, πολλαί γάρ αι ανομίαι μου, καί εκ βυθού τών κακών, ανάγαγε δέομαι, πρός σέ γάρ εβόησα, καί επάκουσόν μου, ο Θεός τής σωτηρίας μου.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Διά ξύλου κραταιώς, καθείλέ με ο αρχέκακος, αυτός δέ αναρτηθείς Χριστέ κραταιότερον, Σταυρώ καταβέβληκας, δειγματίσας τούτον, τόν πεσόντα δέ ανέστησας.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Σύ ώκτειρας τήν Σιών, εξανατείλας τού μνήματος, καινήν αντί παλαιάς, τελέσας ως εύσπλαγχνος, τώ θείω σου αίματι, καί νύν βασιλεύεις, εν αυτή εις τούς αιώνας Χριστέ.

### Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ρυσθείημεν τών δεινών, πταισμάτων ταίς ικεσίαις σου, Θεογεννήτορ αγνή, καί τύχοιμεν Πάναγνε, τής θείας ελλάμψεως, τού εκ σού αφράστως, σαρκωθέντος Υιού τού Θεού.

### Κανών Σταυροαναστάσιμος
### Ο Ειρμός

Τήν δέησιν εκχεώ πρός Κύριον, καί αυτώ απαγγελώ μου τάς θλίψεις, ότι κακών, η ψυχή μου επλήσθη, καί η ζωή μου τώ άδη προσήγγισε, καί δέομαι ως Ιωνάς. Εκ φθοράς ο Θεός με ανάγαγε.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Παλάμας εν τώ Σταυρώ εξήπλωσας, ιατρεύων ακρατώς τήν ταθείσαν, εν τή Εδέμ, χείρα τού πρωτοπλάστου, καί πικρού ξύλου χολής αντεγεύσω Χριστέ, καί έσωσας ως δυνατός, τούς δοξάζοντάς σου τά παθήματα.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Θανάτου ο Λυτρωτής εγεύσατο, τήν αρχαίαν τε απόφασιν όπως, καί τής φθοράς, τό βασίλειον λύση, καί τοίς εν άδη φοιτήσας ανέστησε, καί έσωσεν ως δυνατός, τούς υμνούντας αυτού τήν Ανάστασιν.

### Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Μή παύση υπέρ ημών πρεσβεύουσα, Παναγία Θεοτόκε Παρθένε, ότι πιστών, στήριγμα σύ υπάρχεις, καί τή ελπίδι τή σή κραταιούμεθα, καί πόθω σέ καί τόν εκ σού, σαρκωθέντα αφράστως δοξάζομεν.

### Κανών τής Θεοτόκου
### Ο Ειρμός

Χιτώνά μοι παράσχου φωτεινόν, ο αναβαλλόμενος φώς ως ιμάτιον, πολυέλεε Χριστέ ο Θεός ημών.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ναόν σε τού Θεού καί κιβωτόν, καί παστάδα έμψυχον, καί πύλην ουράνιον, Θεοτόκε οι πιστοί καταγγέλλομεν, οάνων καταλύτης ως Θεός, γεγονώς ο Τόκος σου, Μαρία Θεόνυμφε, προσκυνείται σύν Πατρί καί τώ Πνεύματι.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ο Λόγος τού Θεού σέ τοίς βροτοίς, Θεοτόκε έδειξεν ουράνιον κλίμακα, διά σού γάρ πρός ημάς καταβέβηκε.

### Κοντάκιον Ήχος Πλ. δ'
### Ως απαρχάς τής φύσεως

Εξαναστάς τού μνήματος, τούς τεθνεώτας ήγειρας, καί τόν Αδάμ ανέστησας, καί η Εύα χορεύει εν τή σή Αναστάσει, καί κόσμου τά πέρατα πανηγυρίζουσι, τή εκ νεκρών Εγέρσει σου Πολυέλεε.

### Ο Οίκος

Τά τού, Άδου σκυλεύσας βασίλεια, καί νεκρούς αναστήσας Μακρόθυμε, Γυναιξί Μυροφόροις συνήντησας, αντί λύπης, χαράν κομισάμενος, καί Αποστόλοις σου εμήνυσας τά τής νίκης σύμβολα. Σωτήρ μου ζωοδότα, καί τήν κτίσιν εφώτισας φιλάνθρωπε, διά τούτο καί κόσμος συγχαίρει, τή εκ νεκρών Εγέρσει σου πολυέλεε.

### Ωδή ζ'
### Ο Ειρμός

Θεού συγκατάβασιν τό πύρ ηδέσθη εν Βαβυλώνί ποτε, διά τούτο οι Παίδες εν τή καμίνω αγαλλομένω ποδί ως εν λειμώνι χορεύοντες έψαλλον. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Η ένδοξος κένωσις ο θείος πλούτος, τής σής πτωχείας Χριστέ καταπλήττει Αγγέλους, Σταυρώ Ορώντάς σε καθηλούμενον, διά τό σώσαι, τούς πίστει κραυγάζοντας. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Τή θεία καθόδω σου, φωτός επλήσθη τά καταχθόνια, καί τό σκότος ηλάθη, τό πρίν διώκον, όθεν ανέστησαν, οι απ' αιώνος δεσμώται κραυγάζοντες. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

### Τριαδικόν

Στίχ. Αγία Τριάς ο Θεός ελέησον καί σώσον ημάς.

Απάντων μέν Κύριον, ενός δέ μόνου μονογενούς Υιού, ορθοδόξως Πατέρα, θεολογούντές σε καταγγέλλομεν, καί έν ειδότες, σού εκπορευόμενον, Πνεύμα ευθές, συμφυές καί συναϊδιον.

### Κανών Σταυροαναστάσιμος
### Ο Ειρμός

Οι εκ τής Ιουδαίας, καταντήσαντες Παίδες εν Βαβυλώνί ποτε, τή πίστει τής Τριάδος, τήν φλόγα τής καμίνου κατεπάτησαν ψάλλοντες. Ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Σωτηρίαν ειργάσω, μέσον τής οικουμένης προφητικώς ο Θεός, υψωθείς γάρ εν ξύλω, πάντας ανεκαλέσω, τούς εν πίστει κραυγάζοντας, ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Αναστάς εκ τού τάφου, ως εξ ύπνου Οικτίρμον, πάντας ερρύσω φθοράς, η κτίσις δέ πιστούται, διά τών Αποστόλων, κηρυττόντων τήν έγερσιν. Ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

### Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ισουργός τώ τεκόντι, ισοδύναμος Λόγος καί συναΐδιος, εν μήτρα τής Παρθένου Πατρός τή ευδοκία πλαστουργείται καί Πνεύματος. Ο τών Πατέρων ημών Θεός ευλογητός εί.

### Κανών τής Θεοτόκου
### Ειρμός ο αυτός

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Παρθενικής εκ νηδύος, σαρκωθείς επεφάνης, εις σωτηρίαν ημών, διό σου τήν Μητέρα, ειδότες Θεοτόκον ευχαρίστως κραυγάζομεν, ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ράβδος έφυς Παρθένε, Ιεσσαί εκ τής ρίζης, η Παμμακάριστος, καρπόν ανθηφορούσα, σωτήριον τοίς πίστει, τώ Υιώ σου κραυγάζουσιν, ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σοφίας έμπλησον πάντας, καί δυνάμεως θείας, η ενυπόστατος, σοφία τού Υψίστου, διά τής Θεοτόκου, τούς εν πίστει σοι ψάλλοντας, ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

### Ωδή η'
### Ο Ειρμός

Επταπλασίως κάμινον, των Χαλδαίων ο τύραννος, τοίς θεοσεβέσιν, εμμανώς εξέκαυσε, δυνάμει δέ κρείττονι, περισωθέντας τούτους ιδών, τόν δημιουργόν καί λυτρωτήν ανεβόα, οι Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Τής Ιησού θεότητος, η υπέρθεος δύναμις, εν τοίς καθ' ημάς, θεοπρεπώς εξέλαμψε, σαρκί γάρ γευσάμενος, υπέρ παντός θανάτου Σταυρού, έλυσε τού άδου τήν ισχύν, όν απαύστως, οι Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Ο σταυρωθείς εγήγερται, ο μεγάλαυχος πέπτωκεν, ο καταπεσών, καί συντριβείς ανώρθωται, φθορά εξωστράκισται, καί αφθαρσία ήνθησεν, υπό τής ζωής γάρ, τό θνητόν κατεπόθη, οι Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

### Τριαδικόν

Στίχ. Αγία Τριάς ο Θεός ελέησον καί σώσον ημάς.

Τρισσοφαή θεότητα, ενιαίαν εκλάμπουσαν, αίγλην εκ μιάς, τρισυποστάτου φύσεως, Γεννήτορα άναρχον, ομοφυά τε Λόγον Πατρός, καί συμβασιλεύον, ομοούσιον Πνεύμα, οι Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

### Κανών Σταυροαναστάσιμος
### Ο Ειρμός

Νικηταί τυράννου, καί φλογός τή χάριτί σου γεγονότες, οι τών εντολών σου, σφόδρα αντεχόμενοι, Παίδες εβόων, Ευλογείτε πάντα, τά έργα τόν Κύριον, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Τόν επί τού ξύλου, χείρά μοι εκτείναντα τώ γυμνωθέντι, καί καλούμενόν με, τή αυτού ευσχήμονι θάλψαι γυμνώσει, ευλογείτε πάντα τά έργα τόν Κύριον, καί υπερυψούτε αυτόν εις τούς αιώνας.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Τόν εκ κατωτάτου, άδου με υψώσαντα τόν πεπτωκότα, καί τή υψιθρόνω, δόξη τού Γεννήτορος τετιμηκότα, ευλογείτε πάντα τά έργα τόν Κύριον, καί υπερυψούτε αυτόν εις τούς αιώνας.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τού Αδάμ Παρθένε, τού παραπεσόντος μέν ώφθης Θυγάτηρ, τού Θεού δέ Μήτηρ, τού ανακαινίσαντός μου τήν ουσίαν, όν υμνούμεν πάντα τά έργα ως Κύριον, καί υπερυψούμεν εις πάντας τούς αιώνας.

Κανών τής Θεοτόκου

Ο Ειρμός

Τόν Βασιλέα τών ουρανών όν υμνούσι, στρατιαί τών Αγγέλων, υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τών εναντίων τάς θελκτικάς καί φλογώδεις, καθ' ημών κατάσβεσον βολίδας, όπως σε υμνώμεν, Αγνή εις τούς αιώνας.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Υπερφυώς τόν Δημιουργόν καί Σωτήρα, Θεόν Λόγον τέτοκας Παρθένε, όθεν σε υμνούμεν, εις πάντας τούς αιώνας.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φωτιστικήν σε καί χρυσαυγή τό σκηνώσαν, εν σοί φώς απρόσιτον Παρθένε, έδειξε λαμπάδα, εις πάντας τούς αιώνας.

Ωδή θ'

Ο Ειρμός

Εξέστη επί τούτω ο ουρανός, καί τής γής κατεπλάγη τά πέρατα, ότι Θεός, ώφθη τοίς ανθρώποις σωματικώς, καί η γαστήρ σου γέγονεν, ευρυχωροτέρα τών ουρανών, διό σε Θεοτόκε, Αγγέλων καί ανθρώπων, ταξιαρχίαι μεγαλύνουσι.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Τή θεία καί ανάρχω φύσει απλούς, πεφυκώς συνετέθης προσλήψει σαρκός, εν σεαυτώ, ταύτην υποστήσας Λόγε Θεού, καί πεπονθώς ως άνθρωπος, έμεινας εκτός πάθους ως Θεός, διό σε εν ουσίαις, δυσίν αδιαιρέτως, καί ασυγχύτως μεγαλύνομεν.

Στίχ. Δόξα τή Αγία Αναστάσει σου, Κύριε.

Πατέρα κατ' ουσίαν τήν θεϊκήν, ως δέ φύσει γενόμενος άνθρωπος, έφης Θεόν, Ύψιστε τοίς δούλοις συγκατιών εξαναστάς τού μνήματος, χάριτι Πατέρα τών γηγενών, τιθείς τόν κατά φύσιν, Θεόν τε καί Δεσπότην, μεθ' ού σε πάντες μεγαλύνομεν.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ωράθης ώ Παρθένε Μήτηρ Θεού, υπέρ φύσιν τεκούσα εν σώματι, τόν αγαθόν, Λόγον εκ καρδίας τής εαυτού, όν ο Πατήρ ηρεύξατο, πάντων πρό αιώνων ώς Αγαθός, όν νύν καί τών σωμάτων, επέκεινα νοούμεν, ει καί τό σώμα περιβέβληται.

## Κανών Σταυροαναστάσιμος

### Ο Ειρμός

Έφριξε πάσα ακοή, τήν απόρρητον Θεού συγκατάβασιν, όπως ο Ύψιστος, εκών κατήλθε, μέχρι καί σώματος, παρθενικής από γαστρός, γενόμενος άνθρωπος, διό τήν άχραντον, Θεοτόκον οι πιστοί μεγαλύνομεν.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Θεού σε φύσει τόν Υιόν, συλληφθέντα εν γαστρί επιστάμεθα, τής Θεομήτορος, καί γεγονότα δι' ημάς άνθρωπον, καί επαρθέντα εν Σταυρώ, τή φύσει μέν πάσχοντα τής ανθρωπότητος, απαθή δέ ως Θεόν διαμείναντα.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Λέλυται σκότος αμειδές, εκ τού άδου γάρ ανέτειλεν Ήλιος, δικαιοσύνης Χριστός, τής γής φωτίζων πάντα τά πέρατα, λάμπων θεότητος φωτί, ουράνιος άνθρωπος, Θεός επίγειος, όν εν φύσεσι διτταίς μεγαλύνομεν.

### Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Έντεινε καί κατευοδού, καί βασίλευε Υιέ Θεομήτορος, Ισμαηλίτην λαόν, καθυποτάττων τόν πολεμούντα ημάς, φιλευσεβούντι Βασιλεί, ως όπλον ανίκητον, επαγομένω σοι, σύν τή λόγχη τόν Σταυρόν χαριζόμενος.

## Κανών τής Θεοτόκου

### Ο Ειρμός

Κυρίως Θεοτόκον, σέ ομολογούμεν, οι διά σού σεσωσμένοι Παρθένε αγνή, σύν Ασωμάτοις χορείαις, σέ μεγαλύνοντες.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Χαράς καί ευφροσύνης, πλήρης σου η μνήμη, τοίς προσιούσιν ιάματα βρύουσα, καί ευσεβώς Θεοτόκον σε καταγγέλλουσι.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ψαλμοίς σεανυμνούμεν, Κεχαριτωμένη, καί ασιγήτως τό, Χαίρε προσάγομεν, σύ γάρ επήγασας πάσι τήν αγαλλίασιν.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ωραίος Θεοτόκε, έφυ ο καρπός σου, ουχί φθοράς τοίς μετέχουσι πρόξενος, αλλά ζωής τοίς εν πίστει σε μεγαλύνουσι.

## Αίνοι Ήχος πλ. δ'

1. τού ποιήσαι εν αυτοίς κρίμα έγγραπτον. Δόξα αύτη έσται πάσι τοίς οσίοις αυτού.
-- Κύριε, ει καί κριτηρίω παρέστης, υπό Πιλάτου κρινόμενος, αλλ' ουκ απελείφθης τού θρόνου, τώ Πατρί συγκαθεζόμενος, καί αναστάς εκ νεκρών, τόν κόσμον ηλευθέρωσας, εκ τής δουλείας τού αλλοτρίου, ως οικτίρμων καί Φιλάνθρωπος.
2. Αινείτε τόν Θεόν εν τοίς Αγίοις αυτού, αινείτε αυτόν εν στερεώματι τής δυνάμεως αυτού.
-- Κύριε, ει καί ως νεκρόν εν μνημείω, Ιουδαίοι σε κατέθεντο, αλλ' ως Βασιλέα υπνούντα, στρατιώταί σε εφύλαττον, καί ως ζωής θησαυρόν, σφραγίδι εσφραγίσαντο, αλλά ανέστης καί παρέσχες, αφθαρσίαν ταίς ψυχαίς ημών.
3. Αινείτε αυτόν επί ταίς δυναστείαις αυτού, αινείτε αυτόν κατά τό πλήθος τής μεγαλωσύνης αυτού.
-- Κύριε, όπλον κατά τού διαβόλου, τόν Σταυρόν σου ημίν δέδωκας, φρίττει γάρ καί τρέμει, μή

φέρων καθοράν αυτού τήν δύναμιν, ότι νεκρούς ανιστά καί θάνατον κατήργησε, διά τούτο προσκυνούμεν, τήν Ταφήν σου καί τήν Έγερσιν.
4. Αινείτε αυτόν εν ήχω, σάλπιγγος, αινείτε αυτόν εν ψαλτηρίω καί κιθάρα.
-- Ο Άγγελός σου Κύριε, ο τήν Ανάστασιν κηρύξας, τούς μέν φύλακας εφόβησε, τά δέ Γύναια εφώνησε λέγων. Τί ζητείτε τόν ζώντα μετά τών νεκρών, ανέστη Θεός ών, καί τή οικουμένη ζωήν εδωρήσατο.
5. Αινείτε αυτόν εν τυμπάνω καί χορώ, αινείτε αυτόν εν χορδαίς καί οργάνω,
-- Έπαθες διά σταυρού, ο απαθής τή θεότητι, ταφήν κατεδέξω τριήμερον, ίνα ημάς ελευθερώσης τής δουλείας τού εχθρού, καί αθανατίσας, ζωοποιήσης ημάς Χριστέ ο Θεός, διά τής Αναστάσεώς σου φιλάνθρωπε.
6. Αινείτε αυτόν εν κυμβάλοις ευήχοις, αινείτε αυτόν εν κυμβάλοις αλαλαγμού. Πάσα πνοή αινεσάτω τόν Κύριον.
-- Προσκυνώ καί δοξάζω, καί ανυμνώ Χριστέ, τήν σήν εκ τάφου Ανάστασιν, δι' ής ηλευθέρωσας ημάς, εκ τών τού Άδου αλύτων δεσμών, καί εδωρήσω τώ κόσμω ως Θεός ζωήν αιώνιον, καί τό μέγα έλεος.
7. Ανάστηθι, Κύριε, ο Θεός μου, υψωθήτω η χείρ σου, μή επιλάθη τών πενήτων σου εις τέλος.
-- Τό ζωοδόχον σου μνήμα, φρουρούντες παράνομοι, σύν τή κουστωδία εσφραγίσαντο τούτο, σύ δέ ως αθάνατος Θεός καί παντοδύναμος, ανέστης τριήμερος.
8. Εξομολογήσομαί σοι, Κύριε, εν όλη καρδία μου, διηγήσομαι πάντα τά θαυμάσιά σου.
-- Πορευθέντος σου εν πύλαις Άδου Κύριε, καί ταύτας συντρίψαντος, ο αιχμάλωτος ούτως εβόα, Τίς εστιν ούτος, ότι ου καταδικάζεται εν τοίς κατωτάτοις τής γής, αλλά καί ως σκηνήν κατέλυσε τού θανάτου τό δεσμωτήριον; εδεξάμην αυτόν ως θνητόν, καί τρέφω ως Θεόν. Παντοδύναμε Σωτήρ ελέησον ημάς.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ
### Οι Μακαρισμοί

Μακάριοι οι ελεήμονες, ότι αυτοί ελεηθήσονται.

Μνήσθητι ημών, Χριστέ Σωτήρ τού κόσμου, ώσπερ τού Ληστού, εμνήσθης επί ξύλου, καί καταξίωσον πάντας μόνε Οικτίρμον, τής ουρανίου βασιλείας σου.

Μακάριοι οι καθαροί τή καρδία ότι αυ τοί τόν Θεόν όψονται.

Άκουε Αδάμ, καί χαίρε σύν τή Εύα, ότι ο γυμνώσας, πρίν τούς αμφοτέρους, καί δι' απάτης λαβών υμάς αιχμαλώτους, εν τώ Σταυρώ Χριστού κατήργηται.

Μακάριοι οι ειρηνοποιοί, ότι αυτοί υιοί Θεού κληθήσονται.

Ξύλω προσπαγείς, Σωτήρ ημών βουλήσει, ξύλου τόν Αδάμ, κατάρας ελυτρώσω, αποδιδούς ως Οικτίρμων τό κατ' εικόνα, καί Παραδείσου τήν κατοίκησιν.

Μακάριοι οι δεδιωγμένοι ένεκεν δικαιοσύνης, ότι αυτών εστιν η βασιλεία τών ουρανών.

Σήμερον Χριστός, ανέστη εκ τού τάφου, πάσι τοίς πιστοίς, παρέχων αφθαρσίαν, καί τήν χαράν εγκαινίζει ταίς Μυροφόροις, μετά τό πάθος καί τήν Έγερσιν.

Μακάριοί εστε όταν ονειδίσωσιν υμάς, καί διώξωσι, καί είπωσι πάν πονηρόν ρήμα καθυμών ψευδόμενοι ένεκεν εμού.

Χαίρετε σοφαί, γυναίκες Μυροφόροι, πρώται τήν Χριστού, Ανάστασιν ιδούσαι, καί τοίς αυτού απαγγείλασαι Αποστόλοις, παντός τού κόσμου τήν ανάκλησιν.

Χαίρετε καί αγαλλιάσθε, ότι ο μισθός υμών πολύς εν τοίς ουρανοίς.

Φίλοι τού Χριστού, Απόστολοι φανέντες, σύνθρονοι αυτού, εσόμενοι τή δόξη, εν παρρησία αυτώ ημάς παραστήναι, ως Μαθηταί αυτού πρεσβεύσατε.

Δόξα...

Άναρχε Τριάς, αμέριστε Ουσία, σύνθρονε Μονάς, ομότιμε τή δόξη, η υπεράρχιος φύσις καί Βασιλεία, σώζε τούς πίστει ανυμνούντάς σε.

Καί νύν... Θεοτοκίον

Χαίρε τού Θεού, ευρύχωρον χωρίον. Χαίρε κιβωτέ, τής Νέας Διαθήκης. Χαίρε η έν Μάννα, πάσιν εδόθη τό ουράνιον.

HYPERLINK "" \l "top" top

8-2

Στιχηρά Προσόμοια Δεσποτικά

Ήχος πλ. δ'

Ώ τού παραδόξου θαύματος

Στίχ. α'. Εάν ανομίας παρατηρήσης, Κύριε, Κύριε τίς υποστήσεται; ότι παρά σοί ο ιλασμός εστιν.

Ώ πώς διάγω αμέριμνος, τόν τής ζωής μου καιρόν, μετεώρως παρέρχομαι, μή εις νούν βαλλόμενος, τάς πολλάς αμαρτίας μου, μή τού θανάτου, τήν φοβεράν απειλήν, καί τής ετάσεως, τό αδέκαστον! ώ τίς με ρύσεται, πυρός αιωνίζοντος, ειμή Θεέ, μόνε υπεράγαθε, σύ οικτειρήσης με;

Στίχ. β'. Ένεκεν τού ονόματός σου υπέμεινά σε, Κύριε, υπέμεινεν η ψυχή μου εις τόν λόγον σου, ήλπισεν η ψυχή μου επί τόν Κύριον.

Οίμοι ψυχή μου ταλαίπωρε, πόσα θρηνήσεις εκεί, ενθυμούσα τάς πράξεις σου, όταν εις αιώνιον, βασιλείαν οι δίκαιοι, καλώνται σύ δέ, εις πύρ αιώνιον, κατακριθήση, διά τάς πράξεις σου! Στέναξον δάκρυσον, απεντεύθεν πρόσδραμε, τώ λυτρωτή, Χριστώ καί απόνιψαι, τάς αμαρτίας σου.

Στίχ. γ'. Από φυλακής πρωϊας μέχρι νυκτός, από φυλακής πρωϊας ελπισάτω Ισραήλ επί τόν Κύριον.

Έως καιρός σοι ενέστηκεν, ο τής παρούσης ζωής, ώ ψυχή μετανόησον, καί ενταύθα πόνησον, διά τάς αμαρτίας σου, ίνα εκείσε, εύρης ανάπαυσιν, καί αιωνίου, ρυσθής κολάσεως, Κύριε Κύριε, αγαθέ καί εύσπλαγχνε, τών εκλεκτών, μοίρας με αξίωσον, γενέσθαι μέτοχον.

Έτερα Προσόμοια τών Ασωμάτων

Κύριε, ει καί κριτηρίω παρέστης

Στίχ. δ'. Ότι παρά τώ Κυρίω τό έλεος, καί πολλή παρ' αυτώ, λύτρωσις. καί αυτός λυτρώσεται τόν Ισραήλ έκ πασών τών ανομιών αυτού.

Κύριε, σέ τών Ασωμάτων οι δήμοι, ακαταπαύστως δοξάζουσι, τώ σώ ενηδόμενοι κάλλει, καί τή αφράστω ωραιότητι, καί τρισηλίω αυγή, πλουσίως αυγαζόμενοι, ών ταίς πρεσβείαις καί προστασίαις, σώσον Σωτήρ τάς ψυχάς ημών.

Στίχ. ε'. Αινείτε τόν Κύριον πάντα τά έθνη, επαινέσατε αυτόν, πάντες οι λαοί.

Κύριε, τάς παναρμονίους χορείας, σύ τών Αγγέλων υπέστησας, τώ παντοδυνάμω σου Λόγω, καί τώ αγίω σου Πνεύματι, αμεταπτώτοις αυγαίς, τάς ελλάμψεις χαριζόμενος, ών ταίς πρεσβείαις καί προστασίαις, σώσον Σωτήρ τάς ψυχάς ημών.

Στίχ. ς'. Ότι εκραταιώθη τό έλεος αυτού εφ' ημάς, καί η αλήθεια τού Κυρίου μένει εις τόν αιώνα.

Κύριε, σέ τά Σεραφείμ ανυμνούσι, καί Εξουσίαι καί Άγγελοι, Αρχαί Κυριότητες θρόνοι, καί Δυνάμεις καί Αρχάγγελοι, καί Χερουβείμ τά φρικτά, τόν αίνόν σοι προσάγουσιν, ών ταίς πρεσβείαις καί προστασίαις, σώσον Σωτήρ τάς ψυχάς ημών.

Δόξα... Καί νύν... Θεοτοκίον

Ώ τού παραδόξου θαύματος

Χαίρε δαιμόνων αφάνισις, χαίρε Θυγάτηρ Αδάμ, αληθώς η ανθήσασα, άνθος τό αμάραντον, χαίρε

δόξα τών δούλων σου, δεινών η λύσις, χαίρε Πανάμωμε, τό δώρον χαίρε, παρά Θεού δωρηθέν, κόσμω διάσωσμα, τών παρακαλούντων σε, χαίρε Σεμνή, χαίρε δόξα Δέσποινα, τών δοξαζόντων σε.

Απόστιχα Κατανυκτικά

Σέ τόν Βασιλέα καί Δεσπότην, Άγγελοι απαύστως ανυμνούσιν, εγώ δέ σοι προσπίπτω, ως ο Τελώνης κράζων, ο Θεός ιλάσθητί μοι, καί σώσόν με.

Στίχ. Α'. Πρός σέ ήρα τούς οφθαλμούς μου, τόν κατοικούντα εν τώ ουρανώ. Ιδού, ως οφθαλμοί δούλων εις χείρας τών κυρίων αυτών, ως οφθαλμοί παιδίσκης εις χείρας τής κυρίας αυτής, ούτως οι οφθαλμοί ημών πρός Κύριον τόν Θεόν ημών, έως ού οικτιρήσαι ημάς.

Αθάνατος υπάρχουσα ψυχή μου, τοίς κύμασι τού βίου μή καλύπτου, ανάνηψον βοώσα, πρός τόν σόν ευεργέτην, ο Θεός ιλάσθητί μοι, καί σώσόν με.

Μαρτυρικόν

Στίχ. Β'. Ελέησον ημάς, Κύριε, ελέησον ημάς, ότι επί πολύ επλήσθημεν εξουδενώσεως, επί πλείον επλ ήσθη η ψυχή ημών, τό όνειδος τοίς ευθηνούσι, καί η εξουδένωσις τοίς υπερηφάνοις.

Μάρτυρες Κυρίου, πάντα τόπον αγιάζετε, καί πάσαν νόσον θεραπεύετε, καί νύν πρεσβεύσατε, ρυσθήναι τών παγίδων τού εχθρού, τάς ψυχάς ημών δεόμεθα.

Δόξα... Καί νύν... Θεοτοκίον

Ώ τού παραδόξου θαύματος

Χαίρε παλάτιον έμψυχον, περιστερά λογική, χαίρε πόλις τού Κτίστου σου, χαίρε καταφύγιον, τών πιστών καί προπύργιον, η προστασία, τών πεποιθότων εν σοί, καί σωτηρία, καί απολύτρωσις, χαίρε η γέφυρα, πάντας η μετάγουσα, πρός ουρανόν. χαίρε παντευλόγητε, αγία Δέσποινα.

Μετά τήν α' Στιχολογίαν Καθίσματα

Κατανυκτικά, Δεσποτικά

Ήχος πλ. δ'

Όμματι ευσπλάγχνω Κύριε, ίδε τήν εμήν ταπείνωσιν, ότι κατά μικρόν η ζωή μου δαπανάται, καί εξ έργων εμοί ουχ υπάρχει σωτηρία, διά τούτο δέομαι. Όμματι ευσπλάγχνω Κύριε, ίδε τήν εμήν ταπείνωσιν, καί σώσόν με.

Τήν Σοφίαν καί Λόγον

Τήν ημέραν εκείνην, τήν φοβεράν, εννοούσα ψυχή μου, γρηγόρησον, ανάπτουσα, λαμπάδα σου, εν ελαίω φαιδρύνουσα, ου γάρ οίδας πότε, πρός σέ επελεύσεται, η φωνή η λέγουσα. Ιδού ο Νυμφίος σου. Βλέπε ούν ψυχή μου, μή νυστάξης καί μείνης, έξωθεν κρούουσα, ως αι πέντε Παρθένοι, αλλ' αγρύπνως καρτέρησον, ίνα υπαντήσης Χριστώ τώ Θεώ, εν ελαίω πίονι, καί δώη σοι, τόν νυμφώνα τόν θείον τής δόξης αυτού.

Δόξα... Καί νύν... Θεοτοκίον, όμοιον

Ο τών όλων Δεσπότης, καί Ποιητής, εξ αχράντου σου μήτρας, σάρκα λαβών, προστάτιν σε έδειξε, τών ανθρώπων Πανάμωμε, διά τούτο πάντες, πρός σέ καταφεύγομεν, ιλασμόν πταισμάτων, αιτούμενοι Δέσποινα, καί αιωνιζούσης, λυτρωθήναι βασάνου, καί πάσης κολάσεως, τής εκείσε δεόμεθα, ίνα πίστει βοώμέν σοι. Πρέσβευε Χριστώ τώ Θεώ, τού δοθήναι πάσι Κόρη άφεσιν, τοίς πιστώς προσιούσι τή σκέπη σου.

Μετά τήν β' Στιχολογίαν

Καθίσματα Κατανυκτικά

Ως τού Κριτού παρόντος, μερίμνησον ψυχή, καί τής φρικτής ημέρας, τήν ώραν εννοού, η γάρ κρίσις ανίλεώς εστι, τοίς μή πράξασιν έλεος, διό πρό τέλους βόησον. Φείσαί μου Σωτήρ, μόνος γάρ υπάρχεις φιλάνθρωπος.

Ως η πόρνη σοι προσπίπτω, ίνα λάβω τήν άφεσιν, καί αντί μύρου, τά δάκρυα εκ καρδίας, προσφέρω σοι Χριστέ ο Θεός, ίνα ως εκείνην οικτειρήσης με Σωτήρ, καί παράσχης ιλασμόν αμαρτιών, ως αυτή γάρ κραυγάζω σοι. Λύτρωσαί με τού βορβόρου τών έργων μου.

Δόξα... Καί νύν... Θεοτοκίον

Τό προσταχθέν μυστικώς λαβών

Θεοχαρίτωτε αγνή, ευλογημένη, τόν διά σπλάγχνα οικτιρμών, εκ σού τεχθέντα, σύν ταίς άνω Δυνάμεσι, καί τοίς Αρχαγγέλοις, καί πάσι τοίς Ασωμάτοις, υπέρ ημών, δυσώπει ακαταπαύστως, δούναι ημίν, πρό τού τέλους διόρθωσιν, καί ιλασμόν αμαρτιών, καί βίου επανόρθωσιν, όπως εύρωμεν έλεος.

Μετα τήν γ' Στιχολογίαν έτερα

Τήν Σοφίαν καί Λόγον

Έως πότε ψυχή μου, ζής αμελώς; έως πότε ραθύμως, διατελείς; τού ύπνου εξεγέρθητι, ραθυμίας ταλαίπωρε, καί κατά νούν λαβούσα, τάς πράξεις σου στέναξον, καί τού δικαίου φρίξον, Κριτού τήν απόφασιν. Τί απολογήση, εν εκείνη τή ώρα; ή πώς τής μελλούσης, λυτρωθήση φλογώσεως, αδιόρθωτος μένουσα; Βόησον πρό τέλους τώ Κριτή, τών πταισμάτων δός μοι Σώτερ άφεσιν, σύ γάρ μόνος υπάρχεις μακρόθυμος.

Μαρτυρικόν

Φωτί ουρανίω καταλάμπεται, σήμερον αύτη η σκηνή, εν αυτή γάρ στρατιαί, Αγγέλων αγάλλονται, σύν αυταίς καί Δικαίων, χοροί ευφραίνονται, επί τή μνήμη τών Αθλοφόρων. Αυτών ταίς παρακλήσεσι, κατάπεμψον τώ κόσμω σου, τήν ειρήνην Χριστέ, καί τό μέγα έλεος.

Δόξα... Καί νύν... Θεοτοκίον

Τό προσταχθέν μυστικώς, λαβών εν γνώσει, εν τή σκηνή τού Ιωσήφ, σπουδή επέστη, ο Ασώματος λέγων, τή απειρογάμω, ο κλίνας τή καταβάσει, τούς ουρανούς, χωρείται αναλλοιώτως, όλος εν σοί, όν καί λαβόντα δούβλέπων εν μητρα σου, λου μορφήν, εξίσταμαι κραυγάζων σοι. Χαίρε Νύμφη ανύμφευτε.

Κανών Κατανυκτικός, ού η Ακροστιχίς

Ρύσαι πυρός με τής γεέννης Χριστέ μου, τόν Ιωσήφ

Ωδή α'  Ήχος πλ. δ'

Ο Ειρμός

Υγράν διοδεύσας ωσεί ξηράν, καί τήν Αιγυπτίαν, μοχθηρίαν διαφυγών, ο Ισραηλίτης ανεβόα, τώ Λυτρωτή καί Θεώ ημών άσωμεν.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ρύσαί με γεέννης ήν εμαυτώ, δι' έργων ατόπων, προεξένησα Λυτρωτά, καί τής σής αγάπης άναψόν μου, εν διανοία τό πύρ τό μακάριον.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Υπέκυψα πάθεσι σκοτισθείς, καί άλογος ώφθην, λόγω Κύριε τιμηθείς, ανάνηψιν δίδου τή ψυχή μου, καί οίς επίστασαι κρίμασι σώσόν με.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Στρεβλούμενοι σώμα τοίς αικισμοίς, εδήλουν τής γνώμης, τό ορθόν τε καί ακλινές, καί τήν πρός τόν κτίσαντα αγάπην, στεφανηφόροι πανεύφημοι Μάρτυρες.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Αιμάτων συρρεύσαντες ποταμοί, σωμάτων αγίων, τών ενδόξων σου Αθλητών, ειδωλομανίας τάς ακάνθας, τή σή δυνάμει Οικτίρμον απέρρηξαν.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ίασαι νοσούντά με χαλεπώς, τής θανατηφόρου, ασθενείας τών σαρκικών, Αγνή ψυχικών τε παθημάτων, όπως εν πίστει αεί μακαρίζω σε.

Κανών τών Ασωμάτων ού η Ακροστιχίς

Κατά Αλφάβητον. Ποίημα Θεοφάνους

Ειρμός ο αυτός
Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Αγίων Αγγέλων ως αρχηγοί, καί τής θεοπτίας, απολαύοντες τηλαυγώς, τόν αγαθοδότην καί Σωτήρα, υπέρ ημών καθικετεύσατε.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Βιαίοις κρατούμενοι πειρασμοίς, υμίν ως προστάταις, νύν προσφεύγομεν οι πιστοί, Αρχάγγελοι θείοι τόν Δεσπότην, νύν εκτενώς εκδυσωπήσατε.

Θεοτοκίον
Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Γενού μοι Παρθένε καταφυγή, λιμήν τε καί τείχος, καί προστάτις η τόν Θεόν, εν σαρκί τεκούσα Θεομήτορ, τόν λυτρωτήν καί πανοικτίρμονα.

Ωδή γ'
Ο Ειρμός
Ουρανίας αψίδος, οροφουργέ Κύριε, καί τής Εκκλησίας δομήτορ, σύ με στερέωσον, εν τή αγάπη τή σή, τών εφετών η ακρότης, τών πιστών τό στήριγμα, μόνε φιλάνθρωπε.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ποίοις βλέψω σε τότε, Χριστέ Σωτήρ όμμασι, μίαν εντολήν επί γής σου, μή εργασάμενος; πώς τώ αστέκτω σου, παρασταθήσομαι θρόνω, λόγον τών αμέτρων μου, κακών ποιούμενος;

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Υφαπλώσας αγκάλας, σών οικτιρμών δέξαι με, Άσωτον ως πρίν εφ' ομοίοις, τρόποις δουλεύσαντα, ατίμοις πάθεσι, καί από σού μακρυνθέντα, Ιησού φιλάνθρωπε καί υπεράγαθε.

Μαρτυρικά
Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ριζωθέντες εν πέτρα, τής τού Θεού γνώσεως, Μάρτυρες Χριστού αθλοφόροι, ξίφει τής πίστεως, εξερριζώσατε, τής αγνωσίας ακάνθας, καί καρπούς αθλήσεως, εγεωργήσατε.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Οι ακράδαντοι πύργοι, τής αληθούς πίστεως, τά περιφανή Εκκλησίας, εγκαλλωπίσματα, οι ωραιότατοι, καί εθελόθυτοι άρνες, τού Χριστού οι Μάρτυρες, ανευφημείσθωσαν.

Θεοτοκίον
Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σέ φρουρόν Παναγία, εν πειρασμοίς κέκτημαι, σέ μετά Θεόν προστασίαν, έχω ακοίμητον, σέ ρυομένην με, εν τή ημέρα τής δίκης, πάσης κατακρίσεως, εύροιμι Πάναγνε.

Κανών τών Ασωμάτων
Ειρμός ο αυτός
Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Δωρεαίς πολυτρόποις, Αγγελικής τάξεως, οία Ταξιάρχαι, δεικνύμενοι, Αρχιστράτηγοι, κατακοσμούμενοι, τάς τού Χριστού Εκκλησίας, ασφαλώς τηρήσατε, ταίς προστασίαις υμών.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Ευδοκίας εν όπλω, τό τών πιστών πλήρωμα, τής ορθοδοξίας τώ κάλλει, νύν στεφανούμενοι, εκ περιστάσεως, ως ευκλεείς παραστάται, τού Θεού λυτρώσασθε, θείοι Αρχάγγελοι.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ζωής τής ακηράτου, θεία σκηνή γέγονας, μόνη εξ αιώνος φανείσα, Παρθενομήτορ αγνή, όθεν καί δέομαι. Τόν εν σκιά τού θανάτου, πρός ζωήν οδήγησον, νύν με πρεσβείαις σου.

## Ωδή δ'

### Ο Ειρμός

Εξ όρους κατασκίου, Λόγε ο Προφήτης, τής μόνης Θεοτόκου, μέλλοντος σαρκούσθαι, θεοπτικώς κατενόησε, καί εν φόβω, εδοξολόγει σου τήν δύναμιν.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Μέγιστος αγών, ψυχής χωριζομένης, τρόμος φοβερός, Κριτού καθεζομένου, καί κρινομένων ανθρώπων, ημαρτηκότων, οίμοι! τί πράξω ο κατάκριτος;

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Έχων μολυσμών, ανάπλεων καρδίαν καί αμαρτιών, δυσβάστακτα φορτία, τοίς οικτιρμοίς σου προστρέχω, μή με παρίδης, αλλά οικτείρησόν με δέομαι.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Τίμιος υμών, ο θάνατος εδείχθη, έναντι Θεού, γενναίοι Αθλοφόροι, ου γάρ ηρνήσασθε τούτον, πόνοις μυρίοις, καί αικισμοίς περικυκλούμενοι.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ήλγησεν εχθρός, τώ άλγει τών Μαρτύρων, πέπτωκεν αυτού, οφρύς επαιρομένη, καί μεγαλύνεται τούτων ο στεφοδότης, μέλεσι θείοις δοξαζόμενος.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σέ τό καθαρόν, δοχείον τού Δεσπότου, πίστει δυσωπώ, καθάρισόν με πάσης, Θεογεννήτορ κηλίδος, καί οίκον δείξον, τού καθαρού καί θείου Πνεύματος.

## Κανών τών Ασωμάτων

### Ο Ειρμός

Εισακήκοα Κύριε, τής οικονομίας σου τό μυστήριον, κατενόησα τά έργα σου, καί εδόξασά σου τήν θεότητα.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Ηδυάς η πρωτεύουσα, τής τών Αρχαγγέλων νύν ομηγύρεως, τούς προστρέχοντας τή σκέπη υμών, εκ παντός κινδύνου διασώσατε.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Θεωροί τής λαμπρότητος, τής θεαρχικής καί αγαθοδότιδος, Αρχιστράτηγοι πανένδοξοι, νύν τήν ποίμνην υμών εκλυτρώσασθε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ιερώς σε δοξάζουσι, τά τών Ασωμάτων θεία στρατεύματα, Θεομήτορ πανσεβάσμιε, τόν γάρ Κτίστην τούτων απεκύησας.

### Ωδή ε'
### Ο Ειρμός

Φώτισον ημάς, τοίς προστάγμασι σου Κύριε, καί τώ βραχίονί σου τώ υψηλώ, τήν σήν ειρήνην, παράσχου ημίν Φιλάνθρωπε.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Γνώμη πονηρά, παρεπίκρανά σε Κύριε, εργαζόμενος τά άτοπα, αλλ' οίκτειρόν με, επιστρέφοντα καί σώσόν με.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Έχων λογισμόν, τών κακών μή ανανεύοντα, αναισθητώ ο ασυνείδητος, τήν πώρωσίν μου, Ιησού λύσον καί σώσόν με.

### Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Έθετο υμάς, ώσπερ λίθους εναυγάζοντας, θεογνωσίαν θείοι Μάρτυρες, ο Φωτοδότης, καί τής πλάνης σκότος λύοντας.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Νόμοις πονηροίς, νόμους θείους αντεθήκατε, καί Θεόν ανακηρύττοντες, θανατωθήναι, δι' αυτόν προεθυμήθητε.

### Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νέκρωσον Αγνή, τών παθών μου τά κινήματα, η νεκρώσασα τώ τόκω σου, τήν ζώσαν Κόρη, αμαρτίαν τού προπάτορος.

### Κανών τών Ασωμάτων
### Ειρμός ο αυτός

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Κύκλω τού Θεού, παρεστώτες Αρχιστράτηγοι, καί ταίς εκείθεν πηγαζούσας αυγαίς, λελαμπρυσμένοι, τήν ποίμνην υμών φρουρήσατε.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Λύτρωσιν ημίν, δωρηθήναι ικετεύσατε, τόν Δεσπότην καί Θεόν ημών, ως παραστάται, τής πάντων απολυτρώσεως.

### Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Μύρον μυστικώς, ονομάζομέν σε Πάναγνε, ως γεννήσασαν Θεόν εν σαρκί, τόν τά ευώδη, αναβρύοντα χαρίσματα.

### Ωδή ς'
### Ο Ειρμός

Τόν Ιωνάν, εν τώ κήτει Κύριε, μονώτατον κατώκησας, εμέ δέ τόν πεπεδημένον, εν άρκυσι τού εχθρού, ως εκ φθοράς, εκείνον διάσωσον.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ηλιακόν, φώς τής μετανοίας μοι, ανάτειλον υπάρχοντι, εν σκότει τών αμαρτημάτων, Χριστέ φωτός χορηγέ, ίνα υμνώ, τήν σήν αγαθότητα.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Σού τό φρικτόν, βήμα φρίττω πάντοτε, κακών δέ ουκ αφίσταμαι, δουλεύων, φαύλη συνηθεία, διόρθωσόν με Χριστέ, ίνα υμνώ, τήν σήν αγαθότητα.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Χοροί σεπτών, Μαρτύρων ενήθλησαν, καί πλήθος ετροπώσαντο δαιμόνων, καί χοροίς Αγγέλων, συνήφθησαν εν χαρά. Τούτων ευχαίς, σώσον ημάς Κύριε.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ρώμη τή σή, δυνατούς απέδειξας, τούς Μάρτυράς σου Κύριε, καί πάσαν δύναμιν καθείλον, τού παλαιού πτερνιστού. Τούτων ευχαίς, σώσον ημάς Κύριε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ίνα φωναίς, ευχαρίστοις πάντοτε, Πανάμωμε δοξάζω σε, ψυχής μου δίωξον τό σκότος, καί μετανοίας φωτί, τά φοβερά, λύσόν μου εγκλήματα.

Κανών τών Ασωμάτων

Ο Ειρμός

Τήν δέησιν εκχεώ πρός Κύριον, καί αυτώ απαγγελώ μου τάς θλίψεις, ότι κακών, η ψυχή μου επλήσθη, καί η ζωή μου τώ άδη προσήγγισε, καί δέομαι ως Ιωνάς. Εκ φθοράς ο Θεός με ανάγαγε.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Νύν θρόνω τώ φοβερώ παρίστασθαι, ακλινώς αξιωθέντες θεόπται, καί ταίς αυγαίς, τής αγίας Τριάδος, εμφορηθήναι υμίν τούς προστρέχοντας, πρεσβεύσατε εκ πειρασμών, καί παθών λυτρωθήναι Αρχάγγελοι.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Ξενίας δεσποτικής δεήθητε, τούς υμάς μελωδικώς ανυμνούντας, επιτυχείν, και χαράς αϊδίου, αξιωθήναι καί θείας λαμπροτητος, Αρχάγγελοι θεοειδείς, Μιχαήλ Γαβριήλ τε πανένδοξοι.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ο έμψυχος τού Δεσπότου θάλαμος, ο λαμπραίς τής Παρθενίας ακτίσι, φωτοειδώς, ώσπερ κρίνον εκλάμπων τής ακανθώδους εν μέσω συγχύσεως, η πάναγνος καί ευπρεπής, Θεοτόκος Παρθένος δοξάζεται.

Ωδή ζ

Ο Ειρμός

Οι εκ τής Ιουδαίας, καταντήσαντες Παίδες εν Βαβυλώνί ποτε, τή πίστει τής Τριάδος, τήν φλόγα τής καμίνου κατεπάτησαν ψάλλοντες. Ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Στεναγμόν μοι παράσχου, ως ποτέ τώ Τελώνη, καί ως τήν Πόρνην Χριστέ, δάκρυσιν αποπλύνας, τά έλκη τών κακών μου, καί βοώντά με οίκτειρον, ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Τόν λησταίς ψυχοφθόροις, Σώτερ περιπεσόντα, καί πληγωθέντα δεινώς, ιάτρευσον ελαίω, γνησίας μετανοίας, καί κατάνυξον ψάλλοντα, ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ενεκρώθητε κόσμω, καί νεκρόν ζωηφόρον, Χριστόν γενόμενον, ηρνήσασθε ουδόλως, γενναίοι Αθλοφόροι, εναθλούντες καί ψάλλοντες. Ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Μίαν φύσιν Τριάδος, εν τρισί χαρακτήρσιν ομολογούντες σοφοί, πολύθεον απάτην, ειδώλων Αθλοφόροι, διελύσατε ψάλλοντες, ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ο Θεού Θεός Λόγος, εν γαστρί σου σκηνώσας Θεοχαρίτωτε, απάντων προστασίαν, τών καταπονουμένων, καί βοώντων δεικνύει σε, ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Κανών τών Ασωμάτων

Ειρμός ο αυτός

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Πολυποίκιλον χάριν, Αρχιστράτηγοι θείοι, υμίν δεδώρηται, ο πάντων Ευεργέτης, ού νύν τήν Εκκλησίαν, διασώσατε ψάλλουσαν, ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Ρώμη τού παντεπόπτου, δυναμούμενοι πάντα, τής γής τά πέρατα, τρανώς περισκοπείτε, καί πάντας τούς εν πίστει, περισώζετε ψάλλοντας. Ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σωτηρίας λιμένα Θεοτόκε Παρθένε, σέ νύν κατέχοντες, τού βίου τούς κινδύνους, εκφεύγομεν καί ζάλας, τώ Υιώ σου κραυγάζοντες. Ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

## Ωδή η'

### Ο Ειρμός

Τόν εν όρει, αγίω δοξασθέντα, καί εν βάτω, πυρί τό τής Παρθένου, τώ Μωϋσή μυστήριον γνωρίσαντα, Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Υπαχθέντα, σαρκός φιληδονίαις, καί σού Λόγε, άφρονως μακρυνθέντα, ομοιωθέντα πάσί τε τοίς κτήνεσι, Σώτερ μή παρίδης, αλλά πρό τού τέλους, επίστρεψον καί σώσον.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Τών πταισμάτων, αφίσταμαι ουδόλως, καί βοώ σοι, τό Ήμαρτον ο τάλας επιστροφήν ουδέποτε ποιούμενος. Κύριε οικτίρμον, τήν πεπωρωμένην, κατάνυξον ψυχήν μου.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Οι γενναίοι, Κυρίου Αθλοφόροι, τών αιμάτων, τοίς ρείθροις βαπτισθέντες, δευτέροις ρύποις ου

κατεμολύνθησαν, όθεν στεφηφόροι, μετά τών Αγγέλων, χορεύουσιν άπαυστως.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Νευρωθέντες, ελπίσι τών μελλόντων, τών βασάνων τόν όγκον οι γενναίοι, τής ευσεβείας Μάρτυρες υπήνεγκαν, καί τελειωθέντες, θρόνω τού Δεσπότου, παρίστανται απαύστως.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ισταμένων, βεβαίωσις υπάρχεις, καί πεσόντων, ανόρθωσις Παρθένε, διό καταπτωθέντα με ανάστησον, ίνα σε δοξάζω, τήν Κεχαριτωμένην, εις πάντας τούς αιώνας.

Κανών τών Ασωμάτων

Ο Ειρμός

Τόν Βασιλέα τών ουρανών όν υμνούσι, στρατιαί τών Αγγέλων, υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Τούς παραστάτας και υμνωδούς, τής αφράστου, και αρρήτου σου δόξης προσδέχου, σέ νύν δυσωπούντας, Χριστέ εις τούς αιώνας.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Υπέρ ημών μόνε Αγαθέ, δυσωπούσας, στρατιάς τών Αγγέλων προσδέχου, σέ τών ανυμνούντων, Χριστέ εις τούς αιώνας.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φαεινοτάταις σου αστραπαίς, Θεομήτορ, τούς πιστώς μελωδούντας φαιδρύνοις, καί σέ ανυμνούντας, εις πάντας τούς αιώνας.

Ωδή θ'

Ο Ειρμός

Έφριξε πάσα ακοή, τήν απόρρητον Θεού συγκατάβασιν, όπως ο Ύψιστος, εκών κατήλθε, μέχρι καί σώματος, παρθενικής από γαστρός, γενόμενος άνθρωπος, διό τήν άχραντον, Θεοτόκον οι πιστοί μεγαλύνομεν.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ως πάλαι Πόρνην εν κλαυθμώ, προσπεσούσάν σοι Χριστέ εκαθάρισας, ως εδικαίωσας, Τελώνην Λόγε, μόνον στενάξαντα, ως προσεδέξω Μανασσήν, ως Δαυϊδ ηλέησας, μετανοήσαντα, ούτω δέξαι με, καί σώσον φιλάνθρωπε.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Στέναξον δάκρυσον ψυχή, τών προτέρων σου σφαλμάτων απόστηθι, καί τώ γινώσκοντι, τά κρύφιά σου φανερώς πρόσπεσον, καί αναβόησον θερμώς. Ήμαρτόν σοι Κύριε, σώσόν με οίκτειρον, έχων σπλάγχνα οικτιρμών Πολυέλεε.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ήθλησαν οι θεοειδείς, Αθλοφόροι επί γής καρτερώτατα, καί τήν ασάλευτον, νύν Βασιλείαν, κλήρον ειλήφασι, καί Παραδείσου τής τρυφής, μετέχουσι χαίροντες. Αυτών πρεσβείαις Χριστέ, σού τής δόξης κοινωνούς ημάς ποίησον.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Φωστήρες τήν ανατολήν, τήν ανέσπερον φωτίσαντες ώφθητε, καί τήν εσπέραν σοφοί, τής αθεϊας απεμειώσατε καί δαδουχίαις ιεραίς, πάντας καταυγάζετε, τούς τήν φωσφόρον υμών, Αθλοφόροι εορτήν μεγαλύνοντας.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φώτισον πύλη τού φωτός, τής καρδίας μου τά όμματα δέομαι, άπερ ημαύρωσε, τής αμαρτίας σκότος βαθύτατον, καί μετανοίας μοι αυγήν, κατάπεμψον Δέσποινα, καί αιωνίου πυρός, μεσιτείαις σου αεί ελευθέρωσον.

Κανών τών Ασωμάτων

Ο Ειρμός

Κυρίως Θεοτόκον, σέ ομολογούμεν, οι διά σού σεσωσμένοι Παρθένε αγνή, σύν Ασωμάτοις χορείαις, σέ μεγαλύνοντες.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Χορείαις Ασωμάτων, νύν τήν Εκκλησίαν, δι' αρετής μιμουμένην ανάδειξον, περιτειχίζων Αγγέλοις, Χριστέ τήν ποίμνην σου.

Στίχ. Άγιοι Αρχάγγελοι τού Θεού, πρεσβεύσατε υπέρ ημών.

Ψυχών τήν σωτηρίαν, Άγγελοι προστάται, παρά Θεού δυσωπούντες δωρήσασθε, τοίς προσιούσι τή σκέπη, υμών πανένδοξοι.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ως όρθρος τοίς εν σκότει, καί πεπλανημένοις, δικαιοσύνης Παρθένε τόν Ήλιον, εν ταίς αγκάλαις κρατούσα, Χριστόν ανέτειλας.

Απόστιχα τών Αίνων, Κατανυκτικά

Όταν λάβω κατά νούν, τά πλήθη τών πεπραγμένων μοι δεινών, καί εις έννοιαν έλθω, τής φοβεράς εκείνης ετάσεως, τρόμω συνεχόμενος, πρός σέ καταφεύγω τόν φιλάνθρωπον Θεόν. Διό μή με παρίδης ικετεύω σε, μόνε αναμάρτητε, δώρησαι κατάνυξιν τή ταπεινή μου ψυχή, πρό τελευτής καί σώσόν με.

Στίχ. α'. Ενεπλήσθημεν τό πρωϊ τού ελέους σου, Κύριε, καί ηγαλλιασάμεθα καί ηυφράνθημεν έν πάσαις ταίς ημέραις ημών. Ευφρανθείημεν, ανθών ημερών εταπείνωσας ημάς, ετών, ών είδομεν κακά, καί ίδε επί τούς δούλους σου καί επί τά έργα σου, καί οδήγησον τούς υιούς αυτών.

Δάκρυά μοι δός ο Θεός, ως ποτέ τή γυναικί τή αμαρτωλώ, καί αξίωσόν με βρέχειν τούς πόδας σου, τούς εμέ εκ τής οδού τής πλάνης ελευθερώσαντας, καί μύρον ευωδίας σοι προσφέρειν, βίον καθαρόν, εν μετανοία μοι κτισθέντα, ίνα ακούσω καγώ τής ευκταίας σου φωνής. Η πίστις σου σέσωκέ σε, πορεύου εις ειρήνην.

Μαρτυρικόν

Στίχ. β'. Καί έστω η λαμπρότης Κυρίου τού Θεού ημών εφ' ημάς, καί τά έργα τών χειρών ημών κατεύθυνον εφ' ημάς, καί τό έργον τών χειρών ημών κατεύθυνον.

Τί υμάς καλέσωμεν Άγιοι; Χερουβείμ; ότι υμίν επανεπαύσατο Χριστός, Σεραφείμ; ότι απαύστως εδοξάσατε αυτόν, Αγγέλους; τό γάρ σώμα απεστράφητε, Δυνάμεις; ενεργείτε εν τοις θαύμασι. Πολλά υμών τά ονόματα καί μείζονα τά χαρίσματα. Πρεσβεύσατε, του σωθήναι τάς ψυχάς ημών.

Δόξα... Καί νύν... Θεοτοκίον

Τά ουράνια υμνεί σε, Κεχαριτωμένη Μήτηρ ανύμφευτε, καί ημείς δοξολογούμεν, τήν ανεξιχνίαστόν σου γέννησιν, Θεοτόκε πρέσβευε, σωθήναι τάς ψυχάς ημών.

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Οι Μακαρισμοί

Μακάριοι οι ειρηνοποιοί, ότι αυτοί υιοί Θεού κληθήσονται.

Μνήσθητι ημών, Χριστέ Σωτήρ τού κόσμου, ώσπερ τού Ληστού, εμνήσθης επί ξύλου, καί καταξίωσον πάντας μόνε Οικτίρμον, τής ουρανίου Βασιλείας σου.

Μακάριοι οι δεδιωγμένοι ένεκεν δικαιοσύνης, ότι αυτών εστιν η βασιλεία τών ουρανών.

Ίασαι Χριστέ, τά πάθη τής ψυχής μου, μόνε ιατρέ, ψυχών τε καί σωμάτων, καί κατανύξεως ρείθροις με αποπλύνας, όλον καθάρισον ως Ευσπλαγχνος.

Μακάριοί εστε όταν ονειδίσωσιν υμάς, καί διώξωσι, καί είπωσι πάν πονηρόν ρήμα καθυμών ψευδόμενοι ένεκεν εμού.

Θρόνον τής σεπτής, κυκλούντες θεαρχίας, θρόνοι, Χερουβείμ, Αρχαί καί Εξουσίαι, καί αι λοιπαί Ασωμάτων Ταξιαρχίαι, ιερωτάτως αναλάμπουσι.

Μαρτυρικόν

Χαίρετε καί αγαλλιάσθε, ότι ο μισθός υμών πολύς εν τοίς ουρανοίς.

Ζέσει τής Χριστού, πυρούμενοι αγάπης, άφλεκτοι πυρός, διέμειναν εν μέσω, οι Αθληταί πυρπολήσαντες τάς ακάνθας, τής δυσσεβείας, θεία χάριτι.

Δόξα...

Ώ Τριάς απλή, Μονάς αρχικωτάτη, λύτρωσαι πυρός, σούς δούλους τού ασβέστου, ταίς ικεσίαις τών θείων σου Ασωμάτων, καί Βασιλείας καταξίωσον.

Καί νύν... Θεοτοκίον

Τόμον σέ ποτε, προείδεν Ησαϊας, ώ τού Πατρός, δακτύλω κατεεν γράφη, θεοχαρς, βίβλω ζωής εγκαταγράφων ημάς.

HYPERLINK "" \l "top" top

8-3

Στιχηρά Προσόμοια Δεσποτικά

Ήχος πλ. δ'

Ώ τού παραδόξου θαύματος

Στίχ. α'. Εάν ανομίας παρατηρήσης, Κύριε, Κύριε τίς υποστήσεται; ότι παρά σοί ο ιλασμός εστιν.

Τίνι ψυχή εξωμοίωσαι, εν ραθυμία πολλή, τήν ζωήν σου εξάγουσα, ύπνω βαθυτάτω τε, χαλεπής καταπτώσεως, βαρυνομένη; Δράμε καί πρόφθασον, καί τώ τά πάντα, ειδότι πρόσπεσον, κλαύσον καί αίτησαι, καιρόν μετανοίας σοι, πρίν τού πυρός, τού ασβέστου τάλαινα, γένη υπέκκαυμα.

Στίχ. β'. Ένεκεν τού ονόματός σου υπέμεινά σε, Κύριε, υπέμεινεν η ψυχή μου εις τόν λόγον σου, ήλπισεν η ψυχή μου επί τόν Κύριον.

Οίδας Χριστέ τήν ασθένειαν, τής ανθρωπίνης σαρκός, καί τό χαύνον τής φύσεως, επίστασαι Δέσποτα, ώς ποιητής καί Θεός ημών, τόν σάλον κόπασον τής καρδίας μου, διδούς γαλήνην τή ταπεινή μου ψυχή, δίδου διόρθωσιν, τών ατόπων έργων μου, καί τού πυρός, τού ασβέστου ρύσαί με, ως μόνος εύσπλαγχνος.

Στίχ. γ'. Από φυλακής πρωϊας μέχρι νυκτός, από φυλακής πρωϊας ελπισάτω Ισραήλ επί τόν Κύριον.

Όλον τόν βίον ηνάλωσα, καί τήν ζωήν μου αισχρώς, καί ασώτως Φιλάνθρωπε, μή προσχών τό σύνολον, ταίς εκείθεν κολάσεσιν, αλλά Θεέ μου, νύν επιστρέφοντα, δέξαι Σωτήρ μου, ώσπερ τόν Άσωτον, ταίς τού Προδρόμου σου, καί πάντων Αγίων σου, σεπταίς λιταίς, καί τής κυησάσης σε, Χριστέ καί σώσόν με.

Έτερα, τού Προδρόμου, όμοια

Στίχ. δ'. Ότι παρά τώ Κυρίω τό έλεος, καί πολλή παρ' αυτώ, λύτρωσις. καί αυτός λυτρώσεται τόν Ισραήλ έκ πασών τών ανομιών αυτού.

Τής στειρευούσης τό βλάστημα, τό τής αγνείας φυτόν, τών βροτών εγκαλλώπισμα, τού Δεσπότου Πρόδρομε, Ιωάννη πανεύφημε, φύλαξ ο θείος, τής ταπεινής μου ψυχής, τήν σήν πρεσβείαν καί τήν βοήθειαν, δίδου λυτρούμενος, μηχανών τού όφεως, καί πονηράς, τούτου με κακώσεως, καί επιθέσεως.

Στίχ. ε'. Αινείτε τόν Κύριον πάντα τά έθνη, επαινέσατε αυτόν, πάντες οι λαοί.

Ίνα δοξάζω καί σέβωμαι, ίνα τιμώ καί υμνώ, καί γεραίρω εκ πίστεως, σού τό θείον όνομα, τό φαιδρόν χαριτώνυμε, μή αφιστάνου, ποτέ τού δούλου σου, μηδέ χωρίζου μου, θείε Πρόδρομε, αλλά ταίς πτέρυξι, τής σεπτής πρεσβείας σου, διά παντός, σκέπε με καί φύλαττε από παντοίων κακών.

Στίχ. ς'. Ότι εκραταιώθη τό έλεος αυτού εφ' ημάς, καί η αλήθεια τού Κυρίου μένει εις τόν αιώνα.

Όλος υπάρχεις ηδύτητος, καί γλυκασμού θεϊκού, πεπλησμένος αοίδιμε, καί ευφραίνεις άπαντας, τούς πιστώς προσιόντας σοι, καταγλυκαίνων τά αισθητήρια, τά τής ψυχής τε καί τά τού σώματος, νόσων καί θλίψεων, συμφορών κακώσεων, καί οδυνών, ψυχοφθόρων πάντοτε, ημάς λυτρούμενος.

Δόξα... Καί νύν... Θεοτοκίον, όμοιον

Χαίρε Θεοτόκε Δέσποινα, χαίρε Θεού καθαρόν, οικητήριον Άχραντε, χαίρε θείον όχημα, τού Λόγου θεοχώρητε, τό θεότευκτον, χαίρε παλάτιον, θεοπάροχον, χαίρε θησαύρισμα, θάλαμος έμψυχος, Θεού θεία τράπεζα, καί κιβωτέ, καί κατοικητήριον, τού θείου Πνεύματος.

Απόστιχα Κατανυκτικά

Σέ τόν Βασιλέα καί Δεσπότην, Άγγελοι απαύστως ανυμνούσιν, εγώ δέ σοι προσπίπτω, ως ο Τελώνης κράζων. Ο Θεός ιλάσθητί μοι, καί σώσόν με.

Στίχ. Α'. Πρός σέ ήρα τούς οφθαλμούς μου, τόν κατοικούντα εν τώ ουρανώ. Ιδού, ως οφθαλμοί δούλων εις χείρας τών κυρίων αυτών, ως οφθαλμοί παιδίσκης εις χείρας τής κυρίας αυτής, ούτως οι οφθαλμοί ημών πρός Κύριον τόν Θεόν ημών, έως ού οικτιρήσαι ημάς.

Αθάνατος υπάρχουσα ψυχή μου, τοίς κύμασι τού βίου μή καλύπτου, ανάνηψον βοώσα, πρός τόν σόν Ευεργέτην, ο Θεός ιλάσθητί μοι, καί σώσόν με.

Μαρτυρικόν

Στίχ. Β'. Ελέησον ημάς, Κύριε, ελέησον ημάς, ότι επί πολύ επλήσθημεν εξουδενώσεως, επί πλείον επλ ήσθη η ψυχή ημών, τό όνειδος τοίς ευθηνούσι, καί η εξουδένωσις τοίς υπερηφάνοις.

Μάρτυρες Κυρίου, ικετεύσατε τόν Θεόν ημών, καί αιτήσασθε ταίς ψυχαίς ημών, πλήθος οικτιρμών, καί τόν ιλασμόν, τών πολλών παραπτωμάτων δεόμεθα.

Δόξα... Καί νύν... Θεοτοκίον

Η σκέπη σου Θεοτόκε Παρθένε, ιατρείον υπάρχει πνευματικόν, εν αυτή γάρ καταφεύγοντες, ψυχικών νοσημάτων λυτρούμεθα.

Μετά τήν α' Στιχολογίαν

Καθίσματα Κατανυκτικά

Ήχος πλ. δ'

Όμματι ευσπλάγχνω Κύριε, ίδε τήν εμήν ταπείνωσιν, ότι κατά μικρόν η ζωή μου δαπανάται, καί εξ έργων εμοί, ουχ υπάρχει σωτηρία, διά τούτο δέομαι, όμματι ευσπλάγχνω Κύριε, ίδε τήν εμήν ταπείνωσιν, καί σώσόν με.

Ως η Πόρνη προσπίπτω σοι, ίνα λάβω τήν άφεσιν, καί αντί μύρου τά δάκρυα εκ καρδίας, προσφέρω σοι Χριστέ ο Θεός, ίνα ως εκείνην, οικτειρήσης με Σωτήρ, καί παράσχης μοι ιλασμόν

αμαρτιών, ως αυτή γάρ κραυγάζω σοι. Λύτρωσαί με τού βορβόρου τών έργων μου.

Δόξα... Καί νύν... Θεοτοκίον

Τό ασάλευτον στήριγμα, τό τής πίστεως, καί σεβάσμιον δώρημα, τών ψυχών ημών, τήν Θεοτόκον εν ύμνοις μεγαλύνωμεν πιστοί. Χαίρε η τήν πέτραν τής ζωής, εν γαστρί σου χωρήσασα, χαίρε τών περάτων η ελπίς, θλιβομένων αντίληψις, χαίρε Νύμφη ανύμφευτε.

Μετά τήν β' Στιχολογίαν

Καθίσματα Κατανυκτικά

Ως τού Κριτού παρόντος, μερίμνησον ψυχή, καί τής φρικτής ημέρας, τήν ώραν εννοού, η γάρ κρίσις ανίλεως εστι, τοίς μή πράξασιν έλεος. Διό φείσαί μου Σωτήρ, μόνος γάρ υπάρχεις αναμάρτητος.

Τήν σοφίαν καί Λόγον

Τών φρονίμων Παρθένων, τό ιλαρόν, καί μωρών ασπλαγχνίαν βλέπε ψυχή, πεινώσιν απάρκεσον, καί τούς ξένους εισάγαγε, ευποιϊας ελαίω, τήν λαμπάδα φαιδρύνουσα, καί μή μάτην φρόνει, μικροίς κατορθώμασιν, έλεον γάρ μάλλον, ή θυσίαν λαμβάνει, καί δίδωσι χρηστότητα, τόν μισθόν πολυπλάσιον, ο Δεσπότης ο εύσπλαγχνος, πάσι τοίς σκορπίζουσι, καλώς επί γής τόν πλούτον, παρεχόμενος τόν νυμφώνα, τόν θείον τής δόξης αυτού.

Δόξα... Καί νύν... Θεοτοκίον

Ανέστης εκ νεκρών

Εις πέλαγος δεινής, εμπεσών αθυμίας, εκ πλήθους πονηρών, καί αθέσμων μου έργων, ήλθον εις απορίαν, καί απογνώσει νυνί συνέχομαι. Δέσποινα Θεοτόκε, αυτή με σώσον τή ευσπλαγχνία σου, αμαρτωλών σύ γάρ εί βοηθός, και κάθαρσις σωτήριος.

Μετά τήν γ' Στιχολογίαν, έτερα

Ανέστης εκ νεκρών

Ψυχή μου αμελώς, τήν ζωήν δαπανώσα, ανάστηθί ποτε, πρός μετάνοιαν βλέψον, κλαύσον πικρώς εκ βάθους, μήπως θρηνήσης εκεί ανόνητα, φρίξον κατανοούσα, τήν τού Δεσπότου δευτέραν έλευσιν, καί πρό τής δίκης δίκασον σαυτήν, καί φεύξη δίκην ένδικον.

Μαρτυρικόν

Φωστήρες νοεροί, ανεδείχθητε άγιοι Μάρτυρες, τήν γάρ αχλύν τής πλάνης, κατηργήσατε διά τής πίστεως, τάς ψυχικάς υμών λαμπάδας εφαιδρύνατε, καί τώ Νυμφίω μετά δόξης συνεισήλθετε, εις τόν ουράνιον νυμφώνα, καί νύν ικετεύσατε, σωθήναι δεόμεθα τάς ψυχάς ημών.

Δόξα... Καί νύν... Θεοτοκίον

Τήν Σοφίαν καί Λόγον

Χαριστήριον αίνον, χρεωστικώς, ως η Χήρα εκείνη, δύο λεπτά, προσφέρω σοι Δέσποινα, υπέρ πασών τών χαρίτων σου, σύ γάρ ώφθης σκέπη, ομού καί βοήθεια πειρασμών καί θλίψεων, αεί με εξαίρουσα. Όθεν ως εκ μέσου, φλογιζούσης καμίνου, ρυσθείς τών θλιβόντων με, εκ καρδίας κραυγάζω σοι, Θεοτόκε βοήθει μοι, πρεσβεύουσα τώ σώ Υιώ καί Θεώ, τών πταισμάτων άφεσιν δοθήναί μοι, σέ γάρ έχω ελπίδα ο δούλός σου.

Κανών Κατανυκτικός, ού η Ακροστιχίς

Πλήρωμα Χριστέ τών οδυρμών μου δέχου. Ιωσήφ

Ωδή α' Ήχος πλ. δ'

Ο Ειρμός

Τώ συντρίψαντι πολέμους, εν βραχίονι αυτού, και διαβιβάσαντι τόν Ισραήλ, εν Ερυθρά θαλάσση, άσωμεν αυτώ, ώς Λυτρωτή ημών Θεώ ότι δεδόξασται.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Πλήρωσόν μου τήν καρδίαν, κατανύξεως Χριστέ, όπως εισελεύσωμαι, εν μετανοία εις σκηνώματά σου, καί εξομολόγησιν προσάξω σοι, χρεών με λύουσαν.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Λύσον Λόγε τών κακών με, τών αμέτρων τε δεσμών, ίνα βηματίζω σου εν μετανοία, τάς δικαίας

τρίβους, θείαν οδηγούσας εις κατάπαυσιν, τών αιωνίων τερπνών.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ήρθη μέγιστον πρός ύψος, τών Μαρτύρων σου Χριστέ, η μεγαλοπρέπεια πανευπρεπώς, καί γάρ δι' ηθληκότες, τοίς υπερφυέσι σου χαρίσμασιν, εμεγαλύνθησαν.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ραντισμώ θείων αιμάτων, τών αγίων' Αθλητών, αίμα επιβώμιον, τώ δυσμενεί φερόμενον επαύθη, καί καθηγιάσθη τά επίγεια, Πνεύματος χάριτι.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Μετανοίας μοι Παρθένε, καθυπόδειξον οδούς, καί τής απαγούσης με, πρός αμαρτίαν απόστρεψον τρίβου, ίνα σε υμνώ τήν πολυϋμνητον, καί παμμακάριστον.

Κανών τού Τιμίου Προδρόμου

Ο Ειρμός

Τώ εκτινάξαντι εν θαλάσση.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Πρόδρομε κήρυξ τής μετανοίας, μετανοείν με εκ ψυχής, πάντοτε δυσώπει τόν Δεσπότην καί Κύριον, τόν νούν μου φωταγωγών, καί τήν καρδίαν, τού πίστει σε τιμώντος.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Ως τής ερήμου κάλλιστον θρέμμα, Πρόδρομε Μάρτυς τού Χριστού, νύν εν ερημία με παθών αυλιζόμενον, οδήγησον εις οδόν τής σωτηρίας, θεία σου εντεύξει.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Τής τυραννούσης με αμαρτίας, τή μεσιτεία σου σοφέ, Πρόδρομε εν τάχει δυσωπώ ελευθέρωσον, καί θραύσον τήν κατ' εμού εγειρομένην, δαιμόνων καταιγίδα.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σώσόν με αγνή Μήτερ τής αληθείας, κλυδωνιζόμενον δεινώς, υπό τών παθών, καί συνεχώς βυθιζόμενον, καί ίθυνόν με Σεμνή πρός σωτηρίας, τόν εύδιον λιμένα.

Ωδή γ'

Ο Ειρμός

Εστερεώθη, η καρδία μου εν Κυρίω, υψώθη, κέρας μου εν Θεώ μου, επλατύνθη, επ' εχθρούς μου τό στόμα μου, ευφράνθην εν σωτηρίω σου.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ρύπου κακίας, αποπλύνας μου τήν καρδίαν, οφθήναι άμεμπτον εναντίον σου, εν ημέρα φοβερά καταξίωσον, Χριστέ μου ως υπεράγαθος.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ίσχυσε δόλω, θανατώσαί με ο Βελίαρ, τώ κέντρω Λόγε τής αμαρτίας, αλλ' αυτός με, ζωηφόροις ιάτρευσον, φαρμάκοις τής μετανοίας Χριστέ.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Στώμεν ανδρείως, επεφώνουν οι Αθλοφόροι, αθλούντες, μή τις αποστρατεύση, ο Δεσπότης, βοηθός ημίν πάρεστιν, αθλούσι γενναιοτάτω νοϊ.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Τούς υπερτίμους, λίθους πάντες τής Εκκλησίας, τούς θείους πύργους τής ευσεβείας, τούς τής πλάνης, καθαιρέτας, εν άσμασι, τιμώμεν πιστοί τούς Μάρτυρας.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Κατερραγμένων, επανόρθωσις Θεοτόκε, πτωθέντα, έγειρον εκ βόθρου, τών κακών μου, καί εδραίωσον Δέσποινα εν πέτρα τών τού Θεού εντολών.

Κανών τού Προδρόμου

Ο Ειρμός

Στερέωσον ημών τόν νούν καί τήν καρδίαν, ο τούς ουρανούς τώ λόγω στερεώσας, εις τό υμνείν καί δοξάζειν σε τόν Σωτήρα, καί λυτρωτήν καί πανοικτίρμονα.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Όμβρησον καμοί, σταγόνα μετανοίας, ο εν ποταμώ, τήν άβυσσον βαπτίσας, τής ευσπλαγχνίας τόν Κύριον τών απάντων, Πρόδρομε Μάρτυς αξιάγαστε.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Περιστατικαίς, συγχύσεσι του βίου, πάντοτε τόν νούν, κλονούμενος προσφεύγω, υπό τήν σκέπην σου Πρόδρομε τού Σωτήρος, σπεύσον βοήθησον τώ δούλω σου.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Εν νυκτεριναίς, ευχαίς επικαλούμαι, τόν ημερινόν, λαμπτήρά σε τού κόσμου, θεομακάριστε Πρόδρομε φώτισόν μου, τά τής καρδίας αισθητήρια.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φώτισον αγνή, Παρθένε τήν ψυχήν μου, φώς τό εκ φωτός, τεκούσα Θεοτόκε, καί τής μερίδος με δείξον τών σωζομένων, ίνα υμνώ σε τήν πανύμνητον.

Ωδή δ'

Ο Ειρμός

Ακήκοα Κύριε, τήν ακοήν σου, καί εφοβήθην, ότι αρρήτω βουλή Θεός ών αϊδιος, εκ τής Παρθένου προήλθες σαρκωθείς. Δόξα τή συγκαταβάσει σου Χριστέ, δόξα τή δυνάμει σου.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Επλάνησε γεύσει με, τής αμαρτίας εχθρός ο πλάνος, καί από σού Αγαθέ πόρρω απεμάκρυνε, καί τοίς οδούσι κατάβρωμα αυτού, ειργάσατο μόνε Σωτήρ, σπεύσον εξελέσθαι με.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Τά άδηλα Κύριε, καί κρύφιά μου αυτός γινώσκεις, ημαρτηκότα πολλά τοίς πολλοίς σου οίκτειρον, ως συμπαθής οικτιρμοίς μόνε Σωτήρ, καί μετανοίας μοι καιρόν, δίδου καθαρτήριον.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ως κύμασι Μάρτυρες, περικυκλούμενοι ταίς βασάνοις, τή κυβερνήσει Χριστού, πρός λιμένας ήχθητε, τής ουρανών Βασιλείας, παρ' αυτού, νίκης στεφάνοις αληθώς, κατακλεϊζόμενοι.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Νεώσαντες Μάρτυρες, τή ευσεβεία γήν τής καρδίας, ομολογίας αυτή σπόρον κατεβάλετε, καί μαρτυρίου εδρέψασθε σαφώς, εκατοστεύοντα εκ Θεού, άσταχυν Πανεύφημοι.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Πανύμνητε Δέσποινα, μεγαλοφώνως αναβοώ σοι, πλήρωσον πάσης χαράς, τήν εμήν διάνοιαν, παρεχομένη μοι πένθος αγαθόν, καί μετανοίας αφορμάς, καί γνώσιν σωτήριον.

Κανών τού Προδρόμου

Ο Ειρμός

Εισακήκοα Κύριε, τής οικονομίας σου τό μυστήριον, κατενόησα τά έργα σου, καί εδόξασά σου τήν θεότητα.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Εμαυτόν αποκλαίομαι, βίον αδιόρθωτον έχων Άγιε, σώσον, οίκτειρόν με δέομαι, τόν εν αμαρτίαις, απολλύμενον.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Εν ευχαίς καί δεήσεσιν, εύροιμι συλλήπτορα σέ Μακάριε, τήν ψυχήν μου ενισχύοντα, καί τόν λογισμόν μου, καταυγάζοντα.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Βαπτιζόμενον κλύδωνι, τών αμαρτημάτων καί κινδυνεύοντα, Βαπτιστά Θεού κυβέρνησον, πρός γαλήνην θείας, επιγνώσεως.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ταπεινώσασα σώσόν με, τόν υψηλοφρόνως πολιτευόμενον, η τεκούσα τόν υψώσαντα, τήν ταπεινωθείσαν, φύσιν Πάναγνε.

Ωδή ε'

Ο Ειρμός

Τόν ζόφον τής ψυχής μου, διασκέδασον φωτοδότα Χριστέ ο Θεός, ο τό αρχέγονον σκότος, διώξας τής αβύσσου, καί δώρησαί μοι τό φώς, τών προσταγμάτων σου Λόγε, ίνα ορθρίζων δοξάζω σε.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ο Πόρνην καθαρίσας, τή προστάξει σου Δημιουργέ, τήν εμήν ψυχήν, τής ειδεχθούς αμαρτίας, ως μόνος Ελεήμων, καθάρισον, καί στολαίς εξαστραπτούσαις ωραίαν, απέργασαι δέομαι.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Δεσμών με απολύσας, τών πολλών μου, αμαρτημάτων Χριστέ ο Θεός, ανεμποδίστως βαδίζειν, εύθυνον τάς οδούς σου, όπως λυθείς τής σαρκός, εις καταπαύσεις αγίας, σκηνώσας δοξάζω σε.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Υφάναντες εκ πόνων, εαυτοίς ιμάτιον δόξης οι Μάρτυρες, καί στολισθέντες κοσμίως, τά άνω κατοικούσι, βασίλεια εν χαρά, νίκης στεφάνοις ωραίοις, εγκαλλωπιζόμενοι.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ρεόντων τά εστώτα, αντηλλάξασθε, θεοφρόνως Πανεύφημοι, στενοχωρία γάρ πόνων, ποικίλων συσχεθέντες, πρός πλατυσμόν αληθή, τής ουρανίου Βασιλείας, σοφοί κατηντήσατε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Αγία Θεοτόκε, η τόν άγιον Λόγον αποτεκούσα σαρκί, αναπαυόμενον μόνον, εν πάσι τοίς Αγίοις, αγίασόν μου τόν νούν, ταίς πονηραίς εργασίαις, αεί επιμένοντα.

Κανών τού Προδρόμου

Ο Ειρμός

Ο εκ νυκτός αγνοίας, θεογνωσία φαιδρύνας τά πέρατα, φώτισόν με τώ όρθρω, τής φιλανθρωπίας σου Κύριε.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Εν τή νυκτί τού βίου, περιπλανώμενον ένδοξε Πρόδρομε, λύχνος ών τού Ηλίου, τής δικαιοσύνης καταύγασον.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Περιστατούμενόν με, καί επηρείαις δαιμόνων κλονούμενον, στήριξόν με εν πέτρα, θείων θελημάτων αοίδιμε.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Εν τή μελλούση κρίσει, ηνίκα μέλλω, Κυρίω παρίστασθαι, εύροιμί σε προστάτην, δίκης με φρικτής εξαιρούμενον.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ως υπερτέρα απάντων, τών ποιημάτων, υπέρτερον δείξόν με, τού εχθρού τών παγίδων, Μήτηρ τού Θεού αειπάρθενε.

Ωδή ς'

Ο Ειρμός

Ως τόν Προφήτην ερρύσω, εκ βυθού κατωτάτου, Χριστέ ο Θεός, καμέ τών πταισμάτων μου, ρύσαι ως φιλάνθρωπος, καί κυβέρνησον τήν ζωήν μου δέομαι.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Μετανοούντά με δέξαι, ως ποτέ Νινευΐτας, πειθήσαντας, τώ θείω κηρύγματι, Χριστέ τού Προφήτου σου, καί κυβέρνησον, τήν ζωήν μου, δέομαι.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ως ο Τελώνης στενάζω, ως η Πόρνη δακρύω, ως ο Πέτρος βοώ, πολλοίς βυθιζόμενος, Χριστέ πλημμελήμασι. Βοηθείας μοι, χείρα δός καί σώσόν με.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Νεοφανείς ως αστέρες, φρυκτωρίαις τών άθλων αυγάζετε, πάντα τόν περίγειον, κόσμον καί διώκετε, πλάνης Μάρτυρες, σκότος τό βαθύτατον.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Μακαριώτατον τέλος, ευρηκότες μακάριοι Μάρτυρες, Θεόν τόν μακάριον, γεραίρετε πάντοτε, ενηδόμενοι, τούτου ταίς λαμπρότησι.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Η μανναδόχος σε στάμνος, Θεοτόκε ποτέ προεικόνισε. Χριστόν γάρ εβλάστησας, τό μάννα τής γνώσεως, επομβρίζοντα, πάσι τοίς τιμώσί σε.

Κανών τού Προδρόμου

Ο Ειρμός

Χιτώνά μοι παράσχου φωτεινόν, ο αναβαλλόμενος φώς ως ιμάτιον, πολυέλεε Χριστέ ο Θεός ημών.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Τώ κήτει συσχεθείς τών πειρασμών, εκ βάθους καρδίας μου, κραυγάζω σοι Πρόδρομε, οδυνών με χαλεπών, ελευθέρωσον.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Αξίνη μετανοίας αληθούς, τήν ύλην καθάρισον, Σοφέ τής καρδίας μου, καρποφόρον αρεταίς, εργαζόμενος.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Ψυχή μου μετανόησον θερμώς, η κρίσις εφέστηκεν, ανάνηψον κράζουσα, Ιησού μου ο Θεός, σύ με οίκτειρον.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Η μόνη διά λόγου εν σαρκί, τόν Λόγον κυήσασα, ρύσαι δεόμεθα, τών παγίδων τού εχθρού, τάς ψυχάς ημών.

Ωδή ζ

Ο Ειρμός

Ο δι' Αγγέλου Παίδας, εκ πυρός διασώσας, καί τήν βροντώσαν κάμινον, μεταβαλών εις δρόσον, ευλογητός εί Κύριε ο Θεός, ο τών Πατέρων ημών.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ότι εν ανομίαις, συνελήφθην οικτίρμον, καί γεννηθείς ημάρτηκα υπέρ ανθρώπους πάντας, επιστροφής μοι δός καιρόν, δικαιούντά με.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Υπεραρθείς αφρόνως, ως ο πρίν Φαρισαίος, πτώμα δεινόν κατέπεσα, καί καθορών με χαίρει, ο δυσμενής. Λόγε Θεού, μή παρίδης με.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Δήμος σεπτών Μαρτύρων, στρατός δυσμαχώτατος, παρεμβολή αγία τε, επολιτογραφήθη, εν

ουρανοίς επί γής, αριστεύσασα.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Εθελουσίως πάθος, υπελθόντες γενναίοι, αθανασίας πρόξενον, ρείθρα τών ιαμάτων, αναπηγάζετε βροτών, πάθη παύοντες.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Υπέρ αιτίαν τίκτεις, τού παντός τόν αίτιον, υπερβολή χρηστότητος βροτόν γεγενημένον, όθεν συμφώνως σε Αγνή, μακαρίζομεν.

### Κανών τού Προδρόμου

Ο Ειρμός

Ο εν αρχή τήν γήν.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Ο τάς οδούς, Κυρίου ετοιμάσας, τάς πρός Θεόν, κατεύθυνόν μου τρίβους, ίνα κραυγάζω. Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Κήρυξ φωτός, φώτισον τήν ψυχήν μου, καί τού δεινού, απάλλαξόν με σκότους, καί τής γεέννης τής φλογιζούσης, τόν προσφεύγοντα εις σέ, αδιστάκτω ψυχή.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Στείρας βλαστός, κατάκαρπος υπάρχων, τήν τής εμής καρδίας ακαρπίαν, εύκαρπον δείξον ταίς σαίς πρεσβείαις, μεταποιούμενος σοφέ, Βαπτιστά τού Χριστού.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Η εκλεκτή, Αμνάς τού Θεού Λόγου, τοίς εκλεκτοίς, προβάτοις με εν ώρα, φοβερωτάτη καταριθμήσαι, ικέτευε τόν εκ σού, σαρκωθέντα Θεόν.

### Ωδή η'

Ο Ειρμός

Ο στεγάζων εν ύδασι, τά υπερώα Χριστέ, ο τιθείς θαλάσση όριον ψάμμον, καί συνέχων τό πάν, σέ υμνεί ήλιος, σέ δοξάζει σελήνη, σοί προσφέρει, ύμνον πάσα η κτίσις, ως Δημιουργώ, καί Κτίστη εις τούς αιώνας.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Χείρας πάσας εμόλυνας, ακαθαρσία ψυχή, καί πώς ταύτας αίρεις επί τό ύψος, ομιλούσα Θεώ; Πόδας ηχρείωσας, επί έργα βαδίζοντας αισχύνης, σπεύσον πορευθήναι διά μετανοίας, εις τρίβους σωτηρίας.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ουκ ενέμεινα Κύριε, ταίς εντολαίς σού ποτε, ουκ εποίησά σου ημέραν μίαν, θέλημα Αγαθέ, ποίοις, ούν όμμασιν ατενίσω σοι, ποιουμένω κρίσιν την δικαίαν, καί τούς υπευθύνους, εκπέμποντι εις κρίσιν.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Υφαπτούσας εσβέσατε, πολυθεϊας σοφοί, Αθληταί καμίνους καθάπερ ύδωρ, εκκενούντες πολύ, τά υμών αίματα, τά αδίκως χυθέντα δι' αγάπην, τού πεποιηκότος, όθεν τόν χειμάρρουν, τρυφής κληρονομείτε.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Υπερέβητε Άγιοι, τής ταπεινώσεως, τό γεώδες σώμα, καί τάς βασάνους, ώσπερ πάσχοντος, άλλου ηνέγκατε εκτεμνόμενοι, χείράς τε καί πόδας, όθεν υπερτέρας, νύν καταξιούσθε, ζωής εις τούς αιώνας.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Κυματούμενον σάλω με, τής αμαρτίας Αγνή, τή σή μεσιτεία, πρός σωτηρίου, μετανοίας βοώ, ίθυνον Δέσποινα, παγγαλήνους λιμένας, όπως βλέψω, φώς σωτηρίας εσκοτισμένος, αεί τή ραθυμία.

## Κανών τού Προδρόμου

### Ο Ειρμός

Τόν άναρχον Βασιλέα τής δόξης, όν φρίττουσι στρατιαί τών Αγγέλων, υμνείτε ιερείς, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Τόν αίροντα, αμαρτίας τού κόσμου, Αμνόν Θεού, όν υπέδειξας πάσι, δυσώπει Βαπτιστά, τά πάθη μου νεκρώσαι, καί σώσαι τήν ψυχήν μου.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Εμάκρυνας, φυγαδεύων Προφήτα, ηυλίσθης δέ εν ερήμω αβάτω, διό σε δυσωπώ, τά πάθη τής ψυχής μου, ερήμωσον εν τάχει.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Ελάφρυνον, τόν κλοιόν τής ψυχής μου, πολέμησον τούς εμέ πολεμούντας, Κυρίου Βαπτιστά, καί άτρωτρόν με δείξον, τής τούτων κακουργίας.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Η άμπελος, η τόν βότρυν τεκούσα, τόν πέπειρον κατανύξεως πόμα, ποτίζουσά με νύν, ανάστειλον τήν μέθην, Παρθένε τών κακών μου.

## Ωδή θ'

### Ο Ειρμός

Ευλογητός ο Κύριος, ο Θεός τού Ισραήλ, ο εγείρας κέρας σωτηρίας ημίν, εν οίκω Δαυϊδ τού παιδός αυτού, εν οίς επεσκέψατο ημάς, Ανατολή εξ ύψους, καί κατεύθυνεν ημάς, εις οδόν ειρήνης.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ίνα καγώ σωζόμενος, ευχαρίστως σε Χριστέ, μεγαλύνω, βλέψον εις εμέ, τόν πολλάς πληγάς επί νώτου δεξάμενον, καί ίασαι, οίνον επ' αυτάς, καί έλαιον προχέων, τά της σής γνωρίσματα, Σώτερ ευσπλαγχνίας.

Στίχ. Δόξα σοι, ο Θεός ημών δόξα σοι.

Ως τόν Ληστήν ευγνώμονα, αναπέμψαντα φωνήν, ελυτρώσω φόνων καί μυρίων κακών, ως

ώκτειρας Πόρνην δακρύσασαν, ως Πέτρον τόν μέγαν μαθητήν, καί Δαυϊδ τόν Προφήτην, καί εμέ ελέησον, τόν απεγνωσμένον.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Συμμορφωθέντες πάθεσι, τού παθόντος δι' ημάς, Αθλοφόροι τούτω συνδοξάζεσθε, νύν Θεούμενοι θείαις μεθέξεσι, καί λάμποντες υπέρ τάς αυγάς, τού αισθητού ηλίου, καί καταφωτίζοντες, πάντων τάς καρδίας.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Η αρετή εξέλαμψε, τών αγίων Αθλητών, πάσα πόλις, τούτους θησαυρούς αληθώς, ασύλους πλουτεί διά πίστεως, αστράπτοντας χάριν δαψιλή, θαυμάτων παραδόξων, ούς υμνολογήσωμεν, ως κοινούς προστάτας.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φωτιστικαίς Πανάμωμε, αστραπαίς τού εκ τής σής, προελθόντος, μήτρας Υιού καί Θεού, τούς πίστει υμνούντάς σε φαίδρυνον, καί σκότους ημάς τού αφεγγούς, καί τής αιωνιζούσης, εξελού κολάσεως, τή σή μεσιτεία.

Κανών τού Προδρόμου

Ο Ειρμός

Τόν προδηλωθέντα εν όρει τώ νομοθέτη, εν πυρί καί βάτω τόκον, τόν τής Αειπαρθένου, εις ημών τών πιστών σωτηρίαν, ύμνοις ασιγήτοις μεγαλύνομεν.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Μέλλων τώ φρικτώ σου, παρίστασθαι Λόγε θρόνω, καί τών πράξεων τών εμών, εισπράττεσθαι ευθύνας, ποίαν εύρω απολογίαν ο τάλας; Κύριε Θεέ μου, τότε φείσαί μου.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Η φωνή τού Λόγου, κατεύθυνον τάς φωνάς μου πρός Θεόν σοφέ Βαπτιστά, καί ρύσαί με κακίας, τών δαιμόνων, καί επηρείας ανθρώπων, ίνα κατά χρέος μακαρίζω σε.

Στίχ. Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών.

Θρέψον με Χριστού, εντολών τροφή αθανάτω, πότισόν με πόμα ζωής, Βαπτιστά καί Προφήτα, καί παράστησον τώ Θεώ σεσωσμένον, τόν υπό τήν σκέπην σου προστρέχοντα.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Δέσποινα Παρθένε, αγνή καί δεδοξασμένη, μετά τού Προδρόμου τόν σόν Υιόν καί Βασιλέα, καθικέτευε από πάσης ανάγκης, σώσαι τούς πιστώς σε μακαρίζοντας.

Απόστιχα τών Αίνων, Κατανυκτικά

Όταν λάβω κατά νούν, τά πλήθη τών πεπραγμένων μοι δεινών, καί εις έννοιαν έλθω, τής φοβεράς εκείνης ετάσεως, τρόμω συνεχόμενος, πρός σέ καταφεύγω, τόν φιλάνθρωπον Θεόν. Διό μή με παρίδης, ικετεύω σε, μόνε αναμάρτητε, δώρησαι κατάνυξιν, τή ταπεινή μου ψυχή, πρό τελευτής, καί σώσόν με.

Στίχ. α'. Ενεπλήσθημεν τό πρωϊ τού ελέους σου, Κύριε, καί ηγαλλιασάμεθα καί ηυφράνθημεν έν πάσαις ταίς ημέραις ημών. Ευφρανθείημεν, ανθών ημερών εταπείνωσας ημάς, ετών, ών είδομεν κακά, καί ίδε επί τούς δούλους σου καί επί τά έργα σου, καί οδήγησον τούς υιούς αυτών.

Δάκρυά μοι δός ο Θεός, ώς ποτε τή γυναικί τή αμαρτωλώ, καί αξίωσόν με βρέχειν τούς πόδας σου, τούς εμέ εκ τής οδού, τής πλάνης ελευθερώσαντας, καί μύρον ευωδίας σοι προσφέρειν, βίον καθαρόν, ενμετανοία μοι κτισθέντα, ίνα ακούσω καγώ τής ευκταίας σου φωνής. Η πίστις σου σέσωκέ σε, πορεύου εις ειρήνην.

Μαρτυρικόν

Στίχ. β'. Καί έστω η λαμπρότης Κυρίου τού Θεού ημών εφ' ημάς, καί τά έργα τών χειρών ημών κατεύθυνον εφ' ημάς, καί τό έργον τών χειρών ημών κατεύθυνον.

Μεγάλως ηγωνίσασθε Άγιοι, τάς βασάνους τών ανόμων, υπομείναντες γενναίως, καί Χριστόν ομολογούντες, εναντίον βασιλέων, καί πάλιν μεταστάντες εκ τού βίου, δυνάμεις ενεργείτε εν τώ κόσμω, καί ασθενείς θεραπεύετε, εκ τών παθών αυτών Άγιοι. Πρεσβεύσατε, τού σωθήναι τάς ψυχάς ημών.

Δόξα... Καί νύν... Θεοτοκίον

Εγώ Παρθένε αγία Θεοτόκε, τή σκέπη σου προστρέχω, οίδα ότι τεύξομαι τής σωτηρίας, δύνασαι γάρ Αγνή βοηθήσαί μοι.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Οι Μακαρισμοί

Μακάριοι οι ειρηνοποιοί, ότι αυτοί υιοί Θεού κληθήσονται.

Μνήσθητι ημών, Χριστέ Σωτήρ τού κόσμου, ώσπερ τού Ληστού, εμνήσθης επί ξύλου, καί καταξίωσον πάντας μόνε Οικτίρμον, τής ουρανίου Βασιλείας σου.

Μακάριοι οι δεδιωγμένοι ένεκεν δικαιοσύνης, ότι αυτών εστιν η βασιλεία τών ουρανών.

Πέλαγος Χριστέ, υπάρχων ευσπλαγχνίας, ψύξον τών εμών, πταισμάτων τά πελάγη, καί κατανύξεως δάκρυσί με εκπλύνας, όλον καθάρισον ως Εύσπλαγχνος.

Μακάριοί εστε όταν ονειδίσωσιν υμάς, καί διώξωσι, καί είπωσι πάν πονηρόν ρήμα καθυμών ψευδόμενοι ένεκεν εμού.

Πάλαι τόν Χριστόν, εν ύδασι βαπτίσας, θείε Βαπτιστά, παθών με τρικυμίαις, κλυδωνιζόμενον όρμω τής μετανοίας, σαίς ικεσίαις εγκαθόρμισον.

Μαρτυρικόν

Χαίρετε καί αγαλλιάσθε, ότι ο μισθός υμών πολύς εν τοίς ουρανοίς.

Αίμασιν υμών, αγίοις Αθλοφόροι, σβέσαντες πυράν, τής ειδωλομανίας, ρείθρα πηγάζετε, πάντοτε ιαμάτων, πάθη ποικίλα θεραπεύοντες.

Δόξα...

Άναρχε Πατήρ, Υιέ καί θείον Πνεύμα, ταίς τού Βαπτιστού, πρεσβείαις δυσωπώ σε. Τά πολυχρόνια πάθη τά τής ψυχής μου, παύσον καί σώσόν με τόν δούλόν σου.

Καί νύν... Θεοτοκίον

Λύτρωσαι ημάς, παθών τής ατιμίας, καί τής χαλεπής, εν άδη τιμωρίας, ταίς ικεσε, τούς ευσεβώς σε μακαρίζοντας.

HYPERLINK "" \l "top" top

8-4

Στιχηρά Προσόμοια Σταυρώσιμα

Ήχος πλ. δ'

Ώ τού παραδόξου θαύματος

Στίχ. α'. Εάν ανομίας παρατηρήσης, Κύριε, Κύριε τίς υποστήσεται; ότι παρά σοί ο ιλασμός εστιν.

Λόγε Θεού υπεράγαθε, ο δι' ημάς εν Σταυρώ, κρεμασθείς ως κατάκριτος, τού πυρός τού μέλλοντος, καί φρικτής αποφάσεως, καί ποινής πάσης ημάς εξάρπασον, εκδυσωπούσης τής Θεομήτορος, σέ γάρ φιλάνθρωπε, καθ' εκάστην άπαντες, εν λογισμοίς, Χριστέ παρoργίζομεν, τόν υπεράγαθον.

Στίχ. β'. Ένεκεν τού ονόματός σου υπέμεινά σε, Κύριε, υπέμεινεν η ψυχή μου εις τόν λόγον σου, ήλπισεν η ψυχή μου επί τόν Κύριον.

Ήλιος ιδών σε έφριξεν, επί Σταυρού Ιησού, ηπλωμένον θελήματι, καί η γή εσείετο, καί αι πέτραι ερρήγνυντο, καί τά μνημεία φόβω ηνοίγοντο, καί αι Δυνάμεις πάσαι εξίσταντο, σέ ως εώρακεν, η Παρθένος Δέσποτα, εν τώ Σταυρώ, Οίμοι! ανεκραύγαζε, τί τό ορώμενον.

Στίχ. γ'. Από φυλακής πρωϊας μέχρι νυκτός, από φυλακής πρωϊας ελπισάτω Ισραήλ επί τόν Κύριον.

Ώ τής απείρου χρηστότητος, τού σαρκωθέντος εκ σού, Θεοτόκε πανύμνητε! Σταυρόν γάρ καί θάνατον, εκουσίως υπέμεινεν, ίνατόν κόσμον, σώση όν έπλασεν, όν εκδυσώπει, καμέ τόν άθλιον, καί πολυώδυνον, ρύσασθαι κολάσεως, ένθα τό φώς, λάμπει τό ανέσπερον, κατασκηνώσαί με.

Έτερα τής Θεοτόκου, όμοια

Στίχ. δ'. Ότι παρά τώ Κυρίω τό έλεος, καί πολλή παρ' αυτώ, λύτρωσις. καί αυτός λυτρώσεται τόν Ισραήλ έκ πασών τών ανομιών αυτού.

Χαίρε Παρθένε Θεόνυμφε, χαίρε πιστών η ελπίς, χαίρε κόσμου καθάρσιον, χαίρε πάσης θλίψεως, η τούς δούλους σου σώζουσα, η τού θανάτου, χαίρε κατάλυσις, ο ζωηφόρος χαίρε Παράδεισος, χαίρε αντίληψις, τών προσκαλουμένων σε, χαίρε Θεού, θείον ενδιαίτημα, καί όρος άγιον.

Στίχ. ε'. Αινείτε τόν Κύριον πάντα τά έθνη, επαινέσατε αυτόν, πάντες οι λαοί.

Χαίρε Θεοτόκε Πάναγνε, χαίρε πηγή τής ζωής, χαίρε κλίμαξ ουράνιε, χαίρε πάσης Δέσποινα, καί Κυρία τής Κτίσεως. Ευλογημένη, χαίρε Πανάμωμε, δεδοξασμένη, χαίρε αμόλυντε, χαίρε πανύμνητε, χαίρε θείον σκήνωμα, χαίρε σεμνή, χαίρε Μητροπάρθενε, Νύμφη ανύμφευτε.

Στίχ. ς'. Ότι εκραταιώθη τό έλεος αυτού εφ' ημάς, καί η αλήθεια τού Κυρίου μένει εις τόν αιώνα.

Χαίρε Μητρόθεε Δέσποινα, χαίρε η μόνη ελπίς, τών βροτών καί αντίληψις, χαίρε καταφύγιον, χαίρε λυχνία φωτός, ηγλαϊσμένον, χαίρε παλάτιον, τό φωτοφόρον, χαίρε λαμπάδιον, χαίρε αμόλυντον, παρθενίας καύχημα, χαίρε πηγή, βρύουσα, ιάματα, τοίς προσιούσί σοι.

Δόξα... Καί νύν...

Σταυροθεοτοκίον, όμοιον

Ώ τού παραδόξου θαύματος! ώ μυστηρίου καινού! ώ φρικτής εγχειρήσεως! η Παρθένος έλεγεν, εν Σταυρώ σε ως έβλεψεν, εν μέσω δύο ληστών κρεμάμενον, όν ανωδίνως, φρικτώς εκύησεν, έκλαιε κράζουσα. Οίμοι Τέκνον φίλτατον! πώς σε δεινός, δήμος καί αχάριστος, Σταυρώ προσήλωσεν.

Απόστιχα Σταυρώσιμα

Υψώθης εν Σταυρώ Χριστέ ο Θεός, καί έσωσας τών ανθρώπων τό γένος, δοξάζομέν σου τά παθήματα.

Στίχ. Α'. Πρός σέ ήρα τούς οφθαλμούς μου, τόν κατοικούντα εν τώ ουρανώ. Ιδού, ως οφθαλμοί δούλων εις χείρας τών κυρίων αυτών, ως οφθαλμοί παιδίσκης εις χείρας τής κυρίας αυτής, ούτως οι οφθαλμοί ημών πρός Κύριον τόν Θεόν ημών, έως ού οικτιρήσαι ημάς.

Επάγης εν τώ Σταυρώ Χριστέ ο Θεός, καί ήνοιξας παραδείσου τάς πύλας, δοξάζομέν σε Λυτρωτά ημών.

Μαρτυρικόν

Στίχ. Β'. Ελέησον ημάς, Κύριε, ελέησον ημάς, ότι επί πολύ επλήσθημεν εξουδενώσεως, επί πλείον επλ ήσθη η ψυχή ημών, τό όνειδος τοίς ευθηνούσι, καί η εξουδένωσις τοίς υπερηφάνοις.

Οι Μάρτυρές σου Κύριε, επιλαθόμενοι τών εν τώ βίω, καταφρονήσαντες καί τών βασάνων, διά τήν μέλλουσαν ζωήν, ταύτης κληρονόμοι ανεδείχθησαν, όθεν καί Αγγέλοις συναγάλλονται. Αυτών ταίς ικεσίαις, δώρησαι τώ λαώ σου, τό μέγα έλεος.

Δόξα... Καί νύν... Σταυροθεοτοκίον

Σταυρώ σε καθηλούμενον, ως εθεάσατο η σέ Τεκούσα, μόνε μακρόθυμε, οδυρομένη δάκρυα έρρει κρουνηδόν, καί τό υπερβάλλον τής χρηστότητος, καί τό συμπαθές τό υπέρ άνθρωπον, λίαν εκπληττομένη, ύμνει τό κράτος σου.

Μετά τήν α' Στιχολογίαν

Καθίσματα Σταυρώσιμα

Ήχος πλ. δ'

Βλέπων ο Ληστής, τόν αρχηγόν τής ζωής, επί Σταυρού κρεμάμενον έλεγεν. Ει μή Θεός υπήρχε σαρκωθείς, ο σύν ημίν σταυρωθείς, ουκ άν ο ήλιος, τάς ακτίνας εναπέκρυψεν, ουδέ η γή σειομένη εκυμαίνετο, αλλ' ο πάντων ανεχόμενος, Μνήσθητί μου Κύριε, εν τή Βασιλεία σου.

Εν μέσω δύο Ληστών, ζυγός δικαιοσύνης, ευρέθη ο Σταυρός σου, τού μέν καταγομένου εις άδην, τώ βάρει τής βλασφημίας, τού δέ κουφιζομένου πταισμάτων, πρός γνώσιν θεολογίας, Χριστέ ο Θεός, δόξα σοι.

Δόξα... Καί νύν... Σταυροθεοτοκίον

Τήν Σοφίαν καί Λόγον

Τόν αμνόν καί ποιμένα, καί λυτρωτήν, η αμνάς θεωρούσα, εν τώ Σταυρώ, ηλάλαζε δακρύουσα, καί πικρώς ανεκραύγαζεν, ο μέν κόσμος αγάλλεται, δεχόμενος τήν λύτρωσιν, τά δέ σπλάγχνα μου φλέγονται, ορώσης σου τήν σταύρωσιν, ήν περ υπομένεις, διά σπλάγχνα ελέους, Θεέ υπεράγαθε, ανεξίκακε Κύριε, ή πιστώς εκβοήσωμεν. Σπλαγχνίσθητι Παρθένε εφ' ημάς, καί πταισμάτων δώρησαι τήν άφεσιν, τοίς προσκυνούσιν εν πίστει, αυτού τά παθήματα.

Μετά τήν β' Στιχολογίαν

Καθίσματα Σταυρώσιμα

Ανέστης εκ νεκρών

Εν μέσω τής Εδέμ, ξύλον θάνατον ήνθησεν, εν μέσω δέ τής γής, ξύλον ζωήν εβλάστησε, γευσάμενοι γάρ τού πρώτου, άφθαρτοι όντες, φθαρτοί γεγόναμεν, σχόντες δέ τού δευτέρου, τής αφθαρσίας κατετρυφήσαμεν, εν τώ Σταυρώ γάρ έσωσε Χριστός, τό γένος τών ανθρώπων.

Τό προσταχθέν μυστικώς

Εν Παραδείσω μέν τό πρίν, ξύλον εγύμνωσεν, επί τή γεύσει ο εχθρός, εισφέρων νέκρωσιν, τού Σταυρού δέ τό ξύλον, τής ζωής τό ένδυμα, ανθρώποις, φέρον επάγη, επί τής γής, καί κόσμος, όλος επλήσθη, πάσης χαράς, όν ορώντες υψούμενον, Θεώ εν πίστει λαοί, συμφώνως εκβοήσωμεν. Πλήρης δόξης ο οίκός σου.

Δόξα... Καί νύν...

Σταυροθεοτοκίον, όμοιον

Παρισταμένη τώ Σταυρώ, δακρυρροούσα, ελεεινώς η Θεοτόκος ανεβόα. Ακατάληπτον όντως, Υιέ τό πάθος σου, ου φέρω τών σπλάγχνων μου χωρισμόν, ου στέγω ορώσά σε, εν Σταυρώ, μή παρίδης τήν δούλην σου, ανάστα εκ τών νεκρών, δοξάζων με κραυγάζουσαν. Πολυέλεε δόξα σοι.

Μετά τήν γ' Στιχολογίαν, έτερα

Τό προσταχθέν μυστικώς

Ξύλον πικρίαν εν Εδέμ, τό πρίν εξήνεγκε, ξύλον Σταυρού δέ γλυκεράν, ζωήν εξήνθησεν, ο Αδάμ γάρ φαγών, εις φθοράν, κατώλισθεν, ημείς δέ, κατατρυφώντες σαρκός Χριστού, ζωούμεθα, καί Θεούμεθα μυστιστικώς, Βασιλείαν λαμβάνοντες, αϊδιον τού Θεού, διό καί πίστει κράζομεν. Δόξα Λόγε τώ πάθει σου.

Μαρτυρικόν, όμοιον

Δι' εγκρατείας τών παθών, τάς πυριφλέκτους, απονεκρώσαντες ορμάς, καί τάς κινήσεις, τού Χριστού οι Μάρτυρες, έλαβον τήν χάριν, τάς νόσους αποδιώκειν, τών ασθενών, καί ζώντες καί μετά τέλος, θαυματουργείν, όντως θαύμα παράδοξον! ότι οστέα γυμνά, εκβλύζουσιν ιάματα. Δόξα τώ μόνω Θεώ ημών.

Δόξα... Καί νύν... Σταυρεθεοτοκίον

Ανέστης εκ νεκρών

Η άσπιλος αμνάς, τόν αμνόν καί ποιμένα, κρεμάμενον Σταυρώ, κατιδούσα εβόα. Τέκνον μου τί τό ξένον, καί παρ' ελπίδα, νύν τούτο θέαμα; Πώς η ζωή τών πάντων, βροτοίς ομοίως καταδεδίκασαι; Αλλά ανάστα Λόγε εκ νεκρών, τριήμερος ως είρηκας.

Κανών Σταυρώσιμος, ού η Ακροστιχίς άνευ τών Σταυροθεοτοκίων
Τώ προσπαγέντι τώ ξύλω Θεώ χάρις. Ιωσήφ

Ωδή α'  Ήχος πλ. δ'
Ο Ειρμός
Αρματηλάτην Φαραώ εβύθισε, τερατουργούσα ποτέ, Μωσαϊκή ράβδος, σταυροτύπως πλήξασα, καί διελούσα θάλασσαν, Ισραήλ δέ φυγάδα, πεζόν οδίτην διέσωσεν άσμα τώ Θεώ αναμέλποντα.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Τή εκ τού ξύλου ενηδόνω βρώσει με, νεκρόν γενόμενον, επί Σταυρού Λόγε, νεκρωθείς εζώωσας, καί δόξη κατεκάλλυνας, προσκυνώ σου τό κράτος, υμνολογώ τά παθήματα, καί τήν ευσπλαγχνίαν τήν άμετρον.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ως εφηπλώθη επί ξύλου άμπελος, η αγεώργητος, οίνον ημίν θείας, χάριτος απέσταξε, καρδίας τόν ευφραίνοντα, καί τής πλάνης τήν μέθην, ολοσχερώς αναστέλλοντα, καί τήν άμαρτίαν καθαίροντα.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Πεποικιλμένοι ιεροίς εν στίγμασι, Χριστού οι Μάρτυρες, καί αθλητών πόνοις, εγκαλλωπιζόμενοι, καλλοποιώ παρίστασθε, μετά δόξης Δεσπότη, πανευκλεώς ευφραινόμενοι, καί θεοειδείς γνωριζόμενοι.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ρώμη τή θεία προφανώς ρωννύμενοι, άγιοι Μάρτυρες, τού δυνατού πάσαν, ισχύν τήν ολέθριον, ανδρείως κατεβάλετε, καί στεφθέντες ωραίως, νικητικοίς διαδήμασι, χαίροντες Κυρίω παρίστασθε.

Σταυρεθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Παρισταμένη τώ Σταυρώ σου Κύριε, η Απειρόγαμος, καί τάς εν σοί τρώσεις, καθορώσα Δέσποτα, τιτρωσκομένη έλεγεν. Οίμοι Τέκνον! ωδίνας, αποφυγούσα τώ τόκω σου, νύν οδυνηρώς κατατρύχομαι.

Κανών τής Θεοτόκου, ού η Ακροστιχίς
Δέησίς εστιν ογδόη τή Παρθένω. Ιωσήφ

Ειρμός ο αυτός

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Δεδοξασμένα περί σού λελάληνται, δεδοξασμένη Αγνή, η τών πιστών δόξα, μόνη χρηματίσασα, διό μελλούσης δόξης με, κοινωνόν σαίς πρεσβείαις, δοξάζοντά σε ανάδειξον, άχραντε πανάμωμε Δέσποινα.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ευλογημένος ο καρπός Πανάμωμε, ο τής κοιλίας σου, δι' ού βροτοί πάντες, τής αράς ελύθημεν, ευλογημένη Πάναγνε, ανερμήνευτον θαύμα, ακατανόητον όραμα, πάντων τών βροτών τό διάσωσμα.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Η τών Αγγέλων δυσωπεί σε Κύριε, πληθύς εκάστοτε, τών Μαθητών δήμος, Προφητών ο σύλλογος, Μαρτύρων καί Οσίων σου, διά τής Θεοτόκου, αμαρτημάτων συγχώρησιν, δώρησαι ημίν ως φιλάνθρωπος.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σέ τήν εν σπλάγχνοις δεξαμένην Άχραντε, τό πύρ τό άστεκτον, εκδυσωπώ πίστει, τής γεέννης ρύσαί με, καί τής αποκειμένης μοι, διά πλήθος πταισματων, κολάσεως ελευθέρωσον, σού ταίς ευπροσδέκτοις δεήσεσι.

## Ωδή γ'

### Ο Ειρμός

Ο στερεώσας κατ' αρχάς, τούς ουρανούς εν συνέσει, καί τήν γήν επί υδάτων εδράσας, εν τή πέτρα με Χριστέ, τών εντολών σου στήριξον, ότι ουκ έστι πλήν σου, άγιος μόνε Φιλάνθρωπε.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ο στερεώσας ουρανόν, καί γήν ο θεμελιώσας, καί τήν θάλασσαν τώ λόγω πεδήσας, σύ εδέθης δι' εμέ, Σταυρώ προσαναρτώμενος, όπως δεσμών με λύσης, τής αμαρτίας Φιλάνθρωπε.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Σταυρού τώ ξύλω ο εχθρός, προσκόψας εθανατώθη, σύν τοίς δαίμοσιν αυτού τοίς κακούργοις, καί ο γεύσει πονηρά, κατακριθείς ηλέηται, καί εδρασμώ η κτίσις, ευσεβείας ενίδρυται.

### Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Πολυειδέσιν αικισμοίς, καί ξίφεσι καί θηρίοις, καί γυμνότητι σωμάτων οι θείοι, καί γενναίοι Αθληταί, διδόμενοι αχείρωτοι, τώ πονηρώ διώκτη, έμειναν νεύσει τή κρείττονι.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Αποσκοπούντες λογισμώ, νηφούση τε διανοία, πρός τά μένοντα ρεόντων τελείως, κατεφρόνησαν, Χριστού, οι Μάρτυρες οι ένδοξοι, όθεν τούς ανυποίστους, πόνους υπέφερον χαίροντες.

### Σταυρεθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Η πολυϋμνητος Αμνάς, τόν Άρνα θεασαμένη, πρός εκούσιον ελκόμενον πάθος, καί σταυρούμενον σαρκί, ηλάλαζε δακρύουσα, καί τήν μακροθυμίαν, ύμνει τήν τούτου δοξάζουσα.

## Κανών τής Θεοτόκου

### Ο Ειρμός

Ουρανίας αψίδος οροφουργέ Κύριε, καί τής Εκκλησίας δομήτορ, σύ με στερέωσον, εν τή αγάπη τή σή, τών εφετών η ακρότης, τών Πιστών τό στήριγμα, μόνε φιλάνθρωπε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ιεράς πολιτείας, αποπεσών άχραντε, παρασυνεβλήθην τοίς κτήνεσι, καί κατάκριτος, όλος γεγένημαι, η τόν Κριτήν τετοκυία, πάσης κατακρίσεως, ρύσαι καί σώσόν με.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Στεναγμούς ανενδότους, καί ψυχικόν δάκρυον, καί διηνεκή μοι παράσχου, Κόρη κατάνυξιν, όπως πενθήσω μου, τά συμφυέντα μοι πάθη, εξ απροσεξίας μου, Θεοχαρίτωτε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Επουράνιαι τάξεις, λειτουργικά πνεύματα, δήμος Προφητών Αποστόλων σου, καί Μαρτύρων σου, σύν τή Τεκούση σε, εκδυσωπούσιν Οικτίρμον, τώ λαώ σου δώρησαι, πταισμάτων άφεσιν.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Συμπαθείας με θείας, ως συμπαθής Άχραντε, νύν καταξιώσαι δυσώπει, τόν ευσυμπάθητον, τρόπους ασπλάγχνους γάρ, ασυμπαθείς κεκτημένον, μετανοίας τρόποις με, νύν ανακάλεσαι.

## Ωδή δ'

### Ο Ειρμός

Σύ μου ισχύς, Κύριε σύ μου καί δύναμις, σύ Θεός μου, σύ μου αγαλλίαμα, ο Πατρικούς κόλπους μή λιπών, καί τήν ημετέραν, πτωχείαν επισκεψάμενος, διό σύν τώ Προφήτη, Αββακούμ σοι κραυγάζω. Τή δυνάμει σου δόξα Φιλάνθρωπε.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Γένος βροτών, τού πτώματος ανακέκληται, ού υπέστη, πάλαι ο πρωτόπλαστος, ο γάρ τών όλων Δημιουργός, ήρθη επί ξύλου, δακτύλους εξαιματούμενος, καί ήλοις εκουσίως, προσηλούμενος χείρας, καί πλευράν υπό λόγχης νυττόμενος.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Έστη Σταυρός, καί πλάνη πάσα κατέπεσεν, εγυμνώθη, Σώτερ ο αλλότριος, σού γυμνωθέντος, καί ο Αδάμ, θείας αφθαρσίας, καταστολήν επενδύσατο, η κτίσις εφωτίσθη, σκοτισθέντος ηλίου, επί ξύλου Χριστέ σταυρουμένου σου.

### Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Νεοσφαγή, καθάπερ θύματα Μάρτυρες, τώ τυθέντι, Λόγω προσηνέχθητε, ταίς τών αιμάτων επιρροαίς, πλάνης τάς θαλάσσας, ξηράναντες θεία χάριτι, καί χύσιν παθημάτων, επομβρίαις θαυμάτων, αναστέλλοντες πάντοτε ένδοξοι.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Τήξιν μελών, πάντων οδόντων εκρίζωσιν, καί ονύχων, Μάρτυρες υπέστητε, χείρας κοπτόμενοι αφειδώς, γλώσσάν τε καί πόδας, καί αρμονίας τού σώματος, διό υπερβαλλούσης, ηξιώθητε δόξης, τώ τών όλων Θεώ παριστάμενοι.

### Σταυρεθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τόν εαυτής, μόσχον η άμεμπτος δάμαλις, κατιδούσα, ξύλω αναρτώμενον, τέκνον εβόα αλαλαγμώ, πώς σε παρανόμων, δήμος ουδόλως ωκτείρησεν, αυτόν ωκτειρηκότα, αλλά σκέψει δολία, θανατώσαι αδίκως προείλετο.

### Κανών τής Θεοτόκου

### Ειρμός ο αυτός

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τό πονηρόν, αμαρτιών μου χειρόγραφον, θεία λόγχη, Πάναγνε διάρρηξον, τή κεντησάση θείαν πλευράν, τού ενανθρωπήσαι, εκ σού Παρθένε θελήσαντος, καί βίβλω με γραφήναι, σωζομένων δυσώπει, τόν αφρόνως Θεού μακρυνόμενον.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ίνα φωναίς, χαριστηρίοις δοξάζω σε, ίνα θείω, πόθω μεγαλύνω σε, τήν τώ μεγίστω σου τοκετώ,

πάντας σμικρυνθέντας, Πανάμωμε μεγαλύνασαν, μεγάλως αμαρτώντα, καί δεινώς συμπτωθέντα, συγχωρήσεως Κόρη αξίωσον.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νόμοι εν σοί, κεκαινοτόμηνται φύσεως, υπέρ φύσιν, Λόγον γάρ εκύησας, διό σε πίστει εκδυσωπώ. Τόν υπέρ τήν φύσιν, τήν ανθρωπίνην Πανάμωμε, πολλά ημαρτηκότα, καί Θεού μακρυνθέντα, επιστρέψαντα σώσον πρεσβείαις σου.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Οδυσμενής, τής αμαρτίας τοίς βέλεσι, τήν ψυχήν μου, όλην ετραυμάτισε, καί κατεμόλυνεν ηδοναίς, τήν εμήν καρδίαν, καί τής οδού απεπλάνησε, Παρθένε τής ευθείας, διά τούτο βοώ σοι. Επιστρέφοντα δέξαι καί σώσόν με.

## Ωδή ε'

### Ο Ειρμός

Ίνα τί με απώσω, από τού προσώπου σου, τό φώς τό άδυτον, καί εκάλυψέ με, τό αλλότριον σκότος τόν δείλαιον; αλλ' επίστρεψόν με, καί πρός τό φώς των εντολών σου, τάς οδούς μου κατεύθυνον δέομαι.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ίνα τής ενηδόνου, γεύσεως λυτρώσης με, χολής Μακρόθυμε, απεγεύσω θέλων, καί νεκρώσεως όπως εκδύσης με, Ιησού τό πάθος, γυμνός παγήναι κατεδέξω, επί ξύλου, υμνώ σου τό εύσπλαγχνον.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Τήν φθαρείσαν ψυχήν μου, Λόγε τοίς παθήμασι, καινοποιούμενος, τήν ψυχήν παρέθου, τώ Πατρί επί ξύλου κρεμάμενος, καί ου φέρει ταύτα, άψυχος γή κατανοούσα, αλλά φόβω κλονείται υμνούσά σε.

### Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ωραιώθητε θείοις, Μάρτυρες παθήμασι καλλωπιζόμενοι, καί ιχνηλατούντες, τόν τοίς πάθεσι πάσιν απάθειαν, δεδωκότα Λόγον, μονογενή Πατρός ανάρχου, διά τούτο αυτώ συνδοξάζεσθε.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ξενωθέντες τών κάτω, τά μή θεωρούμενα κατεκληρώσασθε, εν επουρανίοις, αυλιζόμενοι θείοις σκηνώμασι, καί μεθέξει θεία, θεοποιούμενοι αΰλως, τού Σωτήρος αήττητοι Μάρτυρες.

### Σταυρεθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ξένον θέαμα βλέπω, έκραζες Πανύμνητε, πώς ο τώ βλέμματι, πάσαν γήν σαλεύων, επί ξύλου υψούμενος ύπνωσας; τούς υπνούντας μέλλων, εκ τού αιώνος αφυπνίζειν. Προσκυνώ σου Υιέ τό μακρόθυμον.

### Κανών τής Θεοτόκου

### Ειρμός ο αυτός

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Γενεαί γενεών σε, τήν αειμακάριστον νύν μακαρίζουσιν, ουρανών Δυνάμεις, ως τά κάτω τοίς άνω συνάψασαν, ευφημούσι μόνην, εν γυναιξίν ευλογημένη, τού πεσόντος Αδάμ η ανάκλησις.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Διαμένειν με σώον, μή περιτρεπόμενον στάσεως κρείττονος, αλλ' ευθυπορούντα, καί Θεώ τά ευάρεστα πράττοντα, ενδυνάμωσόν με, τόν αγαθόν τεκούσα Λόγον, τόν ημάς αλογίας ρυσάμενον.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ο τό αίμά σου Λόγε, διά υπερβάλλουσαν, ελέους άβυσσον, εν Σταυρώ κενώσας, τών παθών μου τήν άβυσσον ξήρανον, καί εν κατανύξει, σοί τώ Θεώ ευαρεστήσαι, διά τής Θεοτόκου αξίωσον.

## Ωδή ς'

### Ο Ειρμός

Άβυσσος αμαρτιών, καί πταισμάτων καταιγίς με ταράττει, καί πρός βυθόν βιαίως, συνωθεί απογνώσεως, αλλά σύ τήν κραταιάν, χείρά μοι έκτεινον, ως τώ Πέτρω, ώ Κυβερνήτα καί διάσωσον.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ύμνησαν τών ουρανών, αι Δυνάμεις, καί εξέστησαν πάσαι, επί Σταυρού σε Λόγε, καθορώσαι κρεμάμενον, καί Αδάμ ο πληγωθείς, Σώτερ ιάτρευται τώ Σταυρώ σου, καί η κατάρα εξωστράκισται.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Λέλυται εκ τών δεσμών, τό ανθρώπινον Μακρόθυμε γένος, σου εν σαρκί δεθέντος, καί δεσμείται ο τύραννος, υπό πάντων τών πιστών, καταπαιζόμενος ως στρουθίον. Δόξα Χριστέ τή δυναστεία σου.

### Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ώφθητε θεοειδείς, Αθλοφόροι ώσπερ άνθρακες πάσαν, τής δυσσεβείας ύλην, κατακαίοντες χάριτι, επ' ανθράκων τε πυρός περιχορεύοντες, καί τήν θείαν, αναψυχήν υποδεχόμενοι.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Θρέμματα αληθινού, δεδειγμένοι Αθλοφόροι Ποιμένος, μέσον αγρίων λύκων, αβλαβείς διεμείνατε, καί τελέσαντες καλώς, δρόμον τόν ένθεον, εν τή μάνδρα, τή ουρανίω εσκηνώσατε.

### Σταυρεθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Κύριόν σε τής ζωής, καί ωραίον απεκύησα κάλλει, υπέρ υιούς ανθρώπων, η Παρθένος εκραύγαζε, καί πώς θνήσκεις νύν Υιέ, κάλλος ουκ έχων εν τώ σταυρούσθαι, ο καλλωπίζων πάντα νεύματι;

## Κανών τής Θεοτόκου

### Ο Ειρμός

Ιλάσθητί μοι Σωτήρ, πολλαί γάρ αι ανομίαι μου, καί εκ βυθού τών κακών, ανάγαγε δέομαι, πρός σέ γάρ εβόησα, καί επάκουσόν μου, ο Θεός τής σωτηρίας μου.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ηλέηται διά σού, η φύσις τής ανθρωπότητος, τόν ελεήμονα γάρ, εκύησας Κύριον, ελεήμον Πάναγνε, όθεν δυσωπώ σε, τήν εμήν ψυχήν ελέησον.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τών Ασωμάτων, Χριστέ, τά τάγματα δυσωπούσί σε, Μαρτύρων τε Προφητών, καί τών Αποστόλων σου, διά τής Τεκούσης σε, τόν λαόν σου σώζε, από πάσης περιστάσεως.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Η αγεώργητος γή, τόν γεωργόν η κυήσασα, καί πάντων Δημιουργόν, τήν υλομανήσασαν, ψυχήν μου τοίς πάθεσι, δείξον καρποφόρον, διά θείας επιγνώσεως.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Παρέβην τάς εντολάς, τάς πρός Θεόν οδηγούσας με, καί θέλων τοίς πονηροίς, δεδούλωμαι πάθεσι, διό ικετεύω σε, τής αυτών με ρύσαι, δεσποτείας Αειπάρθενε.

## Ωδή ζ'

### Ο Ειρμός

Θεού συγκατάβασιν τό πύρ ηδέσθη εν Βαβυλώνί ποτε, διά τούτο οι Παίδες εν τή καμίνω αγαλλομένω ποδί ως εν λειμώνι χορεύοντες έψαλλον. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Επλήγης τάς χείράς σου, εν αίς ειργάσω, Χριστέ τά θαύματα, καί τραυμάτων ηνέσχου, τά τραύματά μου πάντα ιώμενος, υμνώ σε Λόγε, κραυγάζών Μακρόθυμε. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ωρύχθης τάς χείράς σου, καί πόδας ήλοις, Χριστέ σταυρούμενος, καί πλευράν ελογχεύθης, κρουνούς πηγάζων πάσιν αφέσεως, τοίς μελωδούσιν απαύστως καί λέγουσιν. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

### Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Χορείαν στησώμεθα, υμνολογούντες Θεού τούς Μάρτυρας, τοίς χοροίς τών Αγγέλων, αριθμουμένους, καί τά επίγεια, φωταγωγούντας, καί πάντοτε μέλποντας. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Αγίων λαμπρότησιν, αγιασθέντες κατεσκηνώσατε, επιπέμποντες πάσιν, αγιασμόν τε καί απολύτρωσιν, τοίς ευφημούσιν, υμάς καί κραυγάζουσιν. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

### Σταυρεθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ο άδυτος Ήλιος, πώς έδυς ξύλω Λόγε τεινόμενος, η Παρθένος εβόα, καί βλέπων έστη τού δρόμου ήλιος, φαίνειν μή σθένων, σού πάσχοντος Δέσποτα; Υμνολογώ, προσκυνώ τό θείον κράτος σου.

## Κανών τής Θεοτόκου

### Ειρμός ο αυτός

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Αρρήτω κυήσει σου, φρικτών αρρήτων ημάς ηξίωσας, Θεοτόκε πραγμάτων, διό φρικτής με ρύσαι κολάσεως, καί τής αρρήτου χαράς καταξίωσον, ίνα υμνώ σε αεί τήν πολυΰμνητον.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ραθύμως τόν βίον μου, εκδαπανήσας άκαρπος έμεινα, καί πτοούμαι τήν δίκην, καί τής γεέννης τό πύρ τό άσβεστον, η πύρ τεκούσα Παρθένε τό άστεκτον, ρύσαί με, τού πυρός, τή μεσιτεία σου.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ραυμάτων επέκεινα, τό μέγα θαύμα τής σής κυήσεως, διά τούτο βοώ σοι, Αγνή παρθένε Θεογεννήτρια, τά σά ελέη επ' εμοί θαυμάστωσον, καί τής μελλούσης οργής, ρύσαι καί σώσόν με.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Εμέ τόν βιώσαντα, εν αμελεία, καί παραβλέψαντα, τούς αγίους σου νόμους, καί τά σεπτά σου Σώτερ εντάλματα, οίκτειρον σώσον διά τής Τεκούσης σε, ως ευεργέτης Θεός, καί πολυέλεος.

### Ωδή η'
### Ο Ειρμός

Επταπλασίως κάμινον, τών Χαλδαίων ο τύραννος, τοίς θεοσεβέσιν, εμμανώς εξέκαυσε, δυνάμει δέ κρείττονι, περισωθέντας τούτους ιδών, τόν Δημιουργόν καί Λυτρωτήν ανεβόα, οι Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ρίζης Χριστέ εβλάστησας, Ιεσσαί σωματούμενος, καί ριζοτομείς τήν εκφυείσαν άκανθαν, Αδάμ παραβάσεως, στέφος φορών ακάνθινον, ξύλω δέ παγείς, τήν εκ τού ξύλου ιάσω, βλαστήσασαν κατάραν, καί τούς μέλποντας σώζεις, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ίνα Θεόν τόν άνθρωπον, απεργάση φιλάνθρωπε, γέγονας βροτός, καί τώ Σταυρώ ωμίλησας, πλευράν εκκεντούμενος, καί όξος ποτιζόμενος, όθεν οι σωθέντες, σού τοίς πάθεσι Λόγε, βοώμεν ευχαρίστως, Ιερείς ευλογείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

### Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Συμποδισθέντες Μάρτυρες, καί ως άρνες θυόμενοι, καί επί πυρός, ανηλεώς οπτώμενοι, θηρσίν εκδιδόμενοι, τάς κεφαλάς τεμνόμενοι, χαίρετε χαρά, ανεκλαλήτω βοώντες. Οι Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Στεφανηφόροι Μάρτυρες, τών Αγγέλων συμμέτοχοι, οι τούς ωμοτάτους, δυσμενείς πατήσαντες, πρεσβείαν ποιήσατε, υπέρ ημών πρός Κύριον, όπως εν αγάπη, καί πολλή ομονοία, ζησώμεθα βοώντες, Ιερείς ευλογείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

### Σταυρεθεοτοκίον

Οδυνηρώς στενάζουσα, μητρικώς αλαλάζουσα, καί τήν εκ τών σπλάγχνων, συνοχήν μή φέρουσα, Σταυρώ ενητένιζες, τώ εκ τής σής τεχθέντι γαστρός, Τέκνον, εκβοώσα, τί τό όραμα τούτο; πώς πάσχεις ο τή φύσει απαθής; πάντως θέλων, τό γένος τών ανθρώπων, φθοράς ελευθερώσαι.

### Κανών τής Θεοτόκου
### Ειρμός ο αυτός

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νενεκρωμένην ζώωσον, συμπτωθείσαν ανάστησον, τετραυματισμένην, τήν ψυχήν μου ίασαι, τόν νούν μου ειρήνευσον, τών πειρασμών τά κύματα, πράϋνον Παρθένε, καί βοώντά με σώσον. Οι

Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ως ο Ληστής κραυγάζω σοι, Μνήσθητί μου Φιλάνθρωπε, κλαίω ως η Πόρνη, καί βοώ σοι, Ήμαρτον, ως πάλαι ο Άσωτος, μετανοούντα δέξαι με, τόν απεγνωσμένον, διά τής Θεοτόκου, προθύμως ίνα μέλπω, Ιερείς ευλογείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ικετικώς βοώμέν σοι, Θεοτόκε πανύμνητε, μετά τών απείρων, νοερών Δυνάμεων, Μαρτύρων Οσίων τε, καί Αποστόλων καί Προφητών, ποίησον πρεσβείαν, υπέρ πάντων τών πίστει, ενθέως μελωδούντων, Ιερείς ευλογείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

## Ωδή θ'

### Ο Ειρμός

Εξέστη επί τούτω ο ουρανός, καί τής γής κατεπλάγη τά πέρατα, ότι Θεός, ώφθη τοίς ανθρώποις σωματικώς, καί η γαστήρ σου γέγονεν, ευρυχωροτέρα τών ουρανών, διό σε Θεοτόκε, Αγγέλων καί ανθρώπων, ταξιαρχίαι μεγαλύνουσι.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ιάτρευσάς μου Δέσποτα τάς πληγάς, πληγωθείς καί αιμάξας, τάς χείράς σου, καί πρός οδούς, βαίνειν σωτηρίους ως αγαθός, κατεύθυνάς με Κύριε, πόδας ορυχθείς επί τού Σταυρού, ούς πάλαι οι Γενάρχαι, βαδίζοντας ιδόντες, εν Παραδείσω κατεκρύπτοντο.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ωρθώθη ορθωθέντος σου εν Σταυρώ, ο πεσών πτώμα μέγα Πρωτόπλαστος, η δέ ισχύς, άπασα επτώθη τού δυσμενούς, πάσα δέ γή ηγίασται, αίματι καί ύδατι εκ τής σής, πλευράς προχεομένω, διό σε Πανοικτίρμον, ακαταπαύστως μεγαλύνομεν.

### Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Στρεβλούμενοι τάς στρέβλας τού πονηρού, διελύσατε άγιοι Μάρτυρες, καί τοίς δεσμοίς, οίς περ υπεμείνατε καρτερώς, τούτον συνεποδίσατε, καί καθυπετάξατε τοίς ποσιν, αισχύνης πεπλησμένον, καί γέλως τοίς ορώσι, χάριτι θεία χρηματίσαντα.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ηγή τή καταθέσει τών ιερών, τών Μαρτύρων λειψάνων ηγίασται, καί γάρ πηγήν, βρύουσαν ιάσεις παντοδαπάς, ταύτα ενθέως κέκτηται, πάθη τών σωμάτων καί τών ψυχών, απαύστως ιωμένην, καί λώβην τών δαιμόνων, εκκρουομένην θείω Πνεύματι.

### Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φυγούσα τάς ωδίνας τάς μητρικάς, τώ καιρώ τής λοχείας Μακρόθυμε, σέ εν τώ νύν, πάθει εκουσίως προσομιλείν, καί άλγος καθυφίστασθαι, ήλγησα τά σπλάγχνα καί τήν ψυχήν, οδύνης επληρώθην, η Πάναγνος εβόα, ήν επαξίως μεγαλύνομεν.

## Κανών τής Θεοτόκου

### Ο Ειρμός

Έφριξε πάσα ακοή, τήν απόρρητον Θεού συγκατάβασιν, όπως ο Ύψιστος, εκών κατήλθε, μέχρι καί σώματος, παρθενικής από γαστρός, γενόμενος άνθρωπος, διό τήν άχραντον, Θεοτόκον οι πιστοί μεγαλύνομεν.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ώ θεία κλίνη Σολομών, ήν κυκλούσι δυνατοί νύν εξήκοντα, ρήσει τής θείας Γραφής, εν ή ο Λόγος επαναπαύσατο, ταίς μυριάσι με αεί, δαιμόνων κλονούμενον, άτρωτον φύλαξον, τή δυνάμει σου αγνή Αειπάρθενε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Στάζουσα θείον γλυκασμόν, τών απάντων γλυκασμόν η κυήσασα, ιώ τού όφεως, τήν φαρμαχθείσαν ψυχήν μου γλύκανον, αλλοτριούσά με πικράς, αμαρτίας πάντοτε, τή μεσιτεία σου, προστασία τών πιστών ακαταίσχυντε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ήλιε δόξης Ιησού, τήν αθλίαν μου ψυχήν φωταγώγησον, ταίς παρακλήσεσι τής σέ, τεκούσης αγνής θεόπαιδος, τών ασωμάτων Λειτουργών, σεπτών Αποστόλων σου, Ιεραρχών Προφητών, καί Μαρτύρων ευ κλεών καί Οσίων σου.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φρίττω σου μόνε Βασιλεύ, τήν δευτέραν παρουσίαν καί δέδοικα, όλος κατάκριτος, ηπορημένος υπάρχων Κύριε, διό πρό τέλους σοι βοώ, διά τής Τεκούσης σε. Φείσαι καί σώσόν με, ελεήμον αγαθέ καί Φιλάνθρωπε.

Απόστιχα τών Αίνων, Σταυρώσιμα

Τού Μωϋσέως η ράβδος, τόν τίμιον Σταυρόν σου, προετύπου Σωτήρ ημών, εν αυτώ γάρ σώζεις, ως εκ βυθού θαλάσσης, τόν λαόν σου Φιλάνθρωπε.

Στίχ. α'. Ενεπλήσθημεν τό πρωϊ τού ελέους σου, Κύριε, καί ηγαλλιασάμεθα καί ηυφράνθημεν έν πάσαις ταίς ημέραις ημών. Ευφρανθείημεν, ανθών ημερών εταπείνωσας ημάς, ετών, ών είδομεν κακά, καί ίδε επί τούς δούλους σου καί επί τά έργα σου, καί οδήγησον τούς υιούς αυτών.

Ο εν Εδέμ Παράδεισος ποτέ, τό ξύλον τής γνώσεως, ανεβλάστησεν εν μέσω τών φυτών, η Εκκλησία σου Χριστέ, τόν Σταυρόν σου εξήνθησε, τόν πηγάσαντα, τώ κόσμω τήν ζωήν, αλλά τό μέν εθανάτωσε, βρώσει φαγόντα τόν Αδάμ, τό δέ εζωοποιησε, πίστει σωθέντα τόν Ληστήν, ού τής αφέσεως κοινωνούς, ημάς ανάδειξον Χριστέ ο Θεός, ο τώ πάθει σου λύσας, τήν καθ' ημών μανίαν τού εχθρού, καί αξίωσον ημάς, τής ουρανίου Βασιλείας σου.

Μαρτυρικόν

Τί υμάς καλέσωμεν

Στίχ. β'. Καί έστω η λαμπρότης Κυρίου τού Θεού ημών εφ' ημάς, καί τά έργα τών χειρών ημών κατεύθυνον εφ' ημάς, καί τό έργον τών χειρών ημών κατεύθυνον.

Μάρτυρες Χριστού οι αήττητοι, οι νικήσαντες τήν πλάνην, τή δυνάμει τού Σταυρού, απολαύετε τήν χάριν, αιωνίως τής ζωής. Τυράννων, απειλάς ουκ εττοήθητε, βασάνοις, αικιζόμενοι ευφραίνεσθε, καί νύν τά αίματα υμών, γέγονεν ιάματα ταίς ψυχαίς ημών, πρεσβεύσατε, τού σωθήναι τάς ψυχάς ημών.

Δόξα... Καί νύν...

Σταυροθεοτοκίον, όμοιον

Ξύλω προσπηγνύμενον Κύριε, ως εώρακεν ασπόρως, η Τεκούσά σε Αμνάς, κατεξαίνετο τάς όψεις, καί εβόα εν κλαυθμώ; Υιέ μου, πώς σφαγήν φέρεις τήν άδικον, πώς θνήσκεις, ο αθάνατος ως άνθρωπος, λόγον μοι δός φώς γλυκύτατον, βλέψον Μητέρα θρηνούσάν σε, καί δόξασον, ταύτην Λόγε τή εγέρσει σου.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Οι Μακαρισμοί

Μακάριοι οι ειρηνοποιοί, ότι αυτοί υιοί Θεού κληθήσονται.

Μνήσθητι ημών, Χριστέ Σωτήρ τού κόσμου, ώσπερ τού Ληστού, εμνήσθης επί ξύλου, καί καταξίωσον πάντας μόνε Οικτίρμον, τής ουρανίου Βασιλείας σου.

Μακάριοι οι δεδιωγμένοι ένεκεν δικαιοσύνης, ότι αυτών εστιν η βασιλεία τών ουρανών.

Ράβδω Μωϋσής, Σταυρόν εξεικονίζει, τέμνει τόν βυθόν, λαόν Ισραηλίτην, διαβιβάζων, ημείς δέ τούτον τυπούντες, τούς νοητούς εχθρούς τροπούμεθα.

Μακάριοί εστε όταν ονειδίσωσιν υμάς, καί διώξωσι, καί είπωσι πάν πονηρόν ρήμα καθυμών ψευδόμενοι ένεκεν εμού.

Πάλαι Ιακώβ, επευλογών τούς Παίδας, χείρας εναλλάξ, εφήπλου σημαινούσας, τόν σόν Σταυρόν, διού πάντες εκ τής κατάρας, Χριστέ Σωτήρ ηλευθερώθημεν.

Μαρτυρικόν

Χαίρετε καί αγαλλιάσθε, ότι ο μισθός υμών πολύς εν τοίς ουρανοίς.

Πάθη τού Χριστού, ζηλούντες Αθλοφόροι, βάσανα πικρά, ηνέγκατε γενναίως, καί αφθαρσίας στεφάνοις καταστεφθέντες, τούς ουρανούς περιπολεύετε.

Δόξα...

Δόξα τώ Πατρί, τώ μόνω αθανάτω, δόξα τώ Υιώ, τώ ζώντι εις αιώνας, δόξα τώ Πνεύματι άμα, τώ παναγίω, τώ πάσαν κτίσιν αγιάζοντι.

Καί νύν... Θεοτοκίον

Εκ παρθενικής, ανέτειλε γαστρός σου, ο Δημιουργός, ηλίου καί σελήνης, όν οτόκε, πάσα η κτίσις εκυμαίνετο.

HYPERLINK "" \l "top" top

8-5

Στιχηρα Προσόμοια τών Αποστόλων

Ήχος πλ. δ'

Κύριε, ει καί κριτηρίω παρέστης

Στίχ. α'. Εάν ανομίας παρατηρήσης, Κύριε, Κύριε τίς υποστήσεται; ότι παρά σοί ο ιλασμός εστιν.

Κύριε, σύ τού Παρακλήτου τή αίγλη, τούς Αποστόλους εφώτισας, καί φωστήρας τέθεικας τούτους, τήν οικουμένην καταυγάζοντας, τώ νοητώ φωτισμώ, τής γνώσεώς σου Δέσποτα, διά τούτο προσκυνούμεν, τήν πολλήν σου αγαθότητα.

Στίχ. β'. Ένεκεν τού ονόματός σου υπέμεινά σε, Κύριε, υπέμεινεν η ψυχή μου εις τόν λόγον σου, ήλπισεν η ψυχή μου επί τόν Κύριον.

Κύριε, σύ τών Αποστόλων πρεσβείαις, περιτειχίζων τήν ποίμνην σου, ταύτην εξ εχθρών επηρείας, διασώζεις αστασίαστον, ήν περ τιμίω Σωτήρ, ωνησάμενός σου αίματι, τής δουλείας τού αλλοτρίου, ηλευθέρωσας ως εύσπλαγχνος.

Στίχ. γ'. Από φυλακής πρωϊας μέχρι νυκτός, από φυλακής πρωϊας ελπισάτω Ισραήλ επί τόν Κύριον.

Ώφθητε, εν τώ διαδήματι Χριστού, τής Εκκλησίας, ως τίμιοι, λίθοι διαυγείς λαμπηδόνας, τή οικουμένη αστράπτοντες, θεογνωσίας τό φώς, Απόστολοι μακάριοι, τής Τριάδος παραστάται, καί πρεσβευταί τών ψυχών ημών.

Έτερα, τού Αγίου Νικολάου, όμοια

Στίχ. δ'. Ότι παρά τώ Κυρίω τό έλεος, καί πολλή παρ' αυτώ, λύτρωσις. καί αυτός λυτρώσεται τόν Ισραήλ έκ πασών τών ανομιών αυτού.

Κύριε, σύ τού Ιεράρχου ταίς θείαις, πανευπροσδέκτοις δεήσεσιν, εκ παντός κινδύνου καί πάσης, ελευθέρωσον κακώσεως, καί επηρείας κακών, τούς δούλους σου Φιλάνθρωπε, τούς εν πίστει

προσκυνούντας, σού τό κράτος τό ανείκαστον.

Στίχ. ε'. Αινείτε τόν Κύριον πάντα τά έθνη, επαινέσατε αυτόν, πάντες οι λαοί.

Κύριε, σύ τόν Ιεράρχην εν κόσμω, ως ευωδίαν ανέδειξας, πάντων γάρ πιστών τάς καρδίας, ευωδιάζει νύν τοίς θαύμασι, νόσους καί πάθη ψυχών, διώκων τή σή χάριτι, ού ταίς πρεσβείαις, ως Οικτίρμων, τούς υμνούντάς σε περίσωζε.

Στίχ. ς'. Ότι εκραταιώθη τό έλεος αυτού εφ' ημάς, καί η αλήθεια τού Κυρίου μένει εις τόν αιώνα.

Κύριε, σύ τόν σόν σεπτόν Ιεράρχην, εν τοίς πέρασιν εδόξασας, δούς αυτώ θαυμάτων τήν χάριν, καί υπέρμαχον ανέδειξας, τών εν κινδύνοις δεινοίς, καί θλίψεων κακώσεσι, περιπιπτόντων καί αιτούντων, τούτου αεί τήν αντίληψιν.

Δόξα... Και νύν... Θεοτοκίον, όμοιον

Ίδε μου, τής συντετριμμένης καρδίας, τούς στεναγμούς Θεονύμφευτε, πρόσδεξαι Παρθένε Μαρία, καί μή απώση πανάμωμε, τάς τών χειρών μου Αγνή, επάρσεις ως φιλάγαθος, ίνα υμνώ καί μεγαλύνω, τόν μεγαλύναντα τό γένος ημών.

Απόστιχα Αποστολικά, όμοια

Κύριε, εί καί κριτηρίω παρέστης

Κύριε, σέ ειλικρινώς επί τής γής, οι Απόστολοι ποθήσαντες, σκύβαλα ηγήσαντο πάντα, ίνα σε μόνον κερδήσωσι, καί υπέρ σού αικισμοίς, τά σώματα παρέδωκαν, διά τούτο δοξασθέντες, πρεσβεύουσιν υπέρ τών ψυχών ημών.

Στίχ. Α'. Πρός σέ ήρα τούς οφθαλμούς μου, τόν κατοικούντα εν τώ ουρανώ. Ιδού, ως οφθαλμοί δούλων εις χείρας τών κυρίων αυτών, ως οφθαλμοί παιδίσκης εις χείρας τής κυρίας αυτής, ούτως οι οφθαλμοί ημών πρός Κύριον τόν Θεόν ημών, έως ού οικτιρήσαι ημάς.

Κύριε, σύ τών Αποστόλων τήν μνήμην, επί τής γής εμεγάλυνας, πάντες γάρ ομού συνελθόντες, εν αυτή δοξολογούμέν σε, ότι παρέχεις ημίν, δι' αυτών τά ιάματα, καί τώ κόσμω τήν ειρήνην, ευχαίς αυτών καί τό μέγα έλεος.

Μαρτυρικόν

Στίχ. Β'. Ελέησον ημάς, Κύριε, ελέησον ημάς, ότι επί πολύ επλήσθημεν εξουδενώσεως, επί πλείον επλ ήσθη η ψυχή ημών, τό όνειδος τοίς ευθηνούσι, καί η εξουδένωσις τοίς υπερηφάνοις.

Εί τις αρετή, καί εί τις έπαινος, πρέπει τοίς Αγίοις, ξίφεσι γάρ έκλιναν τούς αυχένας, διά σέ τόν κλίναντα ουρανούς καί καταβάντα, εξέχεαν τό αίμα αυτών, διά σέ τόν κενώσαντα εαυτόν, καί μορφήν δούλου λαβόντα, εταπεινώθησαν έως θανάτου, τήν πτωχείαν σου μιμούμενοι. Ών ταίς ευχαίς, κατά τό πλήθος τών οικτιρμών σου, ο Θεός ελέησον ημάς.

Δόξα... Καί νύν... Θεοτοκίον

Τί υμάς καλέσωμεν Άγιοι; ύμφην σε Παρθένε εκήρυξαν, τής αξίας τού Πατρός, καί τής θεότητος αυτού, οι Θεόν, αξιωθέντες κατιδείν σωματικώς, καί Λόγου καί Θεού Κόρη γεννήτριαν, καί Πνεύματος αγίου οικητήριον, εν σοί γάρ πάν τής θεότητος, σωματικώς κατεσκήνωσε, τό πλήρωμα, πληρεστάτης ούσης χάριτος.

Μετά τήν α' Στιχολογίαν

Καθίσματα Αποστολικά

Ήχος πλ. δ'

Τήν Σοφίαν καί Λόγον

Ως φωστήρας τού κόσμου, καί Οδηγούς, τής ημών σωτηρίας, τάς απαρχάς, τούς θείους υμνήσωμεν, μαθητάς τού Θεού ημών, ότι φώς τοίς εν σκότει, ημίν εξανέτειλαν, καί τόν Ήλιον πάσι, τής δόξης εγνώρισαν, όθεν καί τήν πλάνην, τών ειδώλων καθείλον, Τριάδα κηρύξαντες, εν μιά τή θεότητι. Πρός αυτούς ούν βοήσωμεν. Απόστολοι Χριστού τού Θεού, τών πταισμάτων άφεσιν αιτήσασθε, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην υμών.

Όμοιον

Εις τά πέρατα πάντα, διαδραμών, ο σοφός υμών φθόγγος, ως αληθώς, τού κόσμου πανεύφημοι,

τού Κυρίου Απόστολοι, θεογνωσίαν πάσι, τρανώς ανεκήρυξε, καί τών εθνών τήν άγνοιαν, εις γνώσιν μετήγαγεν, όθεν καί ειδώλων, τήν αχλύν εκδιώξας, τό φώς τό τής γνώσεως, τοίς εν σκότει κατέλαμψε. Διά τούτο δεόμεθα. Πρεσβεύσατε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην υμών.

Δόξα... Καί νύν... Θεοτοκίον

Ανέστης εκ νεκρών

Εκ πάσης απειλής, καί κακίας ανθρώπων, διάσωσον ημάς, Παναγία Παρθένε, σκέπην καί γάρ σε πάντες, καί προστασίαν θερμήν κεκτήμεθα, καί τώ εκ σού τεχθέντι, εν σοί θαρρούντες αει προσπίπτομεν, όν εκδυσώπει ρύσασθαι ημάς, εκ πάσης περιστάσεως.

Μετά τήν β' Στιχολογίαν

Καθίσματα Αποστολικά

Τό προσταχθέν μυστικώς λαβών

Φωστήρες ώφθητε λαμπροί, Χριστού αυτόπται, διαπαντός πάσαν τήν γήν, φωταγωγούντες, καί σοβούντες τό σκότος, τής πολυθεϊας, τώ φέγγει, τής ευσεβείας τών διδαχών, διό με, τόν εν αυτώ σκότει, τών ηδονών, αδεώς πορευόμενον, φωτίσατε τώ φωτί, τών θείων προσευχών υμών, Θεοφόροι Αποστόλοι.

Όμοιον

Τάς τού Κυρίου εν ψυχή, παραγγελίας, ως θησαυρόν πλουτοποιόν, πιστώς λαβόντες, οι Απόστολοι ώφθησαν, πάσιν ευεργέται, πτωχείαν αποσοβούντες, δαιμονικήν, καί πάντας, καταπλουτούντες πλούτω Θεού, πρός ούς πάντες βοήσωμεν. Πλουτίσατε καί ημάς, αρίσταις εργασίαις νύν, πενομένους δεόμεθα.

Δόξα... Καί νύν... Θεοτοκίον

Τήν Σοφίαν καί Λόγον

Τήν ψυχήν μου Παρθένε, τήν ταπεινήν, τήν εν ζάλη τού βίου, τών πειρασμών, νύν ως ακυβέρνητον, ποντουμένην Πανάμωμε, αμαρτιών τε φόρτω, φανείσαν υπέραντλον, καί εις πυθμένα άδου, πεσείν κινδυνεύουσαν, φθάσον Θεοτόκε, τή θερμή σου πρεσβεία, και σώσον παρέχουσα, τόν λιμένα τόν εύδιον, ίνα πίστει κραυγάζω σοι. Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων δούναί μοι τήν άφεσιν, σέ γάρ έχω ελπίδα ο δούλός σου.

Μετα τήν γ' Στιχολογίαν, έτερα

Τήν Σοφίαν καί Λόγον

Τή σαγήνη τών λόγων, τών θεϊκών, ως ιχθύας ζωγρούντες, τούς λογικούς, τούτους προσηγάγετε, απαρχήν τώ Θεώ ημών, καί τού Χριστού τά στίγματα, ποθούντες ενδύσασθαι, μιμηταί τού Πάθους, αυτού ανεδείχθητε. Όθεν συνελθόντες, κατά χρέος τιμώμεν, Απόστολοι ένδοξοι, τήν υμών νύν πανήγυριν, καί συμφώνως κραυγάζομεν. Πρεσβεύσατε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην υμών.

Μαρτυρικόν, όμοιον

Οικουμένης φωστήρες, αειλαμπείς, ανεδείχθητε πίστει, μαρτυρική, όλην αναθέμενοι, τήν ελπίδα πρός Κύριον, καί νοητώ ελαίω, τού Πνεύματος Άγιοι, τάς ψυχικάς λαμπάδας, υμών εφαιδρύνατε, όθεν καί κρατήρες, νοητοί τοίς ανθρώποις, ιάσεις προχέοντες, ώσπερ νάματα ώφθητε, Αθλοφόροι πανεύφημοι, πρεσβεύσατε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην υμών.

Δόξα... Καί νύν... Θεοτοκίον

Η νοητή πύλη τής ζωής ημών, άχραντε Θεοτόκε, τούς προστρέχοντάς σοι πιστώς, λύτρωσαι τών κινδύνων, ίνα δοξάζωμεν τόν πανάγιον τόκον σου, εις σωτηρίαν τών ψυχών ημών.

Κανών τών Αγίων Αποστόλων, ού η Ακροστιχίς

Χορός με σώζοις τών σοφών Αποστόλων. Ποίημα Ιωσήφ

Ωδή α' Ήχος πλ. δ'

Ο Ειρμός

Υγράν διοδεύσας ωσεί ξηράν, καί τήν Αιγυπτίαν, μοχθηρίαν διαφυγών, ο Ισραηλίτης ανεβόα. Τώ λυτρωτή καί Θεώ ημών άσωμεν.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Χορός Αποστόλων φωτοειδής, Φωτί τώ μεγάλω, παριστάμενος τήν εμήν, ζοφώδη καταύγασον καρδίαν, καί σωτηρίας πρός τρίβους Οδήγη σον.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Οι γνήσιοι φίλοι τού Λυτρωτού, παθών με φιλίας, εκλυτρώσασθε τόν πολλαίς, απάταις τού βίου πλανηθέντα, καί αγνωσίας νυκτί καλυπτόμενον.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Ρομφαία πληγέντας τού πονηρού, ιάσασθε βέλη, πεφυκότες τού Δυνατού, Απόστολοι θείοι τούς εν πίστει, υπο τήν σκέπην υμών καταφεύγοντας.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ο πλήρης κενούται καθό Θεός, καί σού εκ κοιλίας, σαρκοφόρος Μήτηρ αγνή, προέρχεται σώζων ευσπλαγχνία, τούς υπαχθέντας κακία τού όφεως.

Κανών τού Αγίου Νικολάου, ού η Ακροστιχίς:
Σοί Νικόλαε όγδοον πρέπει μέλος. Ιωσήφ

Ο Ειρμός

Η κεκομμένη τήν άτομον έτεμε, καί είδεν ήλιος γήν, ήν ουκ εθεάσατο, αλάστορα εχθρόν το ύδωρ κατεπόντισε, καί άβατον διήλθεν Ισραήλ, ωδή δέ ενεμέλπετο, Τώ Κυρίω άσωμεν, ενδόξως γάρ δε, δόξασται.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Σύν ταίς χορείαις, τών άνω Δυνάμεων, τώ Βασιλεί καί Θεώ, Μάκαρ παριστάμενος, ημάς τούς επί γής, πιστώς εξαιτουμένους σε, παντός πειρατηρίου χαλεπού, Νικόλαε περίσωζε, λύσιν εξαιτούμενος, ημίν τών παραπτώσεων.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Οι σέ προστάτην, πλουτούντες Νικόλαε, ημέρας τε καί νυκτός, πίστει σοι κραυγάζομεν. Νύν πρόφθασον ημάς, μεγάλως κινδυνεύοντας, δαιμόνων πονηραίς επιβουλαίς, φθοροποιών ανθρώπων τε, όπως αναψύξεως, τυχόντες ευφημώμέν σε.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Ισχυροτάταις, νευραίς τής πρεσβείας σου, τούς αποπνίγειν ημάς, σπεύδοντας Νικόλαε, τελεία αγχονία παράδος, λυτρούμενος τής τούτων, πονηράς επαγωγής, τούς εν αινέσει κράζοντας. Τώ Κυρίω άσωμεν, ενδόξως γάρ δεδόξασται.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νομίμων δίχα, τής φύσεως τέτοκας, τόν Νομοδότην καί Θεόν, άνθρωπον γενόμενον, αυτόν ως αγαθόν ικέτευε Πανάμωμε, ημών τάς ανομίας παριδείν, τών βοώντων πάντοτε. Τώ Κυρίω άσωμεν, ενδόξως γάρ δεδόξασται.

Ωδη γ'

Ο Ειρμός

Σύ εί τό στερέωμα, τών προστρεχόντων σοι Κύριε, σύ εί τό φώς, τών εσκοτισμένων, καί υμνεί σε τό πνεύμά μου.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Σθένος περιζώσατε, εξασθενήσασαν πάθεσι, καί ηδοναίς, τήν εμήν καρδίαν, τού Σωτήρος Απόστολοι.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Μίαν καταγγέλλοντες, τρισσοφαή Θεού έλλαμψιν, οι Μαθηταί, τής πολυθεΐας, τήν αχλύν εξηφάνισαν.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Έλκη πονηρότατα, τά τής καρδίας μου παύσατε, ως ιατροί, θεία χειρουργία, τού Σωτήρος Απόστολοι.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σώσόν με κυήσασα, υπερφυώς αγνή Δέσποινα, τόν Λυτρωτήν, πάντων καί Δεσπότην, καί Σωτήρα καί Κύριον.

Κανών τού Αγίου Νικολάου

Ειρμός ο αυτός

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Ίνα σε γεραίρωμεν, ίνα τιμώμέν σε πάντοτε, δίδου ημίν, χείρα βοηθείας, Ιεράρχα Νικόλαε.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Κοίμισον Νικόλαε, σαίς ακοιμήτοις εντεύξεσι, τούς καθ' ημών, επεγειρομένους, πειρασμούς δυσωπούμέν σε.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Όλον με τοίς πάθεσι, περιστατούμενον Άγιε, καί πειρασμοίς, πονηρών ανθρώπων, μεσιτεία σου λύτρωσαι.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Λύσιν δωρηθήναί μοι, αμαρτιών Αγνή αίτησαι, τόν Αγαθόν, καί τών εν τώ βίω χαλεπών περιστάσεων.

Ωδή δ'

Ο Ειρμός

Εισακήκοα Κύριε, τής οικονομίας σου τό μυστήριον, κατενόησα τά έργα σου, καί εδόξασά σου τήν θεότητα.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Ωραιώθητε Ένδοξοι, θείαις αγλαΐαις καλλωπιζόμενοι, καί ακτίσι πυρσευόμενοι, τού υμάς φωστήρας αναδείξαντος.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Ζάλης πάσης λυτρώσασθε, πάντων κυβερνήται θείοι Απόστολοι, τόν πελάγει κινδυνεύοντα, συμφορών τού βίου καί δονούμενον.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Οι θαλάσσας ταράξαντες, τής πολυθεϊας ίπποι θεόλεκτοι, τών πταισμάτων μου τήν άβυσσον, ταίς υμών πρεσβείαις θεραπεύσατε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ισουργόν τώ Γεννήτορι, Λόγον εκ λαγόνων σου εσωμάτωσας, όθεν ώφθης υπερέχουσα, ποιημάτων πάντων, Κόρη Δέσποινα.

Κανών τού Αγίου Νικολάου

Ειρμός ο αυτός

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Από πλήθους πταισμάτων μου, πλήθει περιπέπτωκα δεινών θλίψεων, σπεύσον Άγιε βοήθει μοι, τόν Αγαθοδότην εκμιμούμενος.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Εμαυτόν αποκλαίομαι, ζών εν αμελεία, καί απολλύμενος, τή πρεσβεία σου Νικόλαε, πρός μετάνοιάν με χειραγώγησον.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Ο τούς τρείς λυτρωσάμενος, Πάτερ νεανίας, τεθνάναι μέλλοντας, πάσης ρύσαί με κολάσεως, καί τής αιωνίου κατακρίσεως.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Γεωργείν με νοήματα, Άχραντε ουράνια ενδυνάμωσον, τής ψυχής μου, καί κατεύθυνον, πρός ζωής εισόδους τά κινήματα.

Ωδή ε'

Ο Ειρμός

Ορθρίζοντες βοώμέν σοι Κύριε, Σώσον ημάς, σύ γάρ εί Θεός ημών, εκτός σου άλλον ουκ οίδαμεν.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Στενούμενον πολλοίς πλημμελήμασι, σωτηρίας πρός πλάτος ιθύνατε, ως κυβερνήται Απόστολοι.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Τιμώντά με τόν πάντιμον δήμον υμών, θεόπται, πάσης εκλυτρώσασθε, ατίμου πράξεως δέομαι.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Ως πάθη τού Σωτήρος, μιμούμενοι Απόστολοι, πάσαν ηδυπάθειαν, εκ τής ψυχής μου διώξατε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νοσούσαν τήν ψυχήν μου θεράπευσον, η τεκούσα πάντων τόν ιώμενον, τάς νόσους πάναγνε Δέσποινα.

Κανών τού Αγίου Νικολάου

Ειρμός ο αυτός

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Δυνάμωσον ημάς ταίς πρεσβείαις σου, Ιεράρχα, τηρείν τά προστάγματα, Χριστού τού μόνου Θεού ημών.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Ο Μύροις παροικήσας Νικόλαε, ευωδίας θείας ημάς πλήρωσον, τούς ευσεβώς ευφημούντάς σε.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Οικτείρησον ημάς ταίς πρεσβείαις σου, θεομάκαρ, Θεόν τόν οικτίρμονα, καθικετεύων Νικόλαε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ναμάτων ζωηρρύτων ανάπλεως, ούσα Κόρη, πάντας ημάς πότισον, ευσεβοφρόνως υμνούντάς σε.

## Ωδή ς'

### Ο Ειρμός

Τήν δέησιν εκχεώ πρός Κύριον, καί αυτώ απαγγελώ μου τάς θλίψεις, ότι κακών, η ψυχή μου επλήσθη, καί η ζωή μου τώ άδη προσήγγισε, καί δέομαι ως Ιωνάς. Εκ φθοράς ο Θεός με ανάγαγε.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Συσσείσαντες προσευχών επικλήσει, κατεστρέψατε ναούς τών ειδώλων, Μύσται Χριστού, αλλά δέομαι πίστει, τά τής ψυχής μου συντρίψατε είδωλα, καί δείξατε Θεού ναόν, τόν πολλαίς αμαρτίαις υπεύθυνον.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Οι πέτρα τή αρραγεί δομηθέντες, εκλεκτοί καθάπερ λίθοι θεόπται, τόν τήν εμήν, επί ψάμμον καρδίαν, φρενοβλαβώς δομησάμενον σώσατε, συρρέουσι γάρ πειρασμών, ποταμοί καί δεινώς με χειμάζουσι.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Φιλίας τής πρός τήν σάρκα δολίας, εκλυτρώσασθέ με φίλοι τού Λόγου, καί μισητόν, διά πλήθος κακίας, αποδειχθέντα φιλία συνδήσατε, τού στέργοντος αμαρτωλών, διά πλήθος ελέους τήν άφεσιν.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ως ρόδον, ως καθαρώτατον κρίνον, ως ευώδες σε οσφράδιον Κόρη, ο ποιητής εξ ωραίων κοιλάδων, τών κοσμικών εκλεξάμενος ώκησε, τήν μήτραν σου καί σαρκωθείς, ευωδίας τόν κόσμον επλήρωσεν.

### Κανών τού Αγίου Νικολάου

### Ειρμός ο αυτός

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Παράδεισος η καρδία σου ώφθη, ζωής ξύλον κεκτημένη εν μέσω, τόν Λυτρωτήν, όν δυσώπει απαύστως, τού Παραδείσου ποιήσαι οικήτορας, Νικόλαε πάντας ημάς, τούς θερμόν σε προστάτην πλουτήσαντας.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Ραθύμως μου τήν ζωήν διανύων, αδεώς εξαμαρτάνω ο τάλας, καί τήν εκεί, απαραίτητον κρίσιν, κατανοών αγωνία συνέχομαι. Οικτείρησόν με ο Θεός, Νικολάου πρεσβείαις, ως εύσπλαγχνος.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Εξαίφνης επερχομένης μοι Μάκαρ, καταιγίδος πειρασμών πολυτρόπων, διά πληθύν, τών εμών εγκλημάτων, μή με εάσης βοώ απροστάτευτον, αλλ' οίκτειρον ως συμπαθής, βοηθείας νύν χείρα ορέγων μοι.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Παλάτιον υψηλού Βασιλέως, καί πυρίμορφος γεγένησαι θρόνος, τών Χερουβείμ ανωτέρα Παρθένε, καί Σεραφείμ υπέρ νούν χρηματίσασα, εντεύθέν σε πάσα πνοή, ως Μητέρα δοξάζει τού κτίσαντος.

## Ωδή ζ'

### Ο Ειρμός

Παίδες Εβραίων εν καμίνω, κατεπάτησαν τήν φλόγα θαρσαλέως, καί εις δρόσον τό πύρ, μετέβαλον βοώντες. Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Νύξ με συνέχει αμελείας, καί καλύπτει με ομίχλη αμαρτίας, φώς τού κόσμου σοφοί, Απόστολοι δειχθέντες, νύν καταυγάσαι σπεύσατε, τήν ζοφώδη μου καρδίαν.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Άλλο στερέωμα δειχθέντες, διηγούμενοι Θεού ημών τήν δόξαν, αδοξίας παθών, λυτρώσασθε τούς πίστει, τή κραταιά προστρέχοντας, θεηγόροι υμών σκέπη.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Πύρινοι άνθρακες οφθέντες, αναπτόμενοι πυρί τού Παρακλήτου, πάσαν ύλην ημών, συμφλέξατε κακίας, καί τού πυρός λυτρώσασθε, τού ασβέστου εις αιώνας.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Όρος προβλέπει Δανιήλ σε, αχειρότμητος εξ ού ετμήθη λίθος, τήν λιθώδη διό, κατάνυξον ψυχήν μου, πεπωρωμένην Δέσποινα, ταίς πικραίς φιληδονίαις.

### Κανών τού Αγίου Νικολάου

### Ειρμός ο αυτός

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Έβλυσας ρείθρα διδαγμάτων, τών αιρέσεων ξηραίνων τούς χειμάρρους, καί πιστών τάς ψυχάς, πλουσίως καταρδεύων, ιερουργέ Νικόλαε, διά τούτό σε τιμώμεν.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Ίσχυσας σθένει τής Τριάδος, δυναμούμενος τά ξόανα τής πλάνης, αφανίσαι, διό, πιστως σε λιτανεύω, τά τού νοός μου είδωλα, εμπαθή μείωσον Πάτερ.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Μύρων οσίως προεδρεύων, μετά θάνατον πηγάζεις θεία μύρα, τά δυσώδη ημών, Νικόλαε παμμάκαρ, αποσοβών νοσήματα, τών πιστώς σοι προσιόντων.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Έστησας ρύμην τού θανάτου, τόν αθάνατον Θεόν αποτεκούσα, όν δυσώπει Αγνή, τά πάθη θανατώσαι, τού ταπεινού μου σώματος, καί ζωής με αξιώσαι.

## Ωδή η'

### Ο Ειρμός

Επταπλασίως κάμινον, τών Χαλδαίων ο τύραννος, τοίς θεοσεβέσιν, εμμανώς εξέκαυσε, δυνάμει δέ κρείττονι, περισωθέντας τούτους ιδών, τόν Δημιουργόν καί Λυτρωτήν, ανεβόα, οι Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Σαλευομένην πάθεσι, τήν ψυχήν μου στηρίξατε, οι τής Εκκλησίας, αρραγείς θεμέλιοι, οι στύλοι οι άσειστοι, τά τών πιστών προπύργια, οι σαγηνευταί τών εν βυθώ απωλείας, οι εύδιοι λιμένες, οι αεί μελωδούντες, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Τόν εν μνημείω κείμενον, σκοτεινής απογνώσεως, καί εν κατωτάτω, ηδονών συμπτώσεως, υμών παρακλήσεσιν, αναγαγείν σπλαγχνίσθητε, τήν τού Διδασκάλου ευσπλαγχνίαν πλουτήσαι, σαφώς αξιωθέντες, Μαθηταί τού Σωτήρος, Απόστολοι θεόπται, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ότι φαιδρά εν κάλλεσιν, αρετών ώφθης Πάναγνε, τήν καλλοποιόν, τού πλαστουργού ευπρέπειαν, εν μήτρα εχώρησας, όν εκτενώς ικέτευε, τήν εν αμαρτίαις, τών παθών συσχεθείσαν, ψυχήν μου καί τό κάλλος, τό αρχαίον ζητούσαν, αγνή ευπρεπεστάτως, λαμπρύναι εις αιώνας.

## Κανών τού Αγίου Νικολάου

### Ο Ειρμός

Οι θεορρήμονες Παίδες εν τή καμίνω, σύν τώ πυρί καί τήν πλάνην, καταπατούντες υπέψαλλον. Ευλογείτε τά έργα, Κυρίου τόν Κύριον.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Λελαμπρυσμένος θεόφρον, ώ Ιεράρχα, ταίς φωτοβόλοις ακτίσι, τής τρισηλίου θεότητος, Ευλογείτε τά έργα, εβόας, τόν Κύριον.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Ο στρατηλάτας ρυσάμενος τού θανάτου, επιστασία φρικώδει σου, Ιερομύστα Νικόλαε, πάσης θανατηφόρου, βλάβης ημάς λύτρωσαι.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Σαλευομένους δαιμόνων ταίς επηρείαις, καί αδικούντων ανθρώπων, ταίς προσευχαίς σου ημάς στήριξον, αβλαβείς διασώζων, πρεσβείαις σου Άγιε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ικετηρίαν προσάγαγε τώ Κυρίω, κατοικτειρήσαι καί σώσαι, τούς επί σοί καταφεύγοντας, Παναγία Παρθένε, ανθρώπων βοήθεια.

## Ωδή θ'
### Ο Ειρμός

Εξέστη επί τούτω ο ουρανός, καί τής γής κατεπλάγη τά πέρατα, ότι Θεός, ώφθη τοίς ανθρώποις σωματικώς, καί η γαστήρ σου γέγονεν, ευρυχωροτέρα τών ουρανών, διό σε Θεοτόκε, Αγγέλων καί ανθρώπων, ταξιαρχίαι, μεγαλύνουσι.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Λεόντων ψυχοφθόρων σθένει Θεού, οι συνθλάσαντες μύλας Απόστολοι, υπό Χριστού, άρχοντες κατέστητε, ψαλμικώς, επί τής γής τώ Πνεύματι, ταύτην υποτάττοντες ευσεβώς, διό μου τάς ατάκτους, κινήσεις τής καρδίας, νόμω τώ θείω υποτάξατε.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Ωραίον παρά πάντας υιούς βροτών, τόν οφθέντα εν κόσμω κηρύξαντες, Λόγον Θεού, πόδας ωραιώθητε αγαθούς, ως ευαγγελιζόμενοι, Πάνσοφοι ειρήνην τε καί ζωήν, διό ταραττομένην, πάθεσι τήν ψυχήν μου, υμών πρεσβείαις ειρηνεύσατε.

Στίχ. Άγιοι Απόστολοι τού Χριστού, πρεσβεύσατε υπέρ ημών.

Νεκρώσαντες τά μέλη τά επί γής, τήν ζωήν ολικώς ανεδύσασθε, διά παθών, πάθος εικονίσαντες τό σεπτόν, διό θανατωθέντα με, βέλει τής κακίας τού πονηρού, ζωώσατε φαρμάκοις, γνησίας μετανοίας, θεομακάριστοι Απόστολοι.

### Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νοσούσαν τήν ψυχήν μου πάθει δεινώ, η Τεκούσα Θεόν υπεράγαθον, ως συμπαθής, ίασαι καί λύτρωσαι τών αεί, κολαφιζόντων Άχραντε, καί επεμβαινόντων μοι δυσμενών, σωζόμενός σε όπως, προθύμως μεγαλύνω, τήν μεγαλύνασαν τό γένος ημών.

## Κανών τού Αγίου Νικολάου
### Ο Ειρμός

Κυρίως Θεοτόκον, σέ ομολογούμεν, οι διά σού σεσωσμένοι Παρθένε αγνή, σύν Ασωμάτοις χορείαις, σέ μεγαλύνοντες.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Ως ρύστης τών εν θλίψει, σέ λιτανευόντων, ρύσαί με πάσης κακίας Νικόλαε, τών ορωμένων Παμμάκαρ, καί αοράτων εχθρών.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Συνών ταίς ουρανίαις, νύν χοροστασίαις, παναγιώτατε Πάτερ Νικόλαε, τόν Αγαθόν εκδυσώπει, τού ελεήσαι ημάς.

Στίχ. Άγιε Ιεράρχα τού Χριστού Πρέσβευε υπέρ ημών.

Η κρίσις επί θύραις, πρόσεχε ψυχή μου, καί τώ Κριτή καί Θεώ αναβόησον. Ταίς Νικολάου πρεσβείαις, Κύριε σώσόν με.

### Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φωτός ούσα δοχείον, φώτισον Παρθένε, τήν σκοτισθείσαν ψυχήν μου, τοίς πάθεσιν, όπως εν πίστει καί πόθω, αεί δοξάζω σε.

Απόστιχα τών Αίνων, Αποστολικά

Κύριε, ει καί κριτηρίω

Κύριε, σέ ειλικρινώς επί τής γής, οι Απόστολοι ποθήσαντες, σκύβαλα ηγήσαντο πάντα, ίνα σε μόνον κερδήσωσι, καί υπέρ σού αικισμοίς, τά σώματα παρέδωκαν, διά τούτο δοξασθέντες, πρεσβεύουσιν υπέρ τών ψυχών ημών.

Στίχ. α'. Ενεπλήσθημεν τό πρωϊ τού ελέους σου, Κύριε, καί ηγαλλιασάμεθα καί ηυφράνθημεν έν πάσαις ταίς ημέραις ημών. Ευφρανθείημεν, ανθών ημερών εταπείνωσας ημάς, ετών, ών είδομεν κακά, καί ίδε επί τούς δούλους σου καί επί τά έργα σου, καί οδήγησον τούς υιούς αυτών.

Κύριε, σύ τών Αποστόλων τήν μνήμην, επί τής γής εμεγάλυνας, πάντες γάρ ομού συνελθόντες, εν αυτή δοξολογούμέν σε, ότι παρέχεις ημίν, δι' αυτών τά ιάματα, καί τώ κόσμω τήν ειρήνην, ευχαίς αυτών καί τό μέγα έλεος.

Μαρτυρικόν

Στίχ. β'. Καί έστω η λαμπρότης Κυρίου τού Θεού ημών εφ' ημάς, καί τά έργα τών χειρών ημών κατεύθυνον εφ' ημάς, καί τό έργον τών χειρών ημών κατεύθυνον.

Τόν θώρακα τής πίστεως, ενδυσάμενοι καλώς, καί τώ τύπω τού Σταυρού, καθοπλίσαντες εαυτούς, Στρατιώται ευσθενείς ανεδείχθητε, τοίς τυράννοις ανδρείως αντικατέστητε, καί διαβόλου τήν πλάνην κατηδαφίσατε, νικηταί γενόμενοι, τών στεφάνων ηξιώθητε, πρεσβεύσατε τού σωθήναι τάς ψυχάς ημών.

Δόξα... Καί νύν... Θεοτοκίον

Δέσποινα πρόσδεξαι, τάς δεήσεις τών δούλων σου, καί λύτρωσαι ημάς, από πάσης ανάγκης καί θλίψεως.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Οι Μακαρισμοί

Μακάριοι οι ειρηνοποιοί, ότι αυτοί υιοί Θεού κληθήσονται.

Μνήσθητι ημών, Χριστέ Σωτήρ τού κόσμου, ώσπερ τού Ληστού, εμνήσθης επί ξύλου, καί καταξίωσον πάντας μόνε Οικτίρμον, τής ουρανίου Βασιλείας σου.

Μακάριοι οι δεδιωγμένοι ένεκεν δικαιοσύνης, ότι αυτών εστιν η βασιλεία τών ουρανών.

Σάλπιγγες Χριστού, Απόστολοι δειχθέντες, τούς εν τοίς μνημείοις τής κακοπιστίας, ανακειμένους ηγείρατε, καί ενθέου, ζωής μετόχους απειργάσασθε.

Μακάριοί εστε όταν ονειδίσωσιν υμάς, καί διώξωσι, καί είπωσι πάν πονηρόν ρήμα καθυμών ψευδόμενοι ένεκεν εμού.

Σπείραντες Χριστού, τόν Λόγον θεηγόροι, πάντων τών εθνών, καρδίας τάς ακάρπους, καρποφορούσας ειργάσασθε θείαν γνώσιν, όθεν αξίως μακαρίζεσθε.

Μαρτυρικόν

Χαίρετε καί αγαλλιάσθε, ότι ο μισθός υμών πολύς εν τοίς ουρανοίς.

Πάσης εαυτούς, γυμνώσαντες κακίας, μέσον τών δεινών, εχώρησαν γενναίως, καί ουρανόθεν ιμάτιον σωτηρίου, οι Αθληταί περιεβάλοντο.

Δόξα...

Νέκρωσον σεπτή, Τριάς η παναγία, πάθη τά δεινά, ψυχής μου τής αθλίας, ταίς ικεσίαις τών θείων σου Αποστόλων, ίνα δοξάζω σε σωζόμενος.

Καί νύν... Θεοτοκίον

Χαίρε η λαβίς, τού άνθρακος τού θείου, χαίρε Προφητών, σφραγίς καί Αποστόλων, τόκε, δι' ής φθοράς ηλευθερώθημεν.

HYPERLINK "" \l "top" top

Στιχηρά Προσόμοια Σταυρώσιμα
Ήχος πλ. δ'
Ο Αγγελός σου Κύριε

Στίχ. α'. Εάν ανομίας παρατηρήσης, Κύριε, Κύριε τίς υποστήσεται; ότι παρά σοί ο ιλασμός εστιν.

Λαός ο ανομώτατος, μέσον κατέκρινεν ανόμων, Ιησού μου σταυρωθήναί σε, τόν Κύριον καί κτίστην τού παντός κόσμου, καί ορώσα τό τόλμημα, η γή εσείετο άπασα, πάντων ποιητήν σε, δεικνύουσα Δέσποτα.

Στίχ. β'. Ένεκεν τού ονόματός σου υπέμεινά σε, Κύριε, υπέμεινεν η ψυχή μου εις τόν λόγον σου, ήλπισεν η ψυχή μου επί τόν Κύριον.

Νόμου κατάρας άπαντες, λυτρούμεθα καί εγκλημάτων, ο γάρ νόμου πέλων Κύριος, ανυψώθη εν τώ Σταυρώ τώ τιμίω, ευλογίαν πηγάζων ανελλιπή, καί χάριν καί έλεος, ημίν τοίς υμνούσιν αυτού, τά θεία παθήματα.

Στίχ. γ'. Από φυλακής πρωϊας μέχρι νυκτός, από φυλακής πρωϊας ελπισάτω Ισραήλ επί τόν Κύριον.

Ιάτρευσας φιλάνθρωπε, πληγάς ημών, πληγείς τάς χείρας, πρός οδούς δέ βαίνειν Κύριε, σωτηρίους κατεύθυνας πάντας, πόδας σου ορυχθείς επί Σταυρού, ούς πάλαι ο πρωτόπλαστος, εν Παραδείσω, ιδών κατεκρύπτετο.

Έτερα Στιχηρά, τής Θεοτόκου
Ώ τού παραδόξου θαύματος

Στίχ. δ'. Ότι παρά τώ Κυρίω τό έλεος, καί πολλή παρ' αυτώ, λύτρωσις. καί αυτός λυτρώσεται τόν Ισραήλ έκ πασών τών ανομιών αυτού.

Χαίρε Θεοτόκε Δέσποινα, χαίρε τό σκήπτρον Δαυϊδ, χαίρε πύλη ουράνιε, χαίρε βάτε άφλεκτε, χαίρε όρος κατάσκιον, χαίρε λυχνία, χαίρε Πανάχραντε, χαίρε η στάμνος, χαίρε παλάτιον, χαίρε πανάμωμε, Μήτηρ τού Θεού ημών, χαίρε λαβίς, χαίρε θεία τράπεζα, χαίρε τού κόσμου ελπίς.

Στίχ. ε'. Αινείτε τόν Κύριον πάντα τά έθνη, επαινέσατε αυτόν, πάντες οι λαοί.

Αμαρτιών μου τά κύματα, ως εν πελάγει δεινώ, υπεράνω υψούμενα, κεφαλής ποντίζειν με, κατεπείγουσι Δέσποινα, αλλ' έκτεινόν μοι, χείρα ως Πέτρω πρίν, βυθιζομένω, καί εις λιμένα με, σώον, οδήγησον, μετανοίας δέομαι, Μήτηρ Θεού, άχραντε πανύμνητε, ελπίς τού κόσμου παντός.

Στίχ. ς'. Ότι εκραταιώθη τό έλεος αυτού εφ' ημάς, καί η αλήθεια τού Κυρίου μένει εις τόν αιώνα.

Εσκοτισμένος τοίς πάθεσι, τής αμαρτίας δεινώς, εις κρημνόν απογνώσεως, σπεύδω ο ταλαίπωρος, εμπεσείν, σύ με οίκτειρον, ευλογημένη θεοχαρίτωτε, λάμψον μοι φέγγος, τής ευσπλαγχνίας σου, καί εφοδήγησον, εις οδούς ευθείας με, παρακαλώ, Πάναγνε καί δέομαι. Μή υπερίδης με.

Δόξα... Καί νύν... Σταυρεθεοτοκίον

Πάναγνος ως είδέ σε, Σταυρώ κρεμάμενον εθελουσίως, κατανοούσά σου τήν δυναστείαν, λύπη συνείχετο Χριστέ, καί οδυρομένη ανεβόα σοι. Τέκνον μή με λίπης τήν τεκούσάν σε, δός μοι λόγον Υιέ μου, μή με σιγών παρέλθης, Λόγε Θεού τήν δούλην σου.

Απόστιχα Σταυρώσιμα

Υψώθης εν Σταυρώ Χριστέ ο Θεός, καί έσωσας τών ανθρώπων τό γένος, δοξάζομέν σου τά παθήματα.

Στίχ. Α'. Πρός σέ ήρα τούς οφθαλμούς μου, τόν κατοικούντα εν τώ ουρανώ. Ιδού, ως οφθαλμοί δούλων εις χείρας τών κυρίων αυτών, ως οφθαλμοί παιδίσκης εις χείρας τής κυρίας αυτής, ούτως οι οφθαλμοί ημών πρός Κύριον τόν Θεόν ημών, έως ού οικτιρήσαι ημάς.

Επάγης εν Σταυρώ Χριστέ ο Θεός, καί ήνοιξας Παραδείσου τάς πύλας, δοξάζομέν σε Λυτρωτά ημών.

Μαρτυρικόν

Στίχ. Β'. Ελέησον ημάς, Κύριε, ελέησον ημάς, ότι επί πολύ επλήσθημεν εξουδενώσεως, επί πλείον επλ ήσθη η ψυχή ημών, τό όνειδος τοίς ευθηνούσι, καί η εξουδένωσις τοίς υπερηφάνοις.

Μάρτυρες Κυρίου, πάντα τόπον αγιάζετε, καί πάσαν νόσον θεραπεύετε, καί νύν πρεσβεύσατε, ρυσθήναι τών παγίδων τού εχθρού, τάς ψυχάς ημών δεόμεθα.

Δόξα... Καί νύν... Σταυρεθεοτοκίον

Οι Μάρτυρές σου Κύριε

Ορώσά σε σταυρούμενον, καί θανατούμενον η Θεοτόκος, Οίμοι! εκραύγαζε, πώς τάς οδύνας φέρεις, γλυκύτατε Υιέ; βάλλει τήν καρδίαν μου η λόγχη σου, φλέγει δέ τά σπλάγχνα μου τό πάθος σου, όμως υμνολογώ σε, θέλων γάρ ταύτα πάσχεις, σώσαι τόν άνθρωπον.

Μετά τήν α' Στιχολογίαν

Καθίσματα Κατανυκτικά

Ήχος πλ. δ'

Βλέπων ο Ληστής, τόν αρχηγόν τής ζωής, επί Σταυρού κρεμάμενον, έλεγεν. Ει μή Θεός υπήρχε σαρκωθείς, ο σύν ημίν σταυρωθείς, ουκ άν ο ήλιος, τάς ακτίνας εναπέκρυψεν, ουδέ η γή σειομένη εκυμαίνετο, αλλ' ο πάντων ανεχόμενος, Μνήσθητί μου Κύριε, εν τή Βασιλεία σου.

Εν μέσω δύο Ληστών, ζυγός δικαιοσύνης ευρέθη ο Σταυρός σου, τώ τού μέν καταγομένου εις άδην, βάρει τής βλασφημίας, τού δέ κουφιζομένου πταισμάτων, πρός γνώσιν θεολογίας, Χριστέ ο Θεός, δόξα σοι.

Δόξα... Καί νύν... Σταυρεθεοτοκίον

Τό προσταχθέν μυστικώς, λαβών

Τόν εξ αιμάτων σου αγνών, σωματωθέντα, καί υπέρ έννοιαν εκ σού, σεμνή τεχθέντα, επί ξύλου κρεμάμενον, μέσον τών κακούργων, ορώσα, τά σπλάγχνα ήλγεις, καί μητρικώς θρηνούσα, εβόας. Οίμοι! Τέκνον εμόν, τίς η θεία καί άφατος, οικονομία σου δι' ής, εζώωσας τό πλάσμα σου! Ανυμνώ σου τό εύσπλαγχνον.

Μετα τήν β' Στιχολογίαν

Καθίσματα Κατανυκτικά

Τήν Σοφίαν καί Λόγον

Ο Σταυρόν υπομείνας, ως αγαθός, τού Αδάμ τήν πτωχείαν, αναλαβών, μόνε Υπεράγαθε, αναμάρτητε Κύριε, τού θανάτου εύσπλαγχνε, τό κράτος κατέλυσας, καί τώ πάθει σου Δέσποτα, τόν κόσμον διέσωσας, όθεν Ζωοδότα, τήν πεσούσαν ψυχήν μου, οικτείρησον δέομαι, όταν κρίνης τά έργα μου, Δικαιοκρίτα φιλάνθρωπε, καί δός μοι πανοικτίρμον ο Θεός, τών πταισμάτων άφεσιν ως εύσπλαγχνος, ότι μόνος υπάρχεις αναμάρτητος.

Ανέστης εκ νεκρών

Εν μέσω τής Εδέμ, ξύλον θάνατον ήνθησεν, εν μέσω δέ τής γής, ξύλον ζωήν εβλάστησε, γευσάμενοι γάρ τού πρώτου, άφθαρτοι όντες, φθαρτοί γεγόναμεν, σχόντες δέ τού δευτέρου, τής αφθαρσίας κατετρυφήσαμεν, εν τώ Σταυρώ γάρ έσωσε Χριστός, τό γένος τών ανθρώπων.

Δόξα... Καί νύν... Σταυρεθεοτοκίον

Τό προσταχθέν μυστικώς, λαβών

Εκ τών αιμάτων τών εμών, βροτός γεγέννησαι, εκ τών αιμάτων δέ τών σών, βροτούς εθέωσας, τούς βρώσει δέ φθαρέντας, ζητών κατήλθες, ως υπεράγαθος, εβόα πάλαι η άμεμπτος, εν κλαυθμώ, Χριστόν θρηνούσα κρεμάμενον, εν Σταυρώ, όν ορώσα νεκρούμενον, δακρύων έρρει κρουνούς, τάς όψεις καταξαίνουσα, καί αυτόν μεγαλύνουσα.

Μετά τήν γ' Στιχολογίαν, έτερα

Ανέστης εκ νεκρών

Θεώσεως ψευσθείς, ο Γενάρχης ελπίδος, φθοράς τοίς εξ αυτού, πάσιν αίτιος ώφθη. Σύ δέ διά Σταυρού σου, ζωήν πηγάζεις ως Υπεράγαθος, θέλων καί γάρ επάγης, ίνα τό πρώτον λύσης κατάκριμα, διό υμνούμέν σου Χριστέ, τό πάθος τό εκούσιον.

Μαρτυρικόν

Φωτί ουρανίω καταλάμπεται, σήμερον αύτη η σκηνή, εν αυτή γάρ στρατιαί Αγγέλων αγάλλονται, σύν αυταίς καί Μαρτύρων χοροί ευφραίνονται, επί τή μνήμη τών Αθλοφόρων. Αυτών ταίς παρακλήσεσι, κατάπεμψον τώ κόσμω σου, τήν ειρήνην Χριστέ, καί τό μέγα έλεος.

Δόξα... Καί νύν... Σταυρεθεοτοκίον

Ανέστης έκ νεκρών

Ώ θαύματος καινού! ώ φρικτού Μυστηρίου! εβόα η Αμνάς, τόν Υιόν καθορώσα, ξύλω Σταυρού παγέντα. Τί τούτο Λόγε Θεού αθάνατε; πώς νεκρός οράσαι, καί γήν σαλεύεις ως παντοδύναμος; αλλά υμνώ σου τήν φρικτήν, καί θείαν συγκατάβασιν.

Κανών Σταυρώσιμος, ού η Ακριστιχίς

Πλήρωμα πάντων τών καλών Σταυρός πέλει. Αμήν. Ιωσήφ

Ωδή α' Ήχος πλ. δ'

Ο Ειρμός

Σταυρόν χαράξας Μωσής, επ' ευθείας ράβδω, τήν Ερυθράν διέτεμε, τώ Ισραήλ πεζεύσαντι, τήν δέ επιστρεπτικώς, Φαραώ τοίς άρμασι, κροτήσας ήνωσεν, επ' εύρους διαγράψας, τό αήττητον όπλον, διό Χριστώ άσωμεν, τώ Θεώ ημών, ότι δεδόξασται.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Παλάμας θείας Σταυρώ, Ιησού απλώσας, πρός σεαυτόν συνήγαγες, χειρών σου τό πλαστούργημα, καί εκ χειρός πονηρού, πάντας ηλευθέρωσας, καί καθυπέταξας, χειρί κραταιοτάτη, Βασιλεύ τών απάντων, διό πιστοί άσωμεν, τώ μεγέθει σου ότι δεδόξασται.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Λυμαντική εν Εδέμ, γέγονε τού ξύλου, η απευκτή απόγευσις, τόν θάνατον εισάξασα, Χριστός δέ θανατωθείς, επί ξύλου άπασι, ζωήν επήγασε, καί έκτεινε τόν όφιν, θεϊκή δυναστεία, διό αυτώ άσωμεν, τώ Θεώ ημών, ότι δεδόξασται.

Μαρτυρικα

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ηνδρίσαντο Ιησού, τών Μαρτύρων πλήθη, Σταυρώ τε καί τώ πάθει σου, παθών κατεξανίστασθαι, καί έναντι τών εχθρών, σέ τόν Βασιλεύοντα, ομολογείν τής κτίσεως, προσφέρειν τε βασάνους, καί κινδύνους απείρους, διό τής σής δόξης, έτυχον άπαντες, τής αϊδίου ζωής.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ραντίσματι θεουργώ, τού σεπτού σου αίματος, οι Μάρτυρές σου Κύριε, τήν λύτρωσιν ευράμενοι, τά αίματα εαυτών, αληθώς εκένωσαν, αδίκως τυραννούμενοι, σπονδάς προσφέρειν πάσι, δαίμοσι ψυχοφθόροις, όθεν σεπτά θύματα, σοί προσηνέχθησαν, τώ τού παντός Βασιλεί.

Σταυρεθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ως έβλεψέ σε Σταυρώ, τόν τά πάντα βλέποντα, ηλούμενον η άμεμπτος, οδυρομένη έλεγε. Τί τούτο τέκνον εμόν, τί σοι ανταπέδωκαν οι απολαύσαντες, πολλών σου δωρημάτων, πώς υποίσω τόν πόνον. Δόξα τή σή εύσπλαγχνε, καί μακρόθυμε, οικονομία φρικτή.

Κανών τής Υπεραγίας Θεοτόκου

Ο Ειρμός

Αρματηλάτην Φαραώ εβύθισε, τερατουργούσά ποτε, Μωσαϊκή ράβδος, σταυροτύπως πλήξασα, καί διελούσα θάλασσαν, Ισραήλ δέ φυγάδα, πεζόν οδίτην διέσωσεν άσμα τώ, Θεώ αναμέλποντα.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Τό Θεοτόκον σε κηρύττειν άχραντον, πάσης αιρέσεως, αποτροπήν φέρει, σάρκα γάρ γενόμενον,

αναλλοιώτως έτεκες, τόν επέκεινα πάσης, Θεογεννήτορ τής κτίσεως, Λόγον τού Θεού τόν αϊδιον.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ως Θεού Μήτηρ παρρησίαν έχουσα, πρός τόν τεχθέντα εκ σού, μονογενή Λόγον, καί Πατρί συνάναρχον, καί συμφυή τώ Πνεύματι, δυσωπούσα μή παύση, κινδύνων σώσαι Πανάμωμε, τούς σέ Θεοτόκον δοξάζοντας.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σέ Θεομήτορ προστασίαν έχοντες, ου δειλιάσομεν, τό τών εχθρών στίφος, τό αντιμαχόμενον, τοίς ευσεβώς δοξάζουσι, τόν εκ σού σαρκωθέντα, Θεόν τών όλων καί Κύριον, όν υπέρ ημών εκδυσώπησον.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νούς καί ουράνιος τό σόν Μυστήριον, τό ακατάληπτον, κατανοείν όντως, ατονεί Πανύμνητε, τού γάρ Πατρός ο σύνθρονος, εν γαστρί σου σκηνώσας, εκ σού τεχθήναι ευδόκησε, φύσεσι διτταίς γνωριζόμενος.

### Ωδή γ'

### Ο Ειρμός

Ράβδος εις τύπον, τού Μυστηρίου παραλαμβάνεται, τώ βλαστώ γάρ προκρίνει τόν Ιερέα, τή στειρευούση δέ πρώην, Εκκλησία νύν εξήνθησε, ξύλον Σταυρού, εις κράτος καί στερέωμα.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Μέλανα κόσμον, μετημφιάσθη Ορών ο ήλιος, επί ξύλου σε αδίκως αρθέντα, καί διερράγησαν πέτραι, καί γή φόβω πάσα έφριξε, μόνε Σωτήρ, εις πάντων απολύτρωσιν.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Απλώσας χείρας, Μωσής ετύπου Σταυρόν τόν τίμιον, όν ημεις νύν εκτυπούντες εμφρόνως, έθνη αλλόφυλα πάντα, των δαιμόνων εκτρεπόμεθα, βλάβης εκτός, απάσης διαμένοντες.

### Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Παθών κρατούντες, οι Αθλοφόροι πάθη εικόνιζον, πολυτρόποις πάθεσιν ομιλούντες, τού εκουσίως παθόντος, καί τά πάθη θανατώσαντος, καί τήν ζωήν, τώ κόσμω ανατείλαντος.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ανεπιστρόφως, τού μαρτυρίου οδόν βαδίζοντες, τά προσκόμματα τής πλάνης εκ μέσου, οι ευκλεείς Αθλοφόροι εποίησαν, καί κατήντησαν πρός καταπαύσεις, τάς θείας ευφραινόμενοι.

### Σταυρεθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νομίμων δίχα, τών ανθρωπίνων σέ Τέκνον έτεκον, καί πώς άνομοι υψούσί σε ξύλω, μέσον ανόμων τόν μόνον, νόμους ζωής εκτιθέμενον. Η Θεοτόκος, θρηνούσα απεφθέγγετο.

### Κανών τής Θεοτόκου

### Ο Ειρμός

Ο στερεώσας κατ' αρχάς, τούς ουρανούς εν συνέσει, καί τήν γήν επί υδάτων εδράσας, εν τή πέτρα με Χριστέ, τών εντολών σου στήριξον, ότι ουκ έστι πλήν σου, άγιος μόνε Φιλάνθρωπε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νενεκρωμένον μου τόν νούν, τή τής ζωής ενεργεία, τής εκ σού φανερωθείσης τώ κόσμω, διανάστησον, ουλάς, καί τύπους εξαλείφουσα, τής αμαρτίας μόνη, Θεογεννήτορ πανάμωμε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ρήσεις τών θείων Προφητών, καί τάς αυτών προφητείας, επεσφράγισας, τεκούσα τόν Λόγον, τόν λαλούντα δι' αυτών, καί τάς αυτών πληρώσαντα, θεηγορίας μόνη, ευλογημένη Πανάμωμε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Απειρογάμως εκ Πατρός, τόν πρό αιώνων αφράστως, εν γαστρί σου συλλαβούσα Παρθένε, απεγέννησας ημίν, Θεόν ομού καί άνθρωπον, εν εκατέρα φύσει, τέλειον ου διαιρούμενον.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σού τήν αγίαν ο Θεός, γαστέρα κατασκηνώσας, εσαρκώθη Θεομήτορ ως οίδε, καί διέσωσεν ημάς, τοίς ζωηφόροις πάθεσιν, όθεν σε σωτηρίας, πύλην Παρθένε γΙνώσκομεν.

## Ωδή δ'

### Ο Ειρμός

Εισακήκοα Κύριε, τής οικονομίας σου τό Μυστήριον, κατενόησα τά έργα σου, καί εδόξασά σου, τήν θεότητα.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Τώ Σταυρώ σου Παράδεισος, Σώτερ ανεώχθη, καί ο κατάκριτος, εισωκίσθη πάλιν άνθρωπος, τήν σήν μεγαλύνων, αγαθότητα.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ωσεί κέδρον ευσέβειαν, πίστιν ως κυπάρισσον, τήν αγάπην τε, ωσεί πεύκην περιφέροντες, τόν Σταυρόν τόν θείον, προσκυνήσωμεν.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Νεκρωθέντας εζώωσας, Σώτερ τούς ανθρώπους, νεκρός γενόμενος, καί τόν όφιν απενέκρωσας, τόν τήν αμαρτίαν επεισάξαντα.

### Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Τών παθών χρηματίσαντες, σύμμορφοι οι θείοι, τού Χριστού Μάρτυρες, κοινωνοί καί τής λαμπρότητος, τής επουρανίου, εχρημάτισαν.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ωραιώθητε Μάρτυρες, Λόγω τώ ωραίω, ευαρεστήσαντες, ελαμπρύνθητε τόν Ήλιον, τής δικαιοσύνης, αγαπήσαντες.

### Σταυροθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νέον βρέφος εκύησας, τόν πρό τών αιώνων, όντα παντέλειον, καί Σταυρώ Κόρη πανάμωμε, τελειούντα, πάντα αγαθότητι.

## Κανών τής Θεοτόκου

### Ο Ειρμός

Σύ μου ισχύς Κύριε, σύ μου καί δύναμις, σύ Θεός μου, σύ μου αγαλλίαμα, ο Πατρικούς κόλπους μή λιπών, καί τήν ημετέραν, πτωχείαν επισκεψάμενος, διό σύν τώ Προφήτη, Αββακούμ σοι κραυγάζω, Τή δυνάμει σου δόξα Φιλάνθρωπε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Μετά Θεόν, σέ προστασίαν κεκτήμεθα, σύ γάρ Μήτηρ, Θεού εχρημάτισας, τού ποιητού καί δημιουργού, καί τήν ημετέραν, μορφήν λαβόντος Πανάμωμε, καί ταύτην σεσωκότος, εκ φθοράς καί θανάτου, καί τή εαυτού δόξη δοξάσαντος.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ως εκ φυλής, τού Βασιλέως υπάρχουσα, τόν τών όλων, κατεξουσιάζοντα, Λόγον Θεόν τέτοκας ημίν, σάρκα γεγονότα, καί μείναντα αναλλοίωτον, διό σε Θεοτόκον, αληθώς καί κυρίως, Παναγία Παρθένε δοξάζομεν.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Θεόν εκ σού, τόν σαρκωθέντα δυσώπησον, τόν ατρέπτως, ό ήν διαμείναντα, καί φυσικώς ίσον τώ Πατρί, καί σοί τή Τεκούση, γενόμενον ομοούσιον, συγχώρησιν πταισμάτων, καί ψυχών σωτηρίαν, τοίς υμνούσι σε πίστει δωρήσασθαι.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νύν τήν μοφρήν, τών αθετούντων κατάβαλε, τής εικόνος, Κόρη τήν προσκύνησιν, σού τής σεπτής, καί τού υπέρ νούν, εκ σού σαρκωθέντος, καί κόσμον όλον φωτίσαντος, καί πάντων τών Αγίων, τούς δέ πίστει τιμώντας, καταφαίδρυνον μόνη Πανύμνητε.

Ωδή ε'

Ο Ειρμός

Ώ τρισμακάριστον Ξύλον! εν ώ ετάθη Χριστός, ο Βασιλεύς καί Κύριος, δι' ού πέπτωκεν ο ξύλω απατήσας, τώ εν σοί δελεασθείς, Θεώ τώ προσπαγέντι σαρκί, τώ παρέχοντι, τήν ειρήνην ταίς ψυχαίς ημών.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Καταστολήν αφθαρσίας, τούς γυμνωθέντας ημάς, ενδύσαι εφιέμενος, απεξεδύθης καί Σταυρώ εξετάθης, καί εγύμνωσας εχθρού, Χριστέ τά πανουργεύματα, διά τούτό σου, τά παθήματα δοξάζομεν.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Αίμα πλευράς αποστάξαν, σωτηριώδους σαφώς, τόν κόσμον απεκάθηρεν, επιβώμιά τε αίματα καταπαύσαν, τούς φθαρέντας τώ καρπώ, τής βρώσεως ανέπλασε, καί επήγασεν, αφθαρσίαν ταίς ψυχαίς ημών.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Λελαμπρυσμένοι τώ κάλλει, πολυειδών αικισμών, οι Μάρτυρες οι ένδοξοι, θείω αίματί σου σημειωδιθέντες, τήν κωλύουσαν τό πρίν, ήλθοσαν ρομφαίαν σαφώς, καί εσκήνωσαν, γεγηθότες εις Παράδεισον.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Ως θαυμαστός σύ υπάρχεις, εν τοίς Αγίοις Χριστέ, τοίς πίστει σε ποθήσασι! διά σού γάρ πλουτισθέντες τά θεία, ιαμάτων ποταμούς, εν τώ κόσμω αναβλύζουσι, καί ξηραίνουσι, διεκχύσεις

τών παθών ημών.

Σταυρεθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νενοσηκότας Παρθένε, τή αμαρτία ημάς, ιατρευσας κυήσασα, τόν Σωτήρα ιατρόν τε τών όλων, καί εν ξύλω τού Σταυρού, τραυματισθέντα Άχραντε, τόν παρέχοντα, αφθαρσίαν ταίς ψυχαίς ημών.

Κανών τής Θεοτόκου

Ο Ειρμός

Ίνα τί με απώσω, από τού προσώπου σου, τό φώς τό άδυτον, καί εκάλυψέ με, τό αλλότριον σκότος τόν δείλαιον, αλλ' επίστρεψόν με, καί, πρός τό φώς τών εντολών σου, τάς οδούς μου κατεύθυνον δέομαι.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Απειράνδρως Παρθένε, τόν απεριόριστον, φύσει θεότητος, ανδρωθέντα Λόγον, δι' ημάς τούς ανθρώπους συνέλαβες, εξ αιμάτων Κόρη, παρθενικών διαπλασθέντα, υπέρ λόγον καί νόμον τής φύσεως.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ωραιώθης Παρθένε, τοίς τής παρθενίας σου, αχράντοις κάλλεσι, καί τής πρώτης Εύας, περιέστειλας αίσχος τό δύσμορφον, τόν Χριστόν τεκούσα, περιβολήν αθανασίας, χαριζόμενον τοίς σέ γεραίρουσι.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Αληθή Θεοτόκον, πάντες επιγνόντες σε, πάναγνε Δέσποινα, τόν εκ σού τεχθέντα, Θεόν Λόγον ειδότες κηρύττομεν, εν δυσίν ουσίαις, θελητικαίς, αυτεξουσίαις, υπέρ λόγον καί νόμον τής φύσεως.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Οι σέ τείχος πλουτούντες, καί τή προστασία σου, περιφρουρούμενοι, τή σή θεία δόξη, εγκαυχώμενοι σέ μακαρίζομεν, σύ γάρ Παναγία, τήν τών ψυχών ημών πηγάζεις, ευφροσύνην καί τήν αγαλλίασιν.

Ωδή ς'

Ο Ειρμός

Νοτίου θηρός εν σπλάγχνοις, παλάμας, Ιωνάς σταυροειδώς διεκπετάσας, τό σωτήριον πάθος, προδιετύπου σαφώς, όθεν τριήμερος εκδύς, τήν υπερκόσμιον ανάστασιν υπεζωγράφησε, τού σαρκί προσπαγέντος Χριστού τού Θεού, καί τριημέρω Εγέρσει, τόν κόσμον φωτίσαντος.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Σταυρός επάγη εν τόπω, Κρανίου, μέσον γής, καί τήν εν μέσω Παραδείσου, εκβλαστήσασαν ξύλω, πληγήν ιάσατο, ο γάρ Μεσσίας Ιησούς, μέσον ανόμων, μόνος δίκαιος ληστών κρεμάμενος, εαυτώ συνανύψωσεν άπαντας, καί τόν εξ ύψους πεσόντα, εις χάος απέρριψε.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Τό τόξον Χριστέ εκτείνας, τού θείου, καί πανσέπτου Σταυρού έρριψας βέλη, κατά τού παλαμναίου, τούς ήλους σου τών χειρών, καί εγκατέπηξας αυτού, εις τήν οργίλον, καί παμβέβηλον καρδίαν Δέσποτα, καί τελείως αυτόν εθανάτωσας, καί υπ' αυτού τούς θανέντας, Οικτίρμον εζώωσας.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Αιμάτων ρεύσαντα ρείθρα, σωμάτων, εξ αγίων Αθλητών έσβεσαν πάσαν, τής ειδωλομανίας πυράν εν Πνεύματι, καί Εκκλησίας τάς σεπτάς, αύλακας ή ρδευσαν, καί άσταχυν βλαστάνειν έπεισαν, σωτηρίου ελπίδος καί πίστεως, δι' ών εκτρέφεται πάσα, ψυχή θεία χάριτι.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Υφήπτον τό πύρ πλειόνως, τής γνώμης, τής ενθέου ευσεβώς οι Αθλοφόροι, οπηνίκα ενύλω, πυρί φλογίζεσθαι, πονηροτάτων δικαστών, ψήφω εδίδοντο, καί άφλεκτοι διεφυλάττοντο, ενεργεία καί χάριτι Πνεύματος, τού στεφανώσαντος τούτους, νομίμως αθλήσαντας.

Σταυρεθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ρομφαία τήν σήν διήλθε, καρδίαν, καθορώσης σόν Υιόν Άχραντε Κόρη, ηπλωμένον εν ξύλω, καί πάθη φέροντα, καί λόγχη θείαν πλευράν, εξορυττόμενον, θελήματι, καί κατασφάττοντα, εν αυτή τόν πολέμιον δράκοντα, όθεν θρηνούσα μητρικώς τούτον εμεγάλυνες.

Κανών τής Θεοτόκου

Ο Ειρμός

Ιλάσθητί μοι Σωτήρ, πολλαί γάρ αι ανομίαι μου, καί εκ βυθού τών κακών, ανάγαγε δέομαι, πρός σέ γάρ εβόησα, καί επάκουσόν μου, ο Θεός τής σωτηρίας μου.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Επήλθε τό παντουργόν, επί σέ Πνεύμα Πανάμωμε, καί Λόγος ο τού Θεού, εν σοί κατεσκήνωσε, καί σάρξ εχρημάτισεν, ανεκδιηγήτως, διαμείνας αναλλοίωτος.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ως έμψυχος κιβωτός, τόν Νομοδότην εχώρησας, ως άγιος δέ ναός, εδέξω τόν Άγιον, γενόμενον άνθρωπον, επ' ευεργεσία, τών ανθρώπων Παναμώμητε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Κυρίαν σε τού παντός, καί Δέσποιναν ονομάζομεν, τόν όντως όντα θεον, αρρήτως γάρ τέτοκας, τόν πάντα ποιήσαντα, καί διακρατούντα, καί συνέχοντα Πανάμωμε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Θεόν τεχθέντα εκ σού, επέγνωμεν Θεονύμφευτε, όν εξιλέωσαι νύν, ημίν ως ισχύουσα, τοίς πίστει κραυγάζουσι, δωρηθήναι λύσιν, τών πταισμάτων Παναμώμητε.

Ωδή ζ'

Ο Ειρμός

Έκνοον πρόσταγμα, τυράννου δυσσεβούς, λαούς εκλόνησε, πνέον απειλής, καί δυσφημίας θεοστυγούς, όμως τρείς Παίδας ουκ εδειμάτωσε, θυμός θηριώδης, ου πύρ βρόμιον, αλλ' αντηχούντι δροσοβόλω πνεύματι, πυρί συνόντες έψαλλον, ο υπερύμνητος, τών Πατέρων καί ημών, Θεός ευλογητός εί.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ότε εφήπλωσαι, εν ξύλω τού Σταυρού, καθάπερ άμπελος, Λόγε τού Πατρός, γλεύκος απέσταξας μυστικόν, παύων τήν μέθην τής παραβάσεως, καί πάντας ευφραίνων τούς ειδότας σε, Θεόν καί Κτίστην εκουσίως πάσχοντα, καί σώζοντα τούς ψάλλοντας, ο υπερύμνητος, τών Πατέρων καί ημών, Θεός ευλογητός εί.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Σταύρωσιν ήνεγκας, Χριστέ μου Ιησού, τήν επονείδιστον, παύων τά βροτών, πάντα ονείδη καί στεναγμούς, χολής εγεύσω πικρίαν άπασαν, εξαίρων κακίας, επλήγης ημών, πληγάς Οικτίρμον ψυχικάς ιώμενος, καί ψάλλειν προτρεπόμενος, ο υπερύμνητος, τών Πατέρων καί ημών, Θεός ευλογητός εί.

Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Πόνοις τήν άπονον, γενναίοι Αθληταί, ζωήν εκτήσασθε, όθεν τούς ημών, πόνους κουφίζετε παντελώς, χάριν λαβόντες εξ ύψους ένδοξοι, ιάσθαι τά πάθη καί πνεύματα, αποδιώκειν καί πιστών προϊστασθαι, καί σώζειν τούς κραυγάζοντας. Ο υπερύμνητος, τών Πατέρων καί ημών, Θεός ευλογητός εί.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Έστητε Μάρτυρες, πρό βήματος Χριστόν, ανακηρύττοντες, σάρκα δι' ημάς, αναλαβόντα δίχα φθοράς, καί μιμηταί τών παθών αυτού, δεικνύμενοι όντως, πυρός κάκωσιν, υπέστητε, καί πάσαν άλλην βάσανον ηνέγκατε, εν ευφροσύνη ψάλλοντες, ο υπερύμνητος, τών Πατέρων καί ημών, Θεός ευλογητός εί.

Σταυρεθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Λύπης πεπλήρωμαι, ορώσά σε Υιέ, αδίκως πάσχοντα, τέτρωμαι ψυχήν, λόγχη τρωθέντος σου τήν πλευράν, η Θεοτόκος εβόα κλαίουσα, καί οδυρομένη, μόνη Δέσποινα, ήν επαξίως πάντες μακαρίζομεν, καί ευσεβώς κραυγάζομεν, ο υπερύμνητος, τών Πατέρων καί ημών, Θεός ευλογητός εί.

Κανών τής Θεοτόκου

Ο Ειρμός

Θεού συγκατάβασιν τό πύρ ηδέσθη εν Βαβυλώνί ποτε, διά τούτο οι Παίδες εν τή καμίνω αγαλλομένω ποδί ως εν λειμώνι χορεύοντες έψαλλον. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ιδού νύν πεπλήρωται, Δαυϊδ τού θείου, η θεία πρόρρησις, λιτανεύουσιν όντως, τώ σώ προσώπω Θεογεννήτορ αγνή, οι κεκτημένοι τόν πλούτον τής χάριτος, καί ευλογούντες Θεόν, τόν τών Πατέρων ημών.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νύν πάντα πεπλήρωται, φωτός τού θείου, διά σού Πάναγνε, σύ γάρ πύλη εφάνης, δι' ής τώ κόσμω Θεός ωμίλησε, καταφωτίζων, τούς πίστει κραυγάζοντας. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Λυτρούμενοι Πάναγνε, τώ θείω τόκω τής παρθενίας σου, τών δεσμών τού θανάτου, καί τής κατάρας τού πρωτοπλάστου Αδάμ, σέ Θεοτόκον, φρονούντες κραυγάζομεν. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Κυρίαν σε Δέσποιναν, καί Θεοτόκον, πάντες δοξάζομεν, διά σού γάρ ο Πλάστης, τήν σωτηρίαν τή φύσει πάση σαφώς εβράβευσε, καί διά τούτο, συμφώνως κραυγάζομεν. Ευλογητός ο Θεός, ο τών

Πατέρων ημών.

## Ωδή η'

### Ο Ειρμός

Ευλογείτε Παίδες, τής Τριάδος Ισάριθμοι, Δημιουργόν Πατέρα Θεόν, υμνείτε, τόν συγκαταβάντα Λόγον, καί τό πύρ εις δρόσον μεταποιήσαντα, καί υπερυψούτε τό πάσι ζωήν παρέχον, Πνεύμα πανάγιον εις τούς αιώνας.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ευλογείτε ξύλον, δι' ού πάσα ηφάνισται, η εν Εδέμ δολία αρά φυείσα, βρώσει πονηρά τού ξύλου, καί Χριστός υψούται ο υπεράγαθος, ο ανυψωθήναι εν τούτω εθελουσίως, αιρετισάμενος δι' ευσπλαγχνίαν.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ιερώς εδήλου, εναλλάξ ο αοίδιμος, επευλογών εγγόνους ποτέ τόν τύπον, τού ηγιασμένου Ξύλου, δι' ού ευλογία πάσι δεδώρηται, τοίς κατηραμένοις, κακίστη τού ξύλου βρώσει, καί ολισθήσασι κακών εις βάθη.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ανορθούται άπαν, τό ανθρώπινον Δέσποτα, σού ορθωθέντος επί τού Σταυρού, καί στίφος, πίπτει πονηρών δαιμόνων, καί τά διεστώτα ένωσιν δέχεται, καί υπερυψούται τό κράτος τής εξουσίας, καί τής δυναστείας σου εις τούς αιώνας.

### Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Μακαρίαν δόξαν, καί τρυφήν αδιάρρευστον, καί φωταυγή σκηνώματα νύν κληρούσθε, θείοι Αθληταί Κυρίου, καί ταίς ουρανίαις σκηνούσθε Τάξεσι, καί τών αοιδίμων ελπίδων υμών τό πέρας, νύν κατειλήφατε εν ευφροσύνη.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Η υμών ανδρεία, υπέρ ήλιον έλαμψε, φωτοειδείς Χριστού Αθληταί, καί πάσαν, τήν τού διαβόλου πλάνην, θεϊκή δυνάμει εναπημαύρωσε, καί πιστών καρδίας Μάρτυρες ευσεβοφρόνων, εφωταγώγησεν εις τούς αιώνας.

### Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νοητήν νεφέλην, καί σκηνήν αγιάσματος, θρόνον Θεού καί πύλην φωτός λυχνίαν, καί ανατολήν τού Λόγου, οι πιστοί σε πάντες κατονομάζομεν, πάναγνε Παρθένε τού πάντα τεκτηναμένου, Μήτηρ υπάρχουσα ευλογημένη.

## Κανών τής Θεοτόκου

### Ο Ειρμός

Επταπλασίως κάμινον, τών Χαλδαίων ο τύραννος, τοίς θεοσεβέσιν, εμμανώς εξέκαυσε, δυνάμει δέ κρείττονι, περισωθέντας τούτους ιδών, τόν δημιουργόν καί λυτρωτήν ανεβόα, οι Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φωτός αδύτου γέγονας, ενδιαίτημα Πάναγνε, ταίς τής παρθενίας, καλλοναίς αστράπτουσα, καί πάντας κατηύγασας, τούς Θεοτόκον σε αληθή, καθομολογούντας εκ ψυχής καί βοώντας, οι Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Λόγον Θεού τόν άναρχον, καί Πατρί συννοούμενον, τόν εκ τού μή όντος, Πατρικώ βουλήματι, τό πάν συστησάμενον, θεοπρεπώς γεγέννηκας, σάρκα γεγονότα διημάς τούς ανθρώπους, διό σε Θεοτόκον, ορθοδόξως φρονούμεν, Χριστόν υπερυψούντες, εις πάντας τούς αιώνας.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ιερωτέρα πέφηνας, Θεοτόκε πανάμωμε, τής υπερκοσμίου, τών Αγγέλων τάξεως, τών τούτων γάρ τέτοκας, Δημιουργόν καί Κύριον, εκ Παρθενικής απειρογάμου νηδύος, εν δύο ταίς ουσίαις, ασυγχύτως, ατρέπτως, μιά δέ υποστάσει, Θεόν σεσαρκωμένον.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νενεκρωμένην Πάναγνε, τήν ψυχήν μου τοίς πταίσμασι, καί κατεφθαρμένην, ιοβόλοις δήγμασι, Θεόν τόν δυνάμενον, ζωοποιείν τά σύμπαντα, η απειρογάμως υπέρ φύσιν τεκούσα, ανάστησον βοώσαν, Ιερείς ευλογείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

### Ωδή θ'

### Ο Ειρμός

Ο διά βρώσεως τού ξύλου, τώ γένει προσγενόμενος, θάνατος διά Σταυρού, κατήργηται σήμερον, τής γάρ προμήτορος η παγγενής, κατάρα διαλέλυται, τώ βλαστώ τής αγνής Θεομήτορος, ήν πάσαι αι Δυνάμεις, τών ουρανών μεγαλύνουσι.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ιερωτάτως σε υψούντες, Οικτίρμον προσκυνούμέν σου, λόγχην τε καί τόν Σταυρόν, τόν σπόγγον, τόν κάλαμον, καί τούς χερσί παγέντας καί ποσίν, αγίους ήλους Δέσποτα, δι' ών εύρομεν τελείαν άφεσιν, καί τής εν Παραδείσω, διαγωγής ηξιώθημεν.

Στίχ. Δόξα τή αγία Σταυρώσει σου Κύριε.

Ώ πώς αδίκως κατεκρίθης, παγήναι δικαιότατε, μόνε πάντων βασιλεύ, εν ξύλω σταυρούμενος, τού δικαιώσαι πάντας εκζητών, τούς πίστει τά παθήματα, τά εκούσια καί τήν οικονομίαν σου, δοξάζοντας απαύστως, καί σέ αεί μεγαλύνοντας.

### Μαρτυρικά

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Σώμα προδόντες ταίς βασάνοις, προθύμως οι Πανεύφημοι, ήνεγκαν τούς αικισμούς, τόν βίαιον θάνατον, τάς εκτομάς μελών, τούς σπαραγμούς, καί πάσαν άλλην βάσανον, τώ πρός Κύριον φίλτρω πυρούμενοι, διό στεφανηφόροι, εν ουρανοίς πολιτεύονται.

Στίχ. Άγιοι Μάρτυρες πρεσβεύσατε υπέρ ημών.

Η Αποστόλων καί Μαρτύρων, γλυκύτης ταίς ευχαίς αυτών, πάντων ημών τάς ευχάς, ως εύσπλαγχνος πλήρωσον, αμαρτημάτων λύσιν τών πολλών, παρέχων καί ταπείνωσιν, τήν τής σής Βασιλείας οικείωσιν, Χριστέ Θεέ τών όλων, ο δι' ημάς Οφθείς άνθρωπος.

### Σταυρεθεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φωτοειδής παστάς ωράθης, Παρθένετού οικήσαντος, σού τήν άφθορον νηδύν, καί πάθος μακάριον, καθυπομείναντος εθελοντί, καί πάσι τήν απάθειαν, παρασχόντος δι' άφατον έλεος, όν πίστει προσκυνούντες, σέ ευσεβώς μεγαλύνομεν.

### Κανών τής Θεοτόκου

### Ο Ειρμός

Εξέστη επί τούτω ο ουρανός, καί τής γής κατεπλάγη τά πέρατα, ότι Θεός, ώφθη τοίς ανθρώποις σωματικώς, καί η γαστήρ σου γέγονεν, ευρυχωροτέρα τών ουρανών, διό σε Θεοτόκε, Αγγέλων καί ανθρώπων, ταξιαρχίαι μεγαλύνουσι.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νικώσαν τάς αιρέσεις νεανικώς, τήν σεπτήν Εκκλησίαν, ανάδειξον, ήν ο Χριστός, αίματι τιμίω τώ εαυτού, ως αγαθός εκτήσατο, Κεχαριτωμένη ο σός Υιός, καί σώσον εκ κινδύνων, καί τής επικρατείας, τής κατεχούσης ημάς Δέσποινα.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ριφθέντας ουρανίου διαγωγής, καί πεσόντας αθλίως εις θάνατον, πάλιν ημάς, Μήτηρ γενομένη τού Λυτρωτού, ανεκαλέσω Πάναγνε, καί πρός τήν αρχαίαν πάλιν δραμείν, ηξίωσας πατρίδα, διό σε Θεοτόκε, ακαταπαύστως μεγαλύνομεν.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ραδίως Θεοτόκε διαπεράν, τόν τού βίου παράσχου, μοι κλύδωνα, τών πειρασμών, τάς επαναστασεις καί τών παθών, ως αγαθή πραΰνουσα, καί καθοδηγούσα πρός αρετής, ουράνιον πορείαν, όπως ως ευεργέτιν, ακαταπαύστως μεγαλύνω σε.

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σωτήρα ως τεκούσα καί Λυτρωτήν, σωτηρίας με Κόρη, αξίωσον, επιτυχείν, Πάναγνε πταισμάτων μου τάς σειράς, ταίς σαίς πρεσβείαις λύουσα, πάντα γάρ ως θέλεις σύ κατορθοίς, ως φέρουσα εν κόλποις, τόν πάντων Βασιλέα, τόν αγαθότητι ασύγκριτον.

Απόστιχα τών Αίνων, Σταυρώσιμα

Τού Μωσέως η ράβδος, τόν τίμιον Σταυρόν σου, προετύπου Σωτήρ ημών, εν αυτώ γάρ σώζεις, ως εκ βυθού θαλάσσης, τόν λαόν σου Φιλάνθρωπε.

Στίχ. α'. Ενεπλήσθημεν τό πρωϊ τού ελέους σου, Κύριε, καί ηγαλλιασάμεθα καί ηυφράνθημεν έν πάσαις ταίς ημέραις ημών. Ευφρανθείημεν, ανθών ημερών εταπείνωσας ημάς, ετών, ών είδομεν κακά, καί ίδε επί τούς δούλους σου καί επί τά έργα σου, καί οδήγησον τούς υιούς αυτών.

Ο εν Εδέμ Παράδεισος ποτέ, τό ξύλον τής γνώσεως, ανεβλάστησεν εν μέσω τών φυτών, η Εκκλησία σου Χριστέ, τόν Σταυρόν σου εξήνθησε, τόν πηγάσαντα τώ κόσμω τήν ζωήν, αλλά τό μέν εθανάτωσε, βρώσει φαγόντα τόν Αδάμ, τό δέ εζωοποίησε, πίστει σωθέντα τόν Ληστήν, ού τής αφέσεως, κοινωνούς ημάς ανάδειξον, Χριστέ ο Θεός, ο τώ πάθει σου λύσας, τήν καθ' ημών μανίαν τού εχθρού, καί αξίωσον ημάς, τής βασιλείας σου Κύριε.

Μαρτυρικόν

Στίχ. β'. Καί έστω η λαμπρότης Κυρίου τού Θεού ημών εφ' ημάς, καί τά έργα τών χειρών ημών κατεύθυνον εφ' ημάς, καί τό έργον τών χειρών ημών κατεύθυνον.

Τί υμάς καλέσωμεν Άγιοι; Χερουβείμ; ότι υμίν επανεπαύσατο Χριστός, Σεραφείμ; ότι απαύστως εδοξάσατε αυτόν, Αγγέλους; τό γάρ σώμα απεστράφητε, Δυνάμεις; ενεργείτε εν τοίς θαύμασι, πολλά υμών τά ονόματα, καί μείζονα τά χαρίσματα, πρεσβεύσατε, τού σωθήναι τάς ψυχάς ημών.

Δόξα... Καί νύν... Σταυρεθεοτοκίον

Ώ τού παραδόξου θαύματος! τού παραδόξου θαύματος! ώ μυστηρίου φρικτού! ο τή φύσει αθάνατος, πώς εν ξύλω κρέμαται; πώς θανάτου νύν γεύεται; πώς κατακρίνεται ο ανεύθυνος; Κρύψον τό φώς σου, καί φρίξον ήλιε, βλέπων τό τόλμημα, η Παρθένος έλεγεν εν στεναγμοίς, βλέπουσα σταυρούμενον, Χριστόν όν έτεκε.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

### Οι Μακαρισμοί

Μακάριοι οι ειρηνοποιοί, ότι αυτοί υιοί Θεού κληθήσονται.

Μνήσθητι ημών, Χριστέ Σωτήρ τού κόσμου, ώσπερ τού Ληστού, εμνήσθης επί ξύλου, καί καταξίωσον πάντας, μόνε Οικτίρμον, τής ουρανίου Βασιλείας σου.

Μακάριοι οι δεδιωγμένοι ένεκεν δικαιοσύνης, ότι αυτών εστιν η βασιλεία τών ουρανών.

Έτεινας Χριστέ, παλάμας επί ξύλου, καί τάς πονηράς, αρχάς καί εξουσίας, παρεδειγμάτισας σώσας τής τούτων βλάβης, τούς ευσεβώς σε μεγαλύνοντας.

Μακάριοί εστε όταν ονειδίσωσιν υμάς, καί διώξωσι, καί είπωσι πάν πονηρόν ρήμα καθυμών ψευδόμενοι ένεκεν εμού.

Λόγχη κεντηθείς, κρεμάμενος εν ξύλω, έβλυσας ημίν, κρουνούς αθανασίας, θανατωθείσιν αφρόνως τή παραβάσει, όθεν εν φόβω ανυμνούμέν σε.

Μαρτυρικόν

Χαίρετε καί αγαλλιάσθε, ότι ο μισθός υμών πολύς εν τοίς ουρανοίς.

Ξένοι τών τής γής, δεικνύμενοι ηδέων, ξέναις εαυτούς, εξέδωκαν βασάνοις, οι Αθληταί τραυματίσαντες τόν Βελίαρ, τοίς εαυτών αγίοις τραύμασι.

Δόξα...

Μίαν τού Πατρός, καί Πνεύματος καί Λόγου, άναρχον αρχήν, πιστοί δοξολογούντες, δεύτε προσπέσωμεν λύσιν τών εγκλημάτων, αυτώ αιτούντες ως Θεώ ημών.

Καί νύν... Σταυρεθεοτοκίον

Τόν Εμμανουήλ, Αμνόν Θεού καί Λόγον, βλέπουσα σαρκί, κρεμάμενον εν ξύλω, Αμνάςθένος, λύπη συνείχετο δακρύουσα.

HYPERLINK "" \l "top" top

8-7

Στιχηρά Μαρτυρικά Ήχος πλ. δ'

Στίχ. α'. Εάν ανομίας παρατηρήσης, Κύριε, Κύριε τίς υποστήσεται; ότι παρά σοί ο ιλασμός εστιν.

Μάρτυρες Κυρίου, πάντα τόπον αγιάζετε, καί πάσαν νόσον θεραπεύετε, καί νύν πρεσβεύσατε, ρυσθήναι τών παγίδων τού εχθρού, τάς ψυχάς ημών δεόμεθα.

Στίχ. β'. Ένεκεν τού ονόματός σου υπέμεινά σε, Κύριε, υπέμεινεν η ψυχή μου εις τόν λόγον σου, ήλπισεν η ψυχή μου επί τόν Κύριον.

Οι Μάρτυρές σου Κύριε, επιλαθόμενοι τών εν τώ βίω, καταφρονήσαντες καί τών βασάνων, διά τήν μέλλουσαν ζωήν, ταύτης κληρονόμοι ανεδείχθησαν, όθεν καί Αγγέλοις συναγάλλονται. Αυτών ταίς ικεσίαις, δώρησαι τώ λαώ σου τό μέγα έλεος.

Στίχ. γ'. Από φυλακής πρωϊας μέχρι νυκτός, από φυλακής πρωϊας ελπισάτω Ισραήλ επί τόν Κύριον.

Εί τις αρετή, καί εί τις έπαινος, πρέπει τοίς αγίοις, ξίφεσι γάρ έκλιναν τούς αυχένας, διά σέ τόν κλίναντα ουρανούς καί καταβάντα, εξέχεαν τό αίμα αυτών, διά σέ τόν κενώσαντα εαυτόν, καί μορφήνδούλου λαβόντα, εταπεινώθησαν έως θανάτου, τήν πτωχείαν σου μιμούμενοι. Ών ταίς ευχαίς, κατά τό πλήθος τών οικτιρμών σου, ο Θεός ελέησον ημάς.

Στιχηρά Προσόμοια Κατανυκτικά

Ώ τού παραδόξου θαύματος

Στίχ. δ'. Ότι παρά τώ Κυρίω τό έλεος, καί πολλή παρ' αυτώ, λύτρωσις. καί αυτός λυτρώσεται τόν Ισραήλ έκ πασών τών ανομιών αυτού.

Δένδρω ακάρπω ωμοίωμαι, σχήμα ως φύλλα κενά, περικείμενος άγιον, καί πτοούμαι Δέσποτα, μή εκκόψας εκπέμψης με, εις πύρ τό άσβεστον καί αιώνιον, αλλά παράσχου, επιστροφής μοι

καιρόν, όπως ενέγκω σοι, εναρέτων πράξεων, καρπόν καλόν, καί αξιωθήσωμαι τής βασιλείας σου.

Στίχ. ε'. Αινείτε τόν Κύριον πάντα τά έθνη, επαινέσατε αυτόν, πάντες οι λαοί.

Κύριε, εύσπλαγχνε Κύριε, τόν σόν οικέτην εμέ, τόν πολλά παροργίζοντα, τήν σήν αγαθότητα, καθ' εκάστην φιλάνθρωπε, μή απορρίψης τού σού προσώπου με, μηδέ παιδεύσης, τή σή δικαία οργή, ήμαρτον, ήμαρτον, ως ουδείς σοι έτερος, ομολογώ, οίκτειρον καί σώσόν με, τής σής Μητρός προσευχαίς.

Στίχ. ς'. Ότι εκραταιώθη τό έλεος αυτού εφ' ημάς, καί η αλήθεια τού Κυρίου μένει εις τόν αιώνα.

Όταν καθίσης εν δόξη σου, ως Βασιλεύς τού παντός, επί θρόνου τής κρίσεως, παρεστώτων φόβω σοι, τών αγίων Αγγέλων σου, καί παραστή σοι, η φύσις άπασα, κριθησομένη, η τών ανθρώπων Χριστέ, τότε δεήσεσι, τής Μητρός σου Κύριε, από πασών, ρύσαι τών κολάσεων, τούς κοιμηθέντας πιστώς.

Δόξα... Καί νύν... Θεοτοκίον

Ο Βασιλεύς τών ουρανών, διά φιλανθρωπίαν, επί τής γής ώφθη, καί τοίς ανθρώποις συνανεστράφη, εκ Παρθένου γάρ αγνής, σάρκα προσλαβόμενος, καί εκ ταύτης προελθών, μετά τής προσλήψεως, είς εστιν Υιός, διπλούς τήν φύσιν, αλλ' ου τήν υπόστασιν, διό τέλειον αυτόν Θεόν, καί τέλειον άνθρωπον, αληθώς κηρύττοντες, ομολογούμεν Χριστόν τόν Θεόν ημών, όν ικέτευε, Μήτερ ανύμφευτε, ελεηθήναι τάς ψυχάς ημών.

Απόστιχα Μαρτυρικόν

Στίχ. Α'. Θαυμαστός ο Θεός εν τοίς αγίοις αυτού ο Θεός Ισραήλ αυτός δώσει δύναμιν καί κραραίωσιν τώ λαώ αυτού ευλογητός ο Θεός.

Μάρτυρες Κυρίου, πάντα τόπον αγιάζετε, καί πάσαν νόσον θεραπεύετε, καί νύν πρεσβεύσατε, ρυσθήναι εκ τών παγίδων τού εχθρού, τάς ψυχάς ημών δεόμεθα.

Νεκρώσιμα

Στίχ. Β'. Τοίς Αγίοις τοίς εν τή γή αυτού εθαυμάστωμεν πάντα τά θέλημα αυτού εν αυτοίς.

Θρηνώ καί οδύρομαι, όταν εννοήσω τόν θάνατον, καί ίδω εν τοίς τάφοις κειμένην, τήν κατ' εικόνα Θεού, πλασθείσαν ημίν ωραιότητα, άμορφον, άδοξον, μή έχουσαν είδος, ώ τού θαύματος! τί τό περί ημάς, τούτο γέγονε μυστήριον, πώς παρεδόθημεν τή φθορά; πώς συνεζεύχθημεν τώ θανάτω; όντως Θεού προστάξει, ως γέγραπται, τού παρέχοντος τοίς μεταστάσι τήν ανάπαυσιν.

Στίχ. Γ'. Μακάριοι ούς εξελέξω καί προσλάβω Κύριε.

Ο θάνατός σου Κύριε, αθανασίας γέγονε πρόξενος, ει μή γάρ εν μνήματι κατετέθης, ουκ άν ο Παράδεισος ηνέωκτο, διό τούς μεταστάντας ανάπαυσον, ως Φιλάνθρωπος.

Δόξα... Καί νύν... Θεοτοκίον

Αγνή Παρθένε, τού Λόγου πύλη, τού Θεού ημών Μήτηρ, ικέτευε σωθήναι ημάς.

Μετά τήν α' Στιχολογίαν

Καθίσματα Μαρτυρικά

Ήχος πλ. δ'

Φωστήρες νοεροί, ανεδείχθητε άγιοι Μάρτυρες, τήν γάρ αχλύν τής πλάνης, κατηργήσατε διά τής πίστεως, τάς ψυχικάς υμών λαμπάδας εφαιδρύνατε, καί τώ Νυμφίω μετά δόξης συνεισήλθετε, εις τόν ουράνιον νυμφώνα, καί νύν ικετεύσατε, σωθήναι δεόμεθα τάς ψυχάς ημών.

Τό προσταχθέν μυστικώς

Δι' εγκρατείας τών παθών, τάς πυριφλέκτους, απονεκρώσαντες ορμάς καί τάς κινήσεις, τού Χριστού οι Μάρτυρες, έλαβον τήν χάριν, τάς νόσους αποδιώκειν τών ασθενών, καί ζώντες καί μετά τέλος θαυματουργείν, όντως θαύμα παράδοξον! ότι οστέα γυμνά, εκβλύζουσιν ιάματα. Δόξα τώ μόνω Θεώ ημών.

Δόξα... Καί νύν... Θεοτοκίον

Ο δι' ημάς γεννηθείς εκ Παρθένου, καί σταύρωσιν υπομείνας Αγαθέ, ο θανάτω τόν θάνατον σκυλεύσας, καί έγερσιν δείξας ως Θεός, μή παρίδης ούς έπλασας τή χειρί σου, δείξον τήν φιλανθρωπίαν σου ελεήμον, δέξαι τήν τεκούσάν σε Θεοτόκον, πρεσβεύουσαν υπέρ ημών, καί σώσον Σωτήρ ημών, λαόν απεγνωσμένον.

Έτερα, μετά τόν Άμωμον
Τώ προσταχθέν μυστικώς

Προφήται, Μάρτυρες Χριστού, καί Ιεράρχαι, οι τόν αγώνα τόν καλόν, ευσεβοφρόνως, νομίμως τελέσαντες, καί απειληφότες, στεφάνους αμαραντίνους παρά Θεού, απαύστως εκδυσωπείτε υπέρ ημών, τήν αυτού αγαθότητα, όπως δωρήσηται ημίν, πταισμάτων τήν συγχώρησιν, ως Θεός ευδιάλλακτος.

Έτερα, Νεκρώσιμα, όμοια

Τούς μεταστάντας ευσεβώς, εκ τών προσκαίρων, εν ταίς σκηναίς τών εκλεκτών, μετά Δικαίων, συναρίθμησον Δέσποτα, τούτους αναπαύων, εν τόποις εορταζόντων, καί εν τρυφή, αλήκτω τού Παραδείσου, ως αγαθός, τά εκούσια πταίσματα, καί τά ακούσια αυτών, δι' άκραν αγαθότητα, συγχωρήσας φιλάνθρωπε.

Ο βάθει σοφίας φιλανθρώπως, πάντα οικονομών, καί τό συμφέρον πάσιν απονέμων μόνε Δημιουργέ, ανάπαυσον Κύριε τάς ψυχάς τών δούλων σου, εν σοί γάρ τήν ελπίδα ανέθεντο, τω Ποιητή καί πλάστη καί Θεώ ημών.

Δόξα... Καί νύν... Θεοτοκίον

Σέ καί τείχος καί λιμένα έχομεν, καί πρέσβιν ευπρόσδεκτον, πρός όν έτεκες Θεόν, Θεοτόκε ανύμφευτε, τών Πιστών η σωτηρία.

Κανών εις πάντας τούς Αγίους, ού η Ακροστιχίς
Τής Οκταήχου τής νέας θείον τέλος. Πόνοι δέ Ιωσήφ

Ωδή α'. Ήχος πλ. δ'
Ο Ειρμός

Άσωμεν τώ Κυρίω, τώ διαγαγόντι τόν λαόν αυτού, εν Ερυθρά θαλάσση, ότι μόνος ενδόξως δεδόξασται.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Τίμιοι μαργαρίται, ώφθητε τόν στέφανον φαιδρύνοντες, τής σεπτής Εκκλησίας, Αθλοφόροι Χριστού γενναιότατοι.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ήστραψαν τών δογμάτων, καί τών αρετών θείαις λαμπρότησιν, οι σοφοί Ιεράρχαι, καί πιστών τάς καρδίας εφώτισαν.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Σέ τόν εν τοίς Προφήταις, καί εν τοίς Οσίοις θαυμαζόμενον, ικετεύομεν Λόγε, ταίς αυτών ημάς σώσον δεήσεσιν.

Νεκρώσιμον

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Όταν κρίσιν δικαίαν, έλθης τού ποιήσαι δικαιότατε, ακατακρίτους Λόγε, τούς πρός σέ μεταστάντας απέργασαι.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Κύριον τετοκυίαν, γυναικών χορός σε επιστάμενος, σού οπίσω Παρθένε, εναθλήσας αυτώ προσενήνεκται.

Έτερος εις Κοιμηθέντας, ού η Ακροστιχίς
Θνήσκουσι πιστοίς, όγδοον πλέκω μέλος

Ο Ειρμός

Υγράν διοδεύσας ωσεί ξηράν, καί τήν Αιγυπτίαν, μοχθηρίαν διαφυγών, ο Ισραηλίτης ανεβόα, τώ Λυτρωτή καί Θεώ ημών άσωμεν.

Στίχ. Πρεσβείαις τών Μαρτύρων σου ανάπαυσον, Κύριε, τάς ψυχάς τών δούλων σου.

Θανάτω τόν θάνατον τού Χριστού, καί πάθεσι πάθος, μιμησάμενοι τό σεπτόν, οι Μάρτυρες πάντες τής ενθέου, καί μακαρίας ζωής έτυχον.

Στίχ. Αί ψυχαί αυτών εν αγαθοίς αυλισθήσονται.

Νεότητος πταίσματα παρορών, καί τάς αμαρτίας, υπερβαίνων Χριστέ Σωτήρ, τών προκοιμηθέντων οικετών σου, τοίς εκλεκτοίς σου συναρίθμησον.

Στίχ. Μακάριοι ούς εξελέξω καί προσλάβω Κύριε.

Ής έτυχον δόξης τε καί χαράς, οι τήν μακαρίαν, κεκτημένοι διαγωγήν, μετάδος πλουσίως τοίς σοίς δούλοις, ούς προσελάβου Πολυέλεε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Συνέλαβες Λόγον τόν τού Πατρός, σαρκί ενωθέντα, καθ' υπόστασιν τή εκ σού, πανάμωμε Κόρη, καί τόν άδην, θεία δυνάμει καταργήσαντα.

## Ωδή γ'

Ο Ειρμός

Ο στερεώσας Λόγω τούς ουρανούς, καί τήν γήν επί υδάτων εδράσας πολλών, στερέωσόν με πρός ύμνον, τής δοξολογίας σου Κύριε.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Τάς μυσαράς θυσίας οι Αθληταί, στερροτάτη γνώμη, αποσεισάμενοι, θυσία καθαρωτάτη, Λόγω τώ τυθέντι γεγόνασιν.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ανανεούντες λόγοις ιερουργοίς, τούς παλαιωθέντας, παντοίοις παθήμασι, τού αναπλάσαντος κόσμον, θείοι Μαθηταί απεφάνθητε.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Η τοίς Προφήταις πρότερον προφανώς, δεδομένη χάρις, τού Παναγίου Πνεύματος, τούς Ασκητάς επ' εσχάτων, θείων χαρισμάτων ενέπλησε.

Νεκρώσιμον

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Χοροίς αγίοις με σύνταξον ο Θεός, τούς πιστώς τού βίου, μεταχωρήσαντας, καί Παραδείσου πολίτας, ποίησον δι' άφατον έλεος.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ο μηδαμού χωρούμενος Ιησούς, αστενοχωρήτως, τήν σήν κατώκησεν, ηγιασμένην γαστέρα,

άχραντε Παρθένε, καί Κύριος.

### Κανών εις Κοιμηθέντας
### Ο Ειρμός

Ουρανίας αψίδος οροφουργέ Κύριε, καί τής Εκκλησίας δομήτορ, σύ με στερέωσον, εν τή αγάπη τή σή, τών εφετών η ακρότης, τών Πιστών τό στήριγμα, μόνε φιλάνθρωπε.

Στίχ. Πρεσβείαις τών Μαρτύρων σου ανάπαυσον, Κύριε, τάς ψυχάς τών δούλων σου.

Καθαρθέντες τής πάλαι, προγονικής πτώσεως, διά τού Βαπτίσματος καί τής αναγεννήσεως, ρείθροις αιμάτων τε, τοίς εαυτών ραντισθέντες, τώ Χριστώ Μακάριοι, συμβασιλεύετε.

Στίχ. Αί ψυχαί αυτών εν αγαθοίς αυλισθήσονται.

Ο νεκρός εκουσίως, κατατεθείς μνήματι, καί τούς κατοικούντας εν τάφοις ανακαλούμενος, Σώτερ ευδόκησον, ούς εξ ημών προσελάβου, εν σκηναίς Δικαίων σου, τούτους αυλίζεσθαι.

Στίχ. Μακάριοι ούς εξελέξω καί προσλάβω Κύριε.

Υπό τής ευσπλαγχνίας, τής θεϊκής Δέσποτα, καί τής συμφυώς νοουμένης σου αγαθότητος, παρακαλούμενος, αμαρτημάτων τήν λύσιν, παρασχών τοίς δούλοις σου, Σώτερ ανάπαυσον.

### Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σαρκωθείς εκ γαστρός σου, καί γεγονώς άνθρωπος, ο διαφερόντως υπάρχων, μόνος φιλάνθρωπος, σώζει τόν άνθρωπον, εκ τών πυλών τού θανάτου, Θεομήτορ άχραντε, μόνη πανύμνητε.

### Ωδή δ'
### Ο Ειρμός

Εισακήκοα Κύριε, τής οικονομίας, σου τό μυστήριον, κατενόησα τά έργασου, καί εδόξασά σου, τήν θεότητα.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Υπελθόντες τό στάδιον, τό τής μαρτυρίας, ζέοντι πνεύματι, Αθληταί θεομακάριστοι, τήν υλώδη πλάνην, κατεφλέξατε.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Τούς Οσίους σου Κύριε, καί τούς Ιεράρχας, λαμπρώς εδόξασας, τούτων θείαις παρακλήσεσι, κοινωνόν με δόξης, τής σής ποίησον.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Η τού θείου επίπνοια, Πνεύματος Προφήτας, καταλαμπρύνασα, Γυναιξίν ισχύν δεδώρηται, τού εχθρού ολέσαι τά φρυάγματα.

### Νεκρώσιμον

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Συγχορεύειν αξίωσον, πάσι τοίς Αγίοις, ούς περ μετέστησας, υπεράγαθε οικέτας σου, εν σκηναίς αγίων, δυσωπούμενος.

### Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Νόμου θείου τόν πάροχον, φύσεως νομίμων, άνευθεν τέτοκας, αναπλάττοντα Πανάμωμε, τών

βροτών τήν φύσιν, ολισθήσασαν.

Κανών εις Κοιμηθέντας

Ο Ειρμός

Σύ μου ισχύς, Κύριε, σύ μου καί δύναμις, σύ Θεός μου, σύ μου αγαλλίαμα, ο Πατρικούς κόλπους μή λιπών, καί τήν ημετέραν, πτωχείαν επισκεψάμενος, διό σύν τώ Προφήτη, Αββακούμ σοι κραυγάζω. Τή δυνάμει σου δόξα Φιλάνθρωπε.

Στίχ. Πρεσβείαις τών Μαρτύρων σου ανάπαυσον, Κύριε, τάς ψυχάς τών δούλων σου.

Ίνα τήν σήν, Δέσποτα δόξαν θεάσωνται, καί τής αίγλης, σού τής φωτοδότιδος, εν ουρανοίς τύχωσι φαιδρώς, άπασαν βασάνων, πείραν αθλούντες υπήνεγκαν, οι Μάρτυρες οι θείοι, σοί Χριστέ μελωδούντες, τή δυνάμει σου δόξα Φιλάνθρωπε.

Στίχ. Αί ψυχαί αυτών εν αγαθοίς αυλισθήσονται.

Πολλαί μοναί, παρά σοί Σώτερ πεφύκασι, κατ' αξίαν, πάσι μεριζόμεναι, κατά τό μέτρον τής αρετής, ταύτης ούν Οικτίρμον, πληρώσαι τούτους αξίωσον, τούς πίστει μεταστάντας, ευσεβώς σοι βοώντας. Τή δυνάμει σου δόξα φιλάνθρωπε.

Στίχ. Μακάριοι ούς εξελέξω καί προσλάβω Κύριε.

Ίσος ημίν, άνθρωπος ώφθης Αθάνατε, πάσιν ίσον, θάνατον υπέμεινας, καί τής ζωής έδειξας οδούς, ής τούς μεταστάντας, αξίωσον ως φιλάνθρωπος, συγχώρησιν πταισμάτων, ως Δεσπότης παρέχων, καί φωτός μετουσίαν δωρούμενος.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σύ τών πιστών, καύχημα πέλεις Ανύμφευτε, σύ προστάτις, σύ καί καταφύγιον, Χριστιανών, τείχος καί λιμήν, πρός γάρ τόν Υιόν σου, εντεύξεις φέρεις Πανάμωμε, καί σώζεις εκ κινδύνων, τούς εν πίστει καί πόθω, Θεοτόκον αγνήν σε γινώσκοντας.

Ωδή ε'

Ο Ειρμός

Φώτισον ημάς, τοίς προστάγμασί σου Κύριε, καί τώ βραχίονί σου τώ υψηλώ, τήν σήν ειρήνην, παράσχου ημίν Φιλάνθρωπε.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Έφερον πληγάς, τής σαρκός οι θείοι Μάρτυρες, καί δια τούτο τάς πληγάς ημών, αεί ιώνται, τραυματίζοντες τούς δαίμονας.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Άγιοι Θεού, Ιεράρχαι ικετεύσατε, μετά πάντων τών Οσίων Χριστόν, αμαρτημάτων, δωρηθήναι ημίν άφεσιν.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Σάρκα αικισμοίς, καί ασκήσει δαπανήσασαι, γυναικών αι Όσιαι, καί Μάρτυρες, τών εν ελπίσιν, αγαθών κατηξιώθησαν.

Νεκρώσιμον

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Θάνατον ελών τώ θανάτω σου Αθάνατε, τούς θανόντας επ' ελπίδι ζωής, πιστούς σου δούλους, ως φιλάνθρωπος ανάπαυσον.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Έπαυσας Αγνή, προπατόρων τό κατάκριμα, τόν τούς πάντας δικαιώσαντα, σαρκί Χριστόν τεκούσα, Ιησούν τόν μόνον Κύριον.

Κανών εις Κοιμηθέντας

Ο Ειρμός

Ίνα τί με απώσω, από τού προσώπου σου, τό φώς τό άδυτον, καί εκάλυψέ με, τό αλλότριον σκότος τόν δείλαιον, αλλ' επίστρεψόν με, καί, πρός τό φώς τών εντολών σου, τάς οδούς μου κατεύθυνον δέομαι.

Στίχ. Πρεσβείαις τών Μαρτύρων σου ανάπαυσον, Κύριε, τάς ψυχάς τών δούλων σου.

Τής αφράστου σου δόξης, καί τής υπέρ λόγον, σού μακαριότητος, εν σκηναίς Αγίων, ένθα Ήχος τερπνός εορτάζοντος, τούς μεταθεμένους, πρός απαθή ζωήν οικτείρας, καταξίωσον μόνε φιλάνθρωπε.

Στίχ. Αί ψυχαί αυτών εν αγαθοίς αυλισθήσονται.

Ο που τάξεις Αγγέλων, όπου τών Δικαίων, οι δήμοι αγάλλονται, Αβραάμ εν κόλποις, κατασκήνωσον Σώτερ τούς δούλους σου, καί σύν παρρησία, τώ φοβερώ καί θείω θρόνω, παρεστάναι ευδόκησον εύσπλαγχνε.

Στίχ. Μακάριοι ούς εξελέξω καί προσλάβω Κύριε.

Ιλασμός ημίν ώφθης, καί δικαιοσύνη τε, καί απολύτρωσις, καί τώ μώλωπί σου, τάς ημών ασθενείας ιάτρευσας, αυτός ούν Οικτίρμον, ώς αγαθός τούς μεταστάντας, εν τρυφή Παραδείσου κατάταξον.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Συμπαθώς ελεήμον, τό τής ανθρωπότητος, μέτρον ανέλαβες, ο τής θείας δόξης, υπερτάτοις εμπρέπων υψώμασιν, εκ Παρθένου μήτρας, σάρκα λαβών εμψυχωμένην, λογικήν, δι' ής θάνατον ώλεσας.

Ωδή ς'

Ο Ειρμός

Ιλάσθητί μοι Σωτήρ, πολλαί γάρ αι ανομίαι μου, καί εκ βυθού τών κακών, ανάγαγε δέομαι, πρός σέ γάρ εβόησα, καί επάκουσόν μου, ο Θεός τής σωτηρίας μου.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ιχώρσιν υμών σεπτοίς, ψυχών ιάσθε νοσήματα, καί σηπεδόνας αεί, σωμάτων εξαίρετε, κατατραυματίζοντες, πονηρών δαιμόνων, τήν πληθύν, άγιοι Μάρτυρες.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ο τών Οσίων χορός, Ιεραρχών τε ο σύλλογος, καί Γυναικών ιερών, ο θείος κατάλογος, στερρώς εναθλήσαντες, εν επουρανίοις, απολαύσεις εκληρώσαντο.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Νεκρώσαντες Ασκηταί, τήν σάρκα ζωής ετύχετε, ποιμάναντες δέ καλώς, Κυρίου τό ποίμνιον, Ιεράρχαι πάνσοφοι, αθανάτου δόξης, μετά τέλος ηξιώθητε.

Νεκρώσιμον

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Τών ζώντων Λόγε ζωή, καί τών θανόντων ανάπαυσις, υπάρχων τούς εξ ημών, τώ θείω σου νεύματι, μεταστάντας δούλους σου, Αβραάμ εν κόλποις, τού θεράποντός σου σκήνωσον.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Εσκήνωσεν επί σοί, Πατρός Αγνή τό απαύγασμα, καί ταίς αϋλοις αυγαίς, αυτού τής θεότητος, τό σκότος διέλυσε, τής πολυθεϊας, καί τόν κόσμον κατεφώτισεν.

Κανών εις Κοιμηθέντας

Ειρμός ο αυτός

Οι Μάρτυρές σου Σωτήρ, πολλάς βασάνους υπέμειναν, τώ πόθω σου τάς ψυχάς, τρωθέντες οι Άγιοι, τής σής ορεγόμενοι, αϊδίου δόξης, καί γλυκείας σου μεθέξεως.

Στίχ. Πρεσβείαις τών Μαρτύρων σου ανάπαυσον, Κύριε, τάς ψυχάς τών δούλων σου.

Γαστέρα τού δυσμενούς, θανάτου Σώτερ διέρρηξας, καί πάντας τούς εν αυτή, δεσμώτας ανέστησας, ζωήν χαρισάμενος, ής τούς μεταστάντας, Ευεργέτα καταξίωσον.

Στίχ. Αί ψυχαί αυτών εν αγαθοίς αυλισθήσονται.

Δακρύων καί στεναγμών, τών εν τώ άδη τούς δούλους σου, απάλλαξον Αγαθέ, ως μόνος γάρ εύσπλαγχνος, αφείλες πάν δάκρυον, εκ παντός προσώπου, τών πιστώς θεολογούντων σε.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Ο φύσει Δημιουργός, δημιουργείται εν μήτρα σου, ο πλήρης καθό Θεός, κενούται Πανάμωμε, ο μόνος Αθάνατος, τόν υπέρ τής πάντων, σωτηρίας θνήσκει θάνατον.

Ωδή ζ'

Ο Ειρμός

Παίδες θεοσεβείς εν Βαβυλώνι, εικόνι χρυσή ου προσεκύνησαν, αλλ' εν μέσωκαμίνου, πυρός δροσιζόμενοι, τήν ωδήν ανέμελπον λέγοντες. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Λύσαντες τόν φραγμόν τής δυσσεβείας, δεσμοίς ιεροίς υμών Πανεύφημοι, τών ημών εγκλημάτων, φορτία σκορπίσατε, καί βοώντας Μάρτυρες σώσατε. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Όμβρω τών ιερών αιμάτων, αιρέσεων πύρ εναπεσβέσατε, καί φλογί Ιεράρχαι, σοφοί κατεφλέξατε, ασεβείας πλάνης ζιζάνια, καί τών πιστών τάς ψυχάς κατεφωτίσατε.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Σάρκα οι Ασκηταί δι' εγκρατείας, νεκρώσαντες, ζώσι μετά θάνατον. Προφητών τε Δικαίων χορός, καί κατάλογος, Γυναικών αθλήσας, δεδόξασται. Αυτών πρεσβείαις Χριστέ, κινδύνων ρύσαι ημάς.

Νεκρώσιμον

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Πάντων τών επ' ελπίδι κοιμηθέντων, ζωής τάς ψυχάς Χριστέ, ανάπαυσον, παρορών τά εν βίω, αυτών πλημμελήματα, διά τήν πολλήν ευσπλαγχνίαν σου, εύσπλαγχνε μόνε Σωτήρ, ο τών Πατέρων Θεός.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Όλη ως καθαρά καθυπεδέξω, εν μήτρα τόν Λόγον σωματούμενον, αυτόν γούν εκδυσώπει, καθάραι πταισμάτων με, καί ψυχής καί σώματος Πάναγνε, τόν επί σοί καθαρά, πίστει προστρέχοντα.

Κανών εις Κοιμηθέντας

Ο Ειρμός

Παίδες Εβραίων εν καμίνω, κατεπάτησαν τήν φλόγα θαρσαλέως, καί εις δρόσον τό πύρ, μετέβαλον βοώντες. Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

Στίχ. Πρεσβείαις τών Μαρτύρων σου ανάπαυσον, Κύριε, τάς ψυχάς τών δούλων σου.

Όλος ο πόθος τών Μαρτύρων, ανατέταται πρός μόνον τόν Δεσπότην, δι' αγάπης αυτώ, ενούμενος καί μέλπων. Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

Στίχ. Αί ψυχαί αυτών εν αγαθοίς αυλισθήσονται.

Νέμοις τοίς πίστει μεταστάσι, τήν φαιδρότητα τής θείας Βασιλείας, αφθαρσίας στολήν, δωρούμενος βοώσιν. Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

Στίχ. Μακάριοι ούς εξελέξω καί προσλάβω Κύριε.

Πλήσον χαράς καί ευφροσύνης, ούς μετέστησας οικέτας σου Οικτίρμον, αξιώσας αυτούς, κραυγάζειν σοι καί μέλπειν. Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Λύων τής Εύας τήν κατάραν, τήν πανάμωμον κατώκησας Παρθένον, ευλογίας πηγήν, βλυστάνων τοίς βοώσιν. Ευλογημένος Πάναγνε, ο καρπός τής σής κοιλίας.

Ωδή η'

Ο Ειρμός

Οι θεορρήμονες Παίδες εν τή καμίνω, σύν τώ πυρί καί τήν πλάνην, καταπατούντες υπέψαλλον. Ευλογείτε τά έργα, Κυρίου τόν Κύριον.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ναούς ειδώλων καθείλετε αθλούντες, καί εαυτούς τής Τριάδος, θείους ναούς, εδομήσασθε, Αθλοφόροι Κυρίου, Αγγέλων συνόμιλοι.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Οι Ιερείς σου Χριστέ δικαιοσύνην, ενδεδυμένοι Οσίοις, τοίς απ' αιώνος νύν συναγάλλονται, σου τό κάλλος ορώντες, τό θείον τρανότερον.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ιερωτάτων πρεσβείαις Προφητών σου, καί Γυναικών αοιδίμων, τών απ' αιώνος Δικαίων τε, τά ελέη σου Λόγε, τώ κόσμω σου δώρησαι.

Νεκρώσιμον

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Δικαιοκρίτα ηνίκα μέλλεις κρίναι, ούς εξ ημών προσελάβου, ακατακρίτους συντήρησον, παραβλέψας τά τούτων, εγκλήματα Δέσποτα.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Επιφανείσα Παρθένε, τής ψυχής μου, τά σκοτεινότατα νέφη, τώ φωτισμώ σου απέλασον, η τής δικαιοσύνης, τεκούσα τόν Ήλιον.

### Κανών εις Κοιμηθέντας
### Ο Ειρμός

Μουσικών οργάνων συμφωνούντων, καί λαών απείρων προσκυνούντων, εικόνι τή εν Δεηρά, τρείς Παίδες μή πεισθέντες, τόν Κύριον ανύμνουν, καί εδοξολόγουν, εις πάντας τούς αιώνας.

Στίχ. Πρεσβείαις τών Μαρτύρων σου ανάπαυσον, Κύριε, τάς ψυχάς τών δούλων σου.

Επιγείους άθλους διελθόντες, ουρανίους έλαβον στεφάνους, οι Μάρτυρες οι αληθείς, βοώντές σοι απαύστως. Τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Στίχ. Αί ψυχαί αυτών εν αγαθοίς αυλισθήσονται.

Καταβάς εν λάκκω κατωτάτω, τούς εν τοίς μνημείοις κατοικούντας, ανέστησας ζωαρχική, παλάμη, καί παρέσχες, τοίς δούλοις σου τοίς πίστει, προκεκοιμημένοις, ανάπαυσιν Οικτίρμον.

Στίχ. Μακάριοι ούς εξελέξω καί προσλάβω Κύριε.

Ως πηγή ζωής τής αϊδίου, ως τρυφής υπάρχων ο χειμάρρους, τούς δούλους σου τούς ευσεβώς, πρός σέ μετατεθέντας, αξίωσον υμνείν σε, καί δοξολογείν σε, εις πάντας τούς αιώνας.

### Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Μαρία Παρθένε Θεοτόκε, η Θεόν Σωτήρα τοίς ανθρώποις, γεννήσασα σωματικώς, περίσωζε τούς πίστει, υμνούντάς σου τόν τόκον, καί υπερυψούντας, εις πάντας τούς αιώνας.

### Ωδή θ'
### Ο Ειρμός

Σέ τήν απειρόγαμον, Θεού Μητέρα τού Υψίστου, σέ τήν υπερ νούν κυήσασαν, διά λόγου τόν όντως Θεόν, τήν υψηλοτέραν τών αχράντων Δυνάμεων, ασιγήτοις, δοξολογίαις μεγαλύνομεν.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ίσταντο οι Μάρτυρες, πρό τών αδίκων κριτηρίων, πάσαν αδικίαν χάριτι, τού Χριστού κατακρίνοντες, καί τούς υπ' αυτών κεκρατημένους ελέγχοντες, καί στεφάνους, δικαιοσύνης κομιζόμενοι.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ώφθητε ως οίακες, τής Εκκλησίας τήν ολκάδα, πάσαν ευσεβώς ιθύνοντες, εις λιμένα Θεού εντολών, πάντες Ιεράρχαι καί Ποιμένες μακάριοι, διά τούτο, ως κυβερνήτας υμάς σέβομεν.

Στίχ. Άγιοι Προφήται τού Θεού πρεσβεύσατε υπέρ ημών.

Στίφος ικετεύει σε, τών Προφητών καί τών Οσίων, σύλλογος Δικαίων Κύριε, αθλησάντων λαμπρότητι, καί διαπρεψάντων εν ασκήσει φιλάνθρωπε, δυσωπεί σε, τούς οικτιρμούς σου ημίν δώρησαι.

### Νεκρώσιμον

Στίχ. Άγιοι τού Θεού πρεσβεύσατε υπέρ ημών.

Ής κατηξιώθησαν, τιμής καί δόξης αιωνίου, άπαντες Χριστού οι Άγιοι, τούς πιστώς εκδημήσαντας, τού ματαίου βίου, μετασχείν καταξίωσον, Ελεήμον, ταίς ικεσίαις τών Αγίων σου.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Φέρουσα τό πλήρωμα, τών αγαθών εν ταίς αγκάλαις, πλήρωσον ημών Πανάμωμε, τάς εντεύξεις τών δούλων σου, καί τάς πρός Θεόν ημών πορείας, κατεύθυνον, εναρέτως, ενδυναμούσα πολιτεύεσθαι.

Κανών εις Κοιμηθέντας

Ο Ειρμός

Έφριξε πάσα ακοή, τήν απόρρητον Θεού συγκατάβασιν, όπως ο Ύψιστος, εκών κατήλθε, μέχρι καί σώματος, παρθενικής από γαστρός, γενόμενος άνθρωπος, διό τήν άχραντον, Θεοτόκον οι πιστοί μεγαλύνομεν.

Στίχ. Πρεσβείαις τών Μαρτύρων σου ανάπαυσον, Κύριε, τάς ψυχάς τών δούλων σου.

Έχοντες Μάρτυρες Χριστού, τήν ανίκητον ισχύν καί αήττητον, εξεφαυλίσατε, τό τών τυράννων, άθεον πρόσταγμα, καί Βασιλείας ουρανών, σαφώς ηξιώθητε, καταλαμπόμενοι, τής Τριάδος ταίς αυγαίς αξιάγαστοι.

Στίχ. Αί ψυχαί αυτών εν αγαθοίς αυλισθήσονται.

Λέλυται άδης ο πικρός, καταλύσαντος αυτόν σού Φιλάνθρωπε, καί αναστήσαντος, τούς απ' αιώνος εκεί καθεύδοντας, αλλά καί νύν ως αγαθός, τούς μεταχωρήσαντας, πρός σέ τόν εύσπλαγχνον, ανεσπέρου σου φωτός καταξίωσον.

Στίχ. Μακάριοι ούς εξελέξω καί προσλάβω Κύριε.

Όλος εί Σώτερ γλυκασμός, όλος εί επιθυμία καί έφεσις, όντως ακόρεστος, όλος υπάρχεις κάλλος αμήχανον, τούς μεταστάντας ούν πρός σέ, τής σής ωραιότητος, τρυφάν ευδόκησον, καί τής θείας καλλονής σου αξίωσον.

Θεοτοκίον

Στίχ. Υπεραγία Θεοτόκε, σώσον ημάς.

Σώσόν με Μήτερ τού Θεού, η γεννήσασα Χριστόν τόν Σωτήρά μου, Θεόν καί άνθρωπον, διπλούν τήν φύσιν, ου τήν υπόστασιν, μονογενή μέν εκ Πατρός, εκ σού δέ πρωτότοκον, πάσης τής κτίσεως, όν εν φύσεσι διτταίς μεγαλύνομεν.

Εις τούς Αίνους, Στιχηρά Μαρτυρικά

Ήχος πλ. δ'

Στίχ. Αινείτε αυτόν εν ήχω σάλπιγγος, αινείτε αυτόν εν ψαλτηρίω καί κιθάρα.

Μεγάλως ηγωνίσασθε Άγιοι, τάς βασάνους τών ανόμων, υπομείναντες γενναίως, καί Χριστόν ομολογούντες, εναντίον Βασιλέων, καί πάλιν, μεταστάντες εκ τού βίου, δυνάμεις ενεργείτε εν τώ κόσμω, καί ασθενείς θεραπεύετε, εκ τών παθών αυτών Άγιοι. Πρεσβεύσατε, τού σωθήναι τάς ψυχάς ημών.

Στίχ. Αινείτε αυτόν εν τυμπάνω καί χορώ, αινείτε αυτόν εν χορδαίς καί οργάνω.

Μάρτυρες Χριστού οι αήττητοι, οι νικήσαντες τήν πλάνην, τή δυνάμει τού Σταυρού, απολαύετε τήν χάριν, αιωνίως τής ζωής, τυράννων, απειλάς ουκ επτοήθητε, βασάνοις αικιζόμενοι ευφραίνεσθε, καί νύν τά αίματα υμών, γέγονεν ιάματα ταίς ψυχαίς ημών. Πρεσβεύσατε, τού σωθήναι τάς ψυχάς ημών.

Στίχ. Αινείτε αυτόν εν κυμβάλοις ευήχοις, αινείτε αυτόν εν κυμβάλοις αλαλαγμού. Πάσα πνοή αινεσάτω τόν Κύριον.

Τόν θώρακα τής πίστεως, ενδυσάμενοι καλώς, καί τώ τύπω τού Σταυρού, καθοπλίσαντες εαυτούς, στρατιώται, ευσθενείς ανεδείχθητε, τοίς τυράννοις ανδρείως αντικατέστητε, καί διαβόλου τήν πλάνην κατηδαφίσατε, νικηταί γενόμενοι, τών στεφάνων ηξιώθητε. Πρεσβεύσατε, τού σωθήναι τάς ψυχάς ημών.

Νεκρώσιμον

Στίχ. Μακάριοι ούς εξελέξω καί προσελάβου, Κύριε.

Αμέτρητος υπάρχει, τοίς ασώτως βιούσιν η κόλασις, βρυγμός Οδόντων, καί κλαυθμός απαράκλητος, γέεννα πυρός, καί σκότος εξώτερον, καί σκώληξ ακοίμητος, δάκρυα ανενέργητα, καί Κριτής ασυμπάθητος. Διά τούτο πρό τού τέλους βοήσωμεν λέγοντες. Δέσποτα Χριστέ, ούς εξελέξω, μετά τών εκλεκτών σου ανάπαυσον.

Δόξα... Καί νύν... Θεοτοκίον

Εγώ Παρθένε αγία Θεοτόκε, τή σκέπη σου προστρέχω, οίδα ότι τεύξομαι τής σωτηρίας, δύνασαι γάρ Αγνή βοηθήσαί μοι.

Απόστιχα τών Αίνων, Νεκρώσιμα

Ώ τού παραδόξου θαύματος

Βασιλικώς μοι υπέγραψας, ελευθερίαν βαφαίς, ερυθραίς τών δακτύλων σου, αιματώσας Δέσποτα, καί φοινίξας σώ αίματι, καί νύν σε πίστει καθικετεύομεν. Τοίς πρωτοτόκοις σου συναρίθμησον, καί τών Δικαίων σου, τής χαράς αξίωσον επιτυχείν, τούς μεταφοιτήσαντας, πρός σέ τόν Εύσπλαγχνον.

Στίχ. α'. Μακάριοι ούς εξελέξω καί προσλάβω Κύριε.

Ιεραρχήσας ως άνθρωπος, σφαγιασθείς σεαυτόν, προσφοράν προσενήνοχας, τώ Πατρί τόν άνθρωπον, τής φθοράς εξαιρούμενος, τούς μεταστάντας ούν ως φιλάνθρωπος, εν τή τών ζώντων χώρα κατάταξον, ένθα οι χείμαρροι, τής τρυφής προχέονται, ένθα πηγαί, τής αϊδιότητος, αναβλυστάνουσιν.

Στίχ. β'. Αί ψυχαί αυτών εν αγαθοίς αυλισθήσονται.

Βάθει σοφίας αρρήτου σου, οροθετείς τήν ζωήν, καί προβλέπεις τόν θάνατον, καί πρός βίον έτερον, μετοικίζεις τούς δούλους σου, ούς προσελάβου, τοίνυν κατάταξον, επί υδάτων τής αναπαύσεως, εν τή λαμπρότητι, τών Αγίων Κύριε, ένθα φωνή, τής αγαλλιάσεως, καί τής αινέσεως.

Στίχ. γ'. Καί τό μνημόσυνον αυτών, εις τόν αιώνα δοξάσαντα.

Λόγος υπάρχων αόρατος, ομοφυής τώ Πατρί, καί τώ Πνεύματι σύνθρονος, δι' εμέ τόν άνθρωπον, τή σαρκί πεφανέρωσαι, ως ελεήμων ούν καί φιλάνθρωπος, τούς εκ τού βίου μεταφοιτήσαντας, τής ευπρεπείας σου, καί τής ωραιότητος, ταίς καλλοναίς, τούτους καταλάμπρυνον, Ζωαρχικώτατε.

Δόξα... Καί νύν... Θεοτοκίον, όμοιον

Ως συλλαβούσα τόν άναρχον, Λόγον Θεού καί Θεόν, μητρική παρρησία σου, εκτενώς ικέτευε, κατατάξαι τούς δούλους σου, ένθα χορεία η ακατάληκτος, ευφραινομένων καί ευφημούντων σε, ένθα λαμπρότητες, αι διαιωνίζουσαι, καί ο γλυκύς, ήχος εορτάζοντος, Θεογεννήτρια.

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Οι Μακαρισμοί

Μακάριοι οι ειρηνοποιοί, ότι αυτοί υιοί Θεού κληθήσονται.

Μνήσθητι ημών, Χριστέ Σωτήρ τού κόσμου, ώσπερ τού Ληστού, εμνήσθης επί ξύλου, καί καταξίωσον πάντας μόνε Οικτίρμον, τής ουρανίου Βασιλείας σου.

Μακάριοι οι δεδιωγμένοι ένεκεν δικαιοσύνης, ότι αυτών εστιν η βασιλεία τών ουρανών.

Πάσιν αλγεινοίς, στερρώς προσομιλούντες, τραύμασιν υμών, αγίοις Αθλοφόροι, ετραυματίσατε πάσας τάς μυριάδας, τάς τών δαιμόνων θεία χάριτι.

Μακάριοί εστε όταν ονειδίσωσιν υμάς, καί διώξωσι, καί είπωσι πάν πονηρόν ρήμα καθυμών ψευδόμενοι ένεκεν εμού.

Όσιοι Χριστού, καί θείοι Ιεράρχαι, στίφος Προφητών, καί πάντων τών Αγίων, τής ουρανίου επέτυχον κληρουχίας, ούς επαξίως μακαρίσωμεν.

Νεκρώσιμον

Χαίρετε καί αγαλλιάσθε, ότι ο μισθός υμών πολύς εν τοίς ουρανοίς.

Πάντας τούς πιστώς, τού βίου μεταστάντας, τάξον ο Θεός, εν χώρα τών Δικαίων, καί Παραδείσου ανάδειξον κληρονόμους, θεοπρεπώς υμνολογούντάς σε.

Δόξα...

Πάτερ καί Υιέ, καί Πνεύμα μία φύσις, σύ εί ο Θεός, ο κτίσας πάντα λόγω, σέ προσκυνούσιν οι άνθρωποι σύν Αγγέλοις, ακαταπαύστως σέ δοξάζοντες.

Καί νύν... Θεοτοκίον

Πάντων τών καλών, τό πλήρωμα τεκούσα, πλήρωσον ημών, Παρθένε τάς εντεύξεις, αμαρτινη, καί φωτισμόν καί μέγα έλεος.

HYPERLINK "" \l "top" top

ΥΜΝΟΙ ΤΡΙΑΔΙΚΟΙ
ΚΑΤ' ΗΧΟΝ

Ψαλλόμενοι εν ταίς νηστίμοις ημέραις, ότε εστιν Αλληόυϊα.

ΗΧΟΣ Α'

Σωματικαίς μορφώσεσι, τών ασωμάτων δυνάμεων, πρός νοεράν καί άϋλον αναγόμενοι έννοιαν, καί τρισαγίω μελωδήματι, τρισυποστάτου θεότητος, εκδεχόμενοι έλλαμψιν, χερουβικώς βοήσωμεν, Άγιος, Άγιος, Άγιος εί ο Θεός.

Δόξα...

Μετά πασών τών ουρανίων Δυνάμεων, χερουβικώς τώ εν υψίστοις βοήσωμεν, τόν Τρισάγιον αναπέμποντες αίνον, Άγιος, Άγιος, Άγιος εί ο Θεός.

Καί νύν...

Εξεγερθέντες τού ύπνου, προσπίπτομέν σοι Αγαθέ, καί τών Αγγέλων τόν ύμνον, βοώμέν σοι Δυνατέ, Άγιος, Άγιος, Άγιος εί ο Θεός, διά τής Θεοτόκου ελέησον ημάς.

ΗΧΟΣ Β'

Άκτισε φύσις, η τών όλων δημιουργός τά χείλη ημών άνοιξον, όπως αναγγέλλωμεν τήν αίνεσίν σου βοώντες, Άγιος, Άγιος, Άγιος εί ο Θεός.

Δόξα...

Τάς άνω δυνάμεις μιμούμενοι οι επί γής, επινίκιον ύμνον προσφερομέν σοι Αγαθέ, Άγιος, Άγιος, Άγιος εί ο Θεός.

Καί νύν...

Τής κλίνης καί τού ύπνου, εξεγείρας με Κύριε, τόν νούν μου φώτισον, καί τήν καρδίαν καί τά χείλη μου άνοιξον, εις τό υμνείν σε, Αγία Τριά, Άγιος, Άγιος, Άγιος εί ο Θεός, διά τής Θεοτόκου ελέησον ημάς.

ΗΧΟΣ Γ'

Πατέρα άναρχον, Υιόν συνάναρσυναϊδιον, θεότητα μίαν χερουβικώς δοξάσωμεν, Άγιος, Άγιος, Άγιος εί ο Θεός.

Δόξα...

Τριάς ομοούσιε καί αδιαίρετε, Μονάς τρισυπόστατε καί συναϊδιε, σοί ως Θεώ τών Αγγέλων τόν ύμνον κραυγάζομεν, Άγιος, Άγιος, Άγιος εί ο Θεός.

Καί νύν...

Αθρόον ο Κριτής επελεύσεται, καί εκάστου αι πράξεις γυμνωθήσονται, αλλά φόβω κράξωμεν εν

τώ μέσω τής νυκτός, Άγιος, Άγιος, Άγιος εί ο Θεός, διά τής Θεοτόκου ελέησον ημάς.

ΗΧΟΣ Δ'

Τόν άναρχόν σου Πατέρα, καί σέ, Χριστέ ο Θεός, καί τό πανάγιόν σου Πνεύμα, χερουβικώς δοξολογείν τολμώντες, λέγομεν, Άγιος, Άγιος, Άγιος εί ο Θεός.

Δόξα...

Ως αι τάξεις νύν τών Αγγέλων εν ουρανώ, καί στάσεις φόβω ανθρώπων επί τής γής, επινίκιον ύμνον προσφερομέν σοι Αγαθέ, Άγιος, Άγιος, Άγιος εί ο Θεός.

Καί νύν...

Τών νοερών σου λειτουργών, προσφέρειν, οι θνητοί τόν ύμνον τολμώντες, λέγομεν, Άγιος, Άγιος, Άγιος εί ο Θεός, διά τής Θεοτόκου ελέησον ημάς.

ΗΧΟΣ ΠΛ. Α'

Υμνωδίας ο καιρός, καί δεήσεως ώρα, εκτενώς βοήσωμέν σοι τώ μόνω Θεώ, Άγιος, Άγιος, Άγιος εί ο Θεός.

Δόξα...

Εικονίζειν τολμώντες, τά νοερά σου στρατεύματα, Τριάς άναρχε, στόμασιν αναξίοις βοώμέν σοι, Άγιος, Άγιος, Άγιος εί ο Θεός.

Καί νύν...

Ο εν μήτρα παρθενική χωρηθείς, καί τών κόλπων τού Πατρός μη χωρισθείς, σύν Αγγέλοις καί ημάς πρόσδεξαι, Χριστέ ο Θεός, βοώντάς σοι, Άγιος, Άγιος, Άγιος εί ο Θεός, διά τής Θεοτόκου ελέησον ημάς.

ΗΧΟΣ ΠΛ. Β'

Ασωμάτοις στόμασιν, ασιγήτοις τά Εξαπτέρυγα άδουσί σοι τόν τρισάγιον ύμνον, ο Θεός ημών, καί ημείς οι επί γής, αναξίοις χείλεσιν αίνόν σοι αναπέμπομεν, Άγιος, Άγιος, Άγιος εί ο Θεός.

Δόξα...

Παριστάμενα φόβω τά Χερουβείμ, εξιστάμενα τρόμω τά Σεραφείμ, τόν τρισάγιον ύμνον προσφέρει, ασιγήτω φωνή, μεθ' ών καί ημείς βοώμεν οι αμαρτωλοί, Άγιος, Άγιος, Άγιος εί ο Θεός.

Καί νύν...

Τριαδικής μονάδος θεότητα, ασυγχύτω ενώσει δοξάσωμεν, καί τών Αγγέλων τόν ύμνον βοήσωμεν, Άγιος, Άγιος, Άγιος εί ο Θεός, διά τής Θεοτόκου ελέησον ημάς.

ΗΧΟΣ ΒΑΡΥΣ

Ο υψίστη δυνάμει χερουβικώς ανυμνούμενος, καί θεϊκή δόξη αγγελικώς προσκυνούμενος, πρόσδεξαι καί ημάς τούς αμαρτωλούς, αναξίως τολμώντας κραυγάζειν σοι, Άγιος, Άγιος, Άγιος εί ο Θεός.

Δόξα...

Τή απροσίτω Θεότητι, τή εν Μονάδι Τριάδι, τών Σεραφείμ τόν Τρισάγιον αναπέμποντες αίνον, μετά φόβου βοήσωμεν, Άγιος, Άγιος, Άγιος εί ο Θεός.

Καί νύν...

Ως ύπνον τόν όκνον, αποθεμένη ψυχή, διόρθωσιν πρός έγερσιν, δείξον τώ Κριτή, καί εν φόβω βόησον, Άγιος, Άγιος, Άγιος εί ο Θεός, διά τής Θεοτόκου ελέησον ημάς.

ΗΧΟΣ ΠΛ. Δ'

Οράν σε μή τολμώντα τά Χερουβείμ, ιπτάμενα κραυγάζει αλαλαγμώ, τό ένθεον μέλος τής Τρισαγίας φωνής, μεθ' ών καί ημείς βοώμεν οι αμαρτωλοί, Άγιος, Άγιος, Άγιος εί ο Θεός.

Δόξα...

Εις ουρανόν τάς καρδίας έχοντες, Αγγελικήν μιμησώμεθα τάξιν, καί εν φόβω τώ αδεκάστω προσπέσωμεν, επινίκιον ανακράζοντες αίνον, Άγιος, Άγιος, Άγιος εί ο Θεός.

Καί νύν...

Κατακαμπτόμενοι τώ πλήθει, τών ημών, καί μή τολμώντες ατενίσαι τώ ύψει σου, τήν ψυχήν σύν τώ σώματι κλίναντες, μετά Αγγέλων τόν ύμνον βοώμέν σοι, Άγιος, διά τής Θεοτόκου ελέησον ημάς.

HYPERLINK "" \l "top" top

## ΦΩΤΑΓΩΓΙΚΑ ΚΑΤ' ΗΧΟΝ

### Εκ τρίτου ψαλλόμενα

### ΗΧΟΣ Α'

Ο τό φώς ανατέλλων Κύριε, τήν ψυχήν μου καθάρισον από πάσης αμαρτίας, προστασίαις τών Ασωμάτων, καί σώσόν με.

### ΗΧΟΣ Β'

Τό φώς σου τό αϊδιον, εξαπόστειλον Κύριε, καί φώτισον τά όμματα τά κρυπτά τής καρδίας μου, προστασίαις τών Ασωμάτων, καί σώσόν με.

### ΗΧΟΣ Γ'

Εξαπόστειλον τό φώς σου, Χριστέ ο Θεός, καί φώτισον τήν καρδίαν μου, προστασίαις τών Ασωμάτων, καί σώσόν με.

### ΗΧΟΣ Δ'

Ο τό φώς ανατέλλων τώ κόσμω σου, τήν εν σκότει ψυχήν μου υπάρχουσαν, από πάσης αμαρτίας καθάρισον, προστασίαις τών Ασωμάτων, καί σώσόν με.

### ΗΧΟΣ ΠΛ. Α'

Φωτοδότα Κύριε, εξαπόστειλον τό φώς σου, καί φώτισον τήν καρδίαν μου, προστασίαις τών Ασωμάτων, καί σώσόν με.

### ΗΧΟΣ ΠΛ. Β'

Προστασίαις Κύριε τών Ασωμάτων, κατάπεμψον ταίς ψυχαίς ημών, τό φώς σου τό αϊδιον.

### ΗΧΟΣ ΒΑΡΥΣ

Προστασίαις Κύριε τών Ασωμάτων, φώς κατάπεμψον ταίς ψυχαίς ημών, διά τό μέγα σου έλεος.

### ΗΧΟΣ ΠΛ. Δ'

Φώς υπάρχων Χριστέ, φώίαις τών Ασωμάτων, καί σώσόν με.

HYPERLINK "" \l "top" top

## ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΑ

### Τής όλης εβδομάδος

### ΤΗ ΔΕΥΤΕΡΑ

Ήχος β'  Γυναίκες ακουτίσθητε

Αρχάγγελοι καί Αγγελοι, Αρχαί Ακαί Κυριότητες, Δυνάμεις καί Εξουσίαι, θρόνοι καί πολυόμματα, τά Χερουβείμ, καί Σεραφείμ, άμα τά Εξαπτέρυγα, υπέρ ημών πρεσβεύσατε, τού λυτρωθήναι κινδύνων, καί τού πυρός τού ασβέστου.

Θεοτοκίον  όμοιον

Σύ μου προστάτις Άχραντε, καί ισχυρόν προπύργιον, καί προστασία τού κόσμου, καί σοί προσπίπτω κραυγάζων, τών οδυνών με λύτρωσαι, καί τού πυρός εξάρπασον, τού αιωνίου Παρθένε, τόν επί σοί πεποιθότα.

### ΤΗ ΤΡΙΤΗ

Ήχος γ'  Ο ουρανόν τοίς άστροις

Τόν Πρόδρομον Ιωάννην,καί Βαπτιστήν τού Σωτήρος, τόν εν Προφήταις Προφήτην, καί τής ερήμου τό θρέμμα, τής Ελισάβετ τόν γόνον, ανευφημήσωμεν πάντες.

Θεοτοκίον  όμοιον

Σέ καί μεσίτριαν έχω, πρός τόν φιλάνθρωπον Θεόν, μή μου ελέγξη τάς πράξεις, ενώπιον τών Αγγέλων, Παρακαλώ σε Παρθένε, βοήθησόν μοι εν τάχει.

ΤΗ ΤΕΤΑΡΤΗ

Ήχος β'  Γυναίκες ακουτίσθητε

Τό όπλον τό αήττητον, τό στήριγμα τής πίστεως, Σταυρόν τόν θείον υμνούμεν, καί προσκυνούμεν εν πίστει, τό μέγα καταφύγιον, Χριστιανών τό καύχημα, τών Ορθοδόξων φύλακα, τών Αθλοφόρων τό κλέος, αξίως σε ευφημούμεν.

Σταυροθεοτοκίον  όμοιον

Παρισταμένη Πάναγνε, εν τώ Σταυρώ καί βλέπουσα, τόν σόν Υιόν επί ξύλου, ταθέντα καί νεκρωθέντα, ως περ μήτηρ ηλάλαζες, δακρύουσα καί λέγουσα, Τί τούτο τό παράδοξον, ότι ο Κτίστης τού κόσμου, Σταυρώ ταθήναι ηνέσχου;

ΤΗ ΠΕΜΠΤΗ

Ήχος γ'  Ο ουρανόν τοίς άστροις.

Ηδωδεκάς η αγία, τών Αποστόλων τό κλέος, σύν τώ σεπτώ Νικολάω, καί Ιεράρχη Μυρέων, υπέρ ημών τόν Σωτήρα, εκδυσωπείτε απαύστως.

Θεοτοκίον  όμοιον

Ελπίς τών απηλπισμένων, πανύμνητε Θεοτόκε, μετά δακρύων βοώ σοι, εκ βάθους μου τής καρδίας, Εξάρπασόν με Παρθένε, εκ τών τού άδου κευθμώνων.

ΤΗ ΠΑΡΑΣΚΕΥΗ

Αυτόμελον  Ήχος β'

Σταυρός, ο φύλαξ πάσης τής οικουμένης, Σταυρός, η ωραιότης τής Εκκλησίας, Σταυρός, Βασιλέων τό κραταίωμα, Σταυρός, Πιστών τό στήριγμα, Σταυρός, Αγγέλων η δόξα, καί τών δαιμόνων τό τραύμα.

Σταυροθεοτοκίον

Εν τώ Σταυρώ παρεστώσα, η σέ ασπόρως τεκούσα, καί θρηνωδούσα εβόα. Οίμοι! γλυκύτατον τέκνον, πώς έδυς εξ οφθαλμών μου, πώς εν νεκροίς ελογίσθης;

ΤΩ ΣΑΒΒΑΤΩ

Αυτόμελον  Ήχος γ'

Ο ουρανόν τοίς άστροις, κατακοσμήσας ως Θεός, καί διά τών σών Αγίων, πάσαν τήν γήν φωταγωγών, Δημιουργέ τών απάντων, τούς ανυμνούντάς σε σώζε.

Νεκρώσιμον  όμοιον

Ο καί νεκρών καί ζώντων, εξουσιάως Θεός, ανάπαυσον τούς σούς δούλους, εν ταίς σκηναίς τών εκλεκτών, ει γάρ καί ήμαρτον Σώτερ, αλλ' ουκ απέστησαν εκ σού.

Θεοτοκίον  όμοιον

Ογλυκασμός τών Αγγέλων, τών θλιβομένων η χαρά, Χριστιανών η προστάτις, Παρθένε Μήτ καί ρύσαι, τών αιωνίων βασάνων.

HYPERLINK "" \l "top" top

ΘΕΟΤΟΚΙΑ ΕΙΣ ΕΚΑΣΤΟΝ ΗΧΟΝ

ΨΑΛΛΟΜΕΝΑ ΕΝ ΟΛΩ ΤΩ ΕΝΙΑΥΤΩ

Μετά τά Απολυτίκια τών μή εορταζομένων Αγίων.

ΕΙΣ ΤΟΝ Α' ΗΧΟΝ

Τή Κυριακή εσπέρας, καί τή Δευτέρα πρωϊ.

Εις τό, Θεός Κύριος, Ήχος α'.

Θαύμα θαυμάτων Κεχαριτωμένη, εν σοί θεωρούσα η κτίσις αγάλλεται, συνέλαβες γάρ ασπόρως, καί έτεκες αφράστως, όν ταξιαρχίαι Αγγέλων, οράν ου δεδύνηνται, αυτόν ικέτευε υπέρ τών ψυχών ημών.

Εις τό τέλος τού Όρθρου. Ήχος α'.

Άχραντε Θεοτόκε, η εν ουρανοίς ευλογημένη, καί επί γής δοξολογουμένη, χαίρε Νύμφη ανύμφευτε.

Τή Δευτέρα εσπέρας, καί τή Τρίτη πρωϊ.

Εις τό, Θεός Κύριος, Ήχος α'.

Συλλαβούσα αφλέκτως, τό πύρ τής θεότητος, καί τεκούσα ασπόρως, πηγήν ζωής τόν Κύριον, Κεχαριτωμένη Θεοτόκε, περίσωζε τούς σέ μεγαλύνοντας.

Εις τό τέλος τού Όρθρου, Ήχος α'.

Τόν αμήτορα εν ουρανώ, υπέρ έννοιαν καί ακοήν, επί γής απάτορα έτεκες. Αυτόν Θεοτόκε ικέτευε, υπέρ τών ψυχών ημών.

Τή Τρίτη εσπέρας καί τή Τετάρτη πρωϊ.

Εις τό, Θεός Κύριος, Ήχος α'.

Οι τήν σήν προστασίαν, κεκτημένοι Άχραντε, καί ταίς ικεσίαις, τών δεινών εκλυτρούμενοι, τώ Σταυρώ τού Υιού σου, εν παντί φρουρούμενοι, κατά χρέος σε πάντες, ευσεβώς μεγαλύνομεν.

Εις τό τέλος τού Όρθρου, Ήχος α'.

Άχραντε Θεοτόκε, η εν ουρανοίς ευλογημένη, καί επί γής δοξολογουμένη, Χαίρε Νύμφη ανύμφευτε.

Τή Τετάρτη εσπέρας, καί τή Πέμπτη πρωϊ.

Εις τό, Θεός Κύριος. Ήχος α'.

Συλλαβούσα αφλέκτως, τό πύρ τής θεότητος, καί τεκούσα ασπόρως, πηγήν ζωής τόν Κύριον, Κεχαριτωμένη Θεοτόκε, περίσωζε τούς σέ μεγαλύνοντας.

Εις τό τέλος τού Όρθρου, Ήχος α'.

Τόν αμήτορα εν ουρανώ, υπέρ έννοιαν καί ακοήν, επί γής απάτορα έτεκες. Αυτόν Θεοτόκε ικέτευε, υπέρ τών ψυχών ημών.

Τή Πέμπτη εσπέρας, καί τή Παρασκευή πρωϊ.

Εις τό, Θεός Κύριος, Ήχος α'.

Οι τήν σήν προστασίαν, κεκτημένοι Άχραντε, καί ταίς σαίς ικεσίαις, τών δεινών εκλυτρούμενοι, τώ Σταυρώ τού Υιού σου, εν παντί φρουρούμενοι, κατά χρέος σε πάντες, ευσεβώς μεγαλύνομεν.

Εις τό τέλος τού Όρθρου, Ήχος α'.

Άχραντε Θεοτόκε, η εν ουρανοίς, καί επί γής δοξολογουμένη, χαίρε Νύμφη ανύμφευτε.

Τή Παρασκευή εσπέρας, καί τώ Σαββάτω πρωϊ.

Εις τό, Θεός Κύριος, Ήχος α'.

Τού Γαβριήλ φθεγξαμένου, σοι Παρθένε τό Χαίρε, σύν τη φωνή εσαρκούτο, ο τών όλων Δεσπότης, εν σοί τή αγία κιβωτώ, ως έφη ο δίκαιος Δαυϊδ, Εδείχθης πλατυτέρα τών ουρανών, βαστάσασα τόν Κτίστην σου, Δόξα τώ ενοικήσαντι εν σοί, δόξα τώ προελθόντι εκ σού, δόξα τώ ελευθερώσαντι ημάς, διά τού τόκου σου.

Εις τό τέλος τού Όρθρου, Ήχος α'.

Τόν αμήτορα εν ουρανώ, υπέρ έννοιαν καί ακοήν, επί γής απάτορα έτεκες, Αυτόν Θεοτόκε ικέτευε, υπέρ τών ψυχών ημών.

## ΕΙΣ ΤΟΝ Β' ΗΧΟΝ

Τή Κυριακή εσπέρας, καί τή Δευτέρα πρωϊ.

Εις τό, Θεός Κύριος, Ήχος β'.

Ευσπλαγχνίας υπάρχουσα πηγή, συμπαθείας αξίωσον ημάς Θεοτόκε, βλέψον εις λαόν τόν αμαρτήσαντα, δείξον ως αεί τήν δυναστείαν σου, εις σέ γάρ ελπίζοντες, τό Χαίρε βοώμέν σοι, ώς ποτε ο Γαβριήλ, ο τών Ασωμάτων Αρχιστράτηγος.

Εις τό τέλος τού Όρθρου, Ήχος β'.

Μήτηρ αγία, η τού αφράστου Φωτός, αγγελικοίς σε ύμνοις τιμώντες, ευσεβώς μεγαλύνομεν.

Τή Δευτέρα εσπέρας, καί τή Τρίτη πρωϊ.

Εις τό, Θεός Κύριος, Ήχος β'.

Θείας γεγόναμεν κοι νωνοί φύσεως, διά σού Θεοτόκε αειπάρθενε, Θεόν γάρ ημίν σεσαρκωμένον τέτοκας, διό κατά χρέος σε πάντες, ευσεβώς μεγαλύνομεν.

Εις τό τέλος τού Όρθρου, Ήχος β'.

Σέ μεγαλύνομεν Θεοτόκε βοώντες, Χαίρε αδύτου φωτός νεφέλη, αυτόν βαστάσασα εν κόλποις, τής δόξης τόν Κύριον.

Τή Τρίτη εσπέρας, καί τή Τετάρτη πρωϊ.
Εις τό, Θεός Κύριος, Ήχος β'.

Υπερδεδοξασμένη υπάρχεις, Θεοτόκε Παρθένε, υμνούμέν σε, διά γάρ τού Σταυρού τού Υιού σου, κατεβλήθη ο άδης, καί ο θάνατος τέθνηκε, νεκρωθέντες ανέστημεν, καί ζωής ηξιώθημεν, τόν Παράδεισον ελάβομεν, τήν αρχαίαν απόλαυσιν, Διό ευχαριστούντες δοξολογούμεν, ως κραταιόν Χριστόν τόν Θεόν ημών, καί μόνον πολυέλεον.

Εις τό τέλος τού Όρθρου, Ήχος β'.

Σέ μεγαλύνομεν Θεοτόκε βοώντες, Χαίρε η ράβδος, εξ ής ασπόρως Θεός βλαστήσας, ανείλεν εν ξύλω τόν θάνατον.

Τή Τετάρτη εσπέρας, καί τή Πέμπτη πρωϊ.
Εις τό, Θεός Κύριος, Ήχος β'.

Θείας γεγόναμεν κοινωνοί φύσεως, διά σού Θεοτόκε αειπάρθενε, Θεόν γάρ ημίν σεσαρκωμένον τέτοκας, διό κατά χρέος σε πάντες, ευσεβώς μεγαλύνομεν.

Εις τό τέλος τού Όρθρου, Ήχος β'.

Σέ μεγαλύνομεν Θεοτόκε βοώντες, Χαίρε αδύτου φωτός νεφέλη, αυτόν βαστάσασα εν κόλποις, τής δόξης τόν Κύριον.

Τή Πέμπτη εσπέρας, καί τή Παρασκευή πρωϊ.
Εις τό, Θεός Κύριος, Ήχος β'.

Υπερδεδοξασμένη υπάρχεις, Θεοτόκε Παρθένε, υμνούμέν σε, διά γάρ τού Σταυρού τού Υιού σου, κατεβλήθη ο άδης, καί ο θάνατος τέθνηκε, νεκρωθέντες ανέστημεν, καί ζωής ηξιώθημεν, τόν Παράδεισον ελάβομεν, τήν αρχαίαν απόλαυσιν, Διό ευχαριστούντες δοξολογούμεν, ως κραταιόν Χριστόν τόν Θεόν ημών, καί μόνον πολυέλεον.

Εις τό τέλος τού Όρθρου, Ήχος β'.

Σέ μεγαλύνομεν Θεοτόκε βοώντες, Χαίρε η ράβδος, εξ ής ασπόρως Θεός βλαστήσας, ανείλεν εν ξύλω τόν θάνατον.

Τή Παρασκευή εσπέρας, καί τώ Σαββάτω πρωϊ.
Εις τό, Θεός Κύριος, Ήχος β'.

Πάντα υπέρ έννοιαν, πάντα υπερένδοξα, τά σά Θεοτόκε μυστήρια, τή αγνεία εσφραγισμένη, καί παρθενία φυλαττομένη, Μήτηρ εγνώσθης αψευδής, Θεόν τεκούσα αληθινόν. Αυτόν ικέτευε, σωθήναι τάς ψυχάς ημών.

Εις τό τέλος τού Όρθρου, Ήχος β'.

Μήτηρ αγία, η τού αφράστου φωτός, αγγελικοίς σε ύμνοις τιμώντες, ευσεβώς μεγαλύνομεν.

Εάν δέ τύχη Αλληλούϊα, έν οιωδήποτε
Ήχω, λέγονται ταύτα. Ήχος β'.

Απόστολοι, Μάρτυρες καί Προφήται Ιεράρχαι, Όσιοι, καί Δίκαιοι, οι καλώς τόν αγώνα τελέσαντες, καί τήν Πίστιν τηρήσαντες, παρρησίαν έχοντες, πρός τόν Σωτήρα, υπέρ ημών αυτόν ως αγαθόν, Θεόν ικετεύσατε σωθήναι, δεόμεθα τάς ψυχάς ημών.

Δόξα... Νεκρώσιμον

Μνήσθητι Κύριε, ως Αγαθός τών δούλων σου, καί όσα εν βίω ήμαρτον, συγχώρησον, ουδείς γάρ αναμάρτητος, ει μή σύ ο δυνάμενος, καί τοίς μεταστάσι, δούναι τήν ανάπαυσιν.

Καί νύν... Θεοτοκίον

Μήτηρ αγία, η τού αφράστου Φωτός, αγγελικοίς σε ύμνοις τιμώντες, ευσεβώς μεγαλύνομεν.

## ΕΙΣ ΤΟΝ Γ' ΗΧΟΝ

Τή Κυριακή εσπέρας, καί τή Δευτέρα πρωϊ.
Εις τό, Θεός Κύριος, Ήχος γ'.

Τήν ωραιότητα, τής παρθενίας σου, καί τό υπέρλαμπρον, τό τής αγνείας σου, ο Γαβριήλ καταπλαγείς, εβόα σοι Θεοτόκε, Ποίόν σοι εγκώμιον, προσαγάγω επάξιον; τί δέ ονομάσω σε; απορώ, καί εξίσταμαι, διό ως προσετάγην βοώ σοι, Χαίρε η Κεχαριτωμένη.

Εις τό τέλος τού Όρθρου, Ήχος γ'.

Έκαστος όπου σώζεται, εκεί δικαίως καί προστρέχει, καί ποία άλλη τοιαύτη καταφυγή, ως σύ Θεοτόκε, σκέπουσα τάς ψυχάς ημών.

Τή Δευτέρα εσπέρας, καί τή Τρίτη πρωϊ.

Εις τό, Θεός Κύριος, Ήχος γ'.

Καταφυγή καί δύναμις ημών Θεοκτόκε, η κραταιά βοήθεια τού κόσμου, ταίς πρεσβείαις σου σκέπε τούς δούλους σου, από πάσης ανάγκης, μόνη ευλογημένη.

Εις τό τέλος τού Όρθρου, Ήχος γ'.

Έκαστος όπου σώζεται, εκεί δικαίως καί προστρέχει, καί ποία άλλη τοιαύτη καταφυγή, ως σύ Θεοτόκε, σκέπουσα τάς ψυχάς ημών.

Τή Τρίτη εσπέρας, καί τή Τετάρτη πρωϊ,

Εις τό, Θεός Κύριος, Ήχος γ'.

Ράβδον δυνάμεως κεκτημένοι, τόν Σταυρόν τού Υιού σου Θεοτόκε, εν αυτώ καταβάλλομεν, τών εχθρών τά φρυάγματα, οι πόθω σε απαύστως μεγαλύνοντες.

Εις τό τέλος τού Όρθρου, Ήχος γ'.

Καταφυγή καί δύναμις ημών Θεοτόκε, η κραταιά βοήθεια τού κόσμου, ταίς πρεσβείαις σου σκέπε τούς δούλους σου, από πάσης ανάγκης, μόνη Ευλογημένη.

Τή Τετάρτη εσπέρας, καί τή Πέμπτη πρωϊ.

Εις τό, Θεός Κύριος, Ήχος γ'.

Προφήται προεκήρυξαν, Απόστολοι εδίδαξαν, Μάρτυρες ωμολόγησαν, καί ημείς επιστεύσαμεν, Θεοτόκον σε κυρίως υπάρχουσαν, διό καί μεγαλύνομεν, τόν τόκον σου τόν άφραστον.

Εις τό τέλος τού Όρθρου, Ήχος γ'.

Έκαστος όπου σώζεται, εκεί δικαίως καί προστρέχει, καί ποία άλλη τοιαύτη καταφυγή, ως σύ Θεοτόκε, σκέπουσα τάς ψυχάς ημών.

Τή Πέμπτη εσπέρας, καί τή Παρασκευή πρωϊ.

Εις τό, Θεός Κύριος, Ήχος γ'.

Ράβδον δυνάμεως κεκτημένοι, τόν Σταυρόν τού Υιού σου Θεοτόκε, εν αυτώ καταβάλλομεν, τών εχθρών τά φρυάγματα, οι πόθω σε απαύστως μεγαλύνοντες.

Εις τό τέλος τού Όρθρου, Ήχος γ'.

Καταφυγή καί δύναμις ημών θεοτόκε, η κραταιά βοήθεια τού κόσμου, ταίς πρεσβείαις σου σκέπε τούς δούλους σου, από πάσης ανάγκης, μόνη Ευλογημένη.

Τή Παρασκευή εσπέρας, καί τώ Σαββάτω πρωϊ.

Εις τό, Θεός Κύριος, Ήχος γ'.

Σέ τήν μεσιτεύσασαν τήν σωτηρίαν, τού γένους ημών, ανυμνούμεν Θεοτόκε Παρθένε, εν τή σαρκί γάρ τή εκ σού προσληφθείση, ο Υιός σου καί Θεός ημών, τό διά Σταυρού καταδεξάμενος πάθος, ελυτρώσατο ημάς, εκ φθοράς ως Φιλάνθρωπος.

Εις τό τέλος τού Όρθρου, Ήχος γ'.

Προφήται προεκήρυξαν, Απόστολοι εδίδαξαν, Μάρτυρες ωμολόγησαν, καί ημείς επιστεύσαμεν, Θεοτόκον σε κυρίως υπάρχουσαν, διό καί μεγαλύνομεν, τόν τόκον σου τόν άφραστον.

## ΕΙΣ ΤΟΝ Δ' ΗΧΟΝ

Τή Κυριακή εσπέρας, καί τή Δευτέρα πρωϊ.

Εις το, Θεός Κύριος, Ήχος δ'.

Τή ανατραφείση εν τώ ναώ, εις τά Άγια τών Αγίων, τή περιβεβλημένη τήν πίστιν καί τήν σοφίαν, καί τήν άμεμπτον παρθενίαν, ο Αρχιστράτηγος Γαβριήλ, προσέφερεν ουρανόθεν τόν ασπασμόν, καί τό Χαίρε, Χαίρε Ευλογημένη, χαίρε δεδοξασμένη, ο Κύριος μετά σού.

Εις τό τέλος τού Όρθρου, Ήχος δ'.

Ότι πάντων υπάρχεις, τών ποιημάτων υπερτέρα, ανυμνείν σε αξίως, μή ευπορούντες Θεοτόκε, δωρεάν αιτούμέν σε, Ελέησον ημάς.

Τή Δευτέρα εσπέρας, καί τή Τρίτη πρωϊ.

Εις τό, Θεός Κύριος, Ήχος δ'.

Τή Θεοτόκω εκτενώς, νύν προσδράμωμεν, αμαρτωλοί καί ταπεινοί, καί προσπέσωμεν εν μετανοία, κράζοντες εκ βάθους ψυχής, Δέσποινα βοήθησον, εφ ημίν σπλαγχνισθείσα, σπεύσον απολλύμεθα, υπό πλήθους πταισμάτων, μή αποστρέψης σούς δούλους κενούς, σέ γάρ καί μόνην ελπίδα κεκτήμεθα.

Εις τό τέλος τού Όρθρου, Ήχος δ'.

Σέ μεγαλύνομεν Θεοτόκε, βοώντες, Σύ εί η βάτος, εν ή αφλέκτως Μωσής, κατείδεν ως φλόγα, τό πύρ τής θεότητος.

Τή Τρίτη εσπέρας, καί τή Τετάρτη πρωϊ.

Εις τό, Θεός Κύριος, Ήχος δ'.

Παρτένε πανάμωμε, Μήτηρ Χριτού Θεού, ρομφαία δι' ήλθέ σου, τήν παναγίαν ψυχήν, ηνίκα σταυρούμενον, έβλεψας εκουσίως, τόν Υιόν καί Θεόν σου, όν περ ευλογημένη, δυσωπούσα μή παύση, συγχώρησιν πταισμάτων, ημίν δωρήσασθαι.

Εις τό τέλος τού Όρθρου, Ήχος δ'.

Σέ μεγαλύνομεν Θεοτόκε, βοώντες Σύ εί τό όρος, εξ ού αρρήτως ετμήθη λίθος, καί πύλας τού άδου συνέτριψε.

Τή Τετάρτη εσπέρας, καί τή Πέμπτη πρωϊ.

Εις τό, Θεός Κύριος, Ήχος δ'.

Τόν Λόγον τού Πατρός, Χριστόν τόν Θεόν ημών, εκ σού σαρκωθέντα έγνωμεν, Θεοτόκε Παρθένε, μόνη αγνή, μόνη ευλογημένη, διό απαύστως σέ, ανυμνούντες μεγαλύνομεν.

Εις τό τέλος τού Όρθρου, Ήχος δ'.

Ότι πάντων υπάρχεις, τών ποιημάτων υπερτέρα, ανυμνείν σε αξίως, μή ευπορούντες Θεοτόκε, δωρεάν αιτούμέν σε, Ελέησον ημάς.

Τή Πέμπτη εσπέρας, καί τή Παρασκευή πρωϊ.

Εις τό, Θεός Κύριος, Ήχος δ'.

Παρθένε πανάμωμε, Μήτηρ Χριστού τού Θεού, ρομφαία δι' ήλθέ σου, τήν παναγίαν ψυχήν, ηνίκα σταυρούμενον, έβλεψας εκουσίως, τόν Υιόν καί Θεόν σου, όν περ ευλογημένη, δυσωπούσα μή παύση, συγχώρησιν πταισμάτων, ημίν δωρήσασθαι.

Εις τό τέλος τού Όρθρου, Ήχος δ'.

Σέ μεγαλύνομεν Θεοτόκε, βοώντες, Σύ εί τό όρος, εξ ού αρρήτως ετμήθη λίθος, καί πύλας τού άδου συνέτριψε.

Τή Παρασκευή εσπέρας, καί τώ Σαββάτω πρωϊ.

Εις τό, Θεός Κύριος, Ήχος δ'.

Τό απ' αιώνος απόκρυφον, καί Αγγέλοις άγνωστον Μυστήριον, διά σού Θεοτόκε, τοίς επί γής πεφανέρωται, Θεός εν ασυγχύτω, ενώσει σαρκούμενος, καί Σταυρόν εκουσίως, υπέρ ημών καταδεξάμενος, δι' ού αναστήσας τόν πρωτόπλαστον, έσωσεν εκ θανάτου τάς ψυχάς ημών.

Εις τό τέλος τού Όρθρου, Ήχος δ'.

Σέ μεγαλύνομεν Θεοτόκε, βοώντες, Σύ εί η βάτος, εν ή αφλέκτως Μωσής, κατείδεν ως φλόγα, τό πύρ τής θεότητος.

## ΕΙΣ ΤΟΝ ΠΛ. Α' ΗΧΟΝ

Τή Κυριακή εσπέρας, καί τή Δευτέρα πρωϊ.

Εις τό, Θεός Κύριος, Ήχος πλ. α'.

Μετά Αγγέλων τά ουράνια, μετά ανθρώπων τά επίγεια, εν φωνή αγαλλιάσεως, Θεοτόκε βοώμέν σοι, Χαίρε πύλη, τών ουρανών πλατυτέρα, χαίρε μόνη, τών γηγενών σωτηρία, χαίρε σεμνή Κεχαριτωμένη, η τεκούσα Θεόν σεσαρκωμένον.

Εις τό τέλος τού Όρθρου, Ήχος πλ. α'.

Ο εκ Παρθένου, ανατείλας τώ κόσμω, Χριστέ ο Θεός, υιούς φωτός δι' αυτής αναδείξας, ελέησον ημάς.

Τή Δευτέρα εσπέρας, καί τή Τρίτη πρωϊ.
Εις τό, Θεός Κύριος, Ήχος πλ. α'.

Τήν ταχείάν σου σκέπην, καί τήν βοήθειαν, καί τό έλεος δείξον, επί τούς δούλους σου, καί τά κύματα αγνή καταπράϋνον, τών ματαίων λογισμών, καί τήν πεσούσάν μου ψυχήν, ανάστησον Θεοτόκε, οίδα γάρ ότι Παρθένε, ισχύεις όσα καί βούλεσαι.

Εις τό τέλος τού Όρθρου, Ήχος πλ. α'.

Μήτηρ Θεού Παναγία, τό τείχος τών Χριστιανών, ρύσαι λαόν σου συνήθως, κραυγάζοντά σοι εκτενώς, Αντιτάχθητι αισχροίς, καί αλαζόσι λογισμοίς, ίνα βοώμέν σοι, Χαίρε αειπάρθενε.

Τή Τρίτη εσπέρας, καί τή Τετάρτη πρωϊ.
Εις τό, Θεός Κύριος, Ήχος πλ. α'.

Τώ Σταυρώ τού Υιού σου Θεοχατρίτωτε, τών ειδώλων η πλάνη πάσα κατήργηται, καί τών δαιμόνων η ισχύς καταπεπάτηται, διά τούτο οι πιστοί, κατά χρέος σε αεί, υμνούμεν καί ευλογούμεν, καί Θεοτόκον κυρίως, ομολογούντες μεγαλύνομεν.

Εις τό τέλος τού Όρθρου, Ήχος πλ. α'.

Ο εκ Παρθένου, ανατείλας τώ κόσμω, Χριστέ ο Θεός, υιούς φωτός δι' αυτής αναδείξας, ελέησον ημάς.

Τή Τετάρτη εσπέρας, καί τή Πέμπτη πρωϊ.
Εις τό, Θεός Κύριος, Ήχος πλ. α'.

Τό ξένον τής Παρθένου Μυστήριον, τώ κόσμω ανεδείχθη σωτήριον, εξ αυτής γάρ ετέχθης, άνευ σποράς, καί σαρκί ανεδείχθης, δίχα φθοράς, η πάντων χαρά, Κύριε δόξασοι.

Εις τό τέλος τού Όρθρου, Ήχος πλ. α'.

Μήτηρ Θεού Παναγία, τό τείχος τών Χριστιανών, ρύσαι λαόν σου συνήθως, κραυγάζοντά σοι εκτενώς, Αντιτάχθητι αισχροίς, καί αλαζόσι λογισμοίς, ίνα βοώμέν σοι, Χαίρε αειπάρθενε.

Τή Πέμπτη εσπέρας, καί τή Παρασκευή πρωϊ.
Εις τό, Θεός Κύριος, Ήχος πλ. α.

Τώ Σταυρώ τού Υιού σου Θεοχατρίτωτε, τών ειδώλων η πλάνη, πάσα κατήργηται, καί τών δαιμόνων η ισχύς, καταπεπάτηται, διά τούτο οι πιστοί, κατά χρέος σε αεί, υμνούμεν καί ευλογούμεν, καί Θεοτόκον κυρίως, ομολογούντες μεγαλύνομεν.

Εις τό τέλος τού Όρθρου, Ήχος πλ. α'.

Ο εκ Παρθένου, ανατείλας τώ κόσμω, Χριστέ ο Θεός, υιούς φωτός δι' αυτής αναδείξας, ελέησον ημάς.

Τή Παρασκευή εσπέρας, καί τώ Σαββάτω πρωϊ.
Εις τό, Θεός Κύριος, Ήχος πλ. α'.

Χαίρε πύλη Κυρίου η αδιόδευτος, τρεχόντων εις σέ, χαίρε αχείμαστε λιμήν, καί απειρόγαμε, η τεκούσα εν σαρκί, τόν Ποιητήν σου καί Θεόν, τών πρεσβεύουσα μή ελλείπης, υπέρ τών ανυμνούντων, καί προσκυνούντων τόν τόκον σου.

Εις τό τέλος τού Όρθρου, Ήχος πλ. α'.

Ο εκ Παρθένου, ανατείλας τώ κόσμω, Χριστέ ο Θεός, υιούς φωτός δι' αυτής αναδείξας, ελέησον ημάς.

## ΕΙΣ ΤΟΝ ΠΛ. Β' ΗΧΟΝ

Τή Κυριακή εσπέρας, καί τή Δευτέρα πρωϊ.
ΕΙς τό, Θεός Κύριος, Ήχος πλ. β'.

Αρχή σωτηρίας, η τού Γαβριήλ πρός τήν Παρθένον γέγονεν, ήκουσε γάρ τό χαίρε, καί ουκ απέφυγε τόν ασπασμόν, ουκ εδίστασεν, ως η Σάρρα εν τή σκηνή, αλλ' ούτως έλεγεν, Ιδού η δούλη Κυρίου, γένοιτό μοι κατά τό ρήμά σου.

Εις τό τέλος τού Όρθρου, Ήχος πλ. β'.

Αρχαγγελικόν λόγον υπεδέξω, καί θρόνος ανεδείχθης, καί εν αγκάλαις σου εβάστασας, Θεοτόκε, τήν ελπίδα τών ψυχών ημών.

Τή Δευτέρα εσπέρας, καί τή Τρίτη πρωϊ.
Εις τό, Θεός Κύριος, Ήχος πλ. β'.

Ελπίς τού κόσμου αγαθή, Θεοτόκε Παρθένε, τήν σήν καί μόνην κραταιάν, προστασίαν αιτούμεν, Σπλαγχνίσθητι, εις απροστάτευτον λαόν, δυσώπησον τόν ελεήμονα Θεόν, ρυσθήναι τάς ψυχάς ημών, εκ πάσης απειλής, μόνη ευλογημένη.

Εις τό τέλος τού Όρθρου, Ήχος πλ. β'.

Ουδείς προστρέχων επί σοί, κατησχυμμένος από σού εκπορεύεται, αγνή Παρθένε Θεοτόκε, αλλ' αιτείται τήν χάριν, καί λαμβάνει τό δώρημα, πρός τό συμφέρον τής αιτήσεως.

Τή Τρίτη εσπέρας, καί τή Τετάρτη πρωϊ.
Εις τό, Θεός Κύριος, Ήχος πλ. β'.

Θεοτόκε Παρθένε, ικέτευε τόν Υιόν σου, τόν εκουσίως προσπαγέντα εν Σταυρώ, καί τόν κόσμον εκ πλάνης ελευθερώσαντα, Χριστόν τόν Θεόν ημών, τού ελεήσαι τάς ψυχάς ημών.

Εις τό, Θεός Κύριος, Ήχος πλ. β'.

Τόν πρό αιώνων εκ Πατρός, άνευ Μητρός γεννηθέντα, Υιόν καί Λόγον τού Θεού, επ' εσχάτων τών χρόνων, εκύησας σεσαρκωμένον, εξ αγνών αιμάτων σου, Θεοκυήτορ άνευ ανδρός, όν αίτησαι δωρήσασθαι ημίν, αμαρτιών άφεσιν πρό τού τέλους.

Τή Τετάρτη εσπέρας, καί τή Πέμπτη πρωϊ.
Εις τό, Θεός Κύριος, Ήχος πλ. β'.

Αγία Δέσποινα αγνή, τού Θεού ημών Μήτηρ, η τών απάντων ποιητήν, απορρήτως τεκούσα, ικέτευε σύν Αποστόλοις ιεροίς, εκάστοτε τήν αγαθότητα αυτού, παθών ημάς λυτρώσασθαι, καί άφεσιν ημίν, δούναι αμαρτημάτων.

Εις τό τέλος τού Όρθρου, Ήχος πλ. β'.

Μεγάλων χαρισμάτων αγνή, Παρθένε Θεομήτορ σύ ηξιώθης, ότι έτεκες σαρκί, τόν ένα τής Τριάδος, Χριστόν τόν ζωοδότην, εις σωτηρίαν τών ψυχών ημών.

Τή Πέμπτη εσπέρας, καί τή Παρασκευή πρωϊ.
Εις τό, Θεός Κύριος, Ήχος πλ. β'.

Θεοτόκε Παρθένε, ικέτευε τόν Υιόν σου, τόν εκουσίως προσπαγέντα εν Σταυρώ, καί τόν κόσμον εκ πλάνης ελευθερώσαντα, Χριστόν τόν Θεόν ημών, τού ελεήσαι τάς ψυχάς ημών.

Εις τό τέλος τού Όρθρου, Ήχος πλ. β'.

Τόν πρό αιώνων εκ Πατρός, άνευ Μητρός γεννηθέντα, Υιόν καί Λόγον τού Θεού, επ' εσχάτων τών χρόνων, εκύησας σεσαρκωμένον, εξ αγνών αιμάτων σου, Θεοκυήτορ άνευ ανδρός, όν αίτησαι δωρήσασθαι ημίν, αμαρτιών άφεσιν πρό τού τέλους.

Τή Παρασκευή εσπέρας, καί τώ Σαββάτω πρωϊ.
Εις τό, Θεός Κύριος, Ήχος πλ. β'.

Προϊστορεί ο Γεδεών, τήν σύλληψιν, καί ερμηνεύει ο Δαυϊδ, τόν τόκον σου Θεοτόκε, κατέβη γάρ ως υετός επί πόκον, ο Λόγος εν τή γαστρί σου, καί εβλάστησας άνευ σποράς, γή αγία, τού κόσμου τήν σωτηρίαν, Χριστόν τόν Θεόν, η Κεχαριτωμένη.

Εις τό τέλος τού Όρθρου, Ήχος πλ. β'.

Τόν πρό αιώνων εκ Πατρός, άνευ Μητρός γεννηθέντα, Υιόν καί Λόγον τού Θεού, επ' εσχάτων τών χρόνων, εκύησας σεσαρκωμένον, εξ αγνών αιμάτων σου, Θεοκυήτορ άνευ ανδρός, όν αίτησαι δωρήσασθαι ημίν, αμαρτιών άφεσιν πρό τού τέλους.

## ΕΙΣ ΤΟΝ ΒΑΡΥΝ ΗΧΟΝ

Τή Κυριακή εσπέρας, καί τή Δευτέρα πρωϊ.
Εις τό, Θεός Κύριος, Ήχος βαρύς.

Θεοτόκε Παρθένε αμίαντε, τόν Υιόν σου δυσώπει, σύν ταίς άνω Δυνάμεσι, συγχώρησιν πταισμάτων ημίν, πρό τού τέλους δωρήσασθαι, τοίς πιστώς σε δοξάζουσι.

Εις τό τέλος τού Όρθρου, Ήχος βαρύς.

Υπερέβης τάς δυνάμεις τών ουρανών, ότι ναός εδείχθης θεϊκός, ευλογημένη Θεοτόκε, ως τεκούσα Χριστόν, τόν Σωτήρα τών ψυχών ημών.

Τή Δευτέρα εσπέρας, καί τή Τρίτη πρωϊ.
Εις τό, Θεός Κύριος, Ήχος βαρύς.
Τό Χαίρέ σοι προσάγομεν Θεοτόκε, τών Αγγέλων γάρ ανωτέρα εδείχθης, Θεόν κυήσασα.
Εις τό τέλος τού Όρθρου, Ήχος βαρύς.
Ειρήνευσον πρεσβείαις τής Θεοτόκου, τήν ζωήν ημών τών βοώντων σοι, Ελεήμον Κύριε δόξα σοι.
Τή Τρίτη εσπέρας, καί τή Τετάρτη πρωϊ.
Εις τό, Θεός Κύριος, Ήχος βαρύς.
Τόν σταυρωθέντα υπέρ ημών, Χριστόν τόν Θεόν, καί καθελόντα τού θανάτου τό κράτος, απαύστως ικέτευε, Θεοτόκε Παρθένε, ίνα σώση τάς ψυχάς ημών.
Εις τό τέλος τού Όρθρου, Ήχος βαρύς.
Λύτρωσαι Θεοτόκε, τών συνεχουσών ημάς αμαρτιών, ότι άλλην ελπίδα, οι πιστοί ουκ έχομεν, ειμή σέ, καί τόν εκ σού τεχθέντα Θεόν.

Τή Τετάρτη εσπέρας, καί τή Πέμπτη πρωϊ.
Εις τό, Θεός Κύριος, Ήχος βαρύς.
Ο καρπός τής κοιλίας σου Άχραντε, τών Προφητών υπάρχει, καί τού νόμου τό πλήρωμα, διό σε Θεοτόκον, εν επιγνώσει δοξάζοντες, ευσεβώς μεγαλύνομεν.
Εις τό τέλος τού Όρθρου, Ήχος βαρύς.
Ο καρπός τής γαστρός σου Θεονύμφε, τοίς ανθρώποις εδείχθη σωτηρίας πρόξενος, διό σε Θεοτόκον, γνώμη καί γλώσση δοξάζοντες, οι πιστοί μεγαλύνομεν.

Τή Πέμπτη εσπέρας, καί τή Παρασκευή πρωϊ.
Εις τό, Θεός Κύριος, Ήχος βαρύς.
Τόν σταυρωθέντα υπέρ ημών, Χριστόν τόν Θεόν, καί καθελόντα τού θανάτου τό κράτος, απαύστως ικέτευε, Θεοτόκε Παρθένε, ίνα σώση τάς ψυχάς ημών.
Εις τό τέλος τού Όρθρου, Ήχος βαρύς.
Λύτρωσαι Θεοτόκε, τών συνεχουσών ημάς αμαρτιών, ότι άλλην ελπίδα, οι πιστοί ουκ έχομεν, ειμή σέ, καί τόν εκ σού τεχθέντα Θεόν.

Τή Παρασκευή εσπέρας, καί τώ Σαββάτω πρωϊ.
Εις τό, Θεός Κύριος, Ήχος βαρύς.
Ως τής ημών αναστάσεως θησαύρισμα, τούς επί σοί πεποιθότας Πανύμνητε, εκ λάκκου καί βυθού πταισμάτων ανάγαγε, σύ γάρ τούς υπευθύνους τή αμαρτία, έσωσας τεκούσα τήν σωτηρίαν, η πρό τόκου Παρθένος, καί εν τόκω Παρθένος, καί μετά τόκον πάλιν ούσα Παρθένος.
Εις τό τέλος τού Όρθρου, Ήχος βαρύς.
Χαίρε, η τόν αχώρητον εν ουρανοίς, χωρήσασα εν μήτρα σου, χαίρε Παρθένε, τών Προφητών τό κήρυγμα, εξ ής έλαμψεν ο Εμμανουήλ, χαίρε Μήτηρ Χριστού τού Θεού.

## ΕΙΣ ΤΟΝ ΠΛ. Δ' ΗΧΟΝ

Τή Κυριακή εσπέρας, καί τή Δευτέρα πρωϊ.
Εις τό, Θεός Κύριος, Ήχος πλ. δ.
Χαίρε η δι' Αγγέλου, τήν χαράν τού κόσμου δεξαμένη, χαίρε η τεκούσα, τόν ποιητήν σου καί Κύριον, χαίρε η αξιωθείσα, γενέσθαι Μήτηρ Θεού.
Εις τό τέλος τού Όρθρου, Ήχος πλ. δ'.
Χαίρε η πύλη, τού Βασιλέως τής δόξης, ήν ο Ύψιστος μόνος διώδευσε, καί μόνην εσφραγισμένην εφύλαξεν, εις σωτηρίαν τών ψυχών ημών.

Τή Δευτέρα εσπέρας, καί τή Τρίτη πρωϊ.
Εις τό, Θεός Κύριος, Ήχος πλ. δ.
Τό ασάλευτον στήριγμα, τό τής πίστεως, καί σεβάσμιον δώρημα, τών ψυχών ημών, τήν Θεοτόκον εν ύμνοις, μεγαλύνωμεν πιστοί, Χαίρε, η τήν πέτραν τής ζωής, εν γαστρί σου χωρήσασα, χαίρε τών περάτων η ελπίς, θλιβομένων αντίληψις, χαίρε Νύμφη ανύμφευτε.
Εις τό τέλος τού Όρθρου, Ήχος πλ. δ.
Παρθένε άχραντε, σώσον ημάς ταίς πρεσβείαις σου, κινούσα σπλάγχνα μητρικά, τώ Υιώ σου καί

Θεώ ημών.

Τή Τρίτη εσπέρας, καί τή Τετάρτη πρωϊ.
Εις τό, Θεός Κύριος, Ήχος πλ. δ'.
Τόν αμνόν καί ποιμένα καί Σωτήρα τού κόσμου, εν τώ Σταυρώ θεωρούσα, η τεκούσα έλεγε δακρύουσα, ο μέν κόσμος αγάλλεται, δεχόμενος τήν λύτρωσιν, τά δέ σπλάγχνα μου φλέγονται, ορώσης σου τήν σταύρωσιν, ήν υπέρ πάντων υπομένεις, ο Υιός καί Θεός μου.
Εις τό τέλος τού Όρθρου. Ήχος πλ. δ'.
Ο καρπός τής κοιλίας σου Άχραντε, τών Προφητών υπάρχει, καί τού νόμου τό πλήρωμα, διό σε Θεοτόκον, εν επιγνώσει δοξάζοντες, ευσεβώς μεγαλύνομεν.

Τή Τετάρτη εσπέρας, καί τή Πέμπτη πρωϊ.
Εις τό, Θεός Κύριος, Ήχος πλ. δ'.
Ηνοητή πύλη τής ζωής, άχραντε τούς προστρέχοντάς σοι πιστώς, λύτρωσαι τών κινδύνων, ίνα δοξάζωμεν τόν πανάγιον τόκον σου, εις σωτηρίαν τών ψυχών ημών.
Εις τό τέλος τού Όρθρου, Ήχος πλ. δ'.
Παρθένε άχραντε, σώσον ημάς ταίς πρεσβείαις σου, κινούσα σπλάγχνα μητρικά, τώ Υιώ σου καί Θεώ ημών.

Τή Πέμπτη εσπέρας, καί τή Παρασκευή πρωϊ.
Εις τό, Θεός Κύριος, Ήχος πλ. δ.
Τόν αμνόν καί ποιμένα, και Σωτήρα τού κόσμου, εν τώ Σταυρώ θεωρούσα, η Τεκούσα, έλεγε δακρύουσα, ο μέν κόσμος αγάλλεται, δεχόμενος τήν λύτρωσιν, τά δέ σπλάγχνα μου φλέγονται, ορώσης σου τήν σταύρωσιν, ήν υπέρ πάντων υπομένεις, ο Υιός καί Θεός μου.
Εις τό τέλος τού Όρθρου, Ήχος πλ. δ'.
Ο καρπός τής κοιλίας σου Άχραντε, τών Προφητών υπάρχει, καί τού νόμου τό πλήρωμα, διό σε Θεοτόκον, εν επιγνώσει δοξάζοντες, ευσεβώς μεγαλύνομεν.

Τή Παρασκευή εσπέρας, καί τώ Σαββάτω πρωϊ.
Εις τό, Θεός Κύριος, Ήχος πλ. δ'.
Ο δι' ημάς γεννηθείς εκ Παρθένου, καί σταύρωσιν υπομείνας αγαθέ, ο θανάτω τόν θάνατον σκυλεύσας, καί έγερσιν δείξας ως Θεός, μή παρίδης ούς έπλασας τή χειρί σου, δείξον τήν φιλανθρωπίαν σου Ελεήμον, δέξαι τήν Τεκούσάν σε Θεοτόκον, πρεσβεύουσαν υπέρ ημών, καί σώσον Σωτήρ ημών, λαόν απεγνωσμένον.
Εις τό τέλος τού Όρθρου, Ήχος πλ. δ'.
Παρθένε άχραντε, σώσον ημάς ταίς πρεσβείαις τρικά, τώ Υιώ σου καί Θεώ ημών.

HYPERLINK "" \l "top" top

ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΟΝ Α'
Τοίς Μαθηταίς συνέλθωμεν, εν Γαλιλαίας, πίστει Χριστόν θεάσασθαι, λέγοντα εξουσίαν, λαβείν τών άνω καί κάτω, μάθωμεν πώς διδάσκει, βαπτίζειν εις τό όνομα τού Πατρός, έθνη πάντα, καί τού Υιού, καί αγίου Πνεύματος, καί συνείναι, τοίς Μύσταις ώς υπέσχετο, έως τής συντελείας.
Θεοτοκίον
Τοίς Μαθηταίς συνέχαιρες, Θεοτόκε Παρθένε, ότι Χριστόν εώρακας, αναστάντα εκ τάφου, τριήμερον καθώς είπεν, οίς καί ώφθη διδάσκων, καί φανερών τά κρείττονα, καί βαπτίζειν κελεύων εν τώ Πατρί, καί Υιώ καί αγίω Πνεύματι, τού πιστεύειν, αυτού ημάς τήν έγερσιν, καί δοξάζειν σε Κόρη.
ΕΩΘΙΝΟΝ Α'  Ήχος α'
Εις τό όρος τοίς Μαθηταίς επειροοομένοις, διά τήν χαμόθεν έπαρσιν, επέστη ο Κύριος, καί προσκυνήσαντες αυτόν καί τήν δοθείσαν εξουσίαν, πανταχού διδαχθέντες, εις τήν υπ' ουρανόν εξαπεστέλλοντο, κηρύξαι τήν εκ νεκρών Ανάστασιν , καί τήν εις Ουρανούς αποκατάστασιν, οίς καί συνδιαιωνίζειν, ο αψευδής επηγγείλατο, Χριστός ο Θεός, καί Σωτήρ τών ψυχών ημών.
ΕΩΘΙΝΩΝ Α'  ΜΑΤΘΑΙΟΝ 28,16-20
Τώ καιρώ εκείνω, οι ένδεκα μαθηταί επορεύθησαν εις τήν Γαλιλαίαν εις τό όρος ου ετάξατο αυτοίς ο Ιησούς. καί ιδόντες αυτόν προσεκύνησαν αυτώ, οι δέ εδίστασαν. καί προσελθών ο Ιησούς ελάλησεν αυτοίς λέγων, Εδόθη μοι πάσα εξουσία εν ουρανώ καί επί τής γής. πορευθέντες ούν

μαθητεύσατε πάντα τά έθνη, βαπτίζοντες αυτούς εΙς τό όνομα τού Πατρός καί τού Υιού καί τού Αγίου Πνεύματος, διδάσκοντες αυτούς τηρείν πάντα όσα ενετειλάμην υμίν, καί Ιδού, εγω μεθ' υμών ειμι πάσας τάς ημέρας έως τής συντελείας τού αιώνος. Αμήν.

## ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΟΝ Β'

Τόν λίθον θεωρήσασαι, αποκεκυλισμένον, αι Μυροφόροι έχαιρον, είδον γάρ Νεανίσκον, καθήμενον εν τώ τάφω, καί αυτός ταύταις έφη, Ιδού Χριστός εγήγερται, είπατε σύν τώ Πέτρω, τοίς Μαθηταίς, Εν τώ όρει φθάσατε Γαλιλαίας, εκεί υμίν οφθήσεται, ώς προείπε τοίς φίλοις.

### Θεοτοκίον

Άγγελος μέν εκόμισε, τή Παρθένω τό, Χαίρε, πρό σής Χριστέ συλλήψεως, Άγγελος δέ τόν λίθον, εκύλισέ σου τού τάφου, αντί λύπης ο μέν γάρ, χαράς αφράστου σύμβολα, ο δέ αντί θανάτου, σέ χορηγόν, τής ζωής κηρύττων καί μεγαλύνων, καί λέγων τήν Ανάστασιν, Γυναιξί καί τοίς Μύσταις.

## ΕΩΘΙΝΟΝ Β'  Ήχος β'

Μετά μύρων προσελθούσαις, ταίς περί Μαριάμ Γυναιξί, καί διαπορουμέναις, πώς έσται αυταίς τυχείν τού εφετού, ωράθη ο λίθος μετηρμένος, καί θείος Νεανίας, καταστέλλων τόν θόρυβον αυτών τής ψυχής, Ηγέρθη γάρ φήσιν, Ιησούς ο Κύριος, διό κηρύξατε τοίς κήρυξιν αυτού Μαθηταίς τήν Γαλιλαίαν δραμείν, καί όψεσθε αυτόν, αναστάντα εκ νεκρών, ώς ζωοδότην καί Κύριον.

## ΕΩΘΙΝΩΝ Β'  ΜΑΡΚΟΝ 16,1-8

Διαγενομένου τού σαββάτου, Μαρία η Μαγδαληνή καί Μαρία η τού Ιακώβου καί Σαλώμη ηγόρασαν αρώματα, ίνα ελθούσαι αλείψωσιν αυτόν. καί λίαν πρωϊ τή μιά τών σαββάτων έρχονται επί τό μνημείον ανατείλαντος τού ηλίου. καί έλεγον πρός εαυτάς, Τίς αποκυλίσει ημίν τόν λίθον εκ τής θύρας τού μνημείου; καί αναβλέψασαι θεωρούσιν ότι αποκεκύλισται ο λίθος, ήν γάρ μέγας σΦόδρα. καί εισελθούσαι εις τό μνημείον, είδον νεανίσκον καθήμενον εν τοίς δεξιοίς, περιβεβλημένον στολήν λευκήν, καί εξεθαμβήθησαν. ο δέ λέγει αυταίς, Μή εκθαμβείσθε,  Ιησούν ζητείτε τόν Ναζαρηνόν τόν εσταυρωμένον, ηγέρθη, ουκ έστιν ωδε, ίδε, ο τόπος όπου έθηκαν αυτόν, αλλ' υπάγετε, είπατε τοίς μαθηταίς αυτού καί τώ Πέτρω, ότι Προάγει υμάς εις τήν Γαλιλαίαν, εκεί αυτόν όψεσθε, καθώς είπεν υμίν. Καί εξελθούσαι ταχύ έφυγον από τού μνημείου, είχε δέ αυτάς τρόμος καί έκστασις, καί ουδενί ουδέν είπον, εφοβούντο γάρ.

## ΕΞΑΠΟΣΤΣΙΛΑΡΙΟΝ Γ'

Ότι Χριστός εγήγερται, μή τις διαπιστείτω, εφάνη τή Μαρία γάρ, έπειτα καθωράθη, τοίς εις αγρόν απιούσι, Μύσταις δέ πάλιν ώφθη, ανακειμένοις ένδεκα, ούς βαπτίζειν εκπέμψας, εις Ουρανούς, όθεν καταβέβηκεν ανελήφθη, επικυρών τό κήρυγμα, πλήθεσι τών σημείων.

### Θεοτοκίον

Ο ανατείλας Ήλιος, εκ παστού ώς Νυμφίος, από τού τάφου σήμερον, καί τόν Άδην σκυλεύσας, καί θάνατον καταργήσας, σέ Τεκούσης πρεσβείαις, φώς ημίν εξαπόστειλον, φώς φωτίζον καρδίας, καί τάς ψυχάς, φώς βαδίζειν άπαντας εμβιβάζον, εν τρίβοις προσταγμάτων σου, καί οδοίς τής ειρήνης.

## ΕΩΘΙΝΟΝ Γ'  Ήχος γ'

Τής Μαγδαληνής Μαρίας, τήν τού Σωτήρος ευαγγελιζομένης, εκ νεκρών Ανάστασιν καί εμφάνειαν, διαπιστούντες οι Μαθηταί, ωνειδίζοντο τό τής καρδίας σκληρόν, αλλά τοίς σημείοις καθοπλισθέντες καί θαύμασι, πρός τό κήρυγμα απεστέλλοντο, καί σύ μέν Κύριε, πρός τόν αρχίφωτον ανελήφθης Πατέρα, οι δέ εκήρυττον πανταχού τόν λόγον, τοίς θαύμασι πιστούμενοι, Διό οι φωτισθέντες δι' αυτών δοξάζομέν σου, τήν εκ νεκρών Ανάστασιν, φιλάνθρωπε Κύριε.

## ΕΩΘΙΝΩΝ Γ'  ΜΑΡΚΟΝ 16,9-20

Αναστάς ο Ιησούς πρωϊ πρώτη σαββάτου εφάνη πρώτον Μαρία τή Μαγδαληνή, αφ' ης εκβεβλήκει επτά δαιμόνια. εκείνη πορευθείσα απήγγειλε τοίς μετ' αυτού γενομένοις, πενθούσι καί κλαίουσι. κακείνοι ακούσαντες ότι ζή καί εθεάθη υπ' αυτής ηπίστησαν. Μετά δέ ταύτα δυσίν εξ αυτών περιπατούσιν εφανερώθη εν ετέρα μορφή, πορευομένοις, εις αγρόν. κακείνοι απελθόντες απήγγειλαν τοίς λοι ποίς, ουδέ εκείνοις επίστευσαν. Ύστερον, ανακειμένοις αυτοίς τοίς ένδεκα εφανερώθη, καί ωνείδισε τήν απιστίαν αυτών καί σκληροκαρδίαν, ότι τοίς θεασαμένοις αυτόν εγηγερμένον, ουκ επίστευσαν. καί εί πεν αυτοίς, Πορευθέντες εις τόν κόσμον άπαντα, κηρύξατε τό ευαγγέλιον πάση τή κτίσει. ο πιστεύσας καί βαπτισθείς, σωθήσεται, ο δέ απιστήσας, κατακριθήσεται. σημεία δέ τοίς πιστεύσασι ταύτα παρακολουθήσει, εν τώ ονόματί μου δαιμόνια εκβαλούσι, γλώσσαις λαλήσουσι καιναίς, όφεις αρούσι, κάν θανάσιμόν τι πίωσιν , ου μή αυτούς βλάψει, επί αρρώστους χείρας επιθήσουσι, καί καλώς έξουσιν. Ο μέν ούν Κύριος, μετά τό

λαλήσαι αυτοίς, ανελήφθη εις τόν ουρανόν, καί εκάθισεν εκ δεξιών τού Θεού. εκείνοι δέ εξελθόντες εκήρυξαν πανταχού, τού Κυρίου συνεργούντος, καί τόν λόγον βεβαιούντος διά τών επακολουθούντων σημείων. Αμήν.

## ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΟΝ Δ'

Ταίς αρεταίς αστράψαντες, ίδωμεν επιστάντες, εν ζωηφόρω μνήματι, άνδρας εν αστραπτούσαις, εσθήσεσι Μυροφόροις, κλινούσαις εις γήν όψιν, τού ουρανού δεσπόζοντος, έγερσιν διδαχθώμεν, καί πρός ζωήν, εν μνημείω δράμωμεν σύν τώ Πέτρω, καί τό πραχθέν θαυμάσαντες, μείνωμεν Χριστόν βλέψαι.

### Θεοτοκίον

Τό χαίρετε φθεγξάμενος, διημείψω τήν λύπην, τών Προπατόρων Κύριε, τήν χαράν αντεισάγων , εγέρσεώς σου εν κόσμω, ταύτης ούν ζωοδότα, διά τής Κυησάσης σε, φώς φωτίζον καρδίας, φώς οικτιρμών, τών σών εξαπόστειλον τού βοάν σοι, Φιλάνθρωπε, Θεάνθρωπε, δόξα τή σή Εγέρσει.

## ΕΩΘΙΝΟΝ Δ'  Ήχος δ'

Όρθρος ήν βαθύς, καί αι Γυναίκες ήλθον επί τό μνήμά σου Χριστέ, άλλά τό σώμα ουχ ευρέθη, τό ποθούμενον αυταίς, διό απορουμέναις, οι ταίς αστραπτούσαις εσθήσεσιν επιστάντες, Τί τόν ζώντα μετά τών νεκρών ζητείτε; έλεγον, Ηγέρθη ώς προείπε, τί αμνημονείτε τών ρημάτων αυτού; Οίς πεισθείσαι, τά οραθέντα εκήρυττον, αλλ' εδόκει λήρος τά ευαγγέλια, ούτως ήσαν έτι νωθείς οι Μαθηταί, αλλ' ο Πέτρος έδραμε, καί Ιδών εδόξασέ σου, πρός εαυτόν τά θαυμάσια.

## ΕΩΘΙΝΩΝ Δ'  ΛΟΥΚΑΝ 24,1-12

Τή μιά τών σαββάτων, όρθρου βαθέος ήλθον επί τό μνήμα, φέρουσαι ά ητοίμασαν αρώματα, καί τινες σύν αυταίς. ευρον δέ τόν λίθον αποκεκυλισμένον από τού μνημείου, καί εισελθούσαι ουχ ευρον τό σώμα τού Κυρίου Ιησού. καί εγένετο εν τώ διαπορείσθαι αυτάς περί τούτου, καί Ιδού, δύο άνδρες επέστησαν αυταίς εν εσθήσεσιν αστραπτούσαις. εμφόβων δέ γενομένων αυτών καί κλινουσών τά πρόσωπον εις τήν γήν, είπον πρός αυτάς, Τί ζητείτε τόν ζώντα μετά τών νεκρών. ουκ έστιν ωδε, αλλ' ηγέρθη. μνήσθητε ώς ελάλησεν υμίν, έτι ων εν τή Γαλιλαία, λέγων, ότι δεί τόν υιόν τού ανθρώπου παραδοθήναι εις χείρας ανθρώπων αμαρτωλών, καί σταυρωθήναι, καί τή τρίτη ημέρα αναστήναι. καί εμνήσθησαν τών ρημάτων αυτού, καί υποστρέψασαι από τού μνημειου, απήγγειλαν ταύτα πάντα τοίς ένδεκα καί πάσι τοίς λοιποίς. ήσαν δέ η Μαγδαληνή Μαρία καί Ιωάννα καί Μαρία Ιακώβου, καί αι λοιπαί σύν αυταίς, αι έλεγον πρός τούς αποστόλους ταύτα. καί εφάνησαν ενώπιον αυτών ωσεί λήρος τά ρήματα αυτών, καί ηπίστουν αυταίς. ο δέ Πέτρος αναστάς έδραμεν επί τό μνημείον, καί παρακύψας βλέπει τά οθόνια κείμενα μόνα, καί απήλθε, πρός εαυτόν θαυμάζων τό γεγονός.

## ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΟΝ Ε'

Η ζωή καί οδός Χριστός, εκ νεκρών τώ Κλεόπα καί τώ Λουκά συνώδευσεν, οίς περ καί επεγνώσθη, εις Εμμαούς κλών τόν άρτον, ών ψυχαί καί καρδίαι, καιόμεναι ετύγχανον, ότε τούτοις ελάλει εν τή οδώ, καί Γραφαίς ηρμήνευεν, ά υπέστη, μεθ' ών , Ηγέρθη, κράξωμεν, ώφθη τε καί τώ Πέτρω.

### Θεοτοκίον

Υμνώ σου τό αμέτρητον, έλεος Ποιητά μου, ότι σαυτόν εκένωσας, τού φορέσαι καί σώσαι, φύσιν βροτών κακωθείσαν, καί Θεός ών ηνέχου, εκ τής αγνής θεόπαιδος, κατ' εμέ τού γενέσθαι, καί κατελθείν, μέχρις Άδου, θέλων με τού σωθήναι, πρεσβείαις της Τεκούσης σε, Δέσποτα πανοικτίρμον.

## ΕΩΘΙΝΟΝ Ε'  Ήχος πλ. α'

Ω τών σοφών σου κριμάτων Χριστέ! πώς Πέτρω μέν τοίς οθονίοις μόνοις, έδωκας εννοήσαί σου τήν Ανάστασιν, Λουκά δέ καί Κλεόπα, συμπορευόμενος ωμίλεις, καί ομιλών, ουκ ευθέως σεαυτόν φανεροίς; Διό καί ονειδίζη, ώς μόνος παροικών εν Ιερουσαλήμ, καί μή μετέχων τών, εν τέλει βουλευμάτων αυτής, Αλλ' ο πάντα πρός τό τού πλάσματος συμφέρον οικονομών, καί τάς περί σού προφητείας ανέπτυξας, καί εν τώ ευλογείν τόν άρτον, εγνώσθης αυτοίς, ών καί πρό τούτου αι καρδίαι, πρός γνώσίν σου ανεφλέγοντο, οί καί τοίς Μαθηταίς συνηθροισμένοις, ήδη τρανώς εκήρυττόν σου τήν Ανάστασιν, δι' ης ελέησον ημάς.

## ΕΩΘΙΝΩΝ Ε'  ΛΟΥΚΑΝ 24,12-35

Τώ καιρώ εκείνω, ο Πέτρος αναστάς έδραμεν επί τό μνημείον, καί παρακύψας βλέπει τά οθόνια κείμενα μόνα. καί απήλθε, πρός εαυτόν θαυμάζων τό γεγονός. Καί Ιδού δύο εξ αυτών ήσαν πορευόμενοι εις εν αυτή τή ημέρα εις κώμην απέχουσαν σταδίους εξήκοντα από Ιερουσαλήμ, η

όνομα Εμμαούς. καί αυτοί ωμίλουν πρός αλλήλους περί πάντων τών συμβεβηκότων τούτων. καί εγένετο εν τώ ομιλείν αυτούς καί συζητείν, καί, αυτός ο Ιησούς εγγίσας συνεπορεύετο αυτοίς, οι δέ οφθαλμοί αυτών εκρατούντο τού μή επιγνώναι αυτόν. είπε δέ πρός αυτούς, Τίνες οι λόγοι ουτοι ούς αντιβάλλετε πρός αλλήλους περιπατούντες, καί εστέ σκυθρωποί; αποκριθείς δέ ο εις ω όνομα Κλεοπάς, είπε πρός αυτόν , Σύ μόνος παροικείς εν Ιερουσαλήμ, καί ουκ έγνως τά γενόμενα εν αυτή εν ταίς ημέραις ταύταις; καί είπεν αυτοίς, Ποία; Οι δέ είπον αυτώ, Τά περί Ιησού τού Ναζωραίου, ός εγένετο ανήρ προφήτης δυνατός εν έργω καί λόγω εναντίον τού Θεού καί παντός τού λαού, όπως τε παρέδωκαν αυτόν οι αρχιερείς καί οι άρχοντες ημών εις κρίμα θανάτου, καί εσταύρωσαν αυτόν. ημείς δέ ηλπίζομεν ότι αυτός εστιν ο μέλλων λυτρούσθαι τόν Ισραήλ. αλλά γε ουν σύν πάσι τούτοις τρίτην ταύτην ημέραν άγει σήμερον, αφ' ου ταύτα εγένετο. αλλά καί γυναίκές τινες εξ ημών εξέστησαν ημάς, γενόμεναι ορθριαί επί τό μνημείον, καί μή ευρούσαι τό σώμα αυτού, ήλθον λέγουσαι καί οπτασίαν αγγέλων εωρακέναι, οί λέγουσιν αυτόν ζήν. καί απήλθόν τινες τών σύν ημίν επί τό μνημείον, καί ευρον ούτω καθώς καί αι γυναίκες είπον, αυτόν δέ ουκ είδον. καί αυτός είπε πρός αυτούς, Ω ανόητοι καί βραδείς τή καρδία τού πιστεύειν επί πάσιν οις ελάλησαν οι προφήται, ουχί ταύτα έδει παθείν τόν Χριστόν καί εισελθείν εις τήν δόξαν αυτού; καί αρξάμενος από Μωσέως καί από πάντων τών προφητών, διηρμήνευεν αυτοίς εν πάσαις ταίς γραφαίς τά περί εαυτού. καί ήγγισαν εις τήν κώμην ου επορεύοντο, καί αυτός προσεποιείτο πορρώτερων πορεύεσθαι. Καί παρεβιάσαντο αυτόν , λέγοντες, Μείνον μεθ' ημών, ότι πρός εσπέραν εστί καί κέκλικεν η ημέρα. καί εισήλθε τού μείναι σύν αυτοίς. καί εγένετο εν τώ κατακλιθήναι αυτόν μετ' αυτών, λαβών τόν άρτον ευλόγησε, καί κλάσας επεδίδου αυτοίς. αυτών δέ διηνοίχθησαν οι οφθαλμοί, καί επέγνωσαν αυτόν, καί αυτός άφαντος εγένετο απ, αυτών. καί είπον πρός αλλήλους, ουχί η καρδία ημών καιομένη ήν εν ημίν, ως ελάλει ημίν εν τή οδώ, καί ως διήνοιγεν ημίν τάς γραφάς; καί αναστάντες αυτή τή ώρα, υπέστρεψαν εις Ιερουσαλήμ, καί ευρον συνηθροισμένους τούς ένδεκα καί τούς σύν αυτοίς, λέγοντας, ότι Ηγέρθη ο Κύριος όντως, καί ώφθη Σίμωνι. καί αυτοί εξηγούντο τά εν τή οδώ, καί ως εγνώσθη αυτοίς εν τή κλάσει τού άρτου.

## ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΟΝ ΣΤ'

Δεικνύων ότι άνθρωπος, Σώτερ εί κατ' ουσίαν, εν μέσω στάς εδίδασκες, αναστάς εκ τού τάφου, καί βρώσεως συμμετέσχες, βάπτισμα μετανοίας, ευθύς δέ πρός ουράνιον, ανελήφθης Πατέρα, καί Μαθηταίς, πέμπειν τόν Παράκλητον επηγγείλω, Υπέρθεε Θεάνθρωπε, δόξα τή σή Εγέρσει.

### Θεοτοκίον

Ο Ποιητής τής κτίσεως καί Θεός τών απάντων, σάρκα βροτείαν έλαβεν, εξ αχράντων αιμάτων, σού παναγία Παρθένε καί γάρ φθαρείσαν πάσαν, τήν φύσιν εκαινούργησε, πάλιν ώς πρό τού τόκου, καταλιπών, μετά τόκον, όθεν πιστώς σε πάντες, ανευφημούμεν κράζοντες, Χαίρε Δέσποινα κόσμου.

## ΕΩΘΙΝΟΝ ΣΤ' Ήχος πλ. β'

Η όντως ειρήνη σύ Χριστέ, πρός ανθρώπους Θεού, ειρήνην τήν σήν διδούς, μετά τήν Έγερσιν Μαθηταίς, εμφόβους έδειξας αυτούς, δόξαντας πνεύμα οράν, αλλά κατέστειλας τόν τάραχον αυτών τής ψυχής, δείξας τάς χείρας καί τούς πόδας σου, πλήν απιστούντων έτι, τή τής τροφής μεταλήψει, καί διδαχών αναμνήσει, διήνοιξας αυτών τόν νούν, τού συνιέναι τάς Γραφάς, οίς καί τήν Πατρικήν επαγγελίαν καθυποσχόμενος, καί ευλογήσας αυτούς, διέστης πρός ουρανόν. Δίο σύν αυτοίς προσκυνούμέν σε, Κύριε δόξα σοι.

## ΕΩΘΙΝΩΝ ΣΤ' ΛΟΥΚΑΝ 24,36-53

Τώ καιρώ εκείνω, αναστάς ο Ιησούς εκ νεκρών έστη εν μέσω αυτών, καί λέγει αυτοίς, Ειρήνη υμίν. πτοηθέντες δέ καί έμφοβοι γενόμενοι εδόκουν πνεύμα θεωρείν. καί είπεν αυτοίς, Τί τεταραγμένοι εστέ, καί διατί διαλογισμοί αναβαίνουσιν εν ταίς καρδίαις υμών. ίδετε τάς χείράς μου καί τούς πόδας μου, ότι αυτός εγώ ειμι, ψηλαφήσατέ με καί ίδετε, ότι πνεύμα σάρκα καί οστέα ουκ έχει, καθώς εμέ θεωρείτε έχοντα. καί τούτο ειπών έδειξεν αυτοίς τάς χείρας καί τούς πόδας. έτι δέ απιστούντων αυτών από τής χαράς, καί θαυμαζόντων, εί πεν αυτοίς, Έχετέ τι βρώσιμον ενθάδε; οι δέ επέδωκαν αυτώ Ιχθύος οπτού μέρος, καί από μελισσίου κηρίου. καί λαβών ενώπιον αυτών έφαγεν. Είπε δέ αυτούς, Ουτοι οι λόγοι, ούς ελάλησα πρός υμάς έτι ων σύν υμίν, ότι δεί πληρωθήναι πάντα τά γεγραμμένα εν τώ νόμω Μωσέως καί προφήταις καί ψαλμοίς περί εμού. τότε διήνοιξεν αυτών τόν νούν, τού συνιέναι τάς γραφάς. καί είπεν αυτοίς ότι Ούτω γέγραπται, καί ούτως είδει παθείν τόν Χριστόν, καί αναστήναι εκ νεκρών τή τρίτη ημέρα, καί κηρυχθήναι επί τώ ονόματι αυτού μετάνοιαν καί άφεσιν αμαρτιών εις πάντα τά έθνη, αρξάμενον από Ιερουσαλήμ, υμείς δέ εστε μάρτυρες τούτων. καί Ιδού εγώ αποστέλλω τήν επαγγελίαν τού πατρός μου εφ'

υμάς, υμείς δέ καθίσατε εν τή πόλει Ιερουσαλήμ, έως ού ενδύσησθε δύναμιν εξ ύψους. Εξήγαγε δέ αυτούς έξω έως εις Βηθανίαν, καί επάρας τάς χείρας αυτού, ευλόγησεν αυτούς. καί εγένετο εν τώ ευλογείν αυτόν αυτούς, διέστη απ' αυτών, καί ανεφέρετο εις τόν ουρανόν. καί αυτοί προσκυνήσαντες αυτόν, υπέστρεψαν εις Ιερουσαλήμ μετά χαράς μεγάλης, καί ήσαν διαπαντός εν τώ ιερώ, αινούντες καί ευλογούντες τόν Θεόν. Αμήν.

## ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΟΝ Ζ'

Ότι ήραν τόν Κύριον, τής Μαρίας ειπούσης, επί τόν τάφον έδραμον, Σίμων Πέτρος, καί άλλος, Μύστης Χριστού, όν ηγάπα, έτρεχον δέ οί δύο, καί εύρον τά οθόνια, ένδον κείμενα μόνα, καί κεφαλής, ήν δέ τό σουδάριον χωρίς τούτων, διό πάλιν ησύχασαν, τόν Χριστόν έως είδον.

### Θεοτοκίον

Μεγάλα καί παράδοξα, δι' εμέ κατειργάσω, Χριστέ μου πολυέλεε, εκ Παρθένου γάρ Κόρης, ετέχθης ανερμηνεύτως, καί Σταυρόν κατεδέξω, καί θάνατον υπομείνας, εξανέστης εν δόξη, καί τήν ημών, φύσιν ηλευθέρωσας τού θανάτου, Δόξα Χριστέ τή δόξη σου, δόξα τή σή δυνάμει.

## ΕΩΘΙΝΟΝ Ζ'  Ήχος βαρύς

Ιδού σκοτία καί πρωϊ, καί τί πρός τό μνημείον Μαρία έστηκας, πολύ σκότος έχουσα ταίς φρεσίν; υφ' ού πού τέθειται ζητείς ο Ιησούς. Αλλ' όρα τούς συντρέχοντας Μαθητάς, πώς τοίς οθονίοις καί τώ σουδαρίω, τήν Ανάστασιν ετεκμήραντο, και ανεμνήσθησαν τής περί τούτου Γραφής. Μεθ' ών, καί δι' ών καί ημείς, πιστεύσαντες, ανυμνούμέν σε τόν ζωοδότην Χριστόν.

## ΕΩΘΙΝΩΝ Ζ'  ΙΩΑΝΝΗΝ 20,1-10

Τή μιά τών σαββάτων Μαρία η Μαγδαληνή έρχεται πρωϊ σκοτίας έτι ούσης, εις τό μνημείον, καί βλέπει τόν λίθον ηρμένον εκ τού μνημείου. τρέχει ούν καί έρχεται πρός Σίμωνα Πέτρον καί πρός τόν άλλον μαθητήν όν εφίλει ο Ιησούς, καί λέγει αυτοίς, Ήραν τόν Κύριον εκ τού μνημείου, καί ουκ οίδαμεν πού έθηκαν αυτόν. εξήλθεν ούν ο Πέτρος καί ο άλλος μαθητής, καί ήρχοντο εις τό μνημείον. έτρεχον δέ οι δύο ομού, καί ο άλλος μαθητής προέδραμε τάχιον τού Πέτρου, καί ήλθε πρώτος εις τό μνημείον, καί παρακύψας βλέπει κείμενα τά οθόνια, ου μέντοι εισήλθεν. έρχεται ούν Σίμων Πέτρος ακολουθών αυτώ, καί εισήλθεν εις τό μνημείον, καί θεωρεί τά οθόνια κείμενα, καί τό σουδάριον, ό ήν επί τής κεφαλής αυτού, ου μετά τών οθονίων κείμενον, αλλά χωρίς εντετυλιγμένον εις ένα τόπον. τότε ούν εισήλθε καί ο άλλος μαθητής ο ελθών πρώτος εις τό μνημείον, καί είδε, καί επίστευσεν, ουδέπω γάρ ήδεισαν τήν γραφήν, ότι δεί αυτόν εκ νεκρών αναστήναι. απήλθον ούν πάλιν πρός εαυτούς οι μαθηταί.

## ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΟΝ Η'

Δύο Αγγέλους βλέψασα, ένδοθεν τού μνημείου, Μαρία εξεπλήττετο, καί Χριστόν αγνοούσα, ώς Κηπουρόν επηρώτα, Κύριε πού τό σώμα, τού Ιησού μου τέθεικας; κλήσει δέ τούτον γνούσα είναι αυτόν , τόν Σωτήρα ήκουσε, Μή μου άπτου, πρός τόν Πατέρα άπειμι, ειπέ τοίς αδελφοίς μου.

### Θεοτοκίον

Τριάδος Κόρη τέτοκας, απορρήτως τόν ένα, διπλούν τή φύσει πέλοντα, καί διπλούν ενεργεία, καί ένα τή υποστάσει, τούτον ούν εκδυσώπει, αεί υπέρ τών πίστει σε, προσκυνούντων εκ πάσης επιβουλής, τού εχθρού λυτρώσασθαι, ότι πάντες, πρός σέ νύν καταφεύγομεν, Δέσποινα Θεοτόκε.

## ΕΩΘΙΝΟΝ Η'  Ήχος πλ. δ'

Τά τής Μαρίας δάκρυα ου μάτην χείνται θερμώς, ιδού γάρ κατηξίωται, καί διδασκόντων Αγγέλων, καί τής όψεως τής σής ώ Ιησού, αλλ' έτι πρόσγεια φρονεί, οία γυνή ασθενής, διό καί αποπέμπεται μή προσψαύσαί σοι Χριστέ. Αλλ' όμως κήρυξ πέμπεται τοίς σοίς Μαθηταίς, οίς ευαγγέλια έφησε, τήν πρός τόν Πατρώον κλήρον άνοδον απαγγέλλουσα. Μεθ' ής αξίωσον καί ημάς, τής εμφανείας σου, Δέσποτα Κύριε.

## ΕΩΘΙΝΩΝ Η'  ΙΩΑΝΝΗΝ 20,11-18

Τώ καιρώ εκείνω, Μαρία ειστήκει πρός τώ μνημείον κλαίουσα έξω, ως ούν έκλαιε, παρέκυψεν εις τό μνημείον, καί θεωρεί δύο αγγέλους εν λευκοίς καθεζομένους, ένα πρός τή κεφαλή, καί ένα πρός τοίς ποσίν, όπου έκει το τό σώμα τού Ιησού, καί λέγουσιν αυτή εκείνοι, Γύναι, τί κλαίεις; λέγει αυτοίς, Ότι ήραν τόν Κύριόν μου, καί ουκ οίδα πού έθηκαν αυτόν, καί ταύτα ειπούσα εστράφη εις τά οπίσω, καί θεωρεί τόν Ιησούν εστώτα, καί ουκ ήδει ότι Ιησούς εστι. Λέγει αυτή ο Ιησούς, Γύναι, τί κλαίεις; τίνα ζητείς; εκείνη δοκούσα ότι ο κηπουρός εστι, λέγει αυτώ, Κύριε, ει σύ εβάστασας αυτόν, ειπέ μοι πού αυτόν έθηκας, καγώ αυτόν αρώ, λέγει αυτή ο Ιησούς, Μαρία, στραφείσα εκείνη λέγει αυτώ, Ραββουνι, ό λέγεται Διδάσκαλε, λέγει αυτή ο Ιησούς, Μή μου άπτου, ούπω γάρ αναβέβηκα πρός τόν πατέρα μου, πορεύου δέ πρός τούς αδελφούς μου, καί ειπέ

αυτοίς, Αναβαίνω πρός τόν πατέρα μου καί πατέρα υμών, καί Θεόν μου καί Θεόν υμών, έρχεται Μαρία η Μαγδαληνή απαγγέλλουσα τοίς μαθηταίς ότι εώρακε τόν Κύριον, καί ταύτα είπεν αυτή.

## ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΟΝ Θ'

Συγκεκλεισμένων Δέσποτα, τών θυρών ως εισήλθες, τούς Αποστόλους έπλησας, Πνεύματος παναγίου, ειρηνικώς εμφυσήσας, οίς δεσμείν τε καί λύειν, τάς αμαρτίας είρηκας, καί οκτώ μεθ' ημέρας, τήν σήν πλευράν, τώ Θωμά υπέδειξας καί τάς χείρας. Μεθ' ού βοώμεν, Κύριος, καί Θεός σύ υπάρχεις.

### Θεοτοκίον

Τόν σόν Υιόν ώς έβλεψας, αναστάντα εκ τάφου, τριήμερον Θεόνυμφε, άπασαν θλίψιν απέθου, ήν υπέστης ώς Μήτηρ, ότε κατείδες πάσχοντα, καί χαράς εμπλησθείσα, σύν τοίς αυτού, Μαθηταίς γεραίρουσα τούτον ύμνεις. Διό τούς Θεοτόκον σε, νύν κηρύττοντας σώζε.

## ΕΩΘΙΝΟΝ Θ'  Ήχος πλ. α'

Ως επ' εσχάτων τών χρόνων, ούσης οψίας Σαββάτων, εφίστασαι τοίς φίλοις Χριστέ, καί θαύματι θαύμα βεβαιοίς, τή κεκλεισμένη εισόδω τών θυρών, τήν εκ νεκρών σου Ανάστασιν, αλλ' έπλησας χαράς τούς Μαθητάς, καί Πνεύματος αγίου μετέδωκας αυτοίς, καί εξουσίαν ένειμας αφέσεως αμαρτιών, καί τόν θωμάν ου κατέλιπες, τώ τής απιστίας καταβαπτίζεσθαι κλύδωνι. Διό παράσχου καί ημίν, γνώσιν αληθή, καί άφεσιν πταισμάτων, εύσπλαγχνε Κύριε.

## ΕΩΘΙΝΩΝ Θ'  ΙΩΑΝΝΗΝ 20,19-31

Ούσης ούν οψίας τή ημέρα εκείνη τή μιά τών σαββάτων, καί τών θυρών κεκλεισμένων όπου ήσαν οι μαθηταί συνηγμένοι διά τον φόβον τών Ιουδαίων , ήλθεν ο Ιησούς καί έστη εις τό μέσον, καί λέγει αυτοίς, Ειρήνη υμίν. καί τούτο ειπών έδειξεν αυτοίς τάς χείρας καί τήν πλευράν αυτού. εχάρησαν ούν οι μαθηταί ιδόντες τόν Κύριον. είπεν ούν αυτοίς ο Ιησούς πάλιν , Ειρήνη υμίν, καθώς απέσταλκέ με ο πατήρ, καγώ πέμπω υμάς.καί τούτο εIπών ενεΦύσησε καί λέγει αυτοίς, Λάβετε Πνεύμα Άγιον. άν τινων αφήτε τάς αμαρτίας, αφιένται αυτοίς, άν τινων κρατήτε, κεκράτηνται. Θωμάς δέ, εις εκ τών δώδεκα, ο λεγόμενος Δίδυμος, ουκ ήν μετ' αυτών ότε ήλθεν Ιησούς, έλεγον ούν αυτώ οι άλλοι μαθηταί, Εωράκαμεν τόν Κύριον. ο δέ είπεν αυτοίς, Εάν μή ίδω εν ταίς χερσίν αυτού τόν τύπον τών ήλων, καί βάλω τόν δάκτυλόν μου εις τόν τύπον τών ήλων, καί βάλω μου τήν χείρα εις τήν πλευράν αυτού, ου μή πιστεύσω. Καί μεθ' ημέρας οκτώ πάλιν ήσαν έσω οι μαθηταί αυτού, καί Θωμάς μετ' αυτών. έρχεται ο Ιησούς τών θυρών κεκλεισμένων , καί έστη εις τό μέσον καί είπεν, Ειρήνη υμίν. είτα λέγει τώ θωμά, φέρε τόν δάκτυλόν σου ωδε, καί ίδε τάς χείράς μου. καί φέρε τήν χείρά σου καί βάλε εις τήν πλευράν μου, καί μή γίνου άπιστος αλλά πιστός. καί απεκρίθη ο Θωμάς, καί είπεν αυτώ, Ο κύριός μου καί ο Θεός μου. λέγει αυτώ ο Ιησούς, Ότι εώρακάς με πεπίστευκας, μακάριοι οι μή ιδόντες, καί πιστεύσαντες. Πολλά μέν ούν καί άλλα σημεία εποίησεν ο Ιησούς ενώπιον τών μαθητών αυτού, ά ουκ έστιν γεγραμμένα εν τώ βιβλίω τούτω. ταύτα δέ γέγραπται ίνα πιστεύσητε ότι ο Ιησούς εστιν ο Χριστός ο υιός τού Θεού, καί ίνα πιστεύοντες, ζωήν έχητε εν τώ ονόματι αυτού.

## ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΟΝ Ι'

Τιβεριάδος θάλασσα, σύν παισί Ζεβεδαίου, Ναθαναήλ τώ Πέτρω τε, σύν δυσίν άλλοις πάλαι, καί θωμάν είχε πρός άγραν, οί Χριστού τή προστάξει, εν δεξιοίς χαλάσαντες, πλήθος είλκον ιχθύων, όν Πέτρος γνούς, πρός αυτόν ενήχετο, οίς τό τρίτον φανείς καί άρτον έδειξε, καί ιχθύν επ' ανθράκων.

### Θεοτοκίον

Τόν αναστάντα Κύριον, τριήμερον εκ τού τάφου, Παρθένε καθικέτευε, υπέρ τών σέ υμνούντων, καί πόθω μακαριζόντων, σέ γάρ έχομεν πάντες, καταφυγήν σωτήριον, καί μεσίτιν πρός τούτον, κλήρος γάρ σός, καί οικέται πέλομεν Θεοτόκε, καί πρός τήν σήν αντίληψιν, άπαντες αφορώμεν.

## ΕΩΘΙΝΟΝ Ι'  Ήχος πλ. β'

Μετά τήν εις Άδου κάθοδον, καί τήν εκ νεκρών Ανάστασιν, αθυμούντες ώς εικός, επί τώ χωρισμώ σου Χριστέ οι Μαθηταί, πρός εργασίαν ετράπησαν, καί πάλιν πλοία καί δίκτυα, καί άγρα ουδαμού. Αλλά σύ Σώτερ εμφανισθείς, ώς δεσπότης πάντων, δεξιοίς τά δίκτυα κελεύεις βαλείν, καί ήν ο λόγος έργον ευθύς, καί πλήθος τών ιχθύων πολύ, καί δείπνον ξένον έτοιμον εν γή, ού μετασχόντων τότε σου τών Μαθητών, καί ημάς νύν νοητώς καταξίωσον, εντρυφήσαι φιλάνθρωπε Κύριε.

## ΕΩΘΙΝΩΝ Ι'  ΙΩΑΝΝΗΝ 21,1-14

Τώ καιρώ εκείνω, εφανέρωσεν εαυτόν ο Ιησούς τοίς μαθηταίς αυτού, εγερθείς εκ νεκρών, επί τής

θαλάσσης τής Τιβεριάδος, εφανέρωσε δέ ούτως. ήσαν ομού Σίμων Πέτρος, καί Θωμάς ο λεγόμενος Δίδυμος, καί Ναθαναήλ ο από Κανά τής Γαλιλαίας, καί οι τού Ζεβεδαίου, καί άλλοι εκ τών μαθητών αυτού δύο. λέγει αυτοίς Σίμων Πέτρος, Υπάγω αλιεύειν. λέγουσιν αυτώ, Ερχόμεθα καί ημείς σύν σοί. εξήλθον καί ανέβησαν εις τό πλοίον ευθύς, καί εν εκείνη τή νυκτί επίασαν ουδέν. πρωϊας δέ ήδη γενομένης έστη ο Ιησούς εις τόν αιγιαλόν, ου μέντοι ήδεισαν οι μαθηταί ότι Ιησούς εστι. λέγει ούν αυτοίς ο Ιησούς, Παιδία, μή τι προσφάγιον έχετε; απεκρίθησαν αυτώ, Ού ο δέ είπεν αυτοίς, Βάλετε εις τά δεξιά μέρη τού πλοίου τό δίκτυον , καί ευρήσετε. έβαλον ούν, καί ουκέτι αυτό ελκύσαι ίσχυσαν από τού πλήθους τών Ιχθύων. λέγει ούν ο μαθητής εκείνος όν ηγάπα ο Ιησούς τώ Πέτρω, Ο Κύριός εστι. Σίμων ούν Πέτρος, ακούσας ότι ο Κύριός εστι , τόν επενδύτην διεζώσατο -- ήν γάρ γυμνός -- , καί έβαλεν εαυτόν εις τήν θάλασσαν. οι δέ άλλοι μαθηταί τώ πλοιαρίω ήλθον -- ου γάρ ήσαν μακράν από τής γής, αλλ' ως από πηχών διακοσίων --, σύροντες τό δίκτυον τών ιχθύων. ως ούν απέβησαν εις τήν γήν, βλέπουσιν ανθρακιάν κειμένην καί οψάριον επικείμενον, καί άρτον. λέγει αυτοίς ο Ιησούς, Ενέγκατε από τών οψαρίων ων επιάσατε νύν. ανέβη ούν Σίμων Πέτρος, καί είλκυσε τό δίκτυον επί τής γής, μεστόν Ιχθύων μεγάλων εκατόν πεντηκοντατριών, καί τοσούτων όντων, ουκ εσχίσθη τό δίκτυον. λέγει αυτοίς ο Ιησούς, Δεύτε αριστήσατε. ουδείς δέ ετόλμα τών μαθητών εξετάσαι αυτόν, Σύ τίς εί; ειδότες ότι ο Κύριός εστιν. έρχεται ούν ο Ιησούς, καί λαμβάνει τόν άρτον, καί δίδωσιν αυτοίς, καί τό οψάριον ομοίως. τούτο ήδη τρίτον εφανερώθη ο Ιησούς τοίς μαθηταίς αυτού, εγερθείς εκ νεκρών.

ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΟΝ ΙΑ'

Μετά τήν θείαν Έγερσιν, τρίς τώ Πέτρω, φιλείς με, πυθόμενος ο Κύριος τών ιδίων προβάτων, προβάλλεται ποιμενάρχην, ός ίδων όν ηγάπα, ο Ιησούς επόμενον, ήρετο τόν Δεσπότην, Ούτος δέ τί; Εάν θέλω, έφησε, μένειν τούτον, έως καί πάλιν έρχομαι, τί πρός σέ φίλε Πέτρε;

Θεοτοκίον

Ω φοβερόν μυστήριον ώ παράδοξον θαύμα! διά θανάτου θάνατος, παντελώς ηφανίσθη, τίς ούν μή ανυμνήσει σου, καί τίς μή προσκυνήσει σου, τήν Ανάστασιν Λόγε, καί τήν αγνώς, εν σαρκί τεκούσάν σε Θεοτόκον. Ής ταίς,
πρεσβείαις άπαντας, λύτρωσαι τής γεέννης.

ΕΩΘΙΝΟΝ ΙΑ' Ήχος πλ. δ'

Φανερών εαυτόν, τοίς Μαθηταίς σου Σωτήρ μετά τήν Ανάστασιν, Σίμωνι δέδωκας τήν τών προβάτων νομήν, εις αγάπης αντέκτισιν, τήν τού ποιμένειν φροντίδα αιτών. Διό καί έλεγε, Ει φιλείς με Πέτρε, ποίμαινε τά αρνία μου, ποίμαινε τά πρόβατά μου. ο δέ ευθέως ενδεικνύμενος τό φιλόστοργον, περί τού άλλου Μαθητού επυνθάνετο. Ών ταίς πρεσβείαις Χριστέ, τήν ποίμνην σου διαφύλαττε, εκ λύκων λυμαινομένων αυτήν.

ΕΩΘΙΝΩΝ ΙΑ' ΙΩΑΝΝΗΝ 21,15-25

Τώ καιρώ εκείνω, εφανέρωσεν εαυτόν ο Ιησούς τοίς μαθηταίς αυτού, εγερθείς εκ νεκρών, καί λέγει τώ Σίμωνι Πέτρω, Σίμων Ιωνά, αγαπάς με πλέον τούτων; λέγει αυτώ, Ναί Κύριε, σύ οίδας ότι φιλώ σε. λέγει αυτώ, Βόσκε τά αρνία μου. λέγει αυτώ πάλιν δεύτερον, Σίμων Ιωνά αγαπάς με; Λέγει αυτώ, Ναί, Κύριε, σύ οίδας ότι φιλώ σε. λέγει αυτώ, Ποίμαινε τά πρόβατά μου. λέγει αυτώ τό τρίτον, Σίμων Ιωνά, φιλείς με; ελυπήθη ο Πέτρος, ότι είπεν αυτώ τό τρίτον, φιλείς με; καί είπεν αυτώ, Κύριε, σύ πάντα οίδας, σύ γινώσκεις ότι φιλώ σε. λέγει αυτώ ο Ιησούς, Βόσκε τά πρόβατά μου. αμήν αμήν λέγω σοι, ότε ής νεώτερος, εζώννυες σεαυτόν, καί περιεπάτεις όπου ήθελες, όταν δέ γηράσης, εκτενείς τάς χείράς σου, καί άλλος σε ζώσει, καί οίσει όπου ου θέλεις. τούτο δέ είπε, σημαίνων ποίω θανάτω δοξάσει τόν Θεόν. καί τούτο ειπών, λέγει αυτώ, Ακολούθει μοι. επιστραφείς ο Πέτρος βλέπει τόν μαθητήν όν ηγάπα ο Ιησούς, ακολουθούντα, ός καί ανέπεσεν εν τώ δείπνω επί τό στήθος αυτού καί είπε, Κύριε, τίς εστιν ο παραδιδούς σε; τούτον ιδών ο Πέτρος λέγει τώ Ιησού, Κύριε, ουτος δέ τί; λέγει αυτώ ο Ιησούς, Εάν αυτόν θέλω μένειν έως έρχομαι, τί πρός σέ; σύ μοι ακολούθει μοι. Εξήλθεν ούν ο λόγος ούτος εις τούς αδελφούς, ότι ο μαθητής εκείνος ουκ αποθνήσκει, καί ουκ είπεν αυτώ ο Ιησούς, ότι ουκ αποθνήσκει' αλλ' Εάν αυτόν θέλω μένειν έως έρχομαι, τί πρός σέ; Ουτός εστιν ο μαθητής ο μαρτυρών περί τούτων , καί γράψας ταύτα, καί οίδαμεν ότι αληθής εστίν η μαρτυρία αυτού. Έστι δέ καί άλλα πολλά όσα εποίησεν ο Ιησούς, άτινα εάν γράφηται καθ' έν, ουδέ αρήσαι